










ἩΡΟΔΟΤΟΥ

ἉΛΙΚΑΡΝΗΣΣΗΟΣ

ἹΣΤΟΡΙΩΝ ΛΟΓΟΙ Θ.

HERODOTI

HALICARNASSEI

HISTORIARUM LIBRI IX.

CODICEM SANCROFTI MANUSCRIPTUM

DENUO CONTULIT

RELIQUAM LECTIONIS VARIETATEM

COMMODIUS DIGESSIT

ANNOTATIONES VARIORUM

ADJECIT

THOMAS GAISFORD, S.T.P.

GR. LING. PROF. REG.

EDITIO TERTIA SUBINDE EMENDATA.

TOM. II.

OXONII,

EXCUDEBAT THOMAS COMBE,


IMPENSIS JOANNIS HENRICI PARKER:

WHITTAKER ET SOCIORUM,

J. G. F. ET J. RIVINGTON, LONDINI;

J. ET J. J. DEIGHTON, CANTABRIGIÆ.

MDCCCXL.


19 AUG 1965
LIBRARY

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΠΕΜΠΤΗ.

ΤΕΡΨΙΧΟΡΗ.

1 ΟΙ δὲ ἐν τῇ Εὐρώπῃ τῶν Περσέων καταλειφθέντες
ὑπὸ Δαρείου, τῶν ὁ [a] Μεγάβαζος ἦρχε, πρώτους
μὲν Περινθίους Ἑλλησποντίων, οὐ βουλομένους ὑπη-
κόους εἶναι Δαρείου, κατεστρέψαντο, περιεφθέντας
2 πρότερον [b] καὶ ὑπὸ Παιόνων τρηχέως. [c] Οἱ γὰρ ὦν
ἀπὸ [d] Στρυμόνος Παίονες, χρήσαντος τοῦ θεοῦ στρα-
τεύεσθαι ἐπὶ Περινθίους, καὶ [e] ἢν μὲν ἀντικατιζόμενοι
[f] ἐπικαλέσωνταί σφεας οἱ Περίνθιοι, [g] ὀνομαστὶ βώ-
σαντες, τοὺς δὲ ἐπιχειρέειν· [h] ἢν δὲ μὴ ἐπιβώσωνται,
3 μὴ ἐπιχειρέειν· [i] ἐποίευν οἱ Παίονες ταῦτα. [k] ἀντικα-
τιζομένων δὲ τῶν Περινθίων ἐν τῷ προαστηΐῳ, ἐν-
θαῦτα μουνομαχίη τριφασίη ἐκ [l] προκλήσιός σφι
ἐγένετο· καὶ γὰρ ἄνδρα ἀνδρὶ, καὶ ἵππον ἵππῳ
4 [m] συνέβαλον, καὶ κύνα κυνί. νικώντων δὲ τὰ δύο τῶν
Περινθίων, ὡς ἐπαιώνιζον κεχαρηκότες, συνεβάλοντο
οἱ Παίονες τὸ χρηστήριον αὐτὸ τοῦτο εἶναι· καὶ

372
Megabazus a Dario post expeditionem Scythicam cum copiis in Europa relictus [4, 143.], ut Thraciam in ditionem regis redigeret, [c. 2.], primum Perinthios subigit: quos antea Pæones, Strymonis accolæ [c. 13.], oraculi monitu ad bellum iis inferendum exciti, adflixerant.

LIB. V. 1. [a] Μεγάβυζος b. Mox ὑπηκόους εἶναι Δαρείῳ S. [b] καὶ om. F. Mox τριχέως S. [c] ὡς γὰρ οἱ S.V. absque ὦν. [d] Στρυμῶνος F. [e] εἰ μὲν β. [f] ἐπικαλέονται S.V. [g] ὀνομαστοὶ S. οὐνομαστὶ Schæfer. [h] ἢν—ἐπιχειρέειν om. S. [i] ἐποίευν S.V. ἐποίεον F.a.b. et vulgo. [k] Sic M.P.K.F.S.V. ἀντιζομένων Ald. A.B. Mox προαστείῳ Ald. προαστείων S. et infra τριβασίη. [l] προκλήσιος P.S.V.F. προκλήσεως M.A.B. προκλήσεος Ald. Mox σφι habent Ald. S.V.A.B. om. M.P.K.F.b. [m] συνέβαλον S.P.F.a.c. qui mox συνεβάλοντο. Vulgo συνέβαλλον et συνεβάλλοντο.

εἶπάν κου παρὰ [n] σφίσι αὐτοῖσι, "Νῦν ἂν εἴη ὁ "χρησμὸς ἐπιτελεόμενος ἡμῖν, νῦν ἡμέτερον [o] τὸ 373 5 "ἔργον." οὕτω τοῖσι Περινθίοισι [p] παιωνίσασι ἐπιχειρέουσι οἱ Παίονες, καὶ [q] πολλόν τε ἐκράτησαν, καὶ ἔλιπόν σφεων ὀλίγους.

2 Perintho devicta, Thraces maritimos [c. 10.] adoritur, eorumque alium ex alio populum imperio Persarum subjicit.

[a] Τὰ μὲν δὴ ἀπὸ Παιόνων πρότερον γενόμενα ὧδε ἐγένετο· τότε δὲ ἀνδρῶν ἀγαθῶν περὶ τῆς ἐλευθερίης γινομένων τῶν Περινθίων, οἱ Πέρσαι τε καὶ ὁ Μεγάβαζος ἐπεκράτησαν 2 πλήθεϊ. ὡς δὲ ἐχειρώθη [b] ἡ Πέρινθος, [c] ἤλαυνε τὸν στρατὸν ὁ Μεγάβαζος διὰ τῆς Θρηΐκης, πᾶσαν πόλιν καὶ πᾶν ἔθνος τῶν ταύτῃ οἰκημένων ἡμερούμενος [d] βασιλέϊ· ταῦτα γάρ οἱ [e] ἐντέταλτο ἐκ Δαρείου, Θρηΐκην καταστρέφεσθαι.

3 Thraces, post Indos [3. 94.], gens omnium numerosissima, sed in plures divisa populos parum concordes, ideoque minus valida virium. Horum populorum

Θρηΐκων δὲ ἔθνος μέγιστόν ἐστι, μετά [a] γε Ἰνδούς, πάντων ἀνθρώπων. εἰ δὲ ὑπ' ἑνὸς [b] ἄρχοιτο, ἢ φρονέοι κατὰ τὠυτὸ, ἄμαχόν τ' ἂν εἴη, καὶ πολλῷ κράτιστον 2 πάντων ἐθνέων, κατὰ γνώμην τὴν ἐμήν. ἀλλὰ γὰρ τοῦτο ἄπορόν σφι καὶ ἀμήχανον μή κοτε [c] ἐγγένηται· 3 εἰσὶ δὴ κατὰ τοῦτο ἀσθενέες. Οὐνόματα δὲ πολλὰ ἔχουσι κατὰ [d] χώρας ἕκαστοι· νόμοισι δὲ οὗτοι παραπλησίοισι πάντες χρέωνται [e] κατὰ πάντα, πλὴν Γετέων, καὶ Τραυσῶν, καὶ τῶν κατύπερθε [f] Κρηστωναίων [g] οἰκεόντων.

4 omnium similes leges

Τούτων δὲ τὰ μὲν Γέται οἱ ἀθανατίζοντες ποιεῦσι, εἴρηταί μοι. Τραυσοὶ δὲ τὰ μὲν

[n] σφὶν S.V. [o] τὸ om. F.b. [p] παιανίσασι Eustath. Il. p. 359, 36. Rom. παιονίσασιν p. 272, 23. Bas. [q] πολλῶν S.

2. [a] ταῦτα μὲν F. [b] ἡ om. F.b. ἐπεχειρώθη F. pro ἐχειρώθη. [c] ἤλαυνε Μεγάβαζος τὸν στρ. F. et b. qui Μεγάβυζος. [d] Sic M.S.K. P. Vall. F. Paris. Olim βασιλέϊ Δαρείῳ. [e] ἐνετέταλτο K.F.

3. [a] γε om. P.K.F.b. [b] Sic M.K.P.F. Paris. Eustath. Dionys. 323. ἀρχοίατο ἢ φ. S.V. ἄρχοιτο ἢ φρονέοιτο Ald. [c] ἐν γένηται M.P. K.F.b. probante Matthiæ. οὐ μή κοτε ἐν γένηται Schæferus ad Demosth. Or. pro Corona p. 322. [d] χώρης c. [e] καὶ τὰ πάντα εἶναι πλὴν S. κατὰ πάντα εἶναι πλὴν Schæfer. [f] Cf. Steph. Byz. in v. Κρηστωνέων F.a.b. [g] ἐόντων S.V.

ἄλλα πάντα κατὰ ταὐτὰ τοῖσι [a]ἄλλοισι Θρηξὶ ἐπιτελέουσι, κατὰ δὲ τὸν γινόμενόν σφι καὶ ἀπογινόμενον
2 ποιεῦσι [b]τοιάδε. τὸν μὲν [c]γενόμενον περιϊζόμενοι οἱ προσήκοντες ὀλοφύρονται, ὅσα μιν δεῖ ἐπεί τε ἐγένετο ἀναπλῆσαι κακὰ, ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα [d]πάθεα· τὸν δ' [e]ἀπογενόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ [f]κρύπτουσι, ἐπιλέγοντες ὅσων κακῶν [g]ἐξαπαλλαχθεὶς, ἔστι ἐν πάσῃ εὐδαιμονίῃ.

instituta-que, præter 374 Getarum, Trausorum et Transcrestonæorum. Getarum de immortalitate opinio [4, 94.]. Trausi recens natos lugent: mortuorum funus gratulabundi prosequuntur.

5 Οἱ δὲ [a]κατύπερθε Κρηστωναίων ποιεῦσι [b]τοιάδε. ἔχει γυναῖκας ἕκαστος πολλάς· ἐπεὰν ὦν τις αὐτῶν ἀποθάνῃ, κρίσις γίνεται μεγάλη τῶν γυναικῶν, καὶ φίλων σπουδαὶ ἰσχυραὶ περὶ τοῦδε, ἥτις αὐτέων [c]ἐφιλέετο
2 μάλιστα ὑπὸ τοῦ ἀνδρός. ἣ δ' ἂν κριθῇ καὶ τιμηθῇ, ἐγκωμιασθεῖσα ὑπό τε ἀνδρῶν καὶ γυναικῶν, σφάζεται [d]ἐς τὸν τάφον ὑπὸ τοῦ [e]οἰκηϊοτάτου ἑωυτῆς·
3 σφαχθεῖσα δὲ, συνθάπτεται τῷ ἀνδρί. αἱ δὲ ἄλλαι συμφορὴν μεγάλην ποιεῦνται· ὄνειδος γάρ σφι τοῦτο μέγιστον γίνεται.

Transcrestonæi polygami. Viri vita defuncti in tumulo dilectissima uxorum immolatur.

6 Τῶν δὲ δὴ ἄλλων Θρηΐκων ἐστὶ [a]ὅδε ὁ νόμος. πωλεῦσι τὰ τέκνα ἐπ' ἐξαγωγῇ. τὰς [b]δὲ παρθένους οὐ [c]φυλάσσουσι, ἀλλ' ἐῶσι οἷσι αὐταὶ βούλονται
2 ἀνδράσι μίσγεσθαι. τὰς δὲ γυναῖκας ἰσχυρῶς φυλάσ-

Cæterorum Thracum instituta maxime memorabilia.

4. [a] ἄλλοισι om. S.V. Mox ποιέουσι S. [b] Sic M.P.K.F. Paris. Stobæus 120, 33. pro v. l. in ms. Paris. τάδε S. al. et Stobæus pr. ms. Paris. [c] Sic F.a.b.c. γινόμενον S. Bekker. vulgo cum Stobæo. Mox ἐγένοντο Stobæus Trinc. Infra ἀνοιγεόμενοι ed. Steph. et aliæ recent. ἀπηγεόμενοι Bekker. [d] πρήγματα Steph. marg. πάθεα πάντα S. [e] Sic P.K.F. Paris. ἀπογινόμενον S. vulgo. [f] Sic S.V.K.P.F. Paris. Stob. cf. infra 8. I. 140. IV. 103. Olim καλύπτουσι. [g] ἐξαλλαπαχθεὶς S.

5. [a] ὕπερθεν Κριστωνέων Stobæus 123, 12. Κρηστωνέων F.a. [b] Sic M.P.F. Paris. τάδε S. Ald. Dedi mox αὐτῶν pro αὐτέων. [c] Sic P.S.V.F. Paris. et voluisse videtur Ald. ἐφίλετο vulg. [d] Sic M.S.V.K.P.F. Paris. ἐπὶ τὸν Ald. [e] οἰκειοτάτου S. οἰκηϊωτάτου Schæfer. Bekker. Mox μέγιστον τοῦτο S.

6. [a] Sic S.F. ὁ alii om. ὧδε b. [b] δὲ om. S.V. [c] φυλάττουσι S.

σουσι· [d] καὶ ὠνέονται τὰς γυναῖκας παρὰ τῶν γονέων
χρημάτων μεγάλων· [e] καὶ τὸ μὲν ἐστίχθαι εὐγενὲς
κέκριται· τὸ δ' ἄστικτον, [f] ἀγεννές. ἀργὸν εἶναι, κάλ-
3 λιστον· γῆς δὲ [g] ἐργάτην, ἀτιμότατον. τὸ ζῆν ἀπὸ
πολέμου καὶ ληϊστύος, κάλλιστον. οὗτοι μέν σφεων
οἱ ἐπιφανέστατοι νόμοι εἰσί.

7 Deos solos colunt Martem, Bacchum, Dianam: reges præcipue Mercurium,

Θεοὺς δὲ σέβονται
μούνους τούσδε· Ἄρεα, καὶ Διόνυσον, καὶ Ἄρτεμιν.
2 οἱ δὲ [a] βασιλέες αὐτῶν, πάρεξ τῶν ἄλλων πολιητέων,
σέβονται Ἑρμῆν μάλιστα θεῶν· καὶ ὀμνύουσι μοῦνον
τοῦτον, καὶ λέγουσι γεγονέναι ἀπὸ Ἑρμέω ἑωυτούς.

8 originem ab eo ducentes. Sepultura ditiorum.

Ταφαὶ δὲ τοῖσι εὐδαίμοσι [a] αὐτῶν εἰσὶ αἵδε. τρεῖς μὲν
ἡμέρας προτιθέασι τὸν νεκρόν· καὶ παντοῖα σφά-
ξαντες ἱρήϊα, εὐωχέονται, προκλαύσαντες πρῶτον·
ἔπειτα δὲ θάπτουσι κατακαύσαντες, ἢ ἄλλως γῇ
2 [b] κρύψαντες. χῶμα δὲ χέαντες, ἀγῶνα τιθεῖσι παν-
τοῖον, ἐν τῷ τὰ μέγιστα ἄεθλα τίθεται κατὰ λόγον
μουνομαχίης. ταφαὶ μὲν [c] δὴ Θρηΐκων εἰσὶ [d] αὗται.

9 Thraciam ab aquilone qui populi contingant parum constat. Soli Sigynnæ trans Istrum cogniti, a Medis, uti fama fertur,

Τὸ δὲ πρὸς βορέω [a] τῆς χώρης ἔτι ταύτης οὐδεὶς
ἔχει φράσαι τὸ ἀτρεκὲς, οἵτινές εἰσι ἀνθρώπων [b] οἱ
οἰκέοντες αὐτήν· ἀλλὰ [c] τὰ πέρην [d] ἤδη τοῦ Ἴστρου
2 ἐρῆμος χώρη φαίνεται ἐοῦσα καὶ ἄπειρος. μούνους δὲ
δύναμαι πυθέσθαι οἰκέοντας πέρην τοῦ Ἴστρου ἀν-
θρώπους, τοῖσι οὔνομα εἶναι [e] Σιγύννας, [f] ἐσθῆτι δὲ
3 χρεωμένους Μηδικῇ. τοὺς δὲ ἵππους αὐτῶν εἶναι

[d] καὶ om. S.V. Mox νέων S. pro γονέων. [e] καὶ om. S. Seqq. citat Eustath. Il. p. 933, 7=904, 8. [f] Sic P.K.F. ἀγενὲς Eustath. Dionys. 322. S. Bekker. et al. [g] ἐργάται ἀτιμώτατον S.

7. [a] βασιλέες αὐτῶν F. βασιλέες αὐτέων S. Mox πολιτέων S.

8. [a] αὐτέων vulgo. Mox προτιθεῖσι S. [b] κατακρύψαντες S.V. [c] δὴ om. S.V. [d] Sic P.K.F. Alii αἶδε cum S.

9. [a] Sic F. Vulgo ἔτι τῆςχ. cum S. [b] οἱ om. S.V.F.a.b.c. [c] Sic S.V.A.B. Ald. τὰ om. M.K.P.F. [d] ἤδη om. K.P.F.b. Mox τοῖσι δὲ οὔνομα S. Infra ἄπορος pro ἄπειρος conj. Bekker. [e] Σιγύννας P.S. Vall. Σιγύνας Ald. F.c. Σιγύννα M.K. [f] Sic M.P.K.F. δὲ om. Ald. S.V.a.c.

λασίους ἅπαν τὸ σῶμα, [g] ἐπὶ πέντε δακτύλους τὸ
βάθος τῶν τριχῶν· μικροὺς δὲ, καὶ σιμοὺς, καὶ ἀδυ-
νάτους ἄνδρας φέρειν· ζευγνυμένους δὲ ὑπ' ἅρματα,
εἶναι [h] ὀξυτάτους· ἁρματηλατέειν [i] δὲ πρὸς ταῦτα
4 τοὺς ἐπιχωρίους. κατήκειν δὲ τούτων τοὺς οὔρους
ἀγχοῦ Ἐνετῶν τῶν ἐν τῷ Ἀδρίῃ. εἶναι δὲ Μήδων
5 σφέας ἀποίκους λέγουσι. ὅκως δὲ οὗτοι Μήδων
ἄποικοι γεγόνασι, ἐγὼ μὲν οὐκ ἔχω [k] ἐπιφράσασθαι·
6 γένοιτο δ' ἂν πᾶν ἐν τῷ μακρῷ χρόνῳ. [l] Σιγύννας
δ' ὦν καλέουσι [m] Λίγυες οἱ ἄνω ὑπὲρ Μασσαλίης
οἰκέοντες τοὺς καπήλους· Κύπριοι δὲ, τὰ δόρατα.

oriundi et usque ad Enetos Adriæ accolas [1, 196.] pertinentes: eorum vestitus et equi.

10 Ὡς δὲ Θρήϊκες λέγουσι, μέλισσαι [a] κατέχουσαι τὰ
πέρην τοῦ Ἴστρου εἰσί· καὶ [b] ὑπὸ τουτέων οὐκ εἶναι
2 διελθεῖν τὸ προσωτέρω. ἐμοὶ μέν νυν, ταῦτα λέγον-
τες, δοκέουσι λέγειν οὐκ [c] οἰκότα· τὰ γὰρ ζῶα ταῦτα
φαίνεται εἶναι δύσριγα· ἀλλά μοι τὰ ὑπὸ τὴν ἄρκτον
3 ἀοίκητα δοκέει εἶναι διὰ τὰ ψύχεα. Ταῦτα μέν νυν
τῆς χώρης ταύτης πέρι λέγεται. τὰ παραθαλάσσια
δ' ὦν αὐτῆς Μεγάβαζος Περσέων κατήκοα [d] ἐποίεε.

Fabula Thracum de regionibus trans Istrum propter examina apum imperviis explosa. Terra septentrioni subjecta ob frigus inhabitabilis.

376

11 Δαρεῖος δὲ, ὡς διαβὰς τάχιστα τὸν Ἑλλήσποντον
ἀπίκετο ἐς Σάρδις, ἐμνήσθη τῆς ἐξ Ἱστιαίου [a] τε τοῦ
Μιλησίου εὐεργεσίης, καὶ τῆς παραινέσιος τοῦ Μυτι-
2 ληναίου Κώεω. μεταπεμψάμενος δέ σφεας ἐς Σάρδις,
ἐδίδου αὐτοῖσι αἵρεσιν. ὁ μὲν δὴ Ἱστιαῖος, ἅτε τυραν-
νεύων τῆς Μιλήτου, τυραννίδος μὲν οὐδεμιῆς προσέ-
3 χρηζε· αἰτέει δὲ Μύρκινον [b] τὴν Ἠδωνίδα, βουλό-

Darius ab expeditione Scythica Sardes reversus Histiæum ob pontem Istri servatum [4, 137.], Coën ob consilium salubre datum.

[g] καὶ ἐπὶ π. S.V. [h] Sic K.P.F.a.b.d. ὠκυτάτους S. vulgo. [i] δὲ om. S.V. [k] ἐπιφράσαι S.V. [l] σιγύννας P. Vall. σιγύνας alii. συγύννας S. [m] Sic F. Wessel. al. Λίβυες b. *Pœnos* vertit Valla. οἱ ἄνω om. S.

10. [a] Sic S. Al. κατέχουσι absque εἰσί. Supra Θρῆκες S. [b] Sic V.S. Vall. a.c. ὑπὲρ F.M. Ald. al. τούτων S. [c] Sic F. Vulgo εἰκότα. Mox εἶναι om. F. [d] ἐποίησε S.V.

11. [a] τε τοῦ Μιλησίου om. V.S. Vall. Mox dedi Μυτιληναίου pro Μιτυληναίου. [b] Sic S.V. Vall. τῶν Ἠδωνῶν (aut τ. Ἠδωνῶν) al.

[4, 97.] remuneratur, illi petenti Myrcinum Edonidem, huic Mitylenen donans.

μενος ἐν αὐτῇ πόλιν κτίσαι. οὗτος μὲν δὴ ταύτην
αἱρέεται. ὁ δὲ Κώης, οἷά τε οὐ τύραννος δημότης τε
ἐὼν, [c] αἰτέει Μυτιλήνης τυραννεῦσαι. τελεωθέντων δὲ
ἀμφοτέροισι, οὗτοι μὲν [d] κατὰ τὰ εἵλοντο ἐτράποντο.

12

Qua re motus Megabazum Pæones ex Europa vi abductos in Asiam transferre jusserit.

[a] Δαρεῖον δὲ συνήνεικε, [b] πρῆγμα τοιόνδε ἰδόμενον,
ἐπιθυμῆσαι ἐντείλασθαι Μεγαβάζῳ, Παίονας ἑλόντα
ἀνασπάστους ποιῆσαι [c] ἐκ τῆς Εὐρώπης ἐς τὴν
2 Ἀσίην. Ἦν [d] Πίγρης καὶ [e] Μαντύης, ἄνδρες Παί-
ονες· οἳ, ἐπεί τε Δαρεῖος [f] διέβη ἐς τὴν Ἀσίην, αὐτοὶ
ἐθέλοντες Παιόνων τυραννεύειν, ἀπικνέονται ἐς Σάρδις,
ἅμα ἀγόμενοι ἀδελφεὴν, μεγάλην τε καὶ εὐειδέα.
3 φυλάξαντες δὲ Δαρεῖον προκατιζόμενον ἐς τὸ προά-
στειον [g] τὸ τῶν Λυδῶν, ἐποίησαν τοιόνδε. Σκευά-
σαντες τὴν ἀδελφεὴν ὡς εἶχον ἄριστα, ἐπ' ὕδωρ
ἔπεμπον, ἄγγος ἐπὶ τῇ κεφαλῇ ἔχουσαν, καὶ ἐκ τοῦ
βραχίονος ἵππον ἐπέλκουσαν, καὶ [h] κλώθουσαν λῖνον.
4 ὡς δὲ [i] παρεξήϊε ἡ γυνὴ, ἐπιμελὲς τῷ Δαρείῳ ἐγένετο·
οὔτε γὰρ Περσικὰ ἦν, οὔτε [k] Λύδια, τὰ ποιεύμενα ἐκ
τῆς γυναικὸς, οὔτε πρὸς τῶν [l] ἐκ τῆς Ἀσίης οὐδαμῶν.
5 [m] ἐπιμελὲς δὲ ὥς οἱ ἐγένετο, τῶν δορυφόρων τινὰς
πέμπει, κελεύων φυλάξαι ὅ τι [n] χρήσεται τῷ ἵππῳ
6 ἡ γυνή. οἱ μὲν δὴ [o] ὄπισθεν εἵποντο. ἡ δὲ ἐπεί τε

vid. Tzetzes Chil. IX. p. 417. Supra αἰτέειν S. pro αἰτέει. Mox πόλιν ἐν αὐτῇ S. et οἷά τε οὔτε. [c] αἴτεε S.V. Tum vulgo Μιτυλήνης. [d] Sic A.B.S.V. Ald. cf. II. 99. τὰ om. M.P.K.F.b. Bekker.

12. [a] Δαρείῳ b. Δαρεῖος F. [b] πρῆγμα P.F. Paris. Olim πρᾶγμα cum S. [c] ἐς τὴν Ἀ. ἐκ τῆς Εὐρ. F. [d] Τίγρης S. Πύγρης V. [e] Sic M.P.K.F.b.d. Tzetzes Chil. X. p. 427. Μαστίης S.V. Ματτύης Steph. marg. Μαστύης A.B. Ald. [f] Sic M.P.K.S.V. Vall. F. Paris. Olim διέβη ἐκ τῆς Εὐρ. ἐ. τ. Ἀ. [g] τὸ om. S.V. [h] κλῶσαν K.M.F. σα suprasc. in M. manu sec. [i] παρεξήει S. et sic infra. Suid. in Ἐπιμέλεον, Zonaras p. 818. qui mox ἐπιμέλεον pro ἐπιμελές. [k] Λυδικὰ S.V. Vall. [l] αὐτῆς Ἀσ. S. [m] Suidas in v. Mox πέμπειν S. [n] χρήσεται M.P.K.F. forte b.c. cf. VII. 213. χρήσαιτο Ald. S.V. Suid. a.d. [o] ὄπισθε Schweighæuser. omnes libri ὄπισθεν. Mox ἡ δὲ, ἐπίκετο ἐπὶ τ. π. καὶ ἦρσε S.

ἀπίκετο ἐπὶ τὸν ποταμὸν, [p] ἧρσέ τὸν ἵππον· ἄρσασα
δὲ, καὶ τὸ ἄγγος τοῦ ὕδατος ἐμπλησαμένη, τὴν αὐτὴν 377
ὁδὸν παρεξήϊε, φέρουσα τὸ ὕδωρ ἐπὶ τῆς κεφαλῆς,
καὶ ἐπέλκουσα ἐκ τοῦ βραχίονος τὸν ἵππον, καὶ στρέ-
13 φουσα τὸν [q] ἄτρακτον. [a] Θωμάζων δὲ ὁ Δαρεῖος τά
τε ἤκουσε ἐκ τῶν κατασκόπων, καὶ τὰ αὐτὸς ὥρα,
ἄγειν αὐτὴν [b] ἐκέλευε ἑωυτῷ [c] ἐς ὄψιν. ὡς δὲ ἄχθη,
παρῆσαν καὶ οἱ ἀδελφεοὶ αὐτῆς, [d] οὔ κῃ πρόσω
2 σκοπιὴν ἔχοντες τούτων. εἰρωτέωντος δὲ τοῦ Δαρείου
[e] ὁποδαπὴ εἴη, ἔφασαν οἱ νεηνίσκοι εἶναι Παίονες, καὶ
3 ἐκείνην εἶναι σφέων ἀδελφεήν. ὁ δ' ἀμείβετο, τίνες δὲ
οἱ Παίονες ἄνθρωποί εἰσι, καὶ κοῦ γῆς οἰκημένοι, καὶ
4 [f] τί κεῖνοι ἐθέλοντες ἔλθοιεν ἐς Σάρδις. οἱ δέ οἱ
ἔφραζον, ὡς ἔλθοιεν μὲν ἐκείνῳ δώσοντες σφέας
αὐτούς· εἴη δὲ [g] ἡ Παιονίη ἐπὶ τῷ Στρυμόνι ποταμῷ
πεπολισμένη· ὁ δὲ Στρυμὼν οὐ πρόσω τοῦ Ἑλλησ-
πόντου· [h] εἴησαν δὲ Τευκρῶν τῶν ἐκ Τροίης ἄποι-
5 κοι. Οἱ μὲν δὴ [i] αὐτὰ ἕκαστα ἔλεγον. ὁ δὲ [k] εἰρώτα
εἰ καὶ πᾶσαι εἴησαν αὐτόθι αἱ γυναῖκες οὕτω ἐργά-
τιδες. οἱ δὲ καὶ τοῦτο ἔφασαν προθύμως οὕτω ἔχειν·
αὐτοῦ γὰρ ὧν τούτου [l] εἵνεκα καὶ ἐποιέετο.

Situs Pæoniæ: Pæones Teucrorum coloni.

14 Ἐνθαῦτα Δαρεῖος γράφει γράμματα πρὸς [a] Μεγά-

[p] ἦρδε Eustath. Il. p. 707, 31=591, 36. quod explicat ἐπότιζεν.
[q] ἄδρακτον S.

13. [a] Sic S.K.F. θωϋμάζων vulgo. [b] ἐκέλευσε F. [c] ἐς ὄψιν ἐλθεῖν b. [d] Sic (vel οὔ κῃ) F.a. al. οὐχὶ V.S. οὐχὶ Wessel. et Schæfer. οὐκὶ Bekker. Tum S. τούτων. εἰρωτῶντος. [e] Sic M.P.K.F. ποδαπὴ εἴη Ald. V.A.d. ποταποὶ εἶεν S. ὀκοδαπὴ Bekker. [f] Sic M.P. K.S.V.F. Paris. τί δὴ κεῖνοι olim. Mox οἱ om. S. [g] Citat Eustath. Il. p. 359, 37=272, 22. [h] ἤϊσαν F. qui supra Στρυμῶνι. [i] Sic M.P.K.F.b. ταῦτα ἕκ. S.V.a.c.d. Ald. Lexic. Seguier. p. 462, 25. Αὐθέκαστα: Αὐτὰ τὰ γενόμενα, οἷον ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. καὶ Λόγοι αὐθέκαστοι, οἱ σαφεῖς καὶ σύντομοι, ἢ οἱ ἀληθεῖς. Ἡρόδοτος δὲ διαλύων φησὶν Αὐτὰ ἕκαστα, οἷον αὐτὴν τὴν ἀλήθειαν. [k] Sic S.V.P.K. al. ἠρώτα. [l] Sic S.V.A.B. Ald. καὶ om. M.P.K.F.b.

14. [a] Μεγαβάζῳ M.P.K.F.b.

βαζον, τὸν ἔλιπε ἐν τῇ Θρηΐκῃ στρατηγόν· ἐντελλό-
μενος ἐξαναστῆσαι ἐξ ἠθέων Παίονας, καὶ παρ' ἑωυ-
τὸν ἀγαγεῖν καὶ αὐτοὺς καὶ τέκνα [b] τε [c] καὶ γυναῖκας
2 αὐτῶν. αὐτίκα δὲ ἱππεὺς ἔθεε φέρων τὴν ἀγγελίην
ἐπὶ τὸν Ἑλλήσποντον· περαιωθεὶς δὲ, διδοῖ τὸ βι-
βλίον τῷ Μεγαβάζῳ. ὁ δὲ, ἐπιλεξάμενος, καὶ λαβὼν
ἡγεμόνας ἐκ τῆς Θρηΐκης, [d] ἐστρατεύετο ἐπὶ τὴν
15 Παιονίην. Πυθόμενοι δὲ οἱ Παίονες τοὺς Πέρσας
ἐπὶ σφέας ἰέναι, ἁλισθέντες [a] ἐξεστρατεύσαντο πρὸς
θαλάσσης· δοκέοντες ταύτῃ ἐπιχειρήσειν τοὺς Πέρσας
[b] ἐμβάλλοντας. οἱ μὲν δὴ Παίονες ἦσαν ἑτοῖμοι [c] τὸν
2 Μεγαβάζου στρατὸν ἐπιόντα ἐρύκειν. οἱ δὲ Πέρσαι
πυθόμενοι [d] συναλίσθαι τοὺς Παίονας, καὶ τὴν πρὸς
θαλάσσης ἐσβολὴν φυλάσσοντας, ἔχοντες ἡγεμόνας,
τὴν ἄνω ὁδὸν τράπονται· λαθόντες δὲ τοὺς Παίονας,
[e] ἐσπίπτουσι ἐς τὰς πόλιας αὐτῶν, ἐούσας ἀνδρῶν
ἐρήμους· οἷα δὲ [f] κεινῇσι ἐπιπεσόντες, εὐπετέως κα-
3 τέσχον. οἱ δὲ Παίονες ὡς ἐπύθοντο ἐχομένας τὰς
πόλιας, αὐτίκα διασκεδασθέντες, κατ' ἑωυτοὺς ἕκαστοι
ἐτράποντο, καὶ παρεδίδοσαν σφέας [g] αὐτοὺς τοῖσι
4 Πέρσῃσι. Οὕτω δὴ Παιόνων [h] Σιροπαιόνες τε, καὶ 378
Παιόπλαι, καὶ οἱ μέχρι τῆς Πρασιάδος λίμνης, ἐξ
16 ἠθέων ἐξαναστάντες, ἤγοντο ἐς τὴν Ἀσίην. Οἱ δὲ
[a] περὶ τὸ Πάγγαιον οὖρος, καὶ Δόβηρας, καὶ Ἀγρι-
ᾶνας, καὶ [b] Ὀδομάντους, καὶ αὐτὴν τὴν λίμνην τὴν

15 Eorum terram Megabazus cum exercitu ingressus, Siropæones, Pæoplas, eosque, qui ad paludem usque Prasiadem pertinent, astu in deditionem acceptos in Asiam deducit.

16 Qui illius gentis populi libertatem tum

[b] τε om. S. [c] καὶ τὰς γ. P. καὶ τὰ τέκνα τε καὶ τὰς γ. F. qui αὐτῶν pro αὐτέων. Mox ἡγεμόνα S. [d] ἐστρατοπεδεύετο S.V.

15. [a] ἐστρατεύσαντο F. [b] Sic M.P.K.F.b.d. ἐσβαλόντας S.V.A. B. Ald. [c] τοῦ Μεγ. P. [d] Sic M.S P.K.F. Paris. συναλισθέντας olim. [e] ἐπεισπίπτουσι S.V. et mox ἐπεισπεσόντες. Tum αὐτῶν F. pro αὐτέων. [f] κενῇσι S.V. [g] ἑωυτοὺς P.K.F. Ald. αὐτοὺς ἕκαστοι b. [h] Sic S. Valla. Σειροπ. F.a. al.

16. [a] περί τε Π. P.K.F.b. Supra δέ om. S. [b] Ὀδομάντας S. Vall. Supra Ἀγριᾶννας S.

Πρασιάδα, οὐκ ἐχειρώθησαν ἀρχὴν ὑπὸ Μεγαβάζου.
2 ἐπειρήθη δὲ καὶ τοὺς ἐν τῇ λίμνῃ κατοικημένους
ἐξαιρέειν ὧδε. ἰκρία ἐπὶ σταυρῶν ὑψηλῶν ἐζευγμένα
[c] ἐν μέσῃ ἕστηκε τῇ λίμνῃ, ἔσοδον ἐκ τῆς ἠπείρου
3 στεινὴν ἔχοντα μιῇ γεφύρῃ. τοὺς δὲ σταυροὺς [d] τοὺς
ὑπεστεῶτας τοῖσι ἰκρίοισι [e] τὸ μέν κου ἀρχαῖον
4 ἔστησαν κοινῇ πάντες οἱ πολιῆται· μετὰ δὲ, νόμῳ
χρεώμενοι ἱστᾶσι τοιῷδε. κομίζοντες ἐξ οὔρεος, τῷ
οὔνομά ἐστι [f] Ὄρβηλος, κατὰ γυναῖκα ἑκάστην ὁ
γαμέων τρεῖς σταυροὺς ὑπίστησι· ἄγεται δὲ ἕκαστος
5 [g] συχνὰς γυναῖκας. [h] οἰκεῦσι δὲ [i] τοιοῦτον τρόπον·
κρατέων ἕκαστος ἐπὶ τῶν ἰκρίων καλύβης τε ἐν ᾗ
διαιτᾶται, καὶ θύρης καταπακτῆς διὰ τῶν ἰκρίων κάτω
φερούσης ἐς τὴν λίμνην. τὰ δὲ νήπια παιδία δέουσι
τοῦ ποδὸς [k] σπάρτῳ, μὴ [l] κατακυλισθῇ δειμαίνοντες.
6 τοῖσι δὲ ἵπποισι καὶ τοῖσι ὑποζυγίοισι παρέχουσι
χόρτον ἰχθῦς. τῶν δὲ πλῆθός ἐστι τοσοῦτον, ὥστε
ὅταν τὴν θύρην τὴν καταπακτὴν ἀνακλίνῃ, [m] κατίει
[n] σχοίνῳ σπυρίδα [o] κεινὴν ἐς τὴν λίμνην· καὶ οὐ
πολλόν τινα χρόνον ἐπισχὼν, ἀνασπᾷ πλήρεα ἰχθύων.
7 τῶν δὲ ἰχθύων ἐστὶ γένεα δύο, τοὺς καλέουσι πά-
πρακάς τε καὶ τίλωνας. Παιόνων μὲν δὴ οἱ χειρω-
θέντες ἤγοντο ἐς τὴν Ἀσίην.

vindicaverint. Paludem Prasiadem incolentium vitæ ratio. Equi eorum jumentaque piscibus vescuntur, quorum genera duo, papraces et tilones.

17 Μεγάβαζος δὲ ὡς ἐχειρώσατο τοὺς Παίονας, πέμπει ἀγγέλους ἐς Μακεδονίην, ἄνδρας ἑπτὰ Πέρσας, οἳ μετ' αὐτὸν [a] κεῖνον ἦσαν δοκιμώτατοι ἐν τῷ στρατο-

Abductis Pæonibus, Megabazus ad Amyn-

[c] Sic P.S.K.F. Paris. Alii ἔστ. ἐν μ. [d] τούτους ὑπ. S.V. [e] τοῦτο μέν S. [f] Ὄρβιλος F. Ὄρβιλλος a.b.c. [g] Sic P.F.b. πολλὰς S. vulgo. [h] Sic S. οἰκέουσι al. [i] τοῦτον τὸν S.V. [k] σπάρτῃ S. [l] κατακλυσθῇ b. [m] κατήει F. κατιεῖ Schæfer. [n] σχοινίῳ S.V. cf. IV. 154. [o] κένην M.P.K.

17. [a] ἐκεῖνον S.P.F. Mox ἦσαν F.S. pro ἔσαν vulg. Supra Μακεδονίαν S. Tum ἐν τῷ στρατ. δοκιμώτατοι S.

tam Macedoniæ regem mittit, qui aquam terramque petant. Via a palude Prasiade, ad quam argenti fodinæ, in Macedoniam.

2 πέδῳ. ἐπέμποντο [b] δὲ οὗτοι παρ' Ἀμύντην, αἰτήσον-
τες γῆν τε καὶ ὕδωρ [c] Δαρείῳ βασιλέϊ. Ἔστι δὲ
[d] ἐκ τῆς Πρασιάδος λίμνης σύντομος κάρτα ἐς τὴν
3 Μακεδονίην. [e] πρῶτα μὲν γὰρ ἔχεται τῆς λίμνης τὸ 379
μέταλλον, ἐξ οὗ ὕστερον τούτων τάλαντον ἀργυρίου
Ἀλεξάνδρῳ ἡμέρης ἑκάστης ἐφοίτα· μετὰ δὲ τὸ μέ-
ταλλον, Δύσωρον καλεόμενον [f] οὖρος ὑπερβάντα εἶναι
ἐν Μακεδονίῃ.

18

Amyntas Dario se dedit legatosque convivio lautissimo excipit. Qui cum adpoti feminas contra Macedonum morem, facili tamen Amynta, ad cœnam depoposcissent, in easque se petulantius gererent,

Οἱ ὦν Πέρσαι οἱ πεμφθέντες οὗτοι
παρὰ τὸν Ἀμύντην ὡς ἀπίκοντο, αἴτεον, ἐλθόντες ἐς
ὄψιν τὴν Ἀμύντεω, [a] Δαρείῳ βασιλέϊ γῆν τε καὶ
2 ὕδωρ. ὁ δὲ [b] ταῦτά τε ἐδίδου, καί σφεας [c] ἐπὶ ξείνια
[d] καλέει· παρασκευασάμενος δὲ δεῖπνον μεγαλοπρε-
3 πὲς, ἐδέκετο τοὺς Πέρσας φιλοφρόνως. ὡς δὲ ἀπὸ
δείπνου [e] ἐγένοντο, διαπίνοντες εἶπαν οἱ Πέρσαι τάδε·
"Ξεῖνε Μακεδὼν, ἡμῖν νόμος ἐστὶ τοῖσι Πέρσῃσι,
"ἐπεὰν δεῖπνον προτιθώμεθα μέγα, τότε καὶ τὰς
"[f] παλλακὰς καὶ τὰς [g] κουριδίας γυναῖκας ἐσάγεσθαι
4 "παρέδρους. σύ νυν, ἐπείπερ προθύμως μὲν ἐδέξαο,
"μεγάλως δὲ [h] ξεινίζεις, [i] διδοῖς τε βασιλέϊ Δαρείῳ
5 "γῆν τε καὶ ὕδωρ, ἕπεο νόμῳ τῷ ἡμετέρῳ." Εἶπε
πρὸς ταῦτα Ἀμύντης· "Ὦ Πέρσαι, νόμος μὲν ἡμῖν
"γέ ἐστι οὐκ [k] οὗτος, ἀλλὰ κεχωρίσθαι ἄνδρας γυ-
"ναικῶν· ἐπεί τε δὲ ὑμεῖς, ἐόντες δεσπόται, [l] προσ-
6 "χρήζετε τουτέων, παρέσται [m] ὑμῖν καὶ ταῦτα." Εἴ-

[b] δὴ S. [c] τῷ βασιλεῖ Δαρείῳ S. [d] ἐκ τῆς om. S. [e] πρῶτον M. P.K.F. [f] ὄρος S.

18. [a] Δαρείῳ βασιλέϊ om. S. βασιλέϊ om. V. [b] Sic P.S.V.B. Vall. F. τε al. om. [c] Ita Wesselingius in annotationibus, conferens II. 107. IV. 154. VI. 34. Addidit Schweighæuserus IX. 89. et monuit Atticum esse ἐπὶ ξεινίᾳ, Ionicum ἐπὶ ξεινίῃ aut ἐπὶ ξείνια.—ἐπὶ ξεινίᾳ edd. ἐπὶ ξεινία F. ἐπὶ ξεινίας V.S. [d] Sic M.S.P.K.F. Paris. Olim ἐκάλεε. [e] ἐγίνοντο P.K.V.F.a. [f] παλακὰς S.F. [g] κουρίδας F. [h] ἐξείνισας S.V. [i] Sic S.V. διδοῖς δὲ β. Δ. P.K.F.b.c. Δ. δὲ β. διδ. a. Ald. [k] οὕτως S.V.b. [l] προσχίζετε F. [m] ὑμῖν μὲν καὶ τάδε V. μὲν S. pro ὑμῖν.

πας τοσαῦτα ὁ Ἀμύντης [n] μετεπέμπετο τὰς γυναῖκας.
αἱ δ' ἐπεί τε [o] καλεόμεναι ἦλθον, ἐπεξῆς [p] ἀντίαι
7 ἵζοντο τοῖσι Πέρσῃσι. ἐνθαῦτα οἱ Πέρσαι ἰδόμενοι
γυναῖκας εὐμόρφους, ἔλεγον πρὸς Ἀμύντην, φάμενοι
τὸ ποιηθὲν τοῦτο οὐδὲν εἶναι σοφόν· κρέσσον γὰρ
[q] εἶναι ἀρχῆθεν μὴ ἐλθεῖν τὰς γυναῖκας, ἢ ἐλθούσας
καὶ μὴ [r] παριζομένας, [s] ἀντίας ἵζεσθαι [t] ἀλγηδόνας
8 [v] σφι ὀφθαλμῶν. [w] ἀναγκαζόμενος δὲ ὁ Ἀμύντης
ἐκέλευε παρίζειν· πειθομενέων δὲ τῶν γυναικῶν, αὐ-
τίκα οἱ Πέρσαι [x] μαστῶν τε ἅπτοντο, οἷα [y] πλεύνως
19 οἰνωμένοι, καί κου τις καὶ φιλέειν ἐπειρᾶτο. Ἀμύν- 380
της μὲν [a] δὴ ταῦτα ὁρέων ἀτρέμας εἶχε, καί περ δυσ-
2 φορέων, οἷα ὑπερδειμαίνων τοὺς Πέρσας. Ἀλέξαν-
δρος δὲ ὁ Ἀμύντεω παρεών τε καὶ ὁρέων ταῦτα, ἅτε
νέος [b] τε ἐὼν καὶ κακῶν ἀπαθὴς, οὐδαμῶς ἔτι κατέ-
χειν οἷός τε ἦν· ὥστε δὲ βαρέως φέρων, εἶπε πρὸς
3 [c] Ἀμύντεα τάδε· "Σὺ μὲν, [d] ὦ πάτερ, εἶκε τῇ ἡλικίῃ,
"ἀπιών τε ἀναπαύεο, μηδὲ λιπάρεε τῇ πόσει. ἐγὼ
"δὲ προσμένων αὐτοῦ τῇδε, πάντα τὰ ἐπιτήδεα πα-
4 "ρέξω τοῖσι ξείνοισι." Πρὸς ταῦτα [e] συνιεὶς [f] ὁ
Ἀμύντης ὅτι νεώτερα πρήγματα [g] πρήξειν μέλλει
Ἀλέξανδρος, λέγει· "[h] Ὦ παῖ, σχεδὸν γάρ σευ [i] ἀνα-
"καιομένου συνίημι τοὺς λόγους, ὅτι ἐθέλεις ἐμὲ

Alexander Amyntæ filius, impatiens contumeliæ,

[n] μετεπέμψατο S.V. Schæfer. [o] κελευόμεναι S. Vall. [p] Sic S.P. V.K. cf. VI. 77. IX. 26. Eurip. Orest. 1479. ἀντία F. et al. ἀντίον d. Mox ἰδόμενοι οἱ Πέρσαι S. [q] εἶναι om. F. [r] παρεζομ. P.F.b. [s] ἀντία S.V. probante Valckenærio. [t] ἀλγηδόνα S. cf. Longinus De Subl. 4. Eustath. Il. p. 433, 29=329, 22. [v] σφίσιν F.b. [w] ἀναγκαζομένῳ P. Mox πειθομένων S. [x] μασθῶν b. [y] πλεόνως S.V.P.a.c.

19. [a] δὴ om. F. [b] τε om. S.V. Tum ὢν S. [c] Sic S.V. Ἀμύντην F. et vulg. [d] ὦ πάτερ, σὺ μὲν P.K.F. [e] συνιεὶς A.B.F. συνεὶς olim cum S. cf. I. 205. [f] Sic S.V. ὁ al. om. [g] πρήσσειν K.F.b. Tum μέλλει F.a. pro μέλλοι. Porro ὁ Ἀλεξ. F. vulgo om. ὁ. [h] ὦ παῖ om. S.V. [i] ἀναγομένου absque σευ S. hinc *me summoventis* Valla. σευ deesse credo et V.

5 “ ἐκπέμψας ποιέειν τι νεώτερον· ἐγὼ ὦν σευ χρηΐζω
“ μηδὲν νεοχμῶσαι [k] κατ' ἄνδρας τούτους, ἵνα μὴ
“ ἐξεργάσῃ ἡμέας· ἀλλὰ [l] ἀνέχευ ὁρέων τὰ ποιεύμενα·
20 “ ἀμφὶ δὲ ἀπόδῳ τῇ ἐμῇ πείσομαί [m] τοι.” Ὡς δὲ
[a] ὁ Ἀμύντης [b] χρήσας τούτων οἰχώκεε, [c] λέγει ὁ Ἀλέ-
ξανδρος πρὸς τοὺς Πέρσας· “ Γυναικῶν τουτέων, ὦ
“ ξεῖνοι, [d] πολλή ἐστι ὑμῖν εὐπετείη, καὶ εἰ [e] πάσῃσι
“ βούλεσθε μίσγεσθαι, καὶ ὁκόσῃσι ὦν αὐτέων· τού-
2 “ του μὲν πέρι αὐτοὶ [f] ἀποσημανέετε. νῦν δὲ, σχεδὸν
“ γὰρ ἤδη τῆς κοίτης ὥρη προσέρχεται ὑμῖν, καὶ
“ καλῶς ἔχοντας ὑμέας ὁρέω μέθης, γυναῖκας ταύτας,
“ εἰ ὑμῖν φίλον ἐστὶ, ἄφετε λούσασθαι· λουσαμένας
3 “ δὲ, ὀπίσω [g] προσδέκεσθε.” Εἴπας ταῦτα, [h] συνέ-
παινοι γὰρ [i] ἦσαν οἱ Πέρσαι, γυναῖκας μὲν ἐξελθού-
σας ἀπέπεμπε ἐς τὴν γυναικηΐην· αὐτὸς δὲ ὁ Ἀλέ-
ξανδρος ἴσους [k] τῇσι γυναιξὶ ἀριθμὸν ἄνδρας λειογε-
νείους τῇ τῶν γυναικῶν ἐσθῆτι [l] σκευάσας, καὶ ἐγχει-
4 ρίδια δοὺς, [m] παρῆγε ἔσω. παράγων δὲ τούτους, ἔλεγε
τοῖσι Πέρσῃσι τάδε· “ Ὦ Πέρσαι, οἴκατε πανδαισίῃ
“ [n] τελέῃ [o] εἱστιῆσθαι. τά τε γὰρ ἄλλα, ὅσα εἴχομεν,
“ καὶ πρὸς, τὰ [p] οἷά τε ἦν ἐξευρόντας παρέχειν, πάντα
5 “ ὑμῖν πάρεστι. καὶ δὴ καὶ τόδε, [q] τὸ πάντων μέ-
“ γιστον, τάς τε ἑωυτῶν μητέρας καὶ τὰς ἀδελφεὰς

patre summoto, illos per dolum confodit.

[k] Sic M.K.P.V.S.F. Paris. Olim πρὸς ἄ. [l] ἀνάχευ S. ubi mox ἀμφὶ δὲ ἀπόδῳ. [m] τοι om. S.V.

20. [a] Sic K.F. ὁ om. S. al. [b] χρήσας τοῦτον b. [c] Sic M.K.P.F. Alii ἔλεγεν cum S. [d] Sic M.K.P. Paris. π. ἐ. ἐν ὑ. vulg. πολλὴ ἐν ὑμῖν absque ἐστι S.V. ἔστι ὑμῖν πολλὴ F. [e] ἁπάσῃσι S.V. qui μίγνυσθαι pro μίσγεσθαι. Tum ὦν om. S. [f] ἀποσημάνετε S.V. [g] προσδέκεσθαι F. [h] συνέπαινοι Suid. in v. [i] ἔσαν] ἦσαν F.S. Mox ἐσελθούσας S. [k] ἀριθμὸν τῇσι γυν. S. [l] διασκευάσας duo mss. Vulg. ex I. 50. V. 12. defendit Wesseling. [m] Sic S.V. Paris. Ald. ἦγε M.P. K.F.b. Tum ἔσω a.c. alii εἴσω cum S. [n] τελείῃ S.V. [o] ἡστιῆσθαι M.K.F. ἑστιῆσθαι S. ἱστιῆσθαι Bekker. [p] οἷόν τε S.V. [q] τὸ om. K.S.V. Mox τε om. S.

" [r] ἐπιδαψιλευόμεθα ὑμῖν· ὡς παντελέως μάθητε τι-
" μεώμενοι πρὸς ἡμέων τῶν πέρ ἐστε ἄξιοι, πρὸς δὲ
" καὶ βασιλέϊ τῷ πέμψαντι ἀπαγγείλητε, ὡς ἀνὴρ 381
" Ἕλλην, [s] Μακεδόνων ὕπαρχος, εὖ ὑμέας ἐδέξατο
6 " καὶ τραπέζῃ καὶ κοίτῃ." Ταῦτα εἴπας Ἀλέξανδρος,
παρίζει Πέρσῃ ἀνδρὶ ἄνδρα Μακεδόνα, ὡς γυναῖκα
τῷ λόγῳ. οἱ δὲ, ἐπεί τέ σφεων οἱ Πέρσαι ψαύειν
21 ἐπειρῶντο, διεργάζοντο αὐτούς. Καὶ οὗτοι μὲν τού-
τῳ τῷ μόρῳ διεφθάρησαν, καὶ αὐτοὶ καὶ ἡ θεραπηΐη
αὐτῶν· εἵπετο γὰρ δή σφι καὶ ὀχήματα, καὶ θερά-
ποντες, καὶ ἡ πᾶσα πολλὴ παρασκευή· πάντα δὴ
2 ταῦτα, ἅμα [a] πᾶσι κείνοισι [b] ἠφάνιστο. Μετὰ δὲ,
χρόνῳ οὐ πολλῷ ὕστερον, ζήτησις τῶν ἀνδρῶν τού-
των μεγάλη ἐκ τῶν Περσέων [c] ἐγίνετο· καί σφεας
Ἀλέξανδρος [d] κατέλαβε σοφίῃ, χρήματά τε δοὺς πολ-
λὰ, καὶ τὴν ἑωυτοῦ ἀδελφεὴν, τῇ οὔνομα ἦν Γυγαίη·
δοὺς δὲ [e] ταῦτα κατέλαβε ὁ Ἀλέξανδρος Βουβάρῃ,
ἀνδρὶ Πέρσῃ, τῶν [f] διζημένων τοὺς ἀπολομένους [g] τῷ
3 στρατηγῷ. ὁ μέν νυν τῶν Περσέων τούτων θάνατος
22 οὕτω καταλαμφθεὶς ἐσιγήθη. [a] Ἕλληνας δὲ εἶναι
τούτους τοὺς ἀπὸ Περδίκκεω γεγονότας, κατάπερ αὐ-
τοὶ λέγουσι, αὐτός τε οὕτω τυγχάνω ἐπιστάμενος,
καὶ δὴ [b] καὶ ἐν τοῖσι ὄπισθε λόγοισι ἀποδέξω ὡς

Cujus cædis auctores Persis quærentibus, Alexander multis muneribus Bubaræ datis ac Gygæa sorore eidem desponsata [8, 136.] inultus evadit.

Macedonum reges Græcæ stirpis Argivæque prosapiæ.

[r] Sic Ald. S.V. Paris. Suid. ἐπιδαψιλεύμεθα M.P.K.F. Suid. ms. ἐπιδαψιλεύομεν d. ἐπιδαψιλευσάμεθα Zonaras in Lex. Vid. Hemsterhus. ad Lucian. Dial. Mort. XXX. p. 452. [s] Sic S.V.a.c.d. Μακεδὼν Ald. b. Μακεδῶν F.

21. [a] πᾶσι om. M.K.P.F. In pr. θεραπείη αὐτέων S. qui hic πᾶσιν ἐκείνοισιν. [b] ἠφανίζετο P.K.F.b. Mox τούτων cum F. pro τουτέων, et sic infra. [c] Sic S.V.K.P.a. ἐγένετο alii. ἐγένετο F. Περσέων om. S. [d] Suidas in Κατέλ. qui interpretatur ἐπέλαβε, ἐπέσχε τῆς ὁρμῆς. [e] ταύτην S.V. [f] διζομένων b. [g] Ita Schæferus e Valckenærii emend. τῶν στρατηγῶν vulgo.

22. [a] Sic F. Vulgo Ἕ. δὲ τούτους εἶναι τ. τοὺς om. S.V. [b] καὶ om. S.V.

εἰσι Ἕλληνες· πρὸς δὲ, καὶ οἱ τὸν [c] ἐν Ὀλυμπίῃ διέποντες ἀγῶνα [d] Ἑλλήνων οὕτω ἔγνωσαν εἶναι.
2 [e] Ἀλεξάνδρου γὰρ ἀεθλεύειν ἑλομένου, καὶ καταβάντος ἐπ' αὐτὸ τοῦτο, οἱ ἀντιθευσόμενοι Ἑλλή- 382
νων ἐξεῖργόν μιν, [f] φάμενοι οὐ βαρβάρων [g] ἀγω-
3 νιστέων εἶναι τὸν ἀγῶνα, ἀλλὰ Ἑλλήνων. [h] Ἀλέξανδρος δὲ, ἐπειδὴ ἀπέδεξε ὡς εἴη Ἀργεῖος, [i] ἐκρίθη τε εἶναι Ἕλλην, καὶ ἀγωνιζόμενος στάδιον συνεξέπιπτε τῷ πρώτῳ. ταῦτα μέν νυν οὕτω κῃ ἐγένετο.

23 Megabazus cum Pæones Sardes duxisset, Myrcinum Histiæo incaute traditam [c. 11.] docens, suadet Dario, ut donum illi auferat.

Μεγάβαζος δὲ ἄγων τοὺς Παίονας ἀπίκετο [a] ἐπὶ τὸν Ἑλλήσποντον· [b] ἐνθεῦτεν δὲ διαπεραιωθεὶς, ἀπί-
2 κετο [c] ἐς Σάρδις. [d] ἅτε δὲ τειχέοντος ἤδη Ἱστιαίου τοῦ Μιλησίου τὴν παρὰ Δαρείου αἰτήσας ἔτυχε [e] μισθὸν δωρεὴν φυλακῆς τῆς σχεδίης· ἐόντος δὲ τοῦ χώρου τούτου παρὰ Στρυμόνα ποταμὸν, τῷ οὔνομά ἐστι [f] Μύρκινος· [g] μαθὼν ὁ Μεγάβαζος τὸ ποιεύμενον ἐκ τοῦ Ἱστιαίου, ὡς ἦλθε τάχιστα ἐς τὰς Σάρ-
3 δις ἄγων τοὺς Παίονας, ἔλεγε Δαρείῳ τάδε· "Ὦ "βασιλεῦ, [h] κοῖόν τι χρῆμα ἐποίησας, ἀνδρὶ Ἕλληνι "δεινῷ τε καὶ σοφῷ δοὺς [i] ἐγκτήσασθαι πόλιν ἐν "Θρηΐκῃ; [k] ἵνα ἴδη τε ναυπηγήσιμός ἐστι ἄφθονος, 383
"καὶ πολλοὶ κωπέες, καὶ [l] μέταλλα ἀργύρεα· ὅμιλός

[c] ἐν om. M.K.P.F. Præpositionem coll. II. 160. VIII. 134. defendit Wesseling. [d] Sic S.V. Eton. Vall. Ἑλληνοδίκαι Ald. M.F.a.d. quod scholion esse monent Wesseling. et Valckenær. [e] βουλομένου γὰρ Ἀλεξάνδρου ἀεθλεύειν P.K.F.b. [f] φάμενοι om. S. [g] Sic V.F. a.c. ἀγωνιστέον S. vulgo. [h] ὁ μὲν δὴ Ἀλέξανδρος S.V. [i] ἐκρίθη Ἕλλην εἶναι S.V. Mox ἀγωνισάμενος S.

23. [a] ἐς τὸν S.V. [b] Sic S.V. καὶ ἐνθ. Ald. c. al. nec καὶ nec δὲ habent M.K.P.F. [c] ἐς τὰς Σ. F.a. [d] ἅτε δὴ F. [e] μισθὸν uncinis circumdedit Schæfer. [f] Μύρκιος S. Μύρκιννος F. cf. 11. 124. Mox Στρυμῶνα F. [g] Sic S.P.F. μαθὼν δὲ vulgo. [h] Sic M.K.P.F.a.b.c. οἷον S.d. et al. [i] Sic S.V.a.c. ἐγκτίσασθαι al. [k] ἵνα τε ναυπηγήσιμός ἐστιν ἴδη S. [l] μεγάλα ἀργύρια S.V. Vall.

“ τε πολλὸς μὲν Ἕλλην περιοικέει, πολλὸς δὲ βάρβα-
“ ρος· οἳ προστάτεω ἐπιλαβόμενοι, ποιήσουσι τοῦτο
“ τὸ ἂν [m] κεῖνος [n] ἐξηγέηται καὶ ἡμέρης καὶ νυκτός.
4 “ [o] Σύ νυν τοῦτον τὸν ἄνδρα παῦσον ταῦτα ποιεῦν-
“ τα, ἵνα μὴ οἰκηΐῳ πολέμῳ [p] συνέχηαι· τρόπῳ δὲ
5 “ ἠπίῳ μεταπεμψάμενος, παῦσον. ἐπεὰν δὲ αὐτὸν πε-
“ ριλάβῃς, ποιέειν ὅκως μηκέτι κεῖνος ἐς Ἕλληνας
24 “ [q] ἀπίξεται.” Ταῦτα λέγων ὁ Μεγάβαζος, εὐπετέως
ἔπειθε [a] Δαρεῖον, ὡς εὖ προορέων τὸ μέλλον γίνεσθαι.
μετὰ δὲ, [b] ἄγγελον πέμψας ὁ Δαρεῖος ἐς τὴν Μύρ-
2 κινον, ἔλεγε τάδε· “ Ἱστιαῖε, βασιλεὺς Δαρεῖος τάδε
“ λέγει· Ἐγὼ φροντίζων εὑρίσκω ἐμοί τε καὶ τοῖσι
“ ἐμοῖσι πρήγμασι [c] οὐδένα εἶναι σεῦ ἄνδρα εὐνοέστε-
“ ρον· τοῦτο δὲ οὐ λόγοισι, ἀλλ’ ἔργοισι οἶδα μαθών.
3 “ νῦν ὦν, ἐπινοέω γὰρ πρήγματα μεγάλα κατεργά-
“ σασθαι, [d] ἀπικνέο μοι πάντως, ἵνα τοι αὐτὰ ὑπερ-
4 “ θέωμαι.” Τούτοισι τοῖσι ἔπεσι πιστεύσας ὁ Ἱστι-
αῖος, καὶ ἅμα μέγα ποιεύμενος [e] βασιλέος σύμβουλος
γενέσθαι, ἀπίκετο [f] ἐς τὰς Σάρδις. ἀπικομένῳ [g] δέ οἱ
ἔλεγε Δαρεῖος τάδε· “ Ἱστιαῖε, ἐγώ σε μετεπεμψά-
5 “ μην τῶνδε [h] εἵνεκεν· ἐπεί τε τάχιστα ἐνόστησα
“ ἀπὸ Σκυθέων, καὶ σύ μοι ἐγένεο ἐξ ὀφθαλμῶν,
“ οὐδέν κω ἄλλο [i] χρῆμα οὕτω ἐν βραχέϊ ἐπεζήτησα
“ ὡς σὲ ἰδέειν τε καὶ ἐς [k] λόγους μοι ἀπικέσθαι·
“ ἐγνωκὼς ὅτι κτημάτων πάντων ἐστὶ τιμιώτατον

Quo consilio utens rex, Histiæum Myrcinum jam condentem astute primum Sardes arcessit, post secum Susa abducit.

[m] Sic F. et forte al. Vulgo ἐκεῖνος cum S. [n] ἐξηγέεται S.V.K. [o] Sic S.P.K.V.F.a.c. cf. I. 209. σὺ νῦν b. σὺ τοίνυν al. Tum τὸν ἄνδρα τοῦτον S. [p] συνέχεαι F.S. [q] Sic P.S.K.F. ἀπίξηται vulg.

24. [a] τὸν Δ. V.S. Tum προορῶν S. [b] πέμψας ἄγγελον ἐς τὴν Μύρκ. ὁ Δαρ. F.P.K. [c] εἶναι οὐδένα σεῦ F. Supra πράγμασιν S. [d] ἀπίκεο P.F.b. [e] βασιλῆος] βασιλέως F. [f] ἐς τὰς Σάρδις S.V.P.F. Paris. τὰς al. om. [g] δέ γε ἔλεγε S. δὲ ἔλεγε P.F. [h] εἵνεκα F. [i] πρῆγμα S.V. [k] λόγους μου F.

"ἀνὴρ φίλος συνετός [1] τε καὶ εὔνοος· τά τοι ἐγὼ καὶ "ἀμφότερα συνειδὼς ἔχω μαρτυρέειν ἐς πρήγματα
6 "τὰ ἐμά. νῦν ὦν, εὖ γὰρ ἐποίησας ἀπικόμενος, τάδε "τοι ἐγὼ προτείνομαι. Μίλητον μὲν ἔα, καὶ τὴν "νεόκτιστον ἐν Θρηΐκῃ πόλιν· σὺ δ' ἐμοὶ ἑπόμενος "ἐς Σοῦσα, ἔχε τάπερ ἂν ἐγὼ ἔχω, ἐμός τε σύσσιτος "ἐὼν καὶ σύμβουλος."

25 Artapherne Hystaspis Sardibus, copiis maritimis in Megabazi locum [c. 26.] Otane præfecto, cujus patrem Sisamnen Cambyses olim propter litem injuste judicatam necaverat deglupseratque.

Ταῦτα Δαρεῖος εἴπας, καὶ [a] καταστήσας [b] Ἀρταφέρνεα, ἀδελφεὸν ἑωυτοῦ ὁμοπάτριον, ὕπαρχον εἶναι Σαρδίων, ἀπήλαυνε ἐς Σοῦσα, ἅμα ἀγόμενος Ἱστιαῖον· Ὀτάνεα δὲ ἀποδέξας [c] στρατηγὸν εἶναι τῶν παραθαλασσίων [d] ἀνδρῶν, τοῦ τὸν πατέρα [e] Σισάμνην βασιλεὺς Καμβύσης, γενόμενον τῶν βασιληΐων δικαστέων, ὅτι ἐπὶ χρήμασι δίκην 384
ἄδικον ἐδίκασε, σφάξας, ἀπέδειρε πᾶσαν τὴν [f] ἀνθρωπηΐην· σπαδίξας δὲ αὐτοῦ τὸ δέρμα, ἱμάντας ἐξ αὐτοῦ ἔταμε, καὶ ἐνέτεινε τὸν θρόνον ἐς τὸν [g] ἵζων [h] ἐδίκαζε· [i] ἐντανύσας δὲ ὁ Καμβύσης ἀπέδεξε δικαστὴν εἶναι ἀντὶ τοῦ Σισάμνεω, τὸν ἀποκτείνας ἀπέδειρε, τὸν παῖδα τοῦ Σισάμνεω, εντειλάμενός οἱ μεμνῆσθαι ἐν τῷ κατίζων θρόνῳ δικάζει.

26 Otanes Byzantium, Calchedonem, Antandrum, Lamponi-

Οὗτος ὦν ὁ Ὀτάνης ὁ ἐγκατιζόμενος ἐς τοῦτον τὸν θρόνον, τότε διάδοχος γενόμενος Μεγαβάζῳ τῆς στρατηγίης, [a] Βυζαντίους τε εἷλε καὶ [b] Καλχηδονίους· εἷλε δὲ Ἄντανδρον, [c] τὴν

[1] τε καὶ om. S.V. qui mox τά τε pro τά τοι.

25. [a] Sic S.V.P.K.F. cf. infra 94. VII. 105. καταστησάμενος c.d. Ald. [b] Ἀρταφρένεα K.P. Vall. F. cum vulg. consentit S. Mox εἶναι ὕπαρχον S. [c] εἶναι στρατηγὸν P.F. [d] ἀνδρῶν om. duo codd. Infra VII. 135. στρατηγὸς τῶν παραθαλασσίων ἀνθρώπων. [e] Σισάμην F. et mox Σισάμεω. [f] ἀνθρωπῆην Pollux II. 5. ἀνθρωπείην Eustath. Il. p. 374, 35=283, 37. Mox ἔτεινε pro ἔταμε Ald. [g] προκατίζων Priscian. XVIII. p. 1174. 1178. quod legitur supra I. 14. [h] ἐκάθιζε duo codd. apud Wess. [i] ἐνταννύσας S.

26. [a] Βιζαντιείους S.V. Supra ὁ om. S. ante ἐγκατιζόμενος [b] Χαλκηδ. b. [c] τὴν ἐν om. b.

ἐν τῇ Τρωάδι γῇ· εἷλε δὲ Λαμπώνιον· λαβὼν δὲ
παρὰ Λεσβίων νέας, εἷλε Λῆμνόν τε καὶ Ἴμβρον, ἀμ-
27 φοτέρας ἔτι τότε [d] ὑπὸ Πελασγῶν οἰκεομένας. (Οἱ
μὲν δὴ Λήμνιοι καὶ ἐμαχέσαντο [a] εὖ, καὶ ἀμυνόμενοι
2 ἀνὰ χρόνον ἐκακώθησαν. τοῖσι δὲ περιεοῦσι αὐτῶν
οἱ Πέρσαι ὕπαρχον ἐπιστᾶσι Λυκάρητον, τὸν Μαιαν-
δρίου τοῦ βασιλεύσαντος Σάμου ἀδελφεόν. οὗτος ὁ
3 Λυκάρητος ἄρχων ἐν Λήμνῳ, τελευτᾷ.) [b] Αἰτίη δὲ
τούτου ἥδε· πάντας ἠνδραποδίζετο καὶ κατεστρέφετο·
τοὺς μὲν, [c] λιποστρατίης ἐπὶ Σκύθας αἰτιώμενος, τοὺς
δὲ, σίνεσθαι [d] τὸν Δαρείου στρατὸν [e] ἀπὸ Σκυθέων
ὀπίσω ἀποκομιζόμενον. [f] οὗτος μέν νυν τοσαῦτα ἐξερ-
γάσατο στρατηγήσας.

28 Μετὰ δὲ, οὐ πολλὸν χρόνον * ἄνεσις κακῶν ἦν,
καὶ ἤρχετο τὸ δεύτερον ἐκ Νάξου τε καὶ Μιλήτου
2 Ἴωσι γίνεσθαι κακά. τοῦτο μὲν γὰρ, [a] ἡ Νάξος [b] εὐ-
δαιμονίῃ τῶν νήσων προέφερε· τοῦτο δὲ, κατὰ τὸν
[c] αὐτὸν χρόνον ἡ Μίλητος αὐτή τε ἑωυτῆς μάλιστα
δὴ τότε ἀκμάσασα, καὶ δὴ καὶ τῆς Ἰωνίης ἦν πρό-
σχημα· κατύπερθε δὲ τούτων, ἐπὶ δύο γενεὰς ἀνδρῶν
νοσήσασα ἐς τὰ μάλιστα [d] στάσι, μέχρι οὗ μιν
3 Πάριοι [e] κατήρτισαν. [f] τούτους γὰρ καταρτιστῆρας ἐκ

um, navibusque Lesbiorum utens Lemnum atque Imbrum, utramque tum Pelasgorum sedem occupat. Lemniis Lycaretus, Mæandrii reguli Samiorum frater, [3, 142. 143.] præficitur. Otanes cur illas civitates subegerit.

Naxi ac Mileti illo tempore [circiter a. 506.] status florentissimus. Superioribus ætatibus Milesii seditione mi- 385 sere vexati, donec Parii, ab ipsis arbitri delecti, turbas componerent.

[d] Respexit Eustath. Dionys. 347. cf. VI. 138.

27. [a] εὖ om. S.V. αὐτῶν mox ex F. pro αὐτέων. Mox Σάμων S. [b] Quæ sequuntur haud dubie ad Otanem, non ad Lycaretum spectant. Equidem, quo utcunque curarem difficilem locum, omnia ab initio hujus capitis, usque ad verbum τελευτᾷ parentheseos signis circumdedi: ac videntur ista, ut plurima alia in his historiis, reliquis jam scriptis ab auctore deinde adjecta. SCHWEIGH. cf. Valckenær. [c] λιποστρατιῇ S. λιποστρατίης F. λειποστ. al. [d] τοῦ Δαρ. στ. P. [e] Sic P.F.b. Schæfer. τὸν ἀπὸ Σκ. vulgo. [f] οὗτος δὲ τοσαῦτα M.K. P.F.b.

28. * Ἄνεσις e Reiskii conj. Vulgo alii omnes ἄνεως vel ἄνεος. SCHWEIGH. [a] ἦν ἄξιος P. ἦν νάξος S. [b] εὐδαιμονίην S. [c] αὐτὸν om. S. Tum τούτων F. pro τουτέων. [d] Sic F. Vulgo στάσει. [e] Sic P.K.F. Paris. cf. c. 29. 106. Eusebium Stobæi 1, 85=p. 20, 50.

29 [g] πάντων Ἑλλήνων εἵλοντο οἱ Μιλήσιοι. Κατήλ-
λαξαν δέ σφεας ὧδε [a] οἱ Πάριοι. ὡς ἀπίκοντο αὐτῶν
ἄνδρες [b] οἱ ἄριστοι [c] ἐς τὴν Μίλητον, [d] ὥρεον γὰρ δή
σφεας δεινῶς οἰκοφθορημένους, ἔφασαν [e] αὐτῶν βού-
2 λεσθαι διεξελθεῖν τὴν χώρην. ποιεῦντες δὲ ταῦτα,
καὶ [f] διεξιόντες πᾶσαν τὴν Μιλησίην, ὅκως τινὰ ἴδοιεν
[g] ἐν ἀνεστηκυίῃ τῇ χώρῃ ἀγρὸν εὖ ἐξεργασμένον,
ἀπεγραφέατο τὸ οὔνομα [h] τοῦ δεσπότεω τοῦ ἀγροῦ.
3 διεξελάσαντες δὲ πᾶσαν τὴν χώρην, καὶ σπανίους
εὑρόντες τούτους, ὡς τάχιστα κατέβησαν ἐς τὸ ἄστυ,
ἁλίην ποιησάμενοι, ἀπέδεξαν τούτους μὲν τὴν πόλιν
νέμειν, τῶν εὗρον τοὺς ἀγροὺς εὖ ἐξεργασμένους· δο-
κέειν γὰρ ἔφασαν καὶ τῶν δημοσίων οὕτω δή σφεας
4 ἐπιμελήσεσθαι [i] ὥσπερ τῶν σφετέρων. τοὺς δὲ ἄλ-
λους Μιλησίους, τοὺς πρὶν στασιάζοντας, [k] τούτων
ἔταξαν πείθεσθαι. Πάριοι μέν νυν [l] οὕτω Μιλησίους
κατήρτισαν.

Id quomodo Parii effectum dederint.

30 Τότε δὲ ἐκ τουτέων τῶν πολίων ὧδε
[a] ἤρχετο κακὰ γίνεσθαι τῇ Ἰωνίῃ. Ἐκ Νάξου ἔφυ-
γον ἄνδρες τῶν [b] παχέων ὑπὸ τοῦ δήμου· φυγόντες
2 δὲ ἀπίκοντο ἐς Μίλητον. τῆς δὲ Μιλήτου ἐτύγχανε
ἐπίτροπος ἐὼν Ἀρισταγόρης ὁ Μολπαγόρεω, γαμ-
βρός τε ἐὼν καὶ ἀνεψιὸς Ἱστιαίου τοῦ Λυσαγό-
3 ρεω, τὸν [c] ὁ Δαρεῖος ἐν Σούσοισι κατεῖχε. ὁ γὰρ

Dum Histiæus Susis commoratur, Naxi exules, ut Milesiorum opera reditum sibi in patriam pararent, Aristagoram Mileti pro-

advocant Wesseling. et Valcken. Sed ibi ms. unicus præbet καταρτύοιμι. κατηρτίσαντο al. [f] τούτους δὲ F. [g] Sic S.V.P.F. πάντων τῶν Ἑ. vulgo. ἐκ om. Bekker.

29. [a] Sic S. οἱ al. om. Tum αὐτῶν F.S. pro αὐτέων. [b] Sic P.K.F. οἱ vulgo om. cum S. [c] ἐς τὴν Μίλητον om. c.d. [d] ὥρεων F. ὥρων S. Mox δὴ om. S.V. [e] αὐτέων] αὐτ' F. i.e. αὐτὸν, non αὐτοὶ ut Schweighæuserus. [f] διεξελθόντες S.V. Tum τὴν Μιλησίην πᾶσαν S. [g] ἐν om. mss. et edd. ante Schæfer. qui intulit e Reiskii et Abreschii conjectura Wesselingio probata. [h] τοῦ om. S. [i] Sic M.P.K.V.S.F. Paris. ὥσπερ καὶ τ. Ald. [k] Sic S.V.K.P.F.b. Schæfer. cf. 33. τούτοις al. [l] Μιλ. οὕτω P.K.F.

30. [a] ἤρχοντο b. [b] Hinc παχεῖς Suid. et Pollux. [c] ὁ om. P.K.F.

Ἱστιαῖος τύραννος ἦν [d] Μιλήτου, καὶ ἐτύγχανε τοῦτον
τὸν χρόνον ἐὼν ἐν Σούσοισι, ὅτε οἱ Νάξιοι ἦλθον,
4 ξεῖνοι πρὶν ἐόντες τῷ Ἱστιαίῳ. ἀπικόμενοι δὲ οἱ Νά-
ξιοι ἐς τὴν Μίλητον, ἐδέοντο τοῦ Ἀρισταγόρεω, εἴ
κως αὐτοῖσι παράσχοι δύναμίν τινα, καὶ [e] κατέλθοιεν
5 ἐς τὴν ἑωυτῶν. ὁ δὲ, [f] ἐπιλεξάμενος ὡς ἢν [g] δι'
ἑωυτοῦ κατέλθωσι ἐς τὴν πόλιν ἄρξει τῆς Νάξου,
σκῆψιν δὲ ποιεύμενος τὴν ξεινίην [h] τὴν Ἱστιαίου,
6 τόνδε σφι [i] λόγον [k] προσέφερε· "[l] Αὐτὸς μὲν ὑμῖν οὐ
"φερέγγυός εἰμι δύναμιν τοσαύτην παρασχεῖν, ὥστε
"κατάγειν ἀεκόντων τῶν τὴν πόλιν ἐχόντων Ναξίων·
"πυθάνομαι γὰρ ὀκτακισχιλίην ἀσπίδα Ναξίοισι
"εἶναι, καὶ πλοῖα μακρὰ πολλά. μηχανήσομαι δὲ, 386
7 "πᾶσαν σπουδὴν ποιεύμενος· ἐπινοέω δὲ τῇδε. [m] Ἀρ-
"ταφέρνης μοι τυγχάνει ἐὼν φίλος· [n] ὁ δὲ, [o] Ὑστά-
"σπεω μέν ἐστι παῖς, Δαρείου δὲ τοῦ βασιλέος ἀδελ-
"φεὸς, τῶν δ' ἐπιθαλασσίων τῶν ἐν τῇ Ἀσίῃ ἄρχει
"πάντων, ἔχων στρατιήν τε πολλὴν καὶ πολλὰς
"νέας. τοῦτον ὦν δοκέω τὸν ἄνδρα ποιήσειν τῶν ἂν
8 "χρηΐζωμεν." Ταῦτα ἀκούσαντες οἱ Νάξιοι, [p] προσ-
έθεσαν τῷ Ἀρισταγόρῃ πρήσσειν ᾗ δύναιτο ἄριστα·
καὶ [q] ὑπίσχεσθαι δῶρα ἐκέλευον, καὶ δαπάνην τῇ
στρατιῇ, ὡς αὐτοὶ διαλύσοντες· ἐλπίδας πολλὰς ἔχον-
τες, ὅταν ἐπιφανέωσι ἐς τὴν Νάξον, πάντα ποιήσειν
τοὺς Ναξίους τὰ ἂν αὐτοὶ κελεύωσι, ὡς δὲ καὶ τοὺς

curatorem auxilia rogantes, cum is suis solius viribus parum fideret, Artaphernis [c. 25.] opem exposcere jubentur. Quod negotium Aristagoras sibimet ipsi imponi passus.

[d] τῆς M. S.V. [e] κατέλθῃ b. [f] Citat Suid. in v. [g] δι' αὐτοῦ F. [h] τοῦ Ἱστ. S. artic. om. P.F. [i] τὸν λόγον F. [k] προέφερε S. [l] Citat Suid. in Φερέγγυος. [m] Ἀρταφρένης F.c. cum vulg. consentit S. [n] Sic duo codd. ap. Wessel. Vulgo cum S. ὁ δὲ Ἀρταφέρνης Ὑστ. In. F.b. ὁ δὲ Ἀρταφ. ὑμῖν Ὑστ. [o] Ὑστάσπεω S.V. cf. III. 70. Vulgo Ὑστάσπεος. Mox δαρείου δὲ ἀδελφεὸς τοῦ βασιλῆος S. qui infra στρατιὴν πολλήν τε. [p] Sic M.P.S.K.V.F. Paris. προσέθεντο Ald. cf. I. 108. III. 62. [q] ὑποσχέσθαι S.

9 ἄλλους νησιώτας. τῶν γὰρ νήσων τουτέων τῶν
Κυκλάδων [r] οὐδεμία κω ἦν ὑπὸ Δαρείῳ.

31 Artapherni persuadet, ut exulum causam agens, Naxum cæterasque Cyclades ditioni Persarum adjungere studeat.

Ἀπικόμενος δὲ ὁ Ἀρισταγόρης ἐς τὰς Σάρδις,
λέγει πρὸς τὸν Ἀρταφέρνεα, ὡς Νάξος εἴη [a] νῆσος
μεγάθεϊ μὲν οὐ μεγάλη, ἄλλως δὲ καλή τε καὶ ἀγαθὴ,
καὶ ἀγχοῦ Ἰωνίης· χρήματα [b] δὲ ἔνι πολλὰ, καὶ ἀν-
2 δράποδα. "Σὺ ὦν ἐπὶ ταύτην τὴν χώρην στρατη-
"λάτεε, κατάγων ἐς αὐτὴν τοὺς φυγάδας [c] ἐξ αὐτῆς.
"καὶ τοὶ ταῦτα ποιήσαντι, τοῦτο μέν ἐστι ἑτοῖμα
"παρ' ἐμοὶ [d] χρήματα μεγάλα πάρεξ τῶν ἀναισιμω-
"μάτων τῇ στρατιῇ· ταῦτα μὲν γὰρ [e] δίκαια ἡμέας
"τοὺς ἄγοντας [f] παρέχειν· τοῦτο δὲ, νήσους [g] προσ-
"κτήσεαι βασιλέϊ, [h] αὐτήν τε Νάξον, καὶ τὰς ἐκ ταύ-
"της ἠρτημένας, Πάρον [i] τε, καὶ Ἄνδρον, καὶ ἄλλας,
3 "τὰς Κυκλάδας [k] καλευμένας. ἐνθεῦτεν δὲ ὁρμεώ-
"μενος, εὐπετέως ἐπιθήσεαι Εὐβοίῃ, νήσῳ μεγάλῃ
"τε καὶ εὐδαίμονι, [l] οὐκ ἐλάσσονι Κύπρου, καὶ κάρτα
"εὐπετέϊ [m] αἱρεθῆναι. ἀποχρῶσι δὲ ἑκατὸν νέες ταύ-
4 "τας πάσας χειρώσασθαι." Ὁ δὲ ἀμείβετο αὐτὸν
τοῖσδε· "Σὺ ἐς οἶκον [n] τὸν βασιλέος [o] ἐξηγητὴς
"γίνεαι πρηγμάτων ἀγαθῶν, καὶ ταῦτα εὖ παραινέεις
5 "πάντα, πλὴν τῶν νεῶν τοῦ ἀριθμοῦ. [p] ἀντὶ δὲ

[r] οὐδεμία S. Vulgo οὐδεμίη.

31. [a] νῆσος om. M.P.K.F. ἢ pro εἴη voluit, credo, librarius in S. [b] Sic (vel δ' ἔνι) M.P.K.F.a.b.c. cf. I. 181. et 183. δὲ ἔχει S.V. Ald. d. Eustath. Dionys. 525. [c] ἐξ αὐτῶν F. [d] μέγα χρήματα S. Mox ἀναισιμωτάτων Ald. [e] Sic Ald. S. et al. Wesselingius citat VIII. 111. IX. 22. Thucyd. VIII. 106. cum nota Dukeri. δίκαιον M.K. F.P. Bekker. [f] Sic S.V.a.c. Ald. παρέχειν ἐστί M.P.K.F. [g] βασ. προσκ. K.P.F. βασ. προσκτήσεται b. βασ. προσκτήσειας d. [h] τήν τε S. [i] τε om. S.V.K.P.F.a. Bekker. [k] καλεομ. S. qui mox ὁρμώμενος. [l] καὶ οὐκ ἐλ. F.b. [m] αἱρεθῆναι S.V.K.P.F.a.d. Vulgatum χειρωθῆναι citato c. 97. defendit Wesselingius. Vid. et 49. Sed codicum optimorum consensum non rejiciendum putavi. [n] τοῦ βασ. b. [o] ἐξητὴς S. Citat Suid. v. ἐξηγητής. [p] Sic M.P.K. ἀν δὲ F. ἀντὶ γὰρ S.V. ἀντὶ γὰρ τῶν Ald.

“ ἑκατὸν νεῶν, διηκόσιαί τοι ἑτοῖμοι ἔσονται ἅμα
“ [q] τῷ ἔαρι. δεῖ δὲ [r] τούτοισι καὶ αὐτὸν βασιλέα συν-
32 “ έπαινον γίνεσθαι.” Ὁ μὲν δὴ Ἀρισταγόρης ὡς
2 ταῦτα ἤκουσε περιχαρὴς ἐὼν, [a] ἀπήϊε ἐς Μίλητον. ὁ
δὲ [b] Ἀρταφέρνης, ὥς οἱ πέμψαντι ἐς Σοῦσα, καὶ
ὑπερθέντι τὰ ἐκ τοῦ Ἀρισταγόρεω λεγόμενα, συνέ-
παινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο
μὲν [c] διηκοσίας τριήρεας, πολλὸν δὲ κάρτα ὅμιλον
Περσέων [d] τε καὶ τῶν ἄλλων συμμάχων· στρατηγὸν
δὲ τουτέων ἀπέδεξε Μεγαβάτην, ἄνδρα Πέρσην τῶν
Ἀχαιμενιδέων, ἑωυτοῦ τε καὶ Δαρείου ἀνεψιόν· τοῦ
Παυσανίης ὁ [e] Κλεομβρότεω Λακεδαιμόνιος, εἰ δὴ
ἀληθής [f] γε ἐστὶ ὁ λόγος, ὑστέρῳ χρόνῳ τούτων ἡρμό-
σατο θυγατέρα, ἔρωτα σχὼν τῆς Ἑλλάδος τύραννος
3 γενέσθαι. ἀποδέξας δὲ Μεγαβάτην στρατηγὸν
Ἀρταφέρνης, ἀπέστειλε τὸν στρατὸν παρὰ τὸν
[g] Ἀρισταγόρεα.

387 Re Dario probata, Artaphernes primo vere classem cc triremium magnamque vim militum duce Megabate, cujus filiam Pausanias Cleombroti postilla in matrimonium petiisse dicitur, ad Aristagoram mittit.

33 Παραλαβὼν δὲ ὁ Μεγαβάτης ἐκ τῆς Μιλήτου [a] τόν
τε Ἀρισταγόρεα καὶ τὴν Ἰάδα στρατιὴν καὶ τοὺς
2 Ναξίους, ἔπλεε πρόφασιν ἐπ᾽ Ἑλλησπόντου. ἐπεί
τε δὲ [b] ἐγένετο ἐν Χίῳ, ἔσχε τὰς νέας ἐς [c] Καύκασα,
ὡς ἐνθεῦτεν βορέῃ ἀνέμῳ ἐς τὴν Νάξον διαβάλοι·
καὶ οὐ γὰρ ἔδεε τούτῳ τῷ στόλῳ Ναξίους ἀπολέσθαι,

Assumptis, præter Aristagoram, penes quem summa rerum, exercitu Ionico atque exulibus, Megabates, ut Naxiis cau-

[q] τῷ om. b. τοι ἑτοῖμοι om. S. [r] Sic M.P.K.F. Suid. in Συνέπαινος. καὶ τούτοισι καὶ αὐτὸν βασιλέα S.V. τούτοισι καὶ τὸν β. Ald.

32. [a] Sic M.K.P.F. Al. ἀπήει cum S. [b] Ἀρταφρένης P.K.V.F.c. cf. 30. Vulg. habet S. Exscripsit Suid. in Ὑπερθέντι. [c] ἑβδομήκοντα Suid. Mox τριήρεις S. [d] τε om. S.V. [e] Sic Schæfer. Κλεομβρόντεω S. Κλεομβρότου vulg. [f] Sic P.K.S.V.F.a.c. ἐστὶ om. Ald. et edd. seqq. Tum τούτων pro τουτέων ex S. [g] Ἀρισταγόρην F. et sic c. seq. cum K.P. cf. Eustath. Il. p. 238, 18=171, 31.

33. [a] τόν τε Ἀρισταγόρην ἐκ Μιλήτου καὶ F. τε om. S. [b] Sic F.b. ἐγίνετο al. [c] Sic M.K.P. Par. Vall. ἐν Καύκασα F. Καύκασον Ald. S.

sa expeditionis lateret, primo septentrionem versus cursum dirigit, classemque in Chium appellit. Ibi cum boream præstolaretur, cum Aristagora rixatus, rem omnem Naxiis ipse prodit.

3 πρῆγμα τοιόνδε [d] συνηνείχθη γενέσθαι. περιϊόντος
Μεγαβάτεω τὰς ἐπὶ τῶν νεῶν φυλακὰς, ἐπὶ [e] νεὸς
Μυνδίης ἔτυχε οὐδεὶς φυλάσσων· ὁ δὲ, [f] δεινόν τι
ποιησάμενος, ἐκέλευσε τοὺς δορυφόρους ἐξευρόντας
τὸν ἄρχοντα ταύτης τῆς νεὸς, τῷ οὔνομα ἦν Σκύλαξ,
τοῦτον δῆσαι [g] διὰ θαλαμίης διελόντας τῆς νεὸς κατὰ
τοῦτο, ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα.
4 δεθέντος δὲ τοῦ Σκύλακος, ἐξαγγέλλει τις τῷ Ἀρι-
σταγόρῃ, ὅτι τὸν ξεῖνόν οἱ τὸν Μύνδιον Μεγαβάτης
δήσας λυμαίνοιτο. ὁ δ' ἐλθὼν [h] παραιτέετο τὸν Πέρ-
σην· τυγχάνων δὲ οὐδενὸς τῶν ἐδέετο, αὐτὸς ἐλθὼν
5 ἔλυσε. πυθόμενος δὲ, κάρτα δεινὸν ἐποιήσατο ὁ Με-
γαβάτης, καὶ [i] ἐσπέρχετο τῷ Ἀρισταγόρῃ. ὁ δὲ εἶπε·
"[k] Σοὶ δὲ καὶ τούτοισι τοῖσι πρήγμασι τί ἐστι; [l] οὐ 388
"σὲ ἀπέστειλε Ἀρταφέρνης ἐμέο πείθεσθαι, καὶ
"πλέειν τῇ ἂν ἐγὼ κελεύω; τί πολλὰ πρήσσεις;"
6 Ταῦτα εἶπε [m] Ἀρισταγόρης. ὁ δὲ, θυμωθεὶς τούτοισι,
ὡς νὺξ ἐγένετο, ἔπεμπε ἐς Νάξον πλοίῳ ἄνδρας
[n] φράσοντας τοῖσι Ναξίοισι πάντα τὰ παρεόντα σφι
34 πρήγματα. Οἱ γὰρ ὦν Νάξιοι οὐδὲν πάντως προσ-
εδέκοντο ἐπὶ σφέας τὸν στόλον τοῦτον ὁρμήσεσθαι.
ἐπεὶ μέν τοι ἐπύθοντο, αὐτίκα μὲν [a] ἐσενείκαντο τὰ
ἐκ τῶν ἀγρῶν ἐς τὸ τεῖχος, παρεσκευάσαντο δὲ ὡς
πολιορκησόμενοι, καὶ [b] σῖτα καὶ ποτὰ [c] τὸ τεῖχος ἐσά-

Hi ita moniti, ad obsidionem tolerandam strenue se parant: quo fit, ut Persæ, cum

[d] συνηνέχθη S.V. συνενείχθη F. [e] νεὼς S. ter. Mox οὐδεὶς ἔτυχε S. [f] Sic mss. edd. τὶ delevit Schæfer. [g] διὰ om. Suid. in Θαλαμίδιοι. [h] παρῃτεῖτο Schol. Aristoph. Vesp. 1249. et Suid. in v. [i] ἐπέρχετο V.S. Vall. [k] σὺ δὲ S.F. [l] Sic M.P.K.S.F.a.d. οὐ δὲ al. [m] ὁ Ἀρισταγ. P.F. [n] φράσσοντας P.F.

34. [a] ἐσηνείκαντο V.P.S. [b] Sic M.K.P.S.F. σιτία c. Ald. [c] καὶ τὸ τεῖχος S.P.F.a. Bekker. καὶ τεῖχος Ald. et edd. seqq. quæ verba uncis inclusit Schæfer. καὶ delevit Schweighæuserus cum Valcken. Utrumque adulterinum censebat Wesseling.

2 ξαντο. Καὶ οὗτοι μὲν [d] παρεσκευάδατο ὡς παρεσο-
μένου σφι πολέμου· οἱ δ', ἐπεί τε [e] διέβαλον ἐκ τῆς
Χίου τὰς νέας ἐς τὴν Νάξον, πρὸς πεφραγμένους
3 προσεφέροντο, καὶ ἐπολιόρκεον μῆνας [f] τέσσερας. ὡς
δὲ, τά τε ἔχοντες [g] ἦλθον χρήματα οἱ Πέρσαι, ταῦτα
[h] καταδεδαπάνητό σφι, καὶ αὐτῷ τῷ Ἀρισταγόρῃ
προσαναισίμωτο πολλὰ, τοῦ πλεῦνός τε ἐδέετο ἡ πο-
λιορκίη, ἐνθαῦτα, [i] τείχεα τοῖσι φυγάσι τῶν Ναξίων
οἰκοδομήσαντες, [k] ἀπαλλάσσοντο ἐς τὴν ἤπειρον,
κακῶς πρήσσοντες.

Naxum quatuor menses obsedissent, omni apparatu consumpto infectaque re, continentem repetere coguntur.

35 Ἀρισταγόρης δὲ οὐκ εἶχε τὴν ὑπόσχεσιν τῷ Ἀρ-
ταφέρνεϊ [a] ἐκπληρῶσαι· ἅμα δὲ ἐπίεζέ μιν ἡ δαπάνη
τῆς στρατιῆς ἀπαιτεομένη, ἀρρώδεέ τε, τοῦ στρατοῦ
πρήξαντος κακῶς, καὶ Μεγαβάτῃ διαβεβλημένος·
ἐδόκεέ τε τὴν βασιληΐην τῆς Μιλήτου [b] ἀπαιρήσεσθαι.
2 [c] ἀρρωδέων δὲ τούτων ἕκαστα, ἐβουλεύετο ἀπόστασιν.
[d] συνέπιπτε γὰρ καὶ τὸν ἐστιγμένον τὴν κεφαλὴν ἀπῖ-
χθαι ἐκ Σουσέων παρὰ Ἱστιαίου, σημαίνοντα ἀπίστα- 389
3 σθαι Ἀρισταγόρῃ ἀπὸ βασιλέος. Ὁ γὰρ Ἱστιαῖος,
βουλόμενος τῷ Ἀρισταγόρῃ σημῆναι ἀποστῆναι,
ἄλλως μὲν [e] οὐδαμῶς εἶχε ἀσφαλέως [f] σημῆναι, ὥστε
φυλασσομενέων τῶν ὁδῶν· ὁ δὲ, τῶν δούλων τὸν πι-
στότατον [g] ἀποξυρήσας τὴν κεφαλὴν, ἔστιξε, καὶ ἀνέ-

Tum Aristagoras a Persis sibi metuens, atque ab Histiæo ad rebellandum instigatus, defectionem Ioniæ meditatur.

[d] Sic M.F. Paris. Ald. Eustath. Il. p. 234, 21 = 137, 34. παρεσκευάζοντο K.P.S.V. [e] διέβαλλον F. [f] τέσσαρας F.S. [g] ἦγον b. [h] Sic S. Schæfer. κατεδεδαπάνητο Wessel. et al. κατεδαπάνητο F.c. [i] τείχεά σφι τοῖσι S. [k] ἀπαλλάσσαντο M.

35. [a] ἐκτελέσαι S.V.F.c. Mox τε post ἐδόκεε om. S. [b] Sic Ald. A.B.F. ἀπαιρεθήσεσθαι M.K.P. Bekker. ἀφαιρεθήσεσθαι V.S. [c] Sic K.S.F.b. ἀρρωδέων τε Wessel. et al. Tum τούτων F.S. [d] σ. δὲ b. Mox Ἀρισταγόρην Ald. [e] οὐκ duo mss. Vulg. servat Æneas Tactic. p. 1704. ed. Gronov. [f] σημῆναι et ὥστε om. b. [g] ἀποξυρίσας S. teste Wessel. qui tamen cum vulg. consentit h. l. sed mox habet ξυρίσαντα.

4 μεινε ἀναφῦναι τὰς τρίχας. ὡς δὲ ἀνέφυσαν τάχιστα,
ἀπέπεμπε ἐς Μίλητον, ἐντειλάμενος αὐτῷ ἄλλο μὲν
οὐδὲν, [h] ἐπεὰν δὲ ἀπίκηται ἐς Μίλητον, κελεύειν Ἀρι-
σταγόρην ξυρήσαντά μιν τὰς τρίχας κατιδέσθαι ἐς
τὴν κεφαλήν. τὰ δὲ στίγματα ἐσήμαινε, ὡς καὶ πρό-
5 τερόν μοι εἴρηται, ἀπόστασιν. Ταῦτα δὲ ὁ Ἱστιαῖος
[i] ἐποίεε, συμφορὴν ποιεύμενος μεγάλην τὴν ἑωυτοῦ
κατοχὴν τὴν ἐν Σούσοισι· ἀποστάσιος ὦν γινομένης,
πολλὰς εἶχε ἐλπίδας μετήσεσθαι ἐπὶ θάλασσαν· μὴ
δὲ νεώτερόν τι ποιεύσης τῆς Μιλήτου, [k] οὐδαμὰ ἐς
36 αὐτὴν ἥξειν ἔτι ἐλογίζετο. Ἱστιαῖος μέν νυν ταῦτα
διανοεύμενος, ἀπέπεμπε τὸν ἄγγελον· Ἀρισταγόρῃ
δὲ συνέπιπτε τοῦ αὐτοῦ χρόνου πάντα ταῦτα συνελ-
2 θόντα. ἐβουλεύετο ὦν μετὰ τῶν στασιωτέων, ἐκφή-
νας τήν τε ἑωυτοῦ γνώμην καὶ τὰ παρὰ τοῦ Ἱστιαίου
ἀπιγμένα. οἱ μὲν δὴ ἄλλοι πάντες γνώμην κατὰ
3 τὠυτὸ ἐξεφέροντο, κελεύοντες ἀπίστασθαι. Ἑκα-
ταῖος [a] δὲ, ὁ λογοποιὸς, πρῶτα μὲν οὐκ ἔα πόλεμον
βασιλέϊ τῶν Περσέων ἀναιρέεσθαι, [b] καταλέγων τά
τε ἔθνεα πάντα τῶν ἦρχε Δαρεῖος, καὶ τὴν δύναμιν
αὐτοῦ. ἐπεί τε δὲ οὐκ [c] ἔπειθε, δεύτερα συνεβούλευε
ποιέειν ὅκως ναυκράτεες τῆς θαλάσσης ἔσονται.
4 ἄλλως μέν νυν οὐδαμῶς, ἔφη λέγων, ἐνορᾶν ἐσό-
μενον τοῦτο· ἐπίστασθαι γὰρ τὴν δύναμιν [d] τὴν
Μιλησίων ἐοῦσαν ἀσθενέα· εἰ δὲ τὰ χρήματα κα-
ταιρεθείη τὰ ἐκ τοῦ ἱροῦ τοῦ ἐν Βραγχίδῃσι, τὰ
Κροῖσος ὁ Λυδὸς ἀνέθηκε, πολλὰς εἶχε ἐλπίδας

Quod consilium cum suæ factioni aperuisset, quæ Hecatæus Milesius [2, 143.] suaserit.

[h] ἐπὴν S.P.V.F. [i] ἐποίησε S.P.V. Spectavit hæc Nonnus in Gregorii Stelit. II. p. 162. [k] οὐδαμᾶ] οὐδαμῶς duo mss. οὐδαμὰ F. constanter.

36. [a] δὲ om. F. [b] κατὰ τὰ λέγων S. [c] ἐπείσθη S. [d] Sic M.P. K. τὴν τῶν al. τῶν Μιλ. S.F. Ald.

[e]ἐπικρατήσειν τῆς θαλάσσης· καὶ [f]οὕτω αὐτούς
τε ἕξειν χρήμασι χρᾶσθαι, καὶ τοὺς πολεμίους οὐ
5 συλήσειν αὐτά. τὰ δὲ χρήματα ἦν ταῦτα μεγάλα,
ὡς δεδήλωταί μοι ἐν τῷ [g]πρώτῳ τῶν λόγων. Αὕτη
6 μὲν δὴ οὐκ ἐνίκα ἡ γνώμη. ἐδόκεε δὲ ὅμως ἀπί-
στασθαι· ἕνα τε [h]αὐτῶν πλώσαντα ἐς Μυοῦντα ἐς
τὸ στρατόπεδον τὸ ἀπὸ τῆς Νάξου ἀπελθὸν, ἐὸν
ἐνθαῦτα, συλλαμβάνειν πειρᾶσθαι τοὺς ἐπὶ τῶν νεῶν
37 ἐπιπλέοντας στρατηγούς. Ἀποπεμφθέντος δὲ Ἰη- Exactis tyrannis ex Ioniæ civitatibus, palam rebellatur [a. 504.]. 390
τραγόρεω κατ' αὐτὸ τοῦτο, καὶ συλλαβόντος δόλῳ
Ὀλίατον [a]Ἰβανώλιος Μυλασσέα, καὶ Ἱστιαῖον Τύ-
μνεω [b]Τερμερέα, καὶ Κώην [c]Ἐρξάνδρεω, τῷ Δαρεῖος
Μυτιλήνην ἐδωρήσατο, καὶ Ἀρισταγόρην Ἡρακλεί-
δεω Κυμαῖον, καὶ ἄλλους συχνούς· οὕτω δὴ ἐκ τοῦ
ἐμφανέος ὁ Ἀρισταγόρης ἀπεστήκεε, πᾶν ἐπὶ Δαρείῳ
2 μηχανώμενος. Καὶ πρῶτα μὲν λόγῳ μετεὶς τὴν τυραν-
νίδα, ἰσονομίην ἐποίεε τῇ Μιλήτῳ, ὡς ἂν [d]ἑκόντες
3 αὐτῷ οἱ Μιλήσιοι [e]συναπισταίατο· μετὰ δὲ καὶ ἐν
τῇ ἄλλῃ Ἰωνίῃ τὠυτὸ τοῦτο ἐποίεε, τοὺς μὲν ἐξελαύ-
νων τῶν τυράννων, τοὺς δ' ἔλαβε τυράννους ἀπὸ τῶν
νεῶν τῶν [f]συμπλευσασέων ἐπὶ Νάξον, τούτους δὲ
φίλα βουλόμενος ποιέεσθαι τῇσι πόλισι ἐξεδίδου,
ἄλλον ἐς ἄλλην πόλιν παραδιδοὺς, ὅθεν εἴη ἕκαστος.
38 Κώην μέν νυν Μυτιληναῖοι, ἐπεί τε τάχιστα παρέ- Aristagoras cum popularem Ioni-
λαβον, ἐξαγαγόντες κατέλευσαν· Κυμαῖοι δὲ τὸν

[e] Duo mss. ἐπικρατήσας, unde ἐπικρατῆσαι Schæfer. [f] οὕτως plures mss. [g] Sic K.S.V. Vall. F.a.b. προτέρῳ Ald. M.c.d. [h] αὐτέων] αὐτῶν F.S. Mox ἐπελθὸν S.

37. [a] Ἰβανόλιος b. Ἰβανώλλιος P.F. [b] Sic S.V.P.K. Vall. F. Paris. Τερμενέα Ald. et al. [c] Ἐξάνδρεω S. Ἐρξάνδρου F. Paris. Ald. ἐξ ἄνδρου P.V. Ἀλεξάνδρου b. Vall. Tum Μιτυλήνην vulg. et c. seq. [d] ἐνόντες S. [e] Sic S.M.P.K. Olim συναπιστέατο. συναπιστέατο (αι supra ε) F. [f] ξυμπλευσάσεων S.

bus statum vindicavisset, Spartam suppetias rogaturus proficiscitur.

σφέτερον αὐτῶν ἀπῆκαν· ὡς δὲ καὶ ἄλλοι οἱ [a] πλεῦ-
νες ἀπίεσαν. τυράννων μέν νυν κατάπαυσις [b] ἐγέ-
2 νετο ἀνὰ τὰς πόλιας. Ἀρισταγόρης δὲ ὁ Μιλήσιος
ὡς τοὺς τυράννους κατέπαυσε, στρατηγοὺς ἐν ἑκάστῃ
τῶν πολίων κελεύσας ἑκάστους καταστῆσαι, δεύτερα
αὐτὸς ἐς Λακεδαίμονα τριήρεϊ ἀπόστολος ἐγίνετο·
ἔδεε γὰρ δὴ συμμαχίης τινός οἱ μεγάλης ἐξευρε-
θῆναι.

39

Digressio de rebus Spartanis. Anaxandridas Leontis f. rex Spartæ [1, 67.] uxorem nactus sterilem, ea repudiata aliam ducere ab ephoris jubetur. Id cum abnuisset,

Τῆς δὲ Σπάρτης Ἀναξανδρίδης μὲν ὁ Λέοντος
οὐκέτι περιεὼν ἐβασίλευε, ἀλλὰ ἐτετελευτήκεε· Κλεο-
μένης δὲ ὁ Ἀναξανδρίδεω εἶχε τὴν βασιληΐην, οὐ
2 κατὰ ἀνδραγαθίην σχὼν, ἀλλὰ κατὰ γένος. Ἀνα-
ξανδρίδῃ γὰρ, ἔχοντι γυναῖκα ἀδελφεῆς ἑωυτοῦ θυ-
γατέρα, καὶ ἐούσης ταύτης [a] οἱ [b] καταθυμίης, παῖδες
3 οὐκ ἐγίνοντο. τούτου δὲ τοιούτου ἐόντος, οἱ ἔφοροι
εἶπαν, ἐπικαλεσάμενοι αὐτὸν, "Εἴ τοι σύ [c] γε σεωυ-
"τοῦ μὴ προορᾷς, ἀλλ' ἡμῖν τοῦτό ἐστι οὐ περιοπτέον,
4 "γένος τὸ [d] Εὐρυσθένεος γενέσθαι ἐξίτηλον. σύ νυν
"τὴν μὲν ἔχεις γυναῖκα, ἐπεί τέ τοι οὐ τίκτει, [e] ἔξεο,
"ἄλλην δὲ γῆμον· καὶ ποιέων ταῦτα, Σπαρτιήτῃσι
5 "ἁδήσεις." Ὁ δ' ἀμείβετο φὰς τούτων οὐδέτερα 391
ποιήσειν· ἐκείνους τε οὐ καλῶς συμβουλεύειν, πα-
ραινέοντας, τὴν ἔχει γυναῖκα, ἐοῦσαν ἀναμάρτητον
[f] ἑωυτῷ, ταύτην ἀπέντα, ἄλλην ἐσαγαγέσθαι· οὐδέ
σφι πείσεσθαι.

40

Πρὸς ταῦτα οἱ ἔφοροι καὶ οἱ

38. [a] Sic V.S.K. *πλεῦνες αὐτῶν ἀπ.* Ald. M.P. Scilicet e superioribus facile supplendum *τοὺς σφετέρους αὐτῶν*, *suos dimiserunt*. [b] *ἐγίνετο* V.P.S.

39. [a] *οἱ* om. b. [b] Hinc Eustath. Il. p. 149, 32=113, 12. [c] *γε* om. S.V.P.a. *εἴ τι σύ γε* Ald. et edd. *εἴη τοι σὺ* F. [d] Sic M.K.S. P.F. Paris. *Εὐρυσθέος* vulgo. [e] Sic Schæferus, i. e. *dimitte*, ab *ἐξίημι*, unde c. seq. *ἔξεσις divortium*. *ἐκ σέο* M.P.K.S.V. Paris. F. *ἐκ σέο, ἄπες, ἄλλην δὲ* vulgo cum Aldo. [f] *ἑωυτῷ* om. S. Vall.

minis cogitur, ut priorem servans uxorem, contra morem Spartanorum alteram inducat.

γέροντες [a] βουλευσάμενοι, προσέφερον Ἀναξανδρίδῃ
τάδε· "Ἐπεὶ τοίνυν [b] τοι περιεχόμενόν σε [c] ὁρέομεν
"τῆς ἔχεις γυναικὸς, σὺ δὲ ταῦτα ποίεε, καὶ μὴ
"ἀντίβαινε τούτοισι, ἵνα μή τι ἀλλοῖον περὶ σεῦ [d] οἱ
2 "Σπαρτιῆται βουλεύσωνται. γυναικὸς μὲν τῆς ἔχεις
"οὐ προσδεόμεθά σευ τῆς [e] ἐξέσιος· σὺ δὲ ταύτῃ τε
"πάντα ὅσα νῦν παρέχεις πάρεχε, καὶ ἄλλην πρὸς
3 "ταύτῃ ἐσάγαγε γυναῖκα τεκνοποιόν." Ταῦτά κῃ
λεγόντων, συνεχώρησε ὁ Ἀναξανδρίδης· μετὰ δὲ,
γυναῖκας ἔχων δύο, διξὰς ἱστίας οἴκεε, ποιέων [f] οὐδα-
41 μῶς Σπαρτιητικά. Χρόνου δὲ οὐ πολλοῦ διελθόντος,
ἡ ἐσύστερον ἐπελθοῦσα γυνὴ τίκτει τὸν δὴ Κλεομένεα
τοῦτον. καὶ αὕτη τε [a] ἔφεδρον βασιλέα Σπαρτιήτῃσι
[b] ἀπέφαινε· καὶ ἡ προτέρη γυνὴ, τὸν πρότερον χρό-
νον ἄτοκος ἐοῦσα, τότε κως ἐκύησε, συντυχίῃ ταύτῃ
2 χρησαμένη. ἔχουσαν δὲ [c] αὐτὴν ἀληθεΐ λόγῳ, οἱ
τῆς ἐπελθούσης γυναικὸς οἰκήϊοι πυθόμενοι ὤχλεον,
φάμενοι αὐτὴν [d] κομπέειν ἄλλως, βουλομένην ὑπο-
3 βαλέσθαι. δεινὰ δὲ ποιεύντων αὐτῶν, τοῦ χρόνου
συντάμνοντος, ὑπ' ἀπιστίης οἱ ἔφοροι τίκτουσαν τὴν
4 γυναῖκα περιϊζόμενοι ἐφύλαξαν. ἡ δὲ ὡς ἔτεκε Δω-
ριέα, ἰθέως ἴσχει Λεωνίδην, καὶ μετὰ τοῦτον ἰθέως
ἴσχει Κλεόμβροτον· οἱ δὲ καὶ διδύμους λέγουσι
5 [e] Κλεόμβροτόν τε καὶ Λεωνίδην γενέσθαι. ἡ δὲ Κλεο-
μένεα τεκοῦσα καὶ τὸ δεύτερον ἐπελθοῦσα γυνὴ, ἐοῦσα

Nova nupta Cleomenem; post prior uxor Dorieum, tumque Leonidam ac Cleombrotum parit.

40. [a] Sic M.P.K.S.V.F.a.c.d. συμβουλευσ. Ald. b. [b] τοι om. S. Schæfer. [c] ὁρέωμεν Ald. F. ὁρῶμεν S. [d] οἱ om. S.V.P.F.a. [e] Sic vulg. cum Eustath. Od. p. 1667, 32=410, 6. et 1900, 2=746, 22. ἐξώσιος K. Steph. marg. ἐξέσιος [αι] F. Mox τε om. S. [f] Sic M.S.V. P.F. Paris. οὐδαμᾶ Ald. al. Supra οἴκεεν ἱστίας S.

41. [a] Sic libri. Expectasses ἔπεδρον. Schweigh. αὐτή τε S. [b] ἀπέφανε V.S. [c] αὐτῇ b. [d] κομπεύειν F. Tum αὐτῶν F.S. pro αὐτέων. [e] Sic S. τε al. om.

θυγάτηρ [f] Πρινητάδεω τοῦ Δημαρμένου, οὐκέτι ἔτικτε τὸ δεύτερον.

42 Mortuo Anaxandridæ Cleomenes succedit. Quod graviter ferens Dorieus, colonos in Africam ad Cinypem [4, 175. 198.] deducit: sed inde ejectus tertio post anno, in Peloponnesum revertitur.

Ὁ μὲν δὴ Κλεομένης, ὡς λέγεται, ἦν τε οὐ φρενήρης, [a] ἀκρομανής τε. ὁ δὲ Δωριεὺς ἦν τῶν ἡλίκων πάντων πρῶτος· εὖ τε ἐπίστατο κατ' ἀνδραγαθίην
2 αὐτὸς σχήσων τὴν βασιληΐην. ὥστε ὦν οὕτω φρονέων, ἐπειδὴ ὅ τε Ἀναξανδρίδης ἀπέθανε, καὶ οἱ Λακεδαιμόνιοι [b] χρεώμενοι τῷ νόμῳ, ἐστήσαντο βασιλέα τὸν πρεσβύτατον Κλεομένεα, ὁ Δωριεὺς [c] δεινόν τε ποιεύμενος, καὶ οὐκ ἀξιῶν ὑπὸ Κλεομένεος βασιλεύεσθαι, αἰτήσας [d] λαὸν Σπαρτιήτας, [e] ἄγε ἐς ἀποι- 392
κίην· οὔτε τῷ ἐν Δελφοῖσι χρηστηρίῳ χρησάμενος, ἐς ἥντινα γῆν κτίσων [f] ἴῃ, οὔτε ποιήσας οὐδὲν τῶν
3 νομιζομένων. [g] οἷα δὲ βαρέως φέρων, [h] ἀπίει ἐς τὴν Λιβύην τὰ πλοῖα· κατηγέοντο δέ οἱ ἄνδρες [i] Θηραῖοι. ἀπικόμενος δ' ἐς Κίνυπα, [k] οἴκισε χῶρον κάλλιστον τῶν Λιβύων παρὰ ποταμόν· [l] ἐξελασθεὶς δὲ ἐνθεῦτεν τρίτῳ ἔτεϊ ὑπὸ [m] Μακέων τε καὶ Λιβύων καὶ [n] Καρχηδονίων, ἀπίκετο ἐς Πελοπόννησον.

43 Hinc ad condendam in Sicilia Heracleam tendens, cum Italiæ

Ἐνθαῦτα δέ οἱ Ἀντιχάρης, ἀνὴρ Ἐλεώνιος, [a] συνεβούλευσε [b] ἐκ τῶν Λαΐου χρησμῶν, [c] Ἡρακληΐην τὴν ἐν Σικελίῃ [d] κτίζειν, φὰς τὴν Ἔρυκος χώρην πᾶσαν εἶναι [e] Ἡρα-

[f] Sic M.K.S.V.P. Vall. F. Paris. Περινητάδεω Ald.

42. [a] Hinc Pollux VI. 125. [b] χρεώμενοι om. S.V. Vall. [c] δεινόν τοι S. δεινόν τι F. cf. 33. [d] λαὸν S.V. Ald. ληὸν M.F. Paris. quod ὑπεριωνίζοντι librario deberi putat Matthiæ. [e] Sic Paris. F. Ald. ἦγε M.P.K.S. [f] εἴη S. ἴοι conjicit Schweighæuser. [g] Sic S. Alii omittentes δὲ cum superioribus hæc nectunt. [h] ἀπήει F. [i] Sic M.K.P. Vall. F.a.b. Θηβαῖοι Ald. S.V.c.d.P. pro gl. [k] Sic S.V. Vall. probante Wessel. οἴκησε F. ed. Wessel. al. [l] ἐξελαθεὶς] ἐξελασθεὶς S.V.c. [m] Μακεδόνων d. Mox καὶ del. Bekkerus ex Niebuhrii em. [n] Καλχηδονίων S.

43. [a] Sic S.P.K.V.F. Paris. συνεβούλευσέ οἱ ἐκ τ. vulgo. [b] Nescio quis legerit ἐκ παλαιῶν. [c] Ἡρακλείαν (aut Ἡράκλειαν sic Bekker.) V.K.F.b. Ἡρακλείην S. qui Σικελίᾳ. [d] χρήζειν F. [e] Ἡρακλειδῶν V.K.F.b. Ἡρακλειδέων S. Bekker.

2 κληϊδέων, αὐτοῦ Ἡρακλέος κτησαμένου. Ὁ δὲ,
ἀκούσας ταῦτα, ἐς Δελφοὺς οἴχετο χρησόμενος τῷ
χρηστηρίῳ, εἰ αἱρέει ἐπ' ἣν στέλλεται χώρην· ἡ δὲ
Πυθίη οἱ χρᾷ αἱρήσειν. παραλαβὼν δὲ [f] ὁ Δωριεὺς
τὸν στόλον, τὸν καὶ ἐς Λιβύην ἦγε, ἐκομίζετο παρὰ
44 τὴν Ἰταλίην. Τὸν χρόνον δὲ τοῦτον, ὡς λέγουσι
Συβαρῖται, σφέας τε αὐτοὺς καὶ Τῆλυν τὸν ἑωυτῶν
[a] βασιλέα ἐπὶ Κρότωνα μέλλειν στρατεύεσθαι· τοὺς
δὲ Κροτωνιήτας περιδεέας [b] γενομένους, δεηθῆναι
Δωριέος [c] σφίσι τιμωρῆσαι, καὶ τυχεῖν δεηθέντας·
συστρατεύεσθαί τε δὴ ἐπὶ Σύβαριν Δωριέα, [d] καὶ
2 συνελεῖν τὴν Σύβαριν. ταῦτα μέν νυν Συβαρῖται λέ-
3 γουσι ποιῆσαι Δωριέα τε καὶ τοὺς μετ' αὐτοῦ. Κρο-
τωνιῆται δὲ οὐδένα σφίσι φασὶ ξεῖνον [e] προσεπιλα-
βέσθαι τοῦ πρὸς Συβαρίτας πολέμου, εἰ μὴ Καλλίην
τῶν [f] Ἰαμιδέων μάντιν Ἠλεῖον μοῦνον· καὶ τοῦτον 393
4 τρόπῳ τοιῷδε. παρὰ Τήλυος τοῦ Συβαριτέων τυ-
ράννου ἀποδράντα ἀπικέσθαι [g] παρὰ σφέας, ἐπεί τε
οἱ τὰ ἱρὰ οὐ [h] προεχώρεε χρηστὰ θυομένῳ ἐπὶ Κρό-
45 5 τωνα. ταῦτα [i] δὲ ὦν οὗτοι λέγουσι. Μαρτύρια δὲ
τούτων ἑκάτεροι ἀποδεικνύουσι τάδε. Συβαρῖται μὲν,
τέμενός τε καὶ νηὸν ἐόντα παρὰ τὸν ξηρὸν [a] Κράστιν,
τὸν ἱδρύσασθαι συνελόντα τὴν πόλιν Δωριέα λέ-
γουσι Ἀθηναίῃ ἐπωνύμῳ Κραστίῃ· τοῦτο δὲ, αὐτοῦ

oram legeret,

a Crotoniatis, ut Sybaritæ aiunt, exoratus, una cum ipsis Sybarin evertit [a. 510.]. Diversa Crotoniatarum de hoc bello narratio,

et argumenta utriusque famæ.

[f] ὁ om. F.S.

44. [a] βασιλῆα] βασιλέα F.S. [b] γινομένους F. [c] σφι S. Vid. Matthiæ ad I. 57. [d] καὶ συνελεῖν—Δωριέα om. F. [e] προσλαβ. S. [f] Ἀμιδέων S. Vall. [g] παρὰ σφέας om. S. [h] Sic M.P.K.F.a.c. προσεχώρεε S. al. [i] Sic dedit Schweighæuserus post Schæferum. δ' αὖ Bekkerus. δὲ οὐκ (vel οὐχ) οὗτοι edd. mss. οὐκ deleret Wessel. δὲ ὡς οὗτοι Pavius, δέ κου οὗτοι Reiskius. οὕτως pro οὗτοι duo mss.

45. [a] Κράστον S. Mox Κραστίῃ omnes. Κρᾶθιν et Κραθίῃ ex emend. Wesselingii receperunt Schæferus et Bekker. Tum λέγουσι Δωριέα S.

Δωριέος τὸν θάνατον μαρτύριον μέγιστον ποιεῦνται,
2 ὅτι [b] παρὰ τὰ μεμαντευμένα ποιέων διεφθάρη. εἰ γὰρ δὴ μὴ παρέπρηξε μηδὲν, [c] ἐπ' ᾧ δὲ ἐστάλη ἐποίεε, εἷλε ἂν τὴν Ἐρυκίνην χώρην, καὶ ἑλὼν κατέσχε, οὐδ'
3 ἂν αὐτός τε καὶ ἡ στρατιὴ διεφθάρη. Οἱ δ' αὖ Κροτωνιῆται ἀποδεικνῦσι Καλλίῃ μὲν τῷ Ἠλείῳ ἐξαίρετα ἐν γῇ τῇ Κρωτωνιήτιδι πολλὰ δοθέντα, [d] τὰ καὶ ἐς ἐμὲ ἔτι ἐνέμοντο οἱ Καλλίεω ἀπόγονοι· Δωριέϊ δὲ καὶ τοῖσι Δωριέος ἀπογόνοισι, οὐδέν· καίτοι εἰ [e] συνεπελάβετό γε τοῦ Συβαριτικοῦ πολέμου Δω-
4 ριεὺς, δοθῆναι ἄν οἱ [f] πολλαπλάσια ἢ Καλλίῃ. ταῦτα μέν νυν ἑκάτεροι αὐτῶν μαρτύρια ἀποφαίνονται· καὶ πάρεστι ὁκοτέροισί τις πείθεται αὐτῶν, τούτοισι προσχωρέειν.

46 Expeditionis Siciliensis exitus infelix, Dorieique ac sociorum interitus. Unus e ducibus superstes Euryleon Minoam ac Selinuntem occupat, brevique post a Selinuntiis interficitur.

Συνέπλεον δὲ Δωριέϊ καὶ ἄλλοι [a] συγκτίσται Σπαρτιητέων, Θεσσαλὸς καὶ [b] Παραι-
2 βάτης καὶ Κελέης καὶ Εὐρυλέων. οἳ ἐπεί τε ἀπίκοντο παντὶ στόλῳ ἐς τὴν Σικελίην, ἀπέθανον μάχῃ ἑσσωθέντες ὑπό τε Φοινίκων καὶ [c] Ἐγεσταίων· μοῦνος δέ [d] γε Εὐρυλέων τῶν συγκτιστέων περιεγένετο
3 τούτου τοῦ πάθεος. συλλαβὼν δὲ οὗτος τῆς στρατιῆς τοὺς περιγενομένους, ἔσχε Μινώην τὴν Σελινουσίων ἀποικίην· καὶ συνελευθέρου Σελινουσίους τοῦ
4 μουνάρχου [e] Πειθαγόρεω. μετὰ δὲ, ὡς τοῦτον κατεῖλε, αὐτὸς [f] τυραννίδι ἐπεχείρησε Σελινοῦντος, καὶ ἐμου-

[b] τὰ παραμεμαντ. S.V. [c] ἐπ' ὃ V.S. Bekker. [d] τὰ om. F. Mox δωριέως S. [e] Sic M.K.P.V.F.S. γε om. al. [f] πολλαπλήσια S.P.V.F. Paris. ut VII. 48. VIII. 140. 143. cf. Lobeck. Phryn. p. 663. πολλαπλάσια olim, quod analogiæ saltim magis consentaneum.

46. [a] Hinc Pollux IX. 6. [b] Παραβάτης S.V. [c] Ἐγεσταίων S. M.K. Vall. Ἀγεσταίων V. Αἰγεστέων a.c. Ἐγεσταίων F. cf. VII. 158. Wasse ad Thucyd. VI. 6. Sylburg. Dionys. Hal. Ant. Rom. I. pag. 42. [d] γε om. F.a.S. Mox τοῦ ante πάθεος om. S. [e] Sic M. K.P.F. Πυθαγ. Ald. S. (forte V.) c.b. Vall. [f] τυραννίδα S. Schæfer.

νάρχησε χρόνον ἐπ' ὀλίγον· οἱ γάρ μιν Σελινούσιοι 394
ἐπαναστάντες ἀπέκτειναν, καταφυγόντα ἐπὶ [g]Διὸς ἀγο-
2 ραίου βωμόν.

47 [a]Συνέσπετο δὲ Δωριέϊ καὶ συναπέθανε Φίλιππος ὁ Βουτακίδεω, Κροτωνιήτης ἀνήρ· ὃς ἁρμοσάμενος Τήλυος τοῦ Συβαρίτεω θυγατέρα, ἔφυγε ἐκ Κρότωνος· ψευσθεὶς δὲ τοῦ γάμου, [b]οἴχετο πλέων ἐς Κυρήνην· ἐκ ταύτης δὲ ὁρμεώμενος συνέσπετο οἰκηΐῃ τε τριήρεϊ καὶ οἰκηΐῃ ἀνδρῶν δαπάνῃ, ἐών τε Ὀλυμπιονίκης καὶ κάλλιστος Ἑλλήνων τῶν κατ' ἑωυτόν.
2 διὰ δὲ [c]τὸ ἑωυτοῦ κάλλος ἐνείκατο παρὰ Ἐγεσταίων τὰ οὐδεὶς ἄλλος· ἐπὶ γὰρ τοῦ τάφου αὐτοῦ [d]ἡρώϊον ἱδρυσάμενοι, θυσίῃσι αὐτὸν [e]ἱλάσκονται.

Philippus Crotoniata, Olympionices, Dorieum in Siciliam secutus, post mortem a Segestanis ut heros colitur.

48 Δωριεὺς μέν νυν τρόπῳ τοιούτῳ ἐτελεύτησε· εἰ δὲ ἠνέσχετο βασιλευόμενος ὑπὸ Κλεομένεος, καὶ κατέμενε ἐν
2 Σπάρτῃ, ἐβασίλευε ἂν Λακεδαίμονος. οὐ γάρ τινα πολλὸν χρόνον ἦρξε ὁ Κλεομένης, ἀλλ' ἀπέθανε ἄπαις, θυγατέρα μούνην λιπὼν τῇ οὔνομα ἦν Γοργώ.

Cleomenes post imperium [c. 42.] paucorum annorum moritur, unica filia Gorgone [7, 239.] relicta.

49 Ἀπικνέεται δ' ὦν ὁ Ἀρισταγόρης ὁ Μιλήτου τύραννος ἐς τὴν Σπάρτην, Κλεομένεος ἔχοντος τὴν ἀρχήν. τῷ δὴ ἐς λόγους ἤϊε, ὡς Λακεδαιμόνιοι λέγουσι, ἔχων χάλκεον πίνακα, ἐν τῷ γῆς ἁπάσης περίοδος ἐνετέτμητο, καὶ θάλασσά τε πᾶσα, καὶ ποταμοὶ πάν-
2 τες. ἀπικνεόμενος δὲ ἐς λόγους ὁ Ἀρισταγόρης, ἔλεγε πρὸς αὐτὸν [a]τάδε· "Κλεόμενες, σπουδὴν μὲν τὴν

Vivo adhuc Cleomene, Aristagoras Spartam adit [c. 38.]. Qui cum, Asiæ ostentans bona, Cleomenem ad Persas aggrediendos ipsamque

[g] Attigit Eustath. Il. p. 45, 12=34, 11. Odyss. 1434, 37=80, 23.

47. [a] συνέπετο S.V. [b] Sic mss. cum Ald. εἴχετο Steph. et al. edd. Mox ὁρμώμενος συνέπετο S. [c] τοῦ ἑ. κάλλους S. Tum ἠνείκατο S. [d] ἱρῷον F. ἡρῷον S. ἡρῷον Ald. [e] ἱλάσκοντο S.V. Eustath. Il. p. 383, 43=290, 36. probante Wesselingio.

49. [a] Sic M.K.P.S.V.F. Paris. τοιάδε Ald. al. In pr. δὴ ὦν S.

adeo regis sedem, Susa, occupandam pellicere studeret,

“ ἐμὴν μὴ [b] θωμάσῃς τῆς ἐνθαῦτα ἀπίξιος· [c] τὰ γὰρ
3 “ κατήκοντά ἐστι τοιαῦτα. Ἰώνων παῖδας δούλους
“ εἶναι ἀντ' ἐλευθέρων, ὄνειδος καὶ ἄλγος μέγιστον
“ μὲν αὐτοῖσι ἡμῖν, ἔτι δὲ τῶν λοιπῶν ὑμῖν, ὅσῳ
4 “ [d] προέστατε τῆς Ἑλλάδος. νῦν ὦν, πρὸς θεῶν τῶν
“ Ἑλληνίων, ῥύσασθε Ἴωνας [e] ἐκ δουλοσύνης, ἄν-
5 “ δρας ὁμαίμονας. Εὐπετέως δὲ ὑμῖν ταῦτα [f] οἷά τε
“ χωρέειν ἐστί. οὔτε γὰρ οἱ βάρβαροι ἄλκιμοί εἰσι·
“ ὑμεῖς τε, τὰ ἐς τὸν πόλεμον, ἐς τὰ μέγιστα ἀνήκετε
6 “ ἀρετῆς πέρι. ἥ τε μάχη αὐτῶν ἐστὶ τοιήδε, τόξα,
“ καὶ [g] αἰχμὴ βραχέα· ἀναξυρίδας δὲ ἔχοντες ἔρχον-
“ ται ἐς τὰς μάχας, καὶ κυρβασίας ἐπὶ τῇσι κεφα-
7 “ λῇσι· οὕτω εὐπετέες χειρωθῆναί εἰσι. Ἔστι δὲ
“ καὶ ἀγαθὰ τοῖσι τὴν ἤπειρον ἐκείνην νεμομένοισι,
“ ὅσα οὐδὲ τοῖσι συνάπασι ἄλλοισι· ἀπὸ χρυσοῦ
“ [h] ἀρξαμένοισι, ἄργυρος, καὶ χαλκὸς, καὶ ἐσθὴς ποι-
“ κίλη, καὶ ὑποζύγιά τε καὶ ἀνδράποδα· τὰ θυμῷ
“ [i] βουλόμενοι αὐτοὶ ἂν ἔχοιτε. Κατοίκηνται δὲ 395
8 “ ἀλλήλων ἐχόμενοι, ὡς ἐγὼ φράσω. Ἰώνων μὲν
“ τῶνδε οἵδε Λυδοὶ, οἰκέοντές τε χώρην ἀγαθὴν, καὶ
“ πολυαργυρώτατοι ἐόντες.” δεικνὺς δὲ ἔλεγε ταῦτα
[k] ἐς τῆς γῆς τὴν περίοδον, τὴν ἐφέρετο ἐν τῷ πίνακι
ἐντετμημένην. “ Λυδῶν δὲ,” ἔφη λέγων ὁ Ἀρισταγόρης,
“ οἵδε ἔχονται Φρύγες οἱ πρὸς τὴν ἠῶ, πολυ-
“ προβατώτατοί τε ἐόντες [l] ἁπάντων τῶν ἐγὼ οἶδα
9 “ καὶ πολυκαρπότατοι. Φρυγῶν δὲ ἔχονται Καπ-

[b] Sic S.K.F. θωυμάσῃς al. [c] Sic S.V.P.K.F.a. τὰ κ. γ. ἐ. vulgo. ἐστι τοιαῦτα om. S. [d] Sic M.S.P.K.F.a. προεστέατε Ald. [e] Sic S.V.P.F. cf. IX. 89. ἐκ τῆς δ. Wessel. et al. [f] Sic V.S.P.K.F.a. χωρέειν οἷά τε ἐστι Wessel. et al. [g] ἀρχὴ S. [h] ἀρξάμενοι S.V. [i] ἂν ἔχοιτε αὐτοὶ βουλόμενοι S. [k] ἐς τῆς γῆς τὴν περίοδον S.V.K.F.a.c. ἐς τὴν τῆς γῆς περίοδον Wessel. et al. [l] πάντων F.S. Mox Φρύγων τε S.

" παδόκαι, τοὺς ἡμεῖς [m] Συρίους καλέομεν· τούτοισι
" δὲ πρόσουροι Κίλικες, κατήκοντες ἐπὶ θάλασσαν
" τήνδε, ἐν ᾗ ἥδε Κύπρος νῆσος κέεται· οἳ πεντα-
" κόσια τάλαντα βασιλέϊ τὸν ἐπέτειον φόρον ἐπιτε-
10 " λεῦσι. Κιλίκων δὲ τῶνδε ἔχονται Ἀρμένιοι οἵδε,
" καὶ οὗτοι ἐόντες πολυπρόβατοι. Ἀρμενίων δὲ,
11 " [n] Ματιηνοὶ, χώρην τήνδε ἔχοντες. ἔχεται δὲ τούτων
" γῆ ἥδε Κισσίη. ἐν τῇ δὴ παρὰ ποταμὸν τόνδε
" [o] Χοάσπην κείμενά ἐστι τὰ Σοῦσα ταῦτα, ἔνθα
" βασιλεύς τε μέγας δίαιταν ποιέεται, καὶ τῶν χρη-
12 " μάτων οἱ θησαυροὶ ἐνθαῦτά εἰσι. Ἑλόντες δὲ ταύ-
" την τὴν πόλιν, [p] θαρσέοντες ἤδη τῷ Διῒ πλούτου
13 " πέρι ἐρίζετε. ἀλλὰ περὶ μὲν χώρης [q] ἄρα οὐ πολ-
" λῆς, οὐδὲ οὕτω χρηστῆς, καὶ οὔρων σμικρῶν,
" [r] χρεόν ἐστι ὑμέας μάχας [s] ἀναβάλλεσθαι πρός τε
" Μεσσηνίους, ἐόντας ἰσοπαλέας, καὶ Ἀρκάδας τε
" καὶ Ἀργείους· τοῖσι οὔτε χρυσοῦ ἐχόμενόν ἐστι
" οὐδὲν, οὔτε ἀργύρου, τῶν πέρι καί τινα ἐνάγει προ-
14 " θυμίη μαχόμενον ἀποθνήσκειν. [t] παρέχον δὲ τῆς
" Ἀσίης πάσης ἄρχειν εὐπετέως, ἄλλο τι αἱρή-
" σεσθε;" Ἀρισταγόρης μὲν ταῦτα ἔλεξε. Κλεο-
μένης δὲ ἀμείβετο τοῖσδε· "Ὦ ξεῖνε Μιλήσιε, ἀνα-
" βάλλομαί τοι ἐς τρίτην ἡμέρην ἀποκρινέεσθαι."
50 Τότε μὲν ἐς τοσοῦτον ἤλασαν. ἐπεί τε δὲ ἡ κυρίη

Laco sciscitatus itine-

[m] συνορίους F. [n] Μαντιηνοὶ d. [o] Χοάσπην S.V.P.K.F. Par. Χοάσπια Ald. Χοάσπεα Gronov. Schæfer. [p] θαρρέοντες S.V. cf. Eustath. Dionys. 1073. ἤδη S. post ἑλόντες δέ. [q] ὥρα S. [r] Sic F.a.S. cf. I. 41. 57. infra 50. et alibi. χρεὼν Bekker. et vulgo. [s] Nihil mutant libri: sed vide ne ἀναλαβέσθαι verum sit, quemadmodum ἀναλαβέσθαι κίνδυνον III. 69. Vulg. quidem probans Schneider. Lexic. Crit. confert cum ἀναρρίπτειν, et cum illo Æschyli verbo ἀνὰ κίνδυνον βαλῶ S. Theb. 1030. quæ satis congruerent, si ἀναβάλλειν hic legeretur, non ἀναβάλλεσθαι. Schweigh. Mox ἰσοπαλέας τε καὶ S. [t] Sic V.P.K.F. Paris. παρεὸν S. vulg.

ris a mari ad regiam longitudinem, conditionem adspernatur,

ἡμέρη ἐγίνετο τῆς ἀποκρίσιος, καὶ ἦλθον ἐς τὸ συγκείμενον, εἴρετο ὁ Κλεομένης τὸν Ἀρισταγόρην, ὁκοσέων ἡμερέων ἀπὸ θαλάσσης τῆς Ἰώνων ὁδὸς εἴη 396
2 παρὰ [a] βασιλέα. ὁ δὲ Ἀρισταγόρης, τἆλλα ἐὼν σοφὸς, καὶ διαβάλλων ἐκεῖνον εὖ, ἐν τούτῳ ἐσφάλη· [b] χρεὸν γάρ μιν μὴ λέγειν τὸ ἐὸν, βουλόμενόν γε Σπαρτιήτας ἐξαγαγεῖν ἐς τὴν Ἀσίην, λέγει δ' ὦν,
3 τριῶν μηνῶν φὰς εἶναι τὴν ἄνοδον. Ὁ δὲ, ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον τὸν ὁ Ἀρισταγόρης [c] ὥρμητο λέγειν περὶ τῆς ὁδοῦ, εἶπε· "Ὦ ξεῖνε Μι- "λήσιε, ἀπαλλάσσεο ἐκ Σπάρτης πρὸ δύντος ἡλίου· "οὐδένα γὰρ λόγον [d] εὐεπέα λέγεις Λακεδαιμονίοισι, "ἐθέλων σφέας ἀπὸ θαλάσσης τριῶν μηνῶν ὁδὸν "ἀγαγεῖν." ὁ μὲν δὴ Κλεομένης ταῦτα εἴπας, ἤϊε ἐς τὰ οἰκία.

51 ne pollicitationibus quidem Milesii magnam pecuniam offerentis vinci se patiens.

Ὁ δὲ Ἀρισταγόρης, λαβὼν ἱκετηρίην, ἤϊε ἐς τοῦ Κλεομένεος· ἐσελθὼν δὲ εἴσω, ἅτε ἱκετεύων, [a] ἐπακοῦσαι ἐκέλευε τὸν Κλεομένεα, [b] ἀποπέμψαντα τὸ παιδίον· [c] προσεστήκεε γὰρ δὴ τῷ Κλεομένεϊ ἡ θυγάτηρ, τῇ οὔνομα ἦν Γοργώ· τοῦτο δέ οἱ καὶ μοῦνον τέκνον ἐτύγχανε ἐὸν ἐτέων ὀκτὼ ἢ
2 ἐννέα ἡλικίην. Κλεομένης δὲ λέγειν μιν ἐκέλευε τὰ βούλεται, μηδὲ ἐπισχεῖν τοῦ παιδίου εἵνεκα. ἐνθαῦτα δὴ ὁ Ἀρισταγόρης ἄρχετο ἐκ [d] δέκα ταλάντων [e] ὑπι-
3 σχνεόμενος, ἤν οἱ [f] ἐπιτελέσῃ τῶν ἐδέετο. ἀνανεύον-

50. [a] βασιλῆα] βασιλέα F.S. [b] Sic F.a.S. χρεὼν Bekker. et vulgo. [c] ἔμελλε S. e gl. cf. IX. 91. ὁ ante Ἀρισταγόρης om. S. [d] Sic edd. vett. cum F.a.c.d. εὐεπετέα S. εὐπετέα *rem facilem* Wessel. Valcken. εὐπέτεα b. Sed vulg. defendit Schweighæuserus, interpretatus *talem sermonem minime esse* εὐεπῆ Λακεδαιμονίοις, aliis fortasse posse probari, *Lacedæmoniis neutiquam placere, sed odiosum esse et procul amandandum.*

51. [a] Sic S.V.P.F. ἐπακούσας Ald. c. [b] Sic S.V.K. ἀποπέμψαι al. [c] Sic F.d. προεστήκεε vulgo cum S. παρεστήκεε Schæfer. cum Valcken. secutus H. Steph. cf. I. 86. 129. [d] δέκα] *undecim* Valla. Supra ἄρχεται S. [e] ὑπισχεόμενος F. [f] ἐπιτελέσαι F.

τος δὲ τοῦ Κλεομένεος, προέβαινε τοῖσι χρήμασι
ὑπερβάλλων ὁ Ἀρισταγόρης, [g]ἐς οὗ πεντήκοντά τε
τάλαντα [h]ὑποδέδεκτο· καὶ τὸ παιδίον ηὐδάξατο,
"Πάτερ, [i]διαφθερέει σε ὁ ξεῖνος, ἢν μὴ ἀποστὰς
4 "ἴῃς." ὅ τε δὴ Κλεομένης, ἡσθεὶς τοῦ παιδίου τῇ 1
παραινέσει, ἤϊε ἐς ἕτερον οἴκημα, καὶ ὁ Ἀρισταγόρης
ἀπαλλάσσετο τὸ παράπαν ἐκ τῆς Σπάρτης, οὐδέ οἱ
ἐξεγένετο ἐπιπλέον ἔτι σημῆναι περὶ τῆς ἀνόδου τῆς
παρὰ [k]βασιλέα.

52 Ἔχει γὰρ ἀμφὶ τῇ ὁδῷ ταύτῃ ὧδε. Σταθμοί τε
πανταχῇ εἰσι βασιλήϊοι, καὶ καταλύσιες κάλλισται·
2 διὰ οἰκεομένης τε ἡ ὁδὸς ἅπασα καὶ ἀσφαλέος. Διὰ
μέν γε Λυδίης καὶ Φρυγίης σταθμοὶ [a]τείνοντες εἴκοσί
εἰσι, παρασάγγαι δὲ τέσσερες καὶ ἐννενήκοντα καὶ
3 ἥμισυ. Ἐκδέκεται δ' ἐκ τῆς Φρυγίης ὁ Ἅλυς ποτα-
μός· ἐπ' ᾧ πύλαι τε ἔπεισι, τὰς διεξελάσαι πᾶσα
ἀνάγκη, καὶ οὕτω διεκπερᾶν τὸν ποταμόν· καὶ φυ-
4 λακτήριον μέγα ἐπ' αὐτῷ. Διαβάντι δὲ ἐς τὴν Καπ-
παδοκίην, καὶ ταύτῃ πορευομένῳ μέχρι οὔρων τῶν
Κιλικίων, σταθμοὶ [b]δυῶν δέοντές εἰσι τριήκοντα,
παρασάγγαι δὲ τέσσερες καὶ ἑκατόν. ἐπὶ δὲ τοῖσι
τούτων οὔροισι διξάς τε πύλας διεξελᾷς, καὶ διξὰ
5 φυλακτήρια [c]παραμείψεαι. Ταῦτα δὲ διεξελάσαντι,
καὶ διὰ τῆς Κιλικίης ὁδὸν ποιευμένῳ, τρεῖς εἰσι στα-
θμοὶ παρασάγγαι δὲ πεντεκαίδεκα καὶ ἥμισυ. οὖρος
δὲ Κιλικίης [d]καὶ τῆς Ἀρμενίης ἐστὶ ποταμὸς νηυσι-
6 πέρητος, τῷ οὔνομα [e]Εὐφρήτης. Ἐν δὲ τῇ Ἀρμενίῃ

Obiter de illius itine- 397 ris [c. 50.] per stathmos, parasangas, stadia, diesque dimensi ratione. Fluvii in eo memorabiliores, Halys [1, 72.], Euphrates [1, 180.], Tigris [1, 189.], duo cognomines [*sed iidem in textu Herodoteo anonymi*], Gyndes [1, 189. 202.], postremus Choaspes [1, 188.], ad quem Susa Memnonia [5, 49. 7, 151.].

[g] *ἐσὸ* K. unde *ἐς ὃ* Schæfer. et Bekker. *ἐσοῦσα* F. [h] Sic M.P.K. *ὑπεδέδεκτο* F.S. et al. [i] *διαφθορέει* P. cf. IX. 41. *διαφθαρέει* F. [k] *βασιλῆα*] *βασιλέα* F.S.

52. [a] *στείνοντες* F. [b] *δ' ὧν* S. [c] *διαμείψεαι* S. [d] *καὶ τῆς Ἀρμ.* om. S. qui *ναυσὶ* pro *νηυσὶ*. Bekkerus dedit *νηυσιπέρητος* pro *νηυσὶ περητός*. Et sic infra. [e] *Εὐφράτης* S.V.P.K.

σταθμοὶ μέν εἰσι [f]καταγωγέων πεντεκαίδεκα, παρα-
σάγγαι δὲ ἓξ καὶ πεντήκοντα καὶ ἥμισυ· καὶ φυλα-
κτήριον ἐν αὐτοῖσι. ποταμοὶ δὲ νηυσιπέρητοι τέσσερες
διὰ ταύτης ῥέουσι, τοὺς πᾶσα ἀνάγκη διαπορθμεῦσαί
7 ἐστι. πρῶτος μὲν, [g]Τίγρις· μετὰ δὲ, δεύτερός τε καὶ
τρίτος ὡυτὸς [h]οὐνομαζόμενος, οὐκ ὡυτὸς ἐὼν ποτα-
μὸς, οὐδὲ ἐκ τοῦ αὐτοῦ ῥέων· ὁ μὲν γὰρ πρότερος
αὐτῶν καταλεχθεὶς, ἐξ Ἀρμενίων ῥέει· ὁ δ' ὕστερον,
8 ἐκ Ματιηνῶν. ὁ δὲ τέταρτος τῶν ποταμῶν οὔνομα
ἔχει Γύνδης, τὸν Κῦρος διέλαβέ κοτε ἐς διώρυχας
ἑξήκοντα καὶ τριηκοσίας. Ἐκ δὲ ταύτης τῆς Ἀρμε-
νίης [i]ἐσβάλλοντι ἐς τὴν Ματιηνὴν γῆν, σταθμοί εἰσι
9 [k]τέσσερες. ἐκ δὲ ταύτης ἐς τὴν Κισσίην χώρην με-
ταβαίνοντι, ἕνδεκα σταθμοὶ, παρασάγγαι δὲ δύο καὶ
τεσσεράκοντα καὶ ἥμισύ ἐστι ἐπὶ ποταμὸν Χοάσπην,
ἐόντα καὶ τοῦτον νηυσιπέρητον· ἐπ' ᾧ Σοῦσα πόλις
10 πεπόλισται. Οὗτοι οἱ πάντες σταθμοί εἰσι ἕνδεκα
καὶ ἑκατόν. καταγωγαὶ μέν νυν σταθμῶν τοσαῦταί
53 εἰσι ἐκ Σαρδίων ἐς Σοῦσα ἀναβαίνοντι. Εἰ δὲ ὀρθῶς
μεμέτρηται ἡ ὁδὸς ἡ βασιληΐη τοῖσι παρασάγγησι,
καὶ ὁ παρασάγγης δύναται τριήκοντα στάδια, [a]ὥσπερ
οὗτός γε δύναται ταῦτα, ἐκ Σαρδίων στάδιά [b]ἐστι ἐς
τὰ βασιλήϊα τὰ [c]Μεμνόνια καλεόμενα, πεντακόσια
καὶ τρισχίλια καὶ μύρια, παρασαγγέων ἐόντων πεν- 398
2 τήκοντα καὶ τετρακοσίων. πεντήκοντα δὲ καὶ ἑκατὸν

[f] καταγωγέων hinc Suidas in v. [g] Τίγρις S.V. Eustath. Dionys. 976. Vall. cf. I. 189. 193. II. 150. Πίγρης Ald. P.K.F.a.c.b. Τίγρης M. cf. VI. 10. [h] οὐνομαζόμενος duo mss. ὀνομαζόμενος vulgo. Mox οἱ δ' ὕστερον S. quæ et Pauwii apud Wesselingium conjectura. [i] Sic S. ἐσβάλλοντος Ald. V. Paris. P.F. ἐσβάλλοντες M.K. Gronov. [k] Post τέσσαρες lacunæ signa posuit Bekker.

53. [a] ὥσπερ—στάδια om. S. [b] εἰσι (ἔστι) F. [c] Sic S.V.F. Μεμνόνεια Wessel. et al. cum Strabone XV. p.1058=728. cf. ad Diodor. II. 22.

στάδια ἐπ' ἡμέρῃ ἑκάστῃ διεξιοῦσι, ἀναισιμοῦνται
54 ἡμέραι ἀπαρτὶ ἐννενήκοντα. Οὕτω [a]τῷ Μιλησίῳ
Ἀρισταγόρῃ, εἴπαντι πρὸς Κλεομένεα τὸν Λακεδαι-
μόνιον εἶναι τριῶν μηνῶν τὴν ἄνοδον τὴν παρὰ βασι-
2 λέα, ὀρθῶς εἴρητο. εἰ δέ τις τὸ ἀτρεκέστερον [b]τούτων
ἔτι δίζηται, ἐγὼ καὶ τοῦτο σημανέω· τὴν γὰρ ἐξ
Ἐφέσου ἐς Σάρδις ὁδὸν δεῖ προσλογίσασθαι ταύτῃ.
3 καὶ δὴ λέγω σταδίους εἶναι τοὺς πάντας ἀπὸ θαλάσ-
σης τῆς Ἑλληνικῆς μέχρι Σούσων, (τοῦτο γὰρ [c]Με-
μνόνιον ἄστυ καλέεται,) τεσσεράκοντα καὶ τετρακισ-
χιλίους καὶ μυρίους· οἱ γὰρ ἐξ Ἐφέσου ἐς Σάρδις
εἰσὶ τεσσεράκοντα καὶ πεντακόσιοι στάδιοι· καὶ οὕτω
τρισὶ ἡμέρῃσι μηκύνεται ἡ τρίμηνος ὁδός.

55 Ἀπελαυνόμενος δὲ ὁ Ἀρισταγόρης ἐκ τῆς Σπάρ-
της, ἤϊε ἐς τὰς Ἀθήνας, γενομένας [a]τυράννων ὧδε
2 ἐλευθέρας. Ἐπεὶ [b]Ἵππαρχον τὸν Πεισιστράτου, Ἱπ-
πίεω δὲ τοῦ τυράννου ἀδελφεὸν, ἰδόντα ὄψιν ἐνυπνίου
τῷ ἑωυτοῦ πάθεϊ ἐναργεστάτην, κτείνουσι [c]Ἀριστο-
γείτων καὶ Ἁρμόδιος, γένος ἐόντες [d]τὰ ἀνέκαθεν
Γεφυραῖοι, μετὰ ταῦτα ἐτυραννεύοντο Ἀθηναῖοι ἐπ'
ἔτεα τέσσερα οὐδὲν ἧσσον, ἀλλὰ καὶ μᾶλλον, ἢ πρὸ
56 τοῦ. Ἡ μέν νυν ὄψις τοῦ Ἱππάρχου ἐνυπνίου ἦν
ἥδε. ἐν τῇ προτέρῃ νυκτὶ τῶν Παναθηναίων ἐδόκεε ὁ
Ἵππαρχος, ἄνδρα οἱ ἐπιστάντα μέγαν καὶ εὐειδέα
αἰνίσσεσθαι τάδε τὰ ἔπεα·

2 Τλῆθι [a]λέων ἄτλητα παθὼν τετληότι θυμῷ·
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

Aristagoras spe frustratus auxilii Spartani, Athenas jam proficiscitur, paullo ante [a. 510.] in libertatem vindicatas.

DIGRESSIO DE REBUS ATTICIS. Aristogiton et Harmodius, genere Gephyræi, interficiunt [a. 514.] Hipparchum Pisistrati filium, somnio frustra monitum.

54. [a] τῷ om. K. Mox βασιλέα S. pro βασιλῆα. [b] τουτέων ἔτι] ἔτι om. S. τούτων F.S. pro τουτέων. Tum δίζοιτο S. [c] Sic S.V. Μεμνόνειον F. Wessel. al.

55. [a] Sic S.P.K.F.a. ὧδε τυρ. Ald. Wessel. [b] Ὕπαρχον V. Mox ἐμφερεστάτην Wyttenbach. pro ἐναργεστάτην. [c] ὁ Ἀριστ. καὶ ὁ Ἁρμ. S. [d] τὰ om. F.

56. [a] λέον S.a. Mox ἀδίκων F.b.

3 ταῦτα δὲ, ὡς ἡμέρη ἐγένετο τάχιστα, φανερὸς ἦν
ὑπερτιθέμενος ὀνειροπόλοισι· μετὰ δὲ, ἀπειπάμενος
τὴν ὄψιν, ἔπεμπε τὴν πομπὴν, ἐν τῇ δὴ τελευτᾷ. 399

57 Gephyræorum majores cum Cadmo e Phœnicia in Bœotiam delati, agrum Tanagræum sortito obtinent: unde a Bœotis ejecti [c. 61.], sedem Athenas transferunt.

Οἱ δὲ [a]Γεφυραῖοι, τῶν [b]ἦσαν [c]οἱ φονέες οἱ Ἱπ-
πάρχου, ὡς μὲν αὐτοὶ λέγουσι, ἐγεγόνεσαν ἐξ Ἐρε-
τρίης τὴν ἀρχήν· ὡς δὲ ἐγὼ ἀναπυνθανόμενος εὑ-
ρίσκω, ἦσαν Φοίνικες τῶν σὺν Κάδμῳ ἀπικομένων
Φοινίκων ἐς γῆν τὴν νῦν Βοιωτίην καλεομένην· οἴκεον
δὲ τῆς χώρης ταύτης ἀπολαχόντες τὴν Ταναγρικὴν
2 [d]μοῖραν. ἐνθεῦτεν δὲ Καδμείων πρότερον ἐξαναστάν-
των ὑπ' Ἀργείων, οἱ Γεφυραῖοι οὗτοι δεύτερα ὑπὸ
Βοιωτῶν ἐξαναστάντες ἐτράποντο [e]ἐπ' Ἀθηνέων.
3 Ἀθηναῖοι δέ σφεας ἐπὶ ῥητοῖσι ἐδέξαντο σφέων αὐ-
τῶν εἶναι πολιήτας, πολλῶν τέων καὶ οὐκ ἀξιαπηγή-
των ἐπιτάξαντες ἔργεσθαι.

58 Græci a colonis Phœnicibus cum alia edocti, tum notas literarum. Pellium ad scribendum usus.

Οἱ δὲ Φοίνικες οὗτοι οἱ
σὺν Κάδμῳ ἀπικόμενοι, τῶν ἦσαν οἱ Γεφυραῖοι,
ἄλλα τε πολλὰ, οἰκήσαντες ταύτην τὴν χώρην, ἐσή-
γαγον [a]διδασκάλια ἐς τοὺς Ἕλληνας, καὶ δὴ καὶ
γράμματα· οὐκ ἐόντα πρὶν Ἕλλησι, ὡς ἐμοὶ [b]δοκέειν·
πρῶτα μὲν, [c]τοῖσι καὶ ἅπαντες χρέωνται Φοίνικες·
μετὰ δὲ, χρόνου προβαίνοντος, ἅμα τῇ φωνῇ μετέ-
2 βαλον καὶ τὸν ῥυθμὸν τῶν γραμμάτων. Περιοίκεον
δέ σφεας τὰ πολλὰ τῶν [d]χώρων τοῦτον τὸν χρόνον
Ἑλλήνων Ἴωνες· οἳ παραλαβόντες διδαχῇ παρὰ τῶν
Φοινίκων τὰ γράμματα, μεταρρυθμίσαντές σφεων

57. [a] Suidas in Γεφυρίς. [b] ἦσαν S.F. et infra. [c] Sic S.V.F.a.b.c. οἱ sec. vulg. om. [d] μοίρην] μοῖραν F.S. Steph. Byz. in Τάναγρα. [e] Sic M.K.P.a.c. ἐπ' Ἀθηναίων F.b. et al. ἐπ' Ἀθηναίους S. Mox πολλῶν τε ὧν S.

58. [a] διδασκαλεῖα S. [b] Sic M.P.K.F.b.d. δοκέει S.V.a.c. Ald. [c] τούτοισιν ἐχρέωντο κατάπερ καὶ ἅπ. χρ. Φ. S. probantibus Schæfero et Larchero. Contra, hæc e scholio nata contendit Schweighæuserus. [d] χωρῶν K. χωρίων Schæferus, ex emend. Wesselingii. χωρέων F.b.

[e]ὀλίγα, ἐχρέωντο· χρεώμενοι δὲ ἐφάτισαν, ὥσπερ καὶ
τὸ δίκαιον ἔφερε, ἐσαγαγόντων Φοινίκων ἐς τὴν Ἑλ-
3 λάδα, [f]Φοινικήϊα κεκλῆσθαι. καὶ τὰς [g]βύβλους δι-
φθέρας καλέουσι ἀπὸ τοῦ παλαιοῦ [h]οἱ Ἴωνες, ὅτι 400
κοτὲ ἐν [i]σπάνι βύβλων ἐχρέωντο διφθέρῃσι [k]αἰγέῃσί
τε καὶ οἰέῃσι· ἔτι δὲ καὶ τὸ κατ' ἐμὲ πολλοὶ τῶν βαρ-
59 βάρων ἐς τοιαύτας διφθέρας γράφουσι. Ἴδον δὲ [a]καὶ
αὐτὸς Καδμήϊα γράμματα ἐν τῷ ἱρῷ τοῦ Ἀπόλλωνος
τοῦ Ἰσμηνίου ἐν Θήβῃσι [b]τῇσι Βοιωτῶν ἐπὶ τρίποσί
τισι ἐγκεκολαμμένα, τὰ πολλὰ ὁμοῖα ἐόντα τοῖσι
2 Ἰωνικοῖσι. ὁ μὲν δὴ εἷς τῶν τριπόδων ἐπίγραμμα
ἔχει,

Tripodes Thebis in templo Apollinis Ismenii, quorum epigrammata literis Cadmeis [prout Herodoto visum est] scripta.

Ἀμφιτρύων μ' [c]ἀνέθηκε νέων ἀπὸ [d]Τηλεβοάων.

3 ταῦτα ἡλικίην [e]εἴη ἂν κατὰ Λάϊον τὸν Λαβδάκου τοῦ
60 Πολυδώρου τοῦ Κάδμου. Ἕτερος δὲ τρίπους ἐν ἑξα-
μέτρῳ τόνῳ λέγει,

Σκαῖος πυγμαχέων με ἑκηβόλῳ Ἀπόλλωνι
[a]νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

2 Σκαῖος δ' ἂν εἴη ὁ Ἱπποκόωντος, εἰ δὴ οὗτός γ' ἐστὶ
ὁ ἀναθεὶς καὶ μὴ ἄλλος τὠυτὸ οὔνομα ἔχων [b]τῷ Ἱπ-

[e] ὀλίγοισιν ἐχρ. S. Vall. Supra μεταρρυθμήσ. S. [f] Citat Clemens Alex. Strom. I. p. 362. Eustath. Dionys. 907. cf. ad Diodor. III. 66. Supra ἐς τὴν Ἑλλάδα om. S. [g] Sic P.F. et mox βύβλων, pro vulg. βίβλους quod retinet Bekker. cf. Pollux VII. 211. Eustath. Od. p. 1913, 30=765, 38. Pierson. Mœr. p. 90. [h] Sic P.S.a.c. οἱ om. F.b. vulgo. [i] Sic. S.V. Alii σπάνει. [k] Sic M.P.K.V.S. αἰγείῃσι olim. αἰγαίῃσι F. αἰγίῃσι b.

59. [a] καὶ om. V.S. Supra Εἶδον F. pro Ἴδον. Illud Herodoteum esse, hoc Grammaticorum putat Apetzius. [b] τοῖσι Ald. Mox Bekkerus, secutus Dobræum, ἐπὶ τρίποσι τρισί. [c] Ita Schweighæuserus ex Villoisoni emendatione Anecd. Gr. II. p. 129. Vulgo ἀνέθηκεν ἔων. Matthiæ ἀνέθηκεν ἰών. Bekker ἀνέθηκεν ἐών. [d] Τηλεβίων γε S. [e] ἂν εἴη] εἴη ἂν S.V.P.K.F.

60. [a] Citat Suidas in Τεΐν. [b] Sic mss. plures. τοῦ Ἱππ. Ald. Supra ἔχων οὔνομα S.

61 ποκόωντος, ἡλικίην κατὰ Οἰδίπουν τὸν Λαΐου. Τρί-
τος δὲ τρίπους λέγει καὶ οὗτος ἐν ἑξαμέτρῳ·

> Λαοδάμας τρίποδ' [a] αὐτὸν ἐΰσκόπῳ Ἀπόλλωνι
> μουναρχέων ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

2 Ἐπὶ τούτου [b] δὴ τοῦ Λαοδάμαντος τοῦ Ἐτεοκλέος
μουναρχέοντος [c] ἐξανιστέαται Καδμεῖοι ὑπ' Ἀργείων,
3 καὶ τρέπονται ἐς τοὺς Ἐγχέλεας. οἱ δὲ Γεφυραῖοι,
ὑπολειφθέντες, ὕστερον [d] ὑπὸ Βοιωτῶν ἀναχωρέουσι 401
ἐς Ἀθήνας· καί σφι ἱρά ἐστι ἐν Ἀθήνῃσι ἱδρυμένα,
τῶν οὐδὲν μέτα τοῖσι λοιποῖσι Ἀθηναίοισι, ἄλλα τε
κεχωρισμένα τῶν ἄλλων ἱρῶν, καὶ δὴ καὶ [e] Ἀχαιΐης
Δήμητρος ἱρόν τε καὶ ὄργια.

62 Ἡ μὲν δὴ ὄψις τοῦ Ἱππάρχου ἐνυπνίου, καὶ οἱ
Γεφυραῖοι ὅθεν ἐγεγόνεσαν, τῶν ἦσαν οἱ Ἱππάρχου
φονέες, ἀπήγηταί μοι· [a] δεῖ δὲ πρὸς τούτοισι ἔτι ἀνα-
λαβεῖν τὸν κατ' ἀρχὰς ἤϊα λέξων λόγον, ὡς τυράν-
2 νων ἐλευθερώθησαν [b] Ἀθηναῖοι. Ἱππίεω τυραννεύοντος
καὶ ἐμπικραινομένου Ἀθηναίοισι διὰ τὸν Ἱππάρχου
θάνατον, Ἀλκμαιωνίδαι, γένος ἐόντες Ἀθηναῖοι, καὶ
φεύγοντες Πεισιστρατίδας, ἐπεί τε σφι ἅμα τοῖσι
ἄλλοισι Ἀθηναίων φυγάσι πειρωμένοισι κατὰ τὸ
ἰσχυρὸν οὐ [c] προεχώρεε [d] κάτοδος, ἀλλὰ προσέπταιον
μεγάλως, πειρώμενοι κατιέναι τε καὶ ἐλευθεροῦν τὰς
Ἀθήνας, [e] Λειψύδριον τὸ ὑπὲρ Παιονίης τειχίσαντες·
ἐνθαῦτα οἱ Ἀλκμαιωνίδαι πᾶν ἐπὶ τοῖσι Πεισιστρα-
τίδῃσι μηχανώμενοι, παρ' Ἀμφικτυόνων τὸν νηὸν

Occiso Hipparcho [c. 55.], dum Hippias tyrannus Athenienses asperius vexat, Alcmæonidæ cum cæteris exsulibus [1, 64.], quem sibi reditum in patriam armis parare non potuerant, astu conficere nituntur. Igitur et templum Delphicum [1, 50. 2, 180.] magnificentissime restaurantes,

61. [a] αὐτὸς conj. Schweighæuser. ad μουναρχέων referendum. [b] δὲ F. [c] ἐξανισταίατο Ald. [d] ὑπὸ Βοιωτῶν ὕστ. S. [e] Ἀχαιῆς S. Ἀχαίης b.

62. [a] δεῖ δὴ F.b. [b] οἱ Ἀθηναῖοι] οἱ om. P.V.K.F.b.S. Bekker. Mox Ἀλκμαιονίδαι S. et infra. [c] προσεχώρεε S. [d] ἡ κάτοδος Schæfer. [e] Sic F. Suid. Hesych. Etymolog. Λιψύδριον S. Wessel. et al.

μισθοῦνται τὸν ἐν Δελφοῖσι, τὸν νῦν ἐόντα, τότε δὲ 3 οὔκω, τοῦτον ἐξοικοδομῆσαι. οἷα δὲ χρημάτων εὖ ἥκοντες, καὶ ἐόντες ἄνδρες δόκιμοι ἀνέκαθεν ἔτι, τόν τε νηὸν ἐξεργάσαντο τοῦ παραδείγματος κάλλιον, τά τε ἄλλα, καὶ, συγκειμένου σφι πωρίνου λίθου ποιέειν τὸν νηὸν, Παρίου τὰ ἔμπροσθεν [f] αὐτοῦ ἐξεποίησαν.

63 Ὡς ὦν δὴ οἱ * Ἀθηναῖοι λέγουσι, οὗτοι οἱ ἄνδρες ἐν Δελφοῖσι κατήμενοι ἀνέπειθον τὴν Πυθίην χρήμασι, ὅκως ἔλθοιεν Σπαρτιητέων ἄνδρες, εἴτε ἰδίῳ στόλῳ εἴτε δημοσίῳ χρησόμενοι, [a] προφέρειν σφι τὰς Ἀθή- 2 νας ἐλευθεροῦν. Λακεδαιμόνιοι δὲ, ὥς σφι [b] αἰεὶ τὠυτὸ [c] πρόφαντον [d] ἐγένετο, πέμπουσι Ἀγχιμόλιον τὸν Ἀστέρος, ἐόντα τῶν ἀστῶν ἄνδρα δόκιμον, σὺν στρατῷ, [e] ἐξελῶντα Πεισιστρατίδας ἐξ [f] Ἀθηνέων, ὅμως καὶ [g] ξεινίους σφι ἐόντας τὰ μάλιστα· τὰ γὰρ τοῦ θεοῦ πρεσβύτερα ἐποιεῦντο ἢ τὰ τῶν ἀνδρῶν. 3 πέμπουσι δὲ τούτους κατὰ θάλασσαν πλοίοισι. ὁ μὲν δὴ [h] προσχὼν ἐς Φάληρον, τὴν στρατιὴν ἀπέβησε· οἱ δὲ Πεισιστρατίδαι προπυνθανόμενοι ταῦτα, ἐπεκαλέοντο ἐκ Θεσσαλίης ἐπικουρίην· ἐπεποίητο 4 γάρ σφι συμμαχίη πρὸς αὐτούς. Θεσσαλοὶ δέ σφι δεομένοισι ἀπέπεμψαν, κοινῇ γνώμῃ χρεώμενοι, χιλίην τε ἵππον, καὶ τὸν [i] βασιλέα τὸν σφέτερον Κινέην, ἄνδρα Κονιαῖον· τοὺς ἐπεί τε ἔσχον συμμάχους 5 οἱ Πεισιστρατίδαι, [k] ἐμηχανέατο τοιάδε. κείραντες

et dona dantes Pythiæ, obtinent, ut Spartani, quoties Apollinem consulunt, toties Athenas liberare oraculi monitu jubeantur. Primæ Spartanorum in Atticam expeditionis infaustus eventus.

402

[f] αὐτοῦ om. c.

63. * Λακεδαιμόνιοι requirebat Schweighæuserus, coll. cap. 90. [a] προσφ. S.b. προφαίνειν conj. Bekker. [b] ἀεὶ V.S. [c] πρόσφαντον S. [d] ἐγίνετο V.P.S. Bekker. [e] ἐξελόντα S.F. [f] Ἀθηνέων P.K.M. Ἀθηναίων F. et vulgo. [g] ξείνους Schæferus ad Gregor. p. 556. conf. cap. 90. 91. [h] προσσχὼν Schæfer. [i] βασιλῆα] βασιλέα F.S. [k] ἐμηχάνεατο mihi suspectum est. Etsi enim ἐβουλέατο, ἀπικέατο, ἐγινέατο, et alia usitata sunt Herodoto pro ἐβούλοντο, ἀπίκοντο, ἐγίνοντο, nusquam tamen pro -έοντο reperias -έατο, ut ἐμηχα-

τῶν Φαληρέων τὸ πεδίον, καὶ [k]ἱππάσιμον ποιήσαντες τοῦτον τὸν χῶρον, ἐπῆκαν τῷ στρατοπέδῳ τὴν ἵππον· ἐμπεσοῦσα δὲ διέφθειρε ἄλλους τε πολλοὺς τῶν Λακεδαιμονίων, καὶ δὴ καὶ τὸν Ἀγχιμόλιον· τοὺς δὲ
6 περιγενομένους αὐτῶν ἐς τὰς νέας [l]κατέρξαν. Ὁ μὲν δὴ πρῶτος στόλος ἐκ Λακεδαίμονος οὕτω ἀπήλλαξε· καὶ Ἀγχιμολίου εἰσὶ ταφαὶ τῆς Ἀττικῆς Ἀλωπεκῆσι, ἀγχοῦ τοῦ [m]Ἡρακληΐου τοῦ ἐν Κυνοσάργεϊ.

64 Felicior alterius duce Cleomene susceptæ.

Μετὰ δὲ, Λακεδαιμόνιοι μέζω στόλον στείλαντες, ἀπέπεμψαν ἐπὶ τὰς Ἀθήνας, στρατηγὸν τῆς στρατιῆς ἀποδέξαντες βασιλέα Κλεομένεα τὸν [a]Ἀναξανδρίδεω, οὐκέτι κατὰ θάλασσαν στείλαντες, ἀλλὰ κατ'
2 ἤπειρον. τοῖσι [b]δὲ ἐσβαλοῦσι ἐς τὴν Ἀττικὴν χώρην ἡ τῶν [c]Θεσσαλῶν ἵππος πρώτη προσέμιξε, καὶ οὐ μετὰ πολὺ ἐτράπετο· καί σφεων ἔπεσον ὑπὲρ τεσσεράκοντα ἄνδρας, οἱ δὲ περιγενόμενοι ἀπαλλάσσοντο
3 ὡς εἶχον ἰθὺς ἐπὶ Θεσσαλίης. Κλεομένης δὲ ἀπικόμενος ἐς τὸ ἄστυ ἅμα Ἀθηναίων τοῖσι βουλομένοισι 403
εἶναι ἐλευθέροισι, ἐπολιόρκεε τοὺς τυράννους, ἀπεργμένους ἐν τῷ Πελασγικῷ τείχεϊ.

65 Pisistratidæ tyrannide exuti [a. 510.], Sigeum ad Scamandrum [4,38. 5, 94.] concedunt. Pisistratus et filii quamdiu Athenis regnaverint, undeque originem traxerint.

Καὶ οὐδέν τι πάντως ἂν ἐξεῖλον τοὺς Πεισιστρατίδας οἱ Λακεδαιμόνιοι· οὔτε γὰρ ἐπέδρην ἐπενόεον ποιήσασθαι, οἵ τε Πεισιστρατίδαι σίτοισι καὶ ποτοῖσι εὖ παρεσκευάδατο· πολιορκήσαντές τε ἂν ἡμέρας ὀλίγας, ἀπαλ-
2 λάσσοντο ἐς τὴν Σπάρτην. νῦν δὲ συντυχίη τοῖσι μὲν κακὴ ἐπεγένετο, τοῖσι δὲ, ἡ αὐτὴ αὕτη σύμμαχος· ὑπεκτιθέμενοι γὰρ ἔξω τῆς χώρης οἱ παῖδες τῶν Πει-

νέατο pro ἐμηχανέοντο. Et ἐμηχανέοντο legitur VIII. 7, 52. Vide igitur an legendum sit ἐμεμηχανέατο, Vid. Gramm. Gr. §. 505. IV. sec. ed. vel ἐμηχανώατο, ut ἐπειρώατο I. 68. 76. Matth. [k] ἱππεύσιμον S. [l] κατεῖρξαν S.P. [m] Ἡρακλείου S. Bekker.

64. [a] Ἀλεξ. duo mss. [b] δὲ om. S.V.P.K.F.b. Bekker. [c] Θεσσαλῶν S.V.F. Θεσσαλέων vulg. ἵππων pro ἵππος S.

3 σιστρατιδέων ἥλωσαν. τοῦτο δὲ ὡς ἐγένετο, [a]πάντα
αὐτῶν τὰ πρήγματα συνετετάρακτο. παρέστησαν δὲ,
ἐπὶ μισθῷ τοῖσι τέκνοισι, ἐπ' οἷσι ἐβούλοντο οἱ Ἀθη-
ναῖοι, ὥστε ἐν πέντε ἡμέρῃσι ἐκχωρῆσαι ἐκ τῆς Ἀτ-
4 τικῆς. Μετὰ δὲ, ἐξεχώρησαν ἐς Σίγειον τὸ ἐπὶ τῷ
Σκαμάνδρῳ· ἄρξαντες μὲν Ἀθηναίων ἐπ' ἔτεα [b]ἕξ τε
καὶ τριήκοντα, ἐόντες δὲ καὶ οὗτοι [c]ἀνέκαθεν [d]Πύλιοί
τε καὶ Νηλεῖδαι, ἐκ τῶν αὐτῶν γεγονότες καὶ οἱ ἀμφὶ
Κόδρον τε καὶ Μέλανθον, οἳ πρότερον ἐπήλυδες ἐόν-
5 τες, ἐγένοντο Ἀθηναίων βασιλέες. ἐπὶ τούτου δὲ καὶ
τὠυτὸ οὔνομα ἀπεμνημόνευσε Ἱπποκράτης τῷ παιδὶ
θέσθαι, τὸν Πεισίστρατον, ἐπὶ τοῦ Νέστορος Πει-
6 σιστράτου ποιεύμενος τὴν ἐπωνυμίην. Οὕτω μὲν
Ἀθηναῖοι τυράννων [e]ἀπαλλάχθησαν· ὅσα δὲ ἐλευθε-
ρωθέντες ἔρξαν ἢ ἔπαθον [f]ἀξιόχρεα ἀπηγήσιος, [g]πρὶν
ἢ Ἰωνίην τε ἀποστῆναι ἀπὸ Δαρείου, καὶ Ἀρισταγό-
ρεα τὸν Μιλήσιον ἀπικόμενον ἐς Ἀθήνας [h]χρῆσαι
σφέων βοηθέειν, ταῦτα πρῶτα φράσω.

66 Ἀθῆναι, ἐοῦσαι καὶ πρὶν μεγάλαι, τότε ἀπαλλα-
2 χθεῖσαι τυράννων, [a]ἐγίνοντο μέζονες. ἐν δὲ [b]αὐτῇσι
δύο ἄνδρες ἐδυνάστευον, Κλεισθένης τε, ἀνὴρ Ἀλκ-
μαιωνίδης, ὅσπερ δὴ λόγον ἔχει τὴν Πυθίην ἀναπεῖ-
σαι, καὶ Ἰσαγόρης [c]ὁ Τισάνδρου, οἰκίης μὲν ἐὼν
δοκίμου, [d]ἀτὰρ τὰ ἀνέκαθεν οὐκ ἔχω φράσαι· θύουσι

De rebus Atheniensium post tyrannos expulsos usque ad Aristagoræ Milesii adventum. Clisthenis

404

65. [a] Sic S.V.P.F. πάντη αὐτέων τὰ πρ. Wess. et al. [b] ἕξ τε καὶ K.P.F.a.c.S. τε om. al. Citat Schol. ad Aristoph. Vesp. 500. [c] τὰ ἀνέκ. Schæfer. ad Bosii Ellips. p. 482. [d] Cf. Eustath. Od. p. 1474, 44=136, 36. [e] Sic S.V.F. ἀπηλλ. Ald. Wessel. [f] Sic M.P.K.F.S.a.c.b.d. cf. IV. 126. ἀξιόχρεω Ald. et al. [g] Sic M.P. K.S.V. ἢ om. F.a.b.d. et vulgo. [h] Ita Portus. Vulgo χρῆσαι. χρηΐσαι Schæfer. Bekker.

66. [a] Sic V.P.K.F.a.b.c. ἐγένοντο al. cum S. [b] Sic M.S.V.P.F. Paris. αὐτοῖσι vulgo. Mox Ἀλκμαιονίδης S. [c] ὁ om. S.V.P.K.F.c. [d] αὐτὰρ S.

et Isagoræ factiones. Ille auram captat popularem et Athenienses, abrogata prisca in quatuor tribus divisione, in decem dispertit novis adpellatas nominibus,

3 δὲ οἱ συγγενέες αὐτοῦ Διῒ Καρίῳ. οὗτοι οἱ ἄνδρες
ἐστασίασαν περὶ δυνάμιος. ἑσσούμενος δὲ ὁ Κλει-
4 σθένης, τὸν δῆμον προσεταιρίζεται. μετὰ δὲ, τετρα-
φύλους ἐόντας Ἀθηναίους, δεκαφύλους ἐποίησε· τῶν
Ἴωνος παίδων, [e]Γελέοντος καὶ Αἰγικόρεος καὶ [f]Ἀρ-
γάδεω καὶ Ὅπλητος, ἀπαλλάξας τὰς ἐπωνυμίας·
[g]ἐπιχωρίων δ' ἑτέρων ἡρώων ἐπωνυμίας ἐξευρὼν,
πάρεξ Αἴαντος· τοῦτον δὲ, ἅτε ἀστυγείτονα καὶ σύμ-
μαχον, ξεῖνον ἐόντα, [h]προσέθετο.

67

Avum maternum imitans, Clisthenem Sicyoniorum tyrannum [6, 131.], qui cum alia Sicyone novaverat, [obiter hic de rhapsodis, Adrasto Talaïonida, Melanippo Astacida, choris tragicis]

Ταῦτα δὲ, δοκέειν
ἐμοὶ, ἐμιμέετο ὁ Κλεισθένης οὗτος τὸν ἑωυτοῦ μητρο-
2 πάτορα, Κλεισθένεα τὸν Σικυῶνος τύραννον. Κλει-
σθένης γὰρ Ἀργείοισι πολεμήσας, τοῦτο μὲν, ῥαψῳ-
δοὺς ἔπαυσε ἐν Σικυῶνι ἀγωνίζεσθαι τῶν [a]Ὁμηρείων
[b]ἐπέων εἵνεκα, ὅτι Ἀργεῖοί τε καὶ Ἄργος [c]τὰ πολλὰ
πάντα ὑμνέαται· τοῦτο δὲ, ἡρῷον γὰρ ἦν καὶ ἔστι ἐν
αὐτῇ τῇ ἀγορῇ τῶν Σικυωνίων Ἀδρήστου τοῦ [d]Τα-
λαοῦ, τοῦτον ἐπεθύμησε ὁ Κλεισθένης, ἐόντα Ἀρ-
3 γεῖον, ἐκβαλεῖν ἐκ τῆς χώρης. ἐλθὼν δὲ ἐς Δελφοὺς,
ἐχρηστηριάζετο εἰ ἐκβάλοι τὸν Ἄδρηστον· [e]ἡ δὲ
Πυθίη οἱ χρᾷ φᾶσα, Ἄδρηστον μὲν εἶναι Σικυωνίων
4 βασιλέα, ἐκεῖνον δὲ λευστῆρα. ἐπεὶ δὲ ὁ θεὸς τοῦτό 405

[e] Sic S.V. Paris. F. Ald. Τελέοντος K.P. forte M. γε λέοντος a. Vall. [f] Ἀρκάδεω F. [g] ἐξευρὼν δ' ἑτ. ἡρ. ἐπων. ἐπιχωρίων S.P. K.F.a. δ' ἑτέρων—ἐξευρὼν om. b. [h] Sic S.P. Vall. F.a.b. προσέθεντο Ald. et al.

67. [a] Ὁμηρίων F. [b] ἐπαίνων S.V. Vulg. servat Eustath. Il. p. 288=218, 36. Tum ὅτε S. [c] Sic S.P.V.F.d. cf. I. 203. II. 35. τὰ πολλὰ πάντων vulgo. Eustath. Il. β'. p. 288=218, 35. διότι Ἀργεῖοι καὶ Ἄργος τὰ πολλὰ ἐν αὐτοῖς ὑμνοῦνται. Valckenærius reponit διὰ πάντων, *præ omnibus*, citans VI. 63. VII. 83. VIII. 69. necnon I. 25. VIII. 142. [d] Ταλάου Schæfer. Quam in Suidam v. Ἀδράστεια ad h. l. conjecturam proponit Schweighæuser. eam dudum præceperat Kuhnius ad Pausan. X. p. 821. Mox ἐκβάλλῃ Dobræus, favente nonnihil Bekkero. [e] Sic V.S.F.a.c. ἡ δέ γε Π. Wessel. Bekker. et vulgo. Iidem codd. οἱ χρᾷ pro vulg. χρᾷ οἱ.

γε οὐ παρεδίδου, ἀπελθὼν ὀπίσω, [f]ἐφρόντιζε μηχανὴν
τῇ αὐτὸς ὁ Ἄδρηστος ἀπαλλάξεται. ὡς δέ οἱ ἐξευ-
ρῆσθαι ἐδόκεε, πέμψας ἐς Θήβας τὰς Βοιωτίας, ἔφη
[g]θέλειν ἐπαγαγέσθαι Μελάνιππον τὸν [h]Ἀστακοῦ· οἱ
5 δὲ Θηβαῖοι ἔδοσαν. ἐπαγαγόμενος δὲ ὁ Κλεισθένης
τὸν Μελάνιππον, τέμενός οἱ ἀπέδεξε ἐν αὐτῷ τῷ
πρυτανηΐῳ, καί μιν ἵδρυσε ἐνθαῦτα ἐν τῷ ἰσχυρο-
6 τάτῳ. ἐπηγάγετο δὲ τὸν Μελάνιππον ὁ Κλεισθένης,
(καὶ γὰρ τοῦτο δεῖ ἀπηγήσασθαι,) ὡς ἔχθιστον ἐόντα
Ἀδρήστῳ· ὃς τόν τε ἀδελφεόν οἱ Μηκιστέα ἀπε-
7 κτόνεε, καὶ τὸν γαμβρὸν Τυδέα. ἐπεί τε δέ οἱ τὸ τέ-
μενος ἀπέδεξε, θυσίας τε καὶ ὁρτὰς Ἀδρήστου ἀπε-
λόμενος, ἔδωκε τῷ Μελανίππῳ. Οἱ δὲ Σικυώνιοι
8 [i]ἐώθεσαν μεγαλωστὶ κάρτα τιμᾶν τὸν Ἄδρηστον. ἡ
γὰρ χώρη ἦν αὕτη Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν
Πολύβου θυγατριδέος· ἄπαις δὲ Πόλυβος τελευτῶν
9 διδοῖ Ἀδρήστῳ τὴν [k]ἀρχήν. τά τε δὴ ἄλλα οἱ Σικυ-
ώνιοι ἐτίμων τὸν Ἄδρηστον, καὶ δὴ πρὸς, [l]τὰ πάθεα
αὐτοῦ τραγικοῖσι χοροῖσι ἐγέραιρον· τὸν μὲν Διόνυ-
10 σον οὐ τιμέωντες, τὸν δὲ Ἄδρηστον. Κλεισθένης δὲ
χοροὺς μὲν τῷ Διονύσῳ ἀπέδωκε, τὴν δὲ ἄλλην θυ-
σίην [m]τῷ Μελανίππῳ. ταῦτα μὲν ἐς Ἄδρηστόν οἱ
68 [n]πεποίητο. Φυλὰς δὲ τὰς Δωριέων, ἵνα δὴ μὴ [a]αἱ
αὐταὶ ἔωσι [b]τοῖσι Σικυωνίοισι καὶ τοῖσι Ἀργείοισι,
2 μετέβαλε ἐς ἄλλα οὐνόματα. ἔνθα καὶ [c]πλεῖστον

tum Sicyoniorum tri- 406 bubus nova nomina imposuerat.

[f] Sic S.V.K.P.F.c.d. ἐβουλεύετο vulgo. Mox ἀπαλλάξει S. [g] ἐθέλειν V. ἐλθεῖν S. [h] Ὀστακοῦ M.P.K.F.b. [i] Sic M.P.K.V.a.b.c. ἔθεσαν S. ἐώθασι Ald. deest verbum d. cf. Schol. Pindar. Nem. IX. 27. ubi εἰώθεισαν Calliergus, εἰώθεσαν Heyn. [k] χώρην Schol. Pind. [l] τὰ om. S.V. [m] τῷ om. P.S.V.K.F. [n] Sic duo mss. apud Wessel. ἐπεποίητο F. Paris. Wessel. al. ἐπεποίατο S.V.

68. [a] αὐταὶ F. [b] τοῖσι Σ. καὶ om. P. [c] πλεῖστα b. Mox ὄνου καὶ χοίρου Schæferus, ex Valckenærii, opinor, annotatione. Nimis fortasse curiose.

κατεγέλασε τῶν Σικυωνίων· ἐπὶ γὰρ ὑός τε καὶ ὄνου
τὰς ἐπωνυμίας [d]μετατιθεὶς, αὐτὰ τὰ τελευταῖα ἐπέ-
θηκε, πλὴν τῆς ἑωυτοῦ φυλῆς· ταύτῃ δὲ τὸ οὔνομα
ἀπὸ τῆς ἑωυτοῦ ἀρχῆς ἔθετο. οὗτοι μὲν δὴ Ἀρχέλαοι
ἐκαλέοντο· ἕτεροι δὲ, Ὑᾶται· ἄλλοι δὲ, Ὀνεᾶται·
4 ἕτεροι δὲ [e]Χοιρεᾶται. Τούτοισι τοῖσι οὐνόμασι τῶν
φυλέων ἐχρέωντο οἱ Σικυώνιοι, καὶ ἐπὶ Κλεισθένεος
ἄρχοντος, καὶ ἐκείνου τεθνεῶτος, ἔτι ἐπ' ἔτεα ἑξή-
κοντα· μετέπειτα μέντοι λόγον σφίσι δόντες, μετέ-
βαλον ἐς τοὺς Ὑλλέας καὶ Παμφύλους καὶ Δυμανά-
τας· τετάρτους δὲ αὐτοῖσι προσέθεντο ἐπὶ τοῦ Ἀδρή-
στου παιδὸς Αἰγιαλέος, τὴν ἐπωνυμίην ποιεύμενοι
κεκλῆσθαι Αἰγιαλέας.

69 Tali modo cum multo potentior adversariis evasisset,

Ταῦτα μέν νυν ὁ Σικυώνιος Κλεισθένης ἐπεποιή-
κεε. ὁ δὲ δὴ Ἀθηναῖος Κλεισθένης, ἐὼν τοῦ Σικυω-
νίου τούτου θυγατριδέος, καὶ τὸ οὔνομα ἐπὶ τούτου
ἔχων, δοκέειν ἐμοὶ, καὶ οὗτος ὑπεριδὼν Ἴωνας, ἵνα μὴ
σφισι αἱ αὐταὶ ἔωσι φυλαὶ καὶ Ἴωσι, τὸν ὁμώνυμον
2 Κλεισθένεα ἐμιμήσατο. ὡς γὰρ δὴ [a]τὸν Ἀθηναίων
δῆμον, πρότερον ἀπωσμένον, τότε [b]πάντα πρὸς τὴν
ἑωυτοῦ μοῖραν προσεθήκατο, τὰς φυλὰς [c]μετωνόμασε,
καὶ ἐποίησε πλεῦνας ἐξ ἐλασσόνων· δέκα τε δὴ [d]φυ-
λάρχους ἀντὶ τεσσέρων ἐποίησε, δέκα δὲ καὶ τοὺς δή-
3 μους κατένεμε ἐς τὰς φυλάς. ἦν τε, [e]τὸν δῆμον
προσθέμενος, πολλῷ κατύπερθε τῶν ἀντιστασιωτέων.

70 Isagoras, Cleomene

Ἐν τῷ μέρεϊ δὲ ἑσσούμενος ὁ Ἰσαγόρης, ἀντιτεχνᾶ-
ται [a]τάδε. ἐπικαλέεται Κλεομένεα τὸν Λακεδαιμόνιον,

[d] μετατεθεὶς c. Ald. [e] Χοιροιᾶται F.
69. [a] τῶν Ἀθ. S. Supra δὴ om. F. [b] Sic S. Vulgo πάντων. πάντως conj. Bekkerus. Tum μοῖραν ex S. pro μοίρην. [c] μετονομάσαι d. [d] φιλαρχίας S. [e] τῷ δήμῳ S.
70. [a] τάδε om. F.

γενόμενον ἑωυτῷ ξεῖνον ἀπὸ τῆς Πεισιστρατιδέων
πολιορκίης. [b]τὸν δὲ Κλεομένεα εἶχε αἰτίη φοιτᾶν 2
2 παρὰ τοῦ Ἰσαγόρεω τὴν γυναῖκα. Τὰ μὲν δὴ πρῶτα
πέμπων ὁ Κλεομένης ἐς τὰς Ἀθήνας κήρυκα, [c]ἐξέβαλλε Κλεισθένεα, καὶ μετ' αὐτοῦ ἄλλους πολλοὺς
3 Ἀθηναίων τοὺς ἐναγέας ἐπιλέγων. ταῦτα δὲ πέμπων ἔλεγε ἐκ διδαχῆς τοῦ Ἰσαγόρεω. οἱ μὲν γὰρ Ἀλκμαιωνίδαι καὶ οἱ συστασιῶται [d]αὐτῶν εἶχον αἰτίην τοῦ φόνου τούτου· αὐτὸς δὲ οὐ μετεῖχε, οὐδ' οἱ φίλοι αὐτοῦ.

407 Spartanisque in auxilium vocatis, per speciem sceleris Cylonii [interfectus Cylon a. 612.] Clisthenem cum aliis multis solum vertere cogit.

71 Οἱ δ' ἐναγέες [a]Ἀθηναίων ὧδε ὠνομάσθησαν. ἦν Κύλων τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης· οὗτος
2 ἐπὶ τυραννίδι [b]ἐκόμησε. [c]προσποιησάμενος δὲ ἑταιρηΐην τῶν ἡλικιωτέων, καταλαβεῖν τὴν ἀκρόπολιν ἐπειρήθη· οὐ δυνάμενος δὲ ἐπικρατῆσαι, ἱκέτης ἵζετο
3 πρὸς τὸ ἄγαλμα. τούτους ἀνιστέασι μὲν οἱ πρυτάνις τῶν [d]Ναυκράρων, οἵπερ [e]ἔνεμον τότε τὰς Ἀθήνας, ὑπεγγύους πλὴν θανάτου· φονεῦσαι δὲ αὐτοὺς αἰτίη ἔχει Ἀλκμαιωνίδας· ταῦτα πρὸ τῆς Πεισιστράτου ἡλικίης ἐγένετο.

72 Κλεομένης δὲ ὡς πέμπων [a]ἐξέβαλε Κλεισθένεα καὶ τοὺς ἐναγέας, Κλεισθένης μὲν αὐτὸς ὑπεξέσχε· μετὰ δὲ οὐδὲν [b]ἧσσον παρῆν [c]ἐς τὰς Ἀθήνας ὁ Κλεομένης, [d]οὐ σὺν μεγάλῃ χειρί· ἀπικόμενος δὲ ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων, τά οἱ ὑπέθετο ὁ

Ibi dum Cleomenes, Isagoræ gratificaturus, res novas Athenis molitur, Athenienses, armis

[b] Sic F.S. τὸν δὴ Κλ. vulgo. [c] Sic P.F.a.c. ἐξέβαλε Wessel. al. [d] αὐτέων om. K. αὐτῶν S. qui supra Ἀλκμαιονίδαι, et semper fere.

71. [a] ὑπ' Ἀθηναίων requirebat Schweighæuser. [b] ἐκόμισε S.b. cf. Eustath. Il. p. 165, 16=125, 3. [c] Citat Thomas M. in προσποιοῦμαι. [d] Citant Harpocr. et Suid. in Ναυκραρικὰ, Photius in Ναυκραρία. cf. Leopardi Em. VII. 19. [e] Sic V.F.a.b.c. ἔνειμον d. ἐνέμοντο S. al. Vid. Wesseling. ad I. 59.

72. [a] ἐξέβαλλε F. Bekker. [b] ἔσσον Schæfer. [c] ἐς τὰς Ἀθ. om. c.d. [d] Cf. Suidas in Ἀγηλατεῖν (ubi οὐ om.) et Ἐπίστια.

sumptis, Spartanos atque Isagoram [c. 74.] expellunt, Isagoreos necant.

2 [e]Ἰσαγόρης. ταῦτα δὲ ποιήσας, δεύτερα τὴν βουλὴν
καταλύειν ἐπειρᾶτο· τριηκοσίοισι δὲ τοῖσι Ἰσαγόρεω
3 [f]στασιώτῃσι τὰς ἀρχὰς ἐνεχείριζε. ἀντισταθείσης δὲ 408
τῆς βουλῆς, καὶ οὐ βουλομένης πείθεσθαι, ὅ τε Κλε-
ομένης καὶ ὁ Ἰσαγόρης καὶ οἱ στασιῶται αὐτοῦ κα-
4 ταλαμβάνουσι τὴν ἀκρόπολιν. Ἀθηναίων δὲ οἱ λοι-
ποὶ, τὰ αὐτὰ φρονήσαντες, ἐπολιόρκεον [g]αὐτοὺς ἡμέ-
ρας δύο· τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς
5 χώρης, ὅσοι [h]ἦσαν αὐτῶν Λακεδαιμόνιοι. Ἐπετελέετο
δὲ τῷ [i]Κλεομένεϊ ἡ φήμη· ὡς γὰρ ἀνέβη ἐς τὴν
ἀκρόπολιν, [k]μέλλων δὴ αὐτὴν κατασχήσειν, ἤϊε ἐς τὸ
ἄδυτον [l]τῆς θεοῦ, ὡς προσερέων· ἡ δὲ ἱρηΐη ἐξανα-
στᾶσα ἐκ τοῦ θρόνου, πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖ-
6 ψαι, εἶπε· "Ὦ ξεῖνε Λακεδαιμόνιε, πάλιν [m]χώρει,
"[n]μηδ' ἔσιθι ἐς τὸ ἱρόν· οὐ γὰρ θεμιτὸν [o]Δωριεῦσι
"παριέναι ἐνθαῦτα." ὁ δὲ εἶπε· "Ὦ γύναι, ἀλλ' οὐ
7 "Δωριεύς εἰμι, ἀλλ' Ἀχαιός." Ὁ μὲν δὴ τῇ κλεη-
δόνι οὐδὲν χρεώμενος, ἐπεχείρησέ τε, [p]καὶ τότε πάλιν
8 ἐξέπιπτε μετὰ τῶν Λακεδαιμονίων. Τοὺς δὲ ἄλλους
Ἀθηναῖοι κατέδησαν τὴν ἐπὶ [q]θανάτῳ· ἐν δὲ αὐτοῖσι,
καὶ Τιμησίθεον τὸν [r]Δελφὸν, τοῦ ἔργα χειρῶν τε
καὶ [s]λήματος ἔχοιμ' ἂν μέγιστα καταλέξαι. οὗτοι μέν

Revocatis Clisthene

73 νυν δεδεμένοι ἐτελεύτησαν. Ἀθηναῖοι δὲ μετὰ ταῦτα
Κλεισθένεα καὶ τὰ ἑπτακόσια ἐπίστια τὰ διωχθέντα

[e] Ἀρισταγόρης S. [f] *Militibus* (στρατιώτῃσι) vertit Valla. [g] αὐτοὺς om. S.a.c.d. [h] ἔσαν αὐτέων] ἦσαν αὐτῶν F.S. [i] Κλεομένῃ P. [k] μελλων δὲ S. [l] τοῦ θεοῦ a.c.d. Mox ἱρείη S. Ald. [m] Sic edd. mss. χώρεε expectasses. SCHWEIGH. [n] μηδ' εἴσελθε c.d. [o] Δωριῆα duo mss. apud Wessel. Schæfer. Mox κληΐδόνι S. [p] καὶ τότε om. S. Mox οἱ Ἀθηναῖοι S. [q] θάνατον d. [r] Ita Palmerius. cf. Pausan. VI. 8. Libri omnes ἀδελφεόν. [s] Sic S.F. Schol. Alii λήμματος. Conferri jubet Wesseling. Græviun ad Lucian. Solœc. 5. Valcken. Ammon. II. 15. Pierson. Mœr. p. 246. not. ad Diodor. II. 58.

ὑπὸ Κλεομένεος μεταπεμψάμενοι, πέμπουσι ἀγγέλους
ἐς Σάρδις, συμμαχίην βουλόμενοι ποιήσασθαι πρὸς
Πέρσας· ἠπιστέατο γάρ [a]σφι Λακεδαιμονίους τε καὶ
2 Κλεομένεα ἐκπεπολεμῶσθαι. ἀπικομένων δὲ τῶν ἀγ-
γέλων ἐς τὰς Σάρδις, καὶ λεγόντων τὰ ἐντεταλμένα,
[b]Ἀρταφέρνης ὁ Ὑστάσπεος, Σαρδίων ὕπαρχος, [c]ἐπει-
ρώτα τίνες ἐόντες ἄνθρωποι, καὶ [d]πῇ γῆς [e]οἰκημένοι,
3 δεοίατο Περσέων σύμμαχοι γενέσθαι. πυθόμενος δὲ
πρὸς τῶν ἀγγέλων, [f]ἀπεκορύφου σφι τάδε· εἰ μὲν
διδοῦσι βασιλέϊ Δαρείῳ [g]Ἀθηναῖοι γῆν τε καὶ ὕδωρ,
ὁ δὲ συμμαχίην σφι συνετίθετο· εἰ δὲ μὴ διδοῦσι,
4 ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευε. Οἱ δὲ ἄγγελοι ἐπὶ
σφέων αὐτῶν [h]βαλόμενοι, διδόναι ἔφασαν, βουλό-
μενοι τὴν συμμαχίην ποιήσασθαι. οὗτοι μὲν δὴ
ἀπελθόντες ἐς τὴν ἑωυτῶν, αἰτίας μεγάλας [i]εἶχον.

cæterisque exsulibus, dum Athenienses vindictam Spartanorum veriti, Persarum auxilium frustra ambiunt,

74 Κλεομένης δὲ, ἐπιστάμενος περιϋβρίσθαι ἔπεσι καὶ
ἔργοισι ὑπ' Ἀθηναίων, συνέλεγε ἐκ πάσης Πελοπον-
νήσου στρατὸν, οὐ φράζων ἐς τὸ συλλέγει· τίσασθαί
τε ἐθέλων τὸν δῆμον τῶν Ἀθηναίων, καὶ [a]Ἰσαγόρην
βουλόμενος τύραννον καταστῆσαι· συνεξῆλθε γάρ οἱ
2 οὗτος ἐκ τῆς ἀκροπόλιος. Κλεομένης τε δὴ στόλῳ
μεγάλῳ ἐσέβαλε ἐς [[b]τὴν] Ἐλευσῖνα, καὶ οἱ Βοιωτοὶ
ἀπὸ συνθήματος Οἰνόην αἱρέουσι καὶ Ὑσιὰς, δήμους

Cleomenes cum exercitu Peloponnesio, 409 simulque Bœoti ac Chalcidenses, Atticam invadunt.

73. [a] Sic Schweighæuserus, deleta πρὸς, quam omnes libri præbent ante Λακεδαιμονίους, citans III. 66. IV. 120. Wessel. ad III. 66. Valcken. Ammon. I. 18. not. ad Mœrid. p. 305. Thom. M. p. 702. ἐκπολεμῶσθαι S.V. [b] Ἀρταφρένης P.V.F.a. [c] Sic P.S.V. ἐπηρώτα F. Ald. ἐπερώτα vulgo. [d] Sic S. Schæferus. ποῖ vulgo. Quod retinendum est auctore Elmsleio ad Euripid. Heracl. 19. κῇ Bekkerus. [e] Sic V.P.S.F. Paris. οἰκεόμενοι vulgo. [f] Suidas in v. [g] Ἀθηναῖοι om. S. Vall. Mox αὐτοὺς om. S. [h] βαλόμενοι P.F.a.c. Alii βαλλόμενοι cum S. [i] ἔχον] εἶχον F.S.

74. [a] Ἰσαγόρην S.V.P.F.a. Ἰσαγόρεα al. [b] τὴν om. S.F.a. ut 76. VII. 75.

τοὺς ἐσχάτους τῆς Ἀττικῆς· Χαλκιδέες τε ἐπὶ τὰ 3 ἕτερα ἐσίνοντο ἐπιόντες χώρους τῆς Ἀττικῆς. Ἀθηναῖοι δὲ, καίπερ ἀμφιβολίῃ ἐχόμενοι, Βοιωτῶν μὲν καὶ Χαλκιδέων ἐς ὕστερον ἔμελλον μνήμην [c]ποιήσεσθαι· Πελοποννησίοισι δὲ, ἐοῦσι ἐν Ἐλευσῖνι, ἀντία ἔθεντο τὰ ὅπλα.

75

Sed priusquam res ad manus veniret, orta dissensione inter Peloponnesios adeoque ipsos Spartanorum reges, Cleomenem et Demaratum, (unde lex Spartæ lata, ne posthac ambo reges una in bellum exirent) socii dilabuntur.

Μελλόντων δὲ συνάψειν τὰ στρατόπεδα ἐς μάχην, Κορίνθιοι μὲν [a]πρῶτοι σφὶ αὐτοῖσι δόντες λόγον ὡς οὐ ποιοῖεν [b]τὰ δίκαια, [c]μετεβάλλοντό τε καὶ ἀπαλλάσσοντο· μετὰ δὲ Δημάρητος, ὁ Ἀρίστωνος, ἐὼν καὶ οὗτος βασιλεὺς Σπαρτιητέων, καὶ συνεξαγαγών τε τὴν στρατιὴν ἐκ Λακεδαίμονος, καὶ οὐκ ἐὼν [d]διάφορος ἐν τῷ πρόσθεν 2 χρόνῳ Κλεομένεϊ. Ἀπὸ δὲ ταύτης τῆς διχοστασίης ἐτέθη νόμος ἐν Σπάρτῃ, μὴ ἐξεῖναι ἕπεσθαι ἀμφοτέρους τοὺς βασιλῆας, ἐξιούσης [e]τῆς στρατιῆς· τέως γὰρ ἀμφότεροι εἵποντο· [f]παραλυομένου δὲ τούτων τοῦ ἑτέρου, καταλείπεσθαι καὶ τῶν Τυνδαριδέων τὸν 410 ἕτερον· πρὸ τοῦ γὰρ δὴ καὶ οὗτοι ἀμφότεροι, ἐπίκλη- 3 τοί σφι ἐόντες, εἵποντο. Τότε δὴ ἐν τῇ Ἐλευσῖνι ὁρέωντες οἱ λοιποὶ τῶν συμμάχων τούς τε βασιλῆας [g]τῶν Λακεδαιμονίων οὐκ ὁμολογέοντας, καὶ Κορινθίους ἐκλιπόντας τὴν τάξιν, οἴχοντο καὶ αὐτοὶ [h]ἀπαλλασσόμενοι.

76

Quatuor Doriensium in Atticam expeditiones inde a Codri temporibus.

Τέταρτον δὴ [a]τοῦτο ἐπὶ τὴν Ἀττικὴν ἀπικόμενοι Δωριέες, δίς τε ἐπὶ πολέμῳ ἐσβαλόντες, καὶ δὶς ἐπ' ἀγαθῷ τοῦ πλήθεος [b]τοῦ Ἀθηναίων·

[c] Sic M.P.K.F.a.c. ποιήσασθαι S. al.

75. [a] Sic M.K.P.S. Vall. F. Paris. πρῶτα al. Tum σφίσιν S. [b] τὰ om. c. ποιεῖεν S. [c] Sic M.K.P.S.F. μετέβαλλόν τε Ald. a.d. [d] διάφθορος Ald. [e] τῆς om. F. [f] Sic S.F. Paris. al. Ald. παραλυομένων M.K.P. Tum τούτων S. Mox ὁρῶντες S. [g] τῶν Λακεδαιμονίων om. S.V. [h] οὐκ ἀπαλλ. F.

76. [a] τοῦτο om. d. [b] Sic P.K.F.c. τῶν Ἀθ. Wessel. et al. cum S.

2 πρῶτον μὲν, ὅτε καὶ Μέγαρα κατοίκισαν, (οὗτος ὁ
στόλος, ἐπὶ Κόδρου βασιλεύοντος [c] Ἀθηναίων, ὀρθῶς
ἂν καλέοιτο·) δεύτερον δὲ καὶ τρίτον, ὅτε ἐπὶ Πει-
σιστρατιδέων ἐξέλασιν ὁρμηθέντες ἐκ Σπάρτης ἀπί- 1
κοντο· τέταρτον δὲ τότε, ὅτε [d] ἐς Ἐλευσῖνα Κλεομέ-
νης ἄγων Πελοποννησίους ἐσέβαλε. οὕτω τέταρτον
τότε Δωριέες ἐσέβαλον ἐς Ἀθήνας.

77 Διαλυθέντος ὦν τοῦ στόλου τούτου ἀκλεῶς, ἐν-
θαῦτα Ἀθηναῖοι [a] τίννυσθαι βουλόμενοι, πρῶτα στρα-
τηΐην ποιεῦνται ἐπὶ Χαλκιδέας· Βοιωτοὶ δὲ τοῖσι
2 Χαλκιδεῦσι βοηθέουσι ἐπὶ τὸν Εὔριπον. Ἀθηναίοισι
δὲ ἰδοῦσι [b] τοὺς βοηθοὺς ἔδοξε πρότερον τοῖσι Βοιω-
τοῖσι ἢ τοῖσι Χαλκιδεῦσι ἐπιχειρέειν· συμβάλλουσί
τε δὴ τοῖσι Βοιωτοῖσι οἱ Ἀθηναῖοι, καὶ πολλῷ ἐκρά-
τησαν· κάρτα δὲ πολλοὺς φονεύσαντες, ἑπτακοσίους
3 αὐτῶν ἐζώγρησαν. Τῆς δὲ αὐτῆς ταύτης ἡμέρης [c] οἱ
Ἀθηναῖοι διαβάντες ἐς τὴν Εὔβοιαν, συμβάλλουσι
καὶ τοῖσι Χαλκιδεῦσι· νικήσαντες δὲ καὶ τούτους,
τετρακισχιλίους κληρούχους ἐπὶ τῶν [d] ἱπποβοτέων τῇ
χώρῃ λείπουσι· οἱ δὲ ἱπποβόται ἐκαλέοντο οἱ παχέες
4 τῶν Χαλκιδέων. ὅσους δὲ καὶ τούτων ἐζώγρησαν, 411
ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ,
[e] ἐν πέδαις δήσαντες· χρόνῳ δὲ [f] ἔλυσάν σφεας, [g] δι-
5 μνέως ἀποτιμησάμενοι. τὰς δὲ πέδας αὐτῶν, ἐν τῇσι
ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν· αἵπερ ἔτι

Athenienses metu Peloponnesiorum liberati, a Bœotis ac Chalcidensibus pœnas repetunt,

[c] Ἀθηνέων c. [d] ἐς om. S.V.

77. [a] τίνυσθαι K.F.a. Tum στρατείην S. [b] Sic S.V. τοὺς Βοιωτοὺς al. [c] οἱ om. F. [d] ἱπποβοτέων et ἱπποβόται M.K.P.a.c. ἱπποβατέων et ἱπποβάται S.F.b.d. al. [e] ἐν πέδαις S.V. Schæferus, uti paullo post, et I. 67. Al. ἐς πέδας. [f] Sic M.K.S.P.A.B.F. ὕστερον ἔλ. alii. [g] Sic edd. et mss. plures. διμναίας S.V. δίμνως Pollux IX. 57. διμναίους legendum suspicatur Schweighæuser. Tum ἀποτισάμενοι S.

καὶ ἐς ἐμὲ [h]ἦσαν περιεοῦσαι, κρεμάμεναι ἐκ τειχέων
περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου, ἀντίον δὲ
6 τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου. καὶ τῶν
λύτρων τὴν δεκάτην ἀνέθηκαν, [i]ποιησάμενοι τέθριπ-
πον χάλκεον· τὸ δὲ ἀριστερῆς χερὸς ἕστηκε [k]πρῶτον
ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ [l]ἀκροπόλι, ἐπιγέ-
γραπται δέ οἱ τάδε·

7 [m]Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων [n]ἔργμασιν ἐν πολέμου,
δεσμῷ ἐν [o]ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' [p]ἔθεσαν·

78 jam multo virium validiores vicinis populis, quos antea, sub Pisistratidis, virtute bellica non antecelluerant. Quantum isonomia ad virtutem civium conferat.

Ἀθηναῖοι μέν νυν ηὔξηντο. [a]δηλοῖ δὲ οὐ κατ' ἓν
μοῦνον, ἀλλὰ πανταχῇ, [b]ἡ ἰσηγορίη ὡς ἔστι χρῆμα
σπουδαῖον· εἰ καὶ Ἀθηναῖοι τυραννευόμενοι μὲν, οὐ-
δαμῶν τῶν σφέας περιοικεόντων [c]ἦσαν τὰ πολέμια
ἀμείνους, ἀπαλλαχθέντες δὲ τυράννων, μακρῷ πρῶτοι
2 ἐγένοντο. δηλοῖ ὦν ταῦτα, ὅτι [d]κατεχόμενοι μὲν, ἐθε-
λοκάκεον, ὡς [e]δεσπότῃ ἐργαζόμενοι· ἐλευθερωθέντων
δὲ, αὐτὸς ἕκαστος ἑωυτῷ [f]προθυμέετο κατεργάζεσθαι.
οὗτοι μέν νυν ταῦτα ἔπρησσον.

79 Thebani Athenienses ulturi,

Θηβαῖοι δὲ μετὰ ταῦτα ἐς θεὸν ἔπεμπον, βουλό-
μενοι τίσασθαι Ἀθηναίους. ἡ δὲ Πυθίη ἀπὸ σφέων
μὲν αὐτῶν οὐκ, ἔφη, αὐτοῖσι εἶναι τίσιν, ἐς πολύφη-
μον δὲ ἐξενείκαντας [a]ἐκέλευε τῶν ἄγχιστα δέεσθαι.

[h] ἔσαν] ἦσαν F.S. [i] ποιήσαντες V.S. Mox χειρὸς S. [k] πρῶτον M.K.P.F. Wessel. πρῶτα S.V. Ald. A.B. Schæfer. [l] ἀκροπόλει F.S. ἀκροπολεῖ Ald. [m] Citat Aristides II. p. 380. [n] ἔρμασιν b. ἐκ πολέμου F.b. ἐν πολέμῳ d. [o] ἀχνυνθέντι M.K. ἀχνυθέντι F.b. [p] ἀνέθεσαν S.

78. [a] Citat h. l. Stobæus 43, 38. [b] ἐν ἰσηγ. F. [c] ἔσαν] ἦσαν F.S. τὰ πολέμια om. d. et alii duo apud Wessel. [d] κατεχ. μὲν, οἱ μὲν ἐθ. a. [e] δεσπόται S. [f] προθυμέετο S.V.F. Schæfer. προεθυμέετο P. προὐθυμέετο Wessel. et al.

79. [a] ἐκέλευε om. c. Supra αὐτῶν F. pro αὐτέων.

2 [b]ἀπελθόντων ὦν τῶν θεοπρόπων, ἐξέφερον τὸ χρηστή-
ριον, ἁλίην ποιησάμενοι. ὡς ἐπυνθάνοντο δὲ λεγόντων 412
αὐτῶν τῶν ἄγχιστα δέεσθαι, εἶπαν οἱ Θηβαῖοι ἀκου-
3 σάντες τούτων· "Οὐκ ὦν ἄγχιστα ἡμέων οἰκέουσι
"Ταναγραῖοί τε καὶ Κορωναῖοι καὶ Θεσπιέες, καὶ
"[c] οὗτοί γε ἅμα ἡμῖν αἰεὶ μαχόμενοι, προθύμως συν-
"διαφέρουσι τὸν πόλεμον; τί δεῖ τούτων γε δέεσθαι;
"ἀλλὰ μᾶλλον μὴ οὐ τοῦτο ᾖ τὸ χρηστήριον."

80 Τοιαῦτα [a] δὴ ἐπιλεγομένων, εἶπε δή κοτε μαθών τις·
"Ἐγώ μοι δοκέω [b] συνιέναι τὸ [c] ἐθέλει λέγειν ἡμῖν
2 "τὸ [d] μαντήϊον. Ἀσωποῦ λέγονται γενέσθαι θυγα-
"τέρες Θήβη τε καὶ Αἴγινα· τουτέων ἀδελφεῶν
"ἐουσέων, δοκέω ἡμῖν Αἰγινητέων δέεσθαι τὸν θεὸν
3 "χρῆσαι [e] τιμωρητήρων γενέσθαι." καὶ οὐ γάρ τις
[f] ταύτης ἀμείνων γνώμη ἐδόκεε φαίνεσθαι, αὐτίκα
πέμψαντες ἐδέοντο Αἰγινητέων, ἐπικαλεόμενοι κατὰ
τὸ χρηστήριόν σφι βοηθέειν, ὡς ἐόντων [g] ἀγχιστέων.
4 οἱ δέ σφι αἰτέουσι ἐπικουρίην τοὺς Αἰακίδας [h] συμ-
πέμπειν ἔφασαν.

Æginetas ad opem sibi ferendam sollicitant. Qui cum Æacidas auxilio misissent,

81 Πειρησαμένων δὲ τῶν Θηβαίων
κατὰ τὴν συμμαχίην τῶν Αἰακιδέων, καὶ τρηχέως
περιεφθέντων ὑπὸ τῶν Ἀθηναίων, [a] αὖτις οἱ [b] Θηβαῖοι
πέμψαντες, τοὺς μὲν Αἰακίδας σφι ἀπεδίδοσαν, τῶν
2 δὲ ἀνδρῶν ἐδέοντο. Αἰγινῆται δὲ, εὐδαιμονίῃ τε με-
γάλῃ ἐπαρθέντες, καὶ ἔχθρης παλαιῆς ἀναμνησθέντες
[c] ἐχούσης ἐς Ἀθηναίους, τότε, Θηβαίων δεηθέντων,

Thebanis nihilo secius devictis, ipsi, et florentes opibus, et Atheniensibus pridem infesti, Atticam invadunt, magnamque actæ partem populantur.

[b] ἀπ. δὲ ὦν V.S. Schæfer. Tum τῶν θεοπ. S. Ald. τῶν om. al.
[c] οὗτοι τέ γε F. Supra Θεσπιεῖς S.
80. [a] δὴ om. F.b. [b] συνιέναι M.P.K.c.F. συνεῖναι S.a. Ald. al.
[c] θέλει F. [d] Sic K.F.b.M. cf. II. 152. χρηστήριον S.a.c.d. Ald.
ἡμῖν om. M. [e] τιμωρητέων c.d. [f] Sic K.P.F. γν. τ. ἀ. vulgo cum
S. [g] ἀγχίστων F. [h] συμπείθειν M.K.F.b. gl. in P.
81. [a] Ita Schæfer. cf. Koen. ad Gregor. 64. Vulgo αὖθις.
[b] Ἀθηναῖοι S. Mox τῇ pro τε S. [c] ἐχούσης ἐς Ἀθ. S.V.P.K. cf. VI.
2. 19. VIII. 144. ἐχούσης absque ἐς F. ἐούσης πρὸς Ἀθ. Ald. al.

3 πόλεμον ἀκήρυκτον Ἀθηναίοισι ἐπέφερον. ἐπικειμέ-
νων γὰρ αὐτῶν Βοιωτοῖσι, ἐπιπλώσαντες μακρῇσι
νηυσὶ ἐς τὴν Ἀττικὴν, κατὰ μὲν ἔσυραν Φάληρον,
κατὰ δὲ τῆς ἄλλης παραλίης πολλοὺς δήμους· ποι-
εῦντες δὲ ταῦτα, μεγάλως Ἀθηναίους [d] ἐσινέοντο.

82

Odii Ægi-netarum adversus A-thenienses inveterati origo. Epi-daurii ad terram ste-rilitate le-vandam Damiæ et Auxesiæ, (quarum cultus c. 83. descri-bitur) si-mulacra o-leagina ex oraculo fa-bricaturi, ab Atheniensi-bus, sacris Minervæ et Erechtheo in singulos annos pa-ctis, oleas obtinent.

Ἡ δὲ ἔχθρη ἡ [a] προοφειλομένη ἐς Ἀθηναίους ἐκ
τῶν Αἰγινητέων, ἐγένετο ἐξ ἀρχῆς [b] τοιῆσδε. Ἐπι-
2 δαυρίοισι ἡ γῆ καρπὸν οὐδένα [c] ἀνεδίδου. περὶ ταύτης
ὦν τῆς συμφορῆς οἱ Ἐπιδαύριοι ἐχρέωντο ἐν Δελ-
φοῖσι· ἡ δὲ Πυθίη σφέας ἐκέλευε [d] Δαμίης τε καὶ 413
Αὐξησίης ἀγάλματα ἱδρύσασθαι, [e] καί σφι ἱδρυσαμέ-
3 νοισι ἄμεινον συνοίσεσθαι. [f] ἐπειρώτεον ὦν οἱ Ἐπι-
δαύριοι κότερα χαλκοῦ ποιέονται [g] τὰ ἀγάλματα, ἢ
λίθου· ἡ δὲ Πυθίη [h] οὐδέτερα τούτων ἔα, ἀλλὰ [i] ξύλου
4 ἡμέρης ἐλαίης. Ἐδέοντο ὦν οἱ Ἐπιδαύριοι Ἀθη-
ναίων ἐλαίην σφι δοῦναι ταμέσθαι, ἱρωτάτας δὴ
κείνας νομίζοντες εἶναι· λέγεται δὲ καὶ ὡς ἐλαῖαι
ἦσαν ἄλλοθι γῆς οὐδαμοῦ [k] κατ' ἐκεῖνον τὸν χρόνον,
5 [l] ἢ Ἀθήνῃσι. οἱ δὲ ἐπὶ τοῖσδε δώσειν ἔφασαν, ἐπ' ᾧ
ἀπάξουσι ἔτεος ἑκάστου τῇ Ἀθηναίῃ [m] τε τῇ [n] Πο-
6 λιάδι ἱρά, καὶ τῷ Ἐρεχθέϊ. καταινέσαντες δ' ἐπὶ
τούτοισι οἱ Ἐπιδαύριοι, τῶν τε ἐδέοντο ἔτυχον, καὶ
ἀγάλματα ἐκ τῶν ἐλαιέων τουτέων ποιησάμενοι ἱδρύ-

[d] ἐσικνέοντο M. cf. IV. 123. Supra ποιέοντες S.

82. [a] προσοφειλομένη πρὸς Ἀθ. tum ἐκ τῆς Αἰγ. V.S. Supra ἔχθρα S. [b] Sic Ald. S. et al. τοιῆδε M.K.F. Paris. [c] Sic V.S.a.d. Schæfer. ἐδίδου M.P.K.F. ἀπεδίδου Ald. ἐπεδίδου b. [d] Εὐδοκίης d. [e] καί σφισι F. [f] Sic (aut ἐπειρώτων) S.V.P. Paris. ἐπηρώτεον vulgo. ἐπηρώτεων F. qui mox om. ὦν. Mox ποιέωνται cum Valckenærio legunt Matthiæ et Bekker. Sed vulg. defendit Hermannus de part. ἂν II. 4. [g] τὰ ἀγάλματα om. S.V. Vall. [h] οὐδέτερον V.P.S. [i] ξύλης S. Mox ἱροτάτας S. et infra ἐλαίης ἂν ἄλληθι γῆς οὐδαμοῦ. [k] κατὰ χρ. ἐκεῖνον S.P.K. κατὰ χρ. κεῖνον V.F. ἦσαν F. pro ἔσαν paullo supra. Mox ἐπὶ τῇσδε S. [l] ἢ ἐν Ἀθήναις M.K.P.F.b. [m] τε om. S.V. Wessel. Schæfer. [n] Παλλάδι S. Mox δὲ τούτοισιν absque ἐπὶ S. Tum ἐλαιῶν S.

σαντο· καὶ ἥ τε [o] γῆ σφι ἔφερε, καὶ Ἀθηναίοισι

83 ἐπετέλεον τὰ συνέθεντο. Τοῦτον δ' ἔτι τὸν χρόνον, [a] καὶ πρὸ τοῦ, Αἰγινῆται Ἐπιδαυρίων ἤκουον, τά τε ἄλλα, καὶ δίκας, διαβαίνοντες ἐς Ἐπίδαυρον, ἐδίδοσάν

2 τε καὶ ἐλάμβανον παρ' ἀλλήλων οἱ Αἰγινῆται· [b] τὸ δὲ ἀπὸ τοῦδε, νῆάς τε πηξάμενοι, καὶ ἀγνωμοσύνῃ χρη-

3 σάμενοι, ἀπέστησαν ἀπὸ τῶν Ἐπιδαυρίων. [c] ἅτε δὲ ἐόντες διάφοροι, [d] δηλέοντο αὐτοὺς, ὥστε δὴ θαλασσοκράτορες ἐόντες· καὶ δὴ καὶ τὰ ἀγάλματα ταῦτα τῆς τε Δαμίης καὶ [e] τῆς Αὐξησίης ὑπαιρέονται αὐτῶν, καί σφεα [f] ἐκομίσαντό τε καὶ ἱδρύσαντο τῆς σφετέρης χώρης ἐς τὴν μεσόγαιαν, τῇ Οἴῃ μέν ἐστι οὔνομα, στάδια δὲ μάλιστά κῃ ἀπὸ τῆς πόλιος [g] ὡς εἴκοσι

4 ἀπέχει. ἱδρυσάμενοι δὲ ἐν τούτῳ τῷ χώρῳ, θυσίῃσί τέ σφεα καὶ χοροῖσι γυναικηΐοισι [h] κερτόμοισι ἱλάσκοντο, χορηγῶν ἀποδεικνυμένων [i] ἑκατέρῃ τῶν δαιμόνων δέκα ἀνδρῶν· [k] κακῶς δὲ ἠγόρευον οἱ χοροὶ ἄνδρα μὲν οὐδένα, τὰς δὲ ἐπιχωρίας γυναῖκας. [l] ἦσαν δὲ καὶ τοῖσι Ἐπιδαυρίοισι [m] αἱ τοιαῦται [n] ἱοργίαι·

84 εἰσὶ δέ [o] σφι καὶ ἄρρητοι ἱοργίαι. Κλεφθέντων δὲ [a] τῶνδε τῶν ἀγαλμάτων, οἱ Ἐπιδαύριοι τοῖσι Ἀθη-

Quæ simulacra cum Æginetæ rapuissent, 414

Athenienses, Epidauriis onus illud annuum

[o] Sic M.K.F.a.b.c. καρπὸν addit P. ut schol. ἔφερε καρπὸν S.d. Ald. al. καρπὸν al. om.

83. [a] Sic P.F.b. καὶ τὸν πρὸ τούτου Wessel. S. al. Mox ἤκουόν τε τὰ S. [b] τὸ δὲ ἀπὸ τ. S.V.A.B. Ald. τότε δὲ ἀ. τ. M.K.P.F. τό γε ἀ. τ. Abresch. [c] Sic S. ubi ὄντες. ἅτε δὴ al. [d] Sic Eustath. Il. p. 70, 20=53, 9. ἐδηλέοντο vulgo cum S. [e] τῆς om. S. [f] ἐκόμισάν τε] Sic S.V.c.d. Schæfer. Bekker. cf. 98. 114. ἐκομίσαντο καὶ M.K.P.F. ἐκομίσαντό τε καὶ Ald. cf. 85. ἐκομίσαντο præfert Schweighæuser. quoniam *suam in terram* transportarunt. [g] Sic S.V.P.K.M.F. ἐς εἴκ. vulgo. εἰς εἴκ. c. Paullo infra θυσίῃ τε S.V. [h] κερτομίοισι b. κερτομίῃσι F. Bene haberet κερτομίῃσί τε, vel καὶ κερτομίῃσι. SCHWEIGH. [i] ἑκατέρῃσι S.V. [k] καί κως V.S. καθὼς F. [l] ἔσαν] ἦσαν F.S. [m] Sic Ald. a.c.M. αὗται αἱ S.V. αἱ αὐταὶ P.K.F.b. [n] Sic M.P.K.F. ἱρουργίαι a.c. edd. ἱερουργίαι S.b. [o] σφι om. S.

84. [a] τῶνδε om. S.V.

jam detrectantibus, raptum ab Æginetis repetunt:

2 ναίοισι τὰ συνέθεντο οὐκ [b] ἐπετέλεον. [c] πέμψαντες
δὲ οἱ Ἀθηναῖοι [d] ἐμήνιον τοῖσι Ἐπιδαυρίοισι· οἱ δὲ
ἀπέφαινον [e] λόγῳ ὡς οὐκ ἀδικοῖεν· ὅσον μὲν γὰρ
χρόνον εἶχον τὰ ἀγάλματα ἐν τῇ χώρῃ, ἐπιτελέειν τὰ
συνέθεντο· ἐπεὶ δὲ [f] ἐστερῆσθαι αὐτῶν, οὐ δίκαιον
εἶναι ἀποφέρειν ἔτι, ἀλλὰ τοὺς ἔχοντας αὐτὰ Αἰγινή-
3 τας πρήσσεσθαι ἐκέλευον. Πρὸς ταῦτα [g] Ἀθηναῖοι,
ἐς Αἴγιναν πέμψαντες, ἀπαίτεον τὰ ἀγάλματα· οἱ δὲ
Αἰγινῆται ἔφασαν, σφίσι τε καὶ Ἀθηναίοισι εἶναι
85 οὐδὲν πρῆγμα. Ἀθηναῖοι μέν νυν λέγουσι, μετὰ τὴν
ἀπαίτησιν ἀποσταλῆναι [a] τριήρεϊ μιῇ τῶν ἀστῶν
[b] τούτους, οἳ ἀποπεμφθέντες ἀπὸ τοῦ κοινοῦ, καὶ ἀπι-
κόμενοι ἐς Αἴγιναν, τὰ ἀγάλματα ταῦτα, ὡς σφετέρων
ξύλων ἐόντα, [c] ἐπειρῶντο ἐκ τῶν βάθρων ἐξανασπᾶν,
2 ἵνα σφέα [d] ἀνακομίσωνται. οὐ δυναμένους δὲ τούτῳ
[e] τῷ τρόπῳ αὐτῶν κρατῆσαι, περιβαλόντας σχοινία
3 ἕλκειν τὰ ἀγάλματα. καί σφι ἕλκουσι, βροντήν τε, 415
καὶ ἅμα τῇ βροντῇ σεισμὸν ἐπιγενέσθαι· τοὺς δὲ
[f] τριηρίτας τοὺς ἕλκοντας, ὑπὸ τουτέων ἀλλοφρονῆσαι·
[g] παθόντας δὲ τοῦτο, κτείνειν ἀλλήλους ἅτε πολεμίους,
ἐς ὃ ἐκ πάντων ἕνα λειφθέντα ἀνακομισθῆναι αὐτὸν
86 ἐς Φάληρον. Ἀθηναῖοι [a] μέν νυν οὕτω λέγουσι
γενέσθαι. Αἰγινῆται δὲ, οὐ μιῇ [b] νηῒ ἀπικέσθαι

sed dum vim adhibent, conatus vel numine divino, vel quod Argivi Æginetas juvarent, tam male cedit, ut cæteris occisis modo unus sospes evadat.

[b] ἐπιτέλεον S.V. Schæfer. ἔτι ἐτέλεον (vel ἔτι τέλεον) malebat Schweighæuser. οὐκέτι ἐπετέλεον Matthiæ. Supra ξυνέθεντο S. edd. vett. [c] πέμψαν S. [d] Sic S.F. Paris. cf. VII. 229. IX. 7. ἐμήνυον vulgo. [e] λόγον S. [f] ἐστερεῖσθαι S. qui αὐτῶν pro αὐτέων. [g] οἱ Ἀθ. P.F.S.

85. [a] τριήρει νηῒ S.V. [b] Sic F.a.c. vulg. τουτέων οἳ πεμφθ. S.V. τουτέων οἳ ἀποπεμφθ. P. τούτους ἀποπεμφθ. absque οἱ b. [c] Sic S.V. Ald. πειρᾷν M.K.F.b. πειρᾶντο P. et ἐπειρῶντο e corr. [d] ἐκκομίσ. S. [e] τῷ om. V. Mox αὐτῷ F. pro αὐτέων. [f] τριηρείτας S. [g] παθόντες S.

86. [a] Sic vulgo, ut 44. 85. 87. alibi. νυν om. M.P.K.F. Tum γενέσθαι λέγουσι F. [b] νηῒ μιῇ] μιῇ νηῒ F.a.S. Mox μίαν S.F. pro μίην.

᾿Αθηναίους· (μίαν μὲν γὰρ, καὶ ὀλίγῳ πλεῦνας μιῆς,
καὶ εἴ σφι μὴ ἔτυχον ἐοῦσαι [c] νέες, [d] ἀπαμύνασθαι ἂν
εὐπετέως·) ἀλλὰ πολλῇσι νηυσὶ ἐπιπλέειν σφι ἐπὶ
τὴν χώρην· αὐτοὶ δέ σφι εἶξαι, καὶ [e] οὐ διαναυ-
2 μαχῆσαι. οὐκ ἔχουσι δὲ τοῦτο [f] διασημῆναι ἀτρεκέως,
οὔτε εἰ [g] ἕσσονες συγγινωσκόμενοι εἶναι τῇ ναυμαχίῃ,
κατὰ τοῦτο εἶξαν, οὔτε [h] εἰ βουλόμενοι ποιῆσαι οἷόν
3 τι καὶ ἐποίησαν. ᾿Αθηναίους μέν νυν, ἐπεί τέ σφι
οὐδεὶς ἐς μάχην κατίστατο, ἀποβάντας ἀπὸ τῶν νεῶν,
[i] τραπέσθαι πρὸς τὰ ἀγάλματα· οὐ δυναμένους δὲ
ἀνασπάσαι ἐκ τῶν βάθρων αὐτὰ, οὕτω δὴ [k] περιβαλ-
λομένους σχοινία, ἕλκειν, [l] ἐς οὗ ἑλκόμενα τὰ ἀγάλ-
ματα ἀμφότερα τὠυτὸ ποιῆσαι· ἐμοὶ μὲν οὐ πιστὰ
λέγοντες, ἄλλῳ δέ τεῳ· ἐς [m] γούνατα γάρ σφι αὐτὰ
πεσέειν, καὶ τὸν ἀπὸ τούτου χρόνον διατελέειν οὕτω
4 ἔχοντα. ᾿Αθηναίους μὲν δὴ ταῦτα ποιέειν· σφέας δὲ,
Αἰγινῆται λέγουσι, πυθομένους τοὺς ᾿Αθηναίους ὡς
μέλλοιεν ἐπὶ σφέας στρατεύεσθαι, ἑτοίμους ᾿Αργείους
5 ποιέεσθαι. τούς τε δὴ ᾿Αθηναίους ἀποβεβάναι ἐς τὴν
[n] Αἰγιναίην, καὶ [o] παρεῖναι βοηθέοντάς σφι τοὺς ᾿Αρ-
γείους· καὶ λαθεῖν τε ἐξ [p] ᾿Επιδαύρου διαβάντας ἐς
τὴν νῆσον, καὶ οὐ προακηκοόσι τοῖσι ᾿Αθηναίοισι
ἐπιπεσέειν ὑποταμομένους τὸ ἀπὸ τῶν νεῶν· ἅμα τε
ἐν τούτῳ τήν βροντήν τε γενέσθαι καὶ τὸν σεισμὸν
αὐτοῖσι.
87 Λέγεται μέν νυν ὑπ' ᾿Αργείων τε καὶ
Αἰγινητέων τάδε. ὁμολογέεται δὲ καὶ ὑπ' ᾿Αθηναίων,

Hunc Athenas reversum

[c] νῆες K.F. [d] Sic V.S. ἀπαμύνεσθαι vulgo. Mox πολλοῖσι S. [e] Ita S.V. probante Wesseling. et conferente VIII. 63. Diodor. XX. 61. οὐδ' ἀναυμαχῆσαι P. οὐ ναυμαχ. vulgo. [f] σημῆναι S. [g] ἥσσονες F.S. [h] οἱ βουλ. b. et al. [i] τρέπεσθαι F.b. [k] περιβαλομ. P.V. [l] ἐς ὃ K. Schæfer. Bekker. [m] Sic S. cf. II. 81. IV. 152. γόνατα vulgo. [n] Sic M.P.K.F. Paris. Αἰγινέην Ald. S. [o] Sic S.V.A.B. Ald. ἥκειν M.K.P.F. Wessel. [p] ᾿Επιδαυρίου F.

uxores peremtorum fibulis vestium confodiunt: quare feminarum Atticarum vestitus, qui prius, ut omnium Græcarum [c. 88.], Doricus fuerat, in Ionicum, seu potius Caricum mutatus.

ἕνα μοῦνον τὸν ἀποσωθέντα αὐτῶν ἐς τὴν Ἀττικὴν
γενέσθαι· πλὴν Ἀργεῖοι μὲν λέγουσι, αὐτῶν τὸ Ἀτ-
τικὸν στρατόπεδον διαφθειράντων, τὸν [a] ἕνα τοῦτον
2 περιγενέσθαι· Ἀθηναῖοι δὲ, τοῦ δαιμονίου· περιγε-
νέσθαι μέντοι οὐδὲ τοῦτον τὸν ἕνα, ἀλλ' ἀπολέσθαι
3 τρόπῳ τοιῷδε. κομισθεὶς [b] γὰρ ἐς τὰς Ἀθήνας,
ἀπήγγειλε τὸ πάθος· [c] πυθομένας δὲ τὰς γυναῖκας
τῶν ἐπ' Αἴγιναν στρατευσαμένων ἀνδρῶν, δεινόν τι
ποιησαμένας κεῖνον μοῦνον ἐξ ἁπάντων σωθῆναι,
πέριξ [d] τὸν ἄνθρωπον τοῦτον λαβούσας, [e] καὶ κεντεύ-
σας τῇσι περόνῃσι τῶν ἱματίων, [f] εἰρωτᾶν [g] ἑκά- 416
στην αὐτέων [h] ὅκῃ εἴη ὁ ἑωυτῆς ἀνήρ· καὶ τοῦτον
4 μὲν οὕτω διαφθαρῆναι. Ἀθηναίοισι δὲ ἔτι τοῦ πά-
θεος δεινότερόν [i] τι δόξαι εἶναι τὸ τῶν γυναικῶν
ἔργον. ἄλλῳ μὲν δὴ οὐκ ἔχειν ὅτεῳ [k] ζημιώσωσι τὰς
γυναῖκας, τὴν δὲ ἐσθῆτα [l] μετέβαλλον αὐτέων ἐς τὴν
Ἰάδα· ἐφόρεον γὰρ δὴ πρὸ τοῦ αἱ τῶν Ἀθηναίων
γυναῖκες ἐσθῆτα Δωρίδα, τῇ [m] Κορινθίῃ παραπλη-
σιωτάτην· μετέβαλλον ὦν ἐς τὸν λίνεον κιθῶνα, ἵνα
88 δὴ περόνῃσι μὴ χρέωνται. ἔστι δὲ, ἀληθέϊ λόγῳ
χρεωμένοισι, οὐκ Ἰὰς αὕτη ἡ ἐσθὴς τὸ παλαιὸν,
ἀλλὰ [n] Κάειρα· ἐπεὶ ἥ γε Ἑλληνικὴ [o] ἐσθὴς πᾶσα ἡ
ἀρχαίη τῶν γυναικῶν, ἡ αὐτὴ ἦν τὴν νῦν Δωρίδα

87. [a] Sic M.S.P.K.F. Paris. ἕνα τουτέων antea. Supra αὐτῶν bis cum F. [b] Sic a.c.S. al. ἄρα M.P.K.F. [c] τὰς δὲ γυναῖκας absque πυθομένας S.V. Schæfer. præeunte Wesselingio in annotationibus. πυθομένας punctis notatur in P. Mox ἀνδρῶν om. S. [d] τὸν ἄνθρωπον om. S. [e] καὶ om. S.V. κεντεούσας S. [f] ἠρωτᾷν F. [g] ἑκάστη F. [h] ὅκη (vel ὅκῃ) Ald. S.B.c. οἴκη V. ὅκου M.P.K.F. Wess. [i] τι om. S.V. Mox ἄλλο nescio quis apud Wesselingium, quomodo edidit Schæferus. Vulg. tuentur Wessel. et Schweigh. [k] Sic P.S.V.F. ζημιώσουσι vulg. Schæfer. [l] μετέβαλλον hic et infra F. μετέβαλον utrobique vulgo. [m] Κορινθίῃ P.S.V.K.F. Paris. Κορινθίων Ald. al. Seqq. citat Eustath. Il. p. 567, 37=431, 4. Mox χιτῶνα S. qui infra ἀληθεία λόγω. [n] Eustath. Il. p. 456, 10=347, 9. [o] ἐσθὴς om. d.

2 καλέομεν. Τοῖσι δὲ Ἀργείοισι καὶ τοῖσι Αἰγινήτῃσι
καὶ πρὸς ταῦτα ἔτι τόδε ποιῆσαι νόμον εἶναι [a] παρά
σφι ἑκατέροισι· τὰς περόνας ἡμιολίας ποιέεσθαι τοῦ
τότε κατεστεῶτος μέτρου, καὶ ἐς τὸ ἱρὸν τῶν θεῶν
τουτέων περόνας μάλιστα [b] ἀνατιθέναι τὰς γυναῖκας·
Ἀττικὸν δὲ μήτε τι ἄλλο προσφέρειν πρὸς τὸ ἱρὸν,
μήτε κέραμον, ἀλλ' ἐκ [c] χυτρίδων ἐπιχωριέων νόμον
3 τὸ λοιπὸν αὐτόθι εἶναι πίνειν. Ἀργείων μέν νυν καὶ
Αἰγινητέων αἱ γυναῖκες [d] ἔκ τε τόσου κατ' ἔριν [e] τῶν
Ἀθηναίων περόνας ἔτι καὶ ἐς ἐμὲ ἐφόρεον μέζονας ἢ
πρὸ τοῦ.

Quos mores Argivi et Æginetæ exinde adsciverint.

89 Τῆς δὲ ἔχθρης τῆς πρὸς Αἰγινήτας [a] Ἀθηναίοισι
γενομένης ἀρχὴ κατὰ τὰ εἴρηται ἐγένετο. Τότε δὴ
Θηβαίων ἐπικαλεομένων, προθύμως τῶν περὶ τὰ
ἀγάλματα γενομένων ἀναμιμνησκόμενοι οἱ Αἰγινῆται
2 ἐβοήθεον τοῖσι Βοιωτοῖσι. Αἰγινῆταί [b] τε δὴ [c] ἐδήευν
τῆς Ἀττικῆς τὰ παραθαλάσσια· καὶ Ἀθηναίοισι
ὁρμεωμένοισι [d] ἐπ' Αἰγινήτας στρατεύεσθαι, ἦλθε
μαντήϊον ἐκ Δελφῶν ἐπισχόντας ἀπὸ τοῦ Αἰγινητέων
[e] ἀδικίου τριήκοντα [f] ἔτεα, τῷ ἑνὶ καὶ τριηκοστῷ,
Αἰακῷ τέμενος ἀποδέξαντας, ἄρχεσθαι τοῦ πρὸς
Αἰγινήτας πολέμου· καί σφι [g] χωρήσειν τὰ βού-
3 λονται. ἢν δὲ αὐτίκα ἐπιστρατεύωνται, πολλὰ μέν
σφεας ἐν τῷ μεταξὺ τοῦ χρόνου πείσεσθαι, πολλὰ

Illam Æginetarum incursionem [c. 81.] dum Athenienses, Pythia vindictæ dilationem triginta annorum frustra suadente, protinus ulcisci parant,

417

88. [a] παρὰ σφισὶ c. παρά σφισιν F. Bekker. [b] ἀντιτιθέναι F. μάλιστα in S. post γυναῖκας. [c] χυτρίων Pollux VI. 100. cf. Leopard. em. VI. 20. Tum ἐπιχωρίων Ald. S.V. ἐπιχωριέων M.P.K.F. Paris. et vulg. [d] ἔκ τοτε S. [e] τὴν Ἀθην. S.V.P.

89. [a] Sic S.V.A.B. Ald. ἐξ Ἀθηναίων M.P.K.F. Infra τὰ post κατὰ om. Bekker. Mox τότε δὲ S. et infra γινομένων. [b] Sic K.a. Schæf. τε om. F. et al. δὲ δὴ S. [c] Sic S.V. ἐδήουν F.a. vulg. Mox ὁρμημένοισιν S. [d] ἐπ' Αἰγίνης S.V. Schæf. ἐπ' Αἰγίνην probaturus erat Schweighæuser. [e] ἀδικίου M.P.K.F.b. αἰκίου S. Ald. αἰκίου a. cum ἀδικίου in marg. Utramque scripturam in contextu exhibent c.d. [f] ἔτεα om. S. [g] χωρῆσαι S. Schæfer.

δὲ καὶ ποιήσειν· τέλος μέντοι [h] καταστρέψεσθαι.
4 Ταῦτα ὡς ἀπενειχθέντα [i] ἤκουσαν οἱ Ἀθηναῖοι, τῷ
μὲν Αἰακῷ τέμενος [k] ἀπέδεξαν τοῦτο τὸ νῦν ἐπὶ τῆς
ἀγορῆς ἵδρυται· τριήκοντα δὲ ἔτεα οὐκ ἀνέσχοντο
ἀκούσαντες ὅκως χρεὼν εἴη ἐπισχεῖν, πεπονθότας
90 [l] πρὸς Αἰγινητέων ἀνάρσια. Ἐς τιμωρίην δὲ παρα-
σκευαζομένοισι αὐτοῖσι, ἐκ Λακεδαιμονίων πρῆγμα
2 [a] ἐγειρόμενον, ἐμπόδιον ἐγένετο. πυθόμενοι γὰρ [b] οἱ
Λακεδαιμόνιοι τὰ ἐκ τῶν [c] Ἀλκμαιωνιδέων ἐς τὴν
Πυθίην μεμηχανημένα, καὶ τὰ ἐκ τῆς Πυθίης ἐπὶ
σφέας τε καὶ τοὺς Πεισιστρατίδας, συμφορὴν ἐποι-
εῦντο διπλῆν, [d] ὅτι τε ἄνδρας ξείνους σφι ἐόντας
[e] ἐξεληλάκεσαν ἐκ τῆς ἐκείνων, καὶ ὅτι ταῦτα ποιή-
σασι χάρις οὐδεμία ἐφαίνετο πρὸς [f] τῶν Ἀθηναίων.
3 Ἔτι τε πρὸς τούτοισι ἐνῆγόν σφεας [g] οἱ χρησμοὶ,
λέγοντες πολλά τε καὶ ἀνάρσια ἔσεσθαι αὐτοῖσι ἐξ
Ἀθηναίων, τῶν πρότερον μὲν [h] ἦσαν ἀδαέες, τότε δὲ,
4 Κλεομένεος κομίσαντος ἐς Σπάρτην, ἐξέμαθον. ἐκτή-
σατο δὲ ὁ Κλεομένης ἐκ τῆς Ἀθηναίων ἀκροπόλιος
τοὺς χρησμοὺς, τοὺς [i] ἔκτηντο [k] μὲν πρότερον οἱ Πει-
σιστρατίδαι, ἐξελαυνόμενοι δὲ ἔλιπον ἐν τῷ ἱρῷ·
91 καταλειφθέντας δὲ ὁ Κλεομένης ἀνέλαβε. Τότε δὲ

Spartanorum machinis impediuntur. Qui cognita fraude Alcmæonidarum [c. 63.], auditoque arcanas Atheniensium sortes multa sibi mala minitari,

[h] Sic Ald. F.a.b. et forte alii. καταστρέψασθαι S. Steph. edd. recentt. Et hanc lectionem amplectitur Stegerus, citans I. 24. 53. 89. II. 162. IV. 136. VIII. 60. 3. Buttman. ad Platon. Crit. 14. Heindorf. ad Euthyd. 18. Matthiæ Gr. Gr. §. 506. 2. [i] ἄκουσαν Ald. Bekker. et al. ἤκουσαν M.P.K.F.S. [k] ἀπέδεξαν P.V.F. Paris. Sic paullo supra ἀποδέξαντας. cf. 67. VII. 178. ἀπεδέξαντο S. vulg. [l] πρὸς Αἰγιν. S.V.a.c. cf. III. 74. ὑπ' Αἰγ. F.b.d. Ald.

90. [a] Sic F. et vulg. γενόμενον S.V.a.b.c. Paullo ante αὐτοῖσι om. F. [b] Sic S.V. οἱ om. F. cum edd. [c] Ἀλκμεων. F. constanter ἀλκμαιον. S. [d] ὅτι δὲ F. et mox σφισιν pro σφι. [e] ἐξηλακ. S.V. [f] τῶν om. F.a.S. [g] καὶ οἱ χρ. d. [h] ἔσαν] ἦσαν F.S. [i] Sic Ald. F. Paris. ἐκέκτηντο M.P.S. cf. II. 108. III. 39. [k] Sic S.V.P.F.a. πρότερον μὲν Wessel. al. μὲν om. c.

ὡς ἀνέλαβον οἱ Λακεδαιμόνιοι τοὺς χρησμοὺς, καὶ
τοὺς Ἀθηναίους [a] ἐώρεον αὐξομένους, καὶ οὐδαμῶς
ἑτοίμους ἐόντας πείθεσθαί [b] σφι, νόῳ λαβόντες ὡς
ἐλεύθερον μὲν ἐὸν τὸ γένος τὸ Ἀττικὸν, ἰσόρροπον
τῷ ἑωυτῶν [c] ἂν γίνοιτο, [d] κατεχόμενον δὲ [e] ὑπὸ τυραν-
νίδος, ἀσθενὲς καὶ πειθαρχέεσθαι ἑτοῖμον· [f] μαθόντες
δὲ τούτων ἕκαστα, μετεπέμποντο Ἱππίην τὸν Πει-
σιστράτου ἀπὸ Σιγείου τοῦ ἐν Ἑλλησπόντῳ, [g] ἐς ὃ
2 καταφεύγουσι οἱ Πεισιστρατίδαι. Ἐπεί τε [h] δέ σφι
Ἱππίης καλεόμενος ἧκε, μεταπεμψάμενοι καὶ τῶν
ἄλλων συμμάχων ἀγγέλους, ἔλεγόν σφι Σπαρτιῆται
τάδε· "Ἄνδρες σύμμαχοι, συγγινώσκομεν αὐτοῖσι
3 "ἡμῖν οὐ ποιήσασι ὀρθῶς. ἐπαρθέντες γὰρ κιβδή-
"λοισι μαντηΐοισι, ἄνδρας ξείνους ἐόντας ἡμῖν τὰ
"μάλιστα, καὶ ἀναδεκομένους [i] ὑποχειρίας [k] παρέ-
"ξειν τὰς Ἀθήνας, τούτους ἐκ τῆς πατρίδος [l] ἐξη-
"λάσαμεν, καὶ ἔπειτα, ποιήσαντες [m] ταῦτα, δήμῳ
"ἀχαρίστῳ [n] παρεδώκαμεν τὴν πόλιν· ὃς ἐπεί τε
"δι' ἡμέας ἐλευθερωθεὶς ἀνέκυψε, ἡμέας μὲν καὶ
"τὸν βασιλέα ἡμέων περιϋβρίσας ἐξέβαλε, δόξαν
"δὲ φύσας αὐξάνεται· ὥστε [o] ἐκμεμαθήκασι μά-
"λιστα μὲν οἱ περίοικοι αὐτῶν Βοιωτοὶ καὶ Χαλ-
"κιδέες, τάχα δέ τις καὶ ἄλλος ἐκμαθήσεται ἁμαρ-
4 "τών. [p] ἐπεί τε δὲ ἐκεῖνα ποιήσαντες ἡμάρτομεν,

ne Athenæ libertate florentes Spartæ perniciem adferrent, Hippiam Sigeo arcessitum [c. 65.] in 418 tyrannidem restituere cogitant. Sed consilium cum sociis communicantes,

91. [a] Sic duo mss. Wessel. ἑώρων olim. ἐσώρεων F. verbum om. S. [b] σφίσι F.c.S. [c] Sic S.V. Schæfer. ἂν γένοιτο Ald. γίνοιτο absque ἂν M.K.P. Wessel. Bekker. γένοιτο absque ἂν F.b. γένει τὸ d. [d] κατεχόμενοι S.V. [e] ὑπό του τυραννίδι S. Schæfer. [f] Sic M.P.K. F.a.b.c. δὲ om. S.d. Ald. al. Monet Schweigh. δὲ idem valere atque Latinorum *inquam* vel *igitur*. τούτων S. pro τουτέων. [g] ἐς ὃ κ. οἱ Π. uncinis inclusit Schæfer. præeunte Wesselingio in annot. Commodum autem monet Schweighæuserus, talia Herodotum solere in mentem revocare lectoribus. ἐς τὸ Bekker. [h] δὲ om. S.V. [i] ὑποχειρίους V.S. Vulg. tuetur Thomas M. in Ὑφίσταμαι. [k] πράξειν Plutarch. II. p. 860. D. [l] ἐξελάσαμεν S. Schæfer. Bekker. [m] ταῦτα om. S. [n] τὴν πόλιν παρεδ. F. [o] ἐκμεμαθήσεται F. [p] Sic S.P.F. Paris. τε vulgo om.

“ νῦν πειρησόμεθά σφεας ἅμα ὑμῖν [q] ἀκεόμενοι τί-
5 “ σασθαι. [r] αὐτοῦ γὰρ τούτου εἵνεκεν [s] τόνδε τε τὸν
“ Ἱππίην μετεπεμψάμεθα, καὶ ὑμέας ἀπὸ τῶν πο-
“ λίων, ἵνα κοινῷ τε λόγῳ καὶ κοινῷ στόλῳ ἐσαγα-
“ γόντες αὐτὸν ἐς τὰς Ἀθήνας, ἀποδῶμεν τὰ καὶ
“ [t] ἀπειλόμεθα.”

92 Οἱ μὲν ταῦτα ἔλεγον· τῶν δὲ συμμάχων τὸ πλῆ-
θος οὐκ ἐνεδέκετο τοὺς λόγους. οἱ μέν νυν ἄλλοι ἡσυ-
χίην ἦγον, Κορίνθιος δὲ [a] Σωσικλέης [b] ἔλεξε τάδε· 419
2 “ Ἦ δὴ [c] ὅ τε οὐρανὸς [d] ἔσται ἔνερθε τῆς γῆς, καὶ ἡ
“ γῆ μετέωρος ὑπὲρ τοῦ οὐρανοῦ, καὶ [e] οἱ ἄνθρωποι
“ νομὸν ἐν θαλάσσῃ ἕξουσι, καὶ οἱ ἰχθύες τὸν πρό-
“ τερον ἄνθρωποι, [f] ὅτε γε ὑμεῖς, ὦ Λακεδαιμόνιοι,
“ ἰσοκρατίας [g] καταλύοντες, τυραννίδας ἐς τὰς [h] πόλις
“ κατάγειν παρασκευάζεσθε· τοῦ οὔτε ἀδικώτερον
“ [i] οὐδέν ἐστι κατ' ἀνθρώπους, οὔτε μιαιφονώτερον.
3 “ Εἰ γὰρ δὴ τοῦτό γε [k] δοκέει ὑμῖν εἶναι χρηστὸν,
“ ὥστε τυραννεύεσθαι τὰς πόλις, αὐτοὶ πρῶτοι τύ-
“ ραννον καταστησάμενοι παρὰ σφίσι αὐτοῖσι, οὕτω
4 “ καὶ τοῖσι ἄλλοισι [l] δίζησθε κατιστάναι. νῦν δὲ,
“ αὐτοὶ [m] ἄπειροι ἐόντες τυράννων, καὶ φυλάσσοντες
“ δεινότατα τοῦτο ἐν τῇ Σπάρτῃ μὴ γενέσθαι, [n] πα-
5 “ ραχρᾶσθε ἐς τοὺς συμμάχους. εἰ δὲ [o] αὐτοὶ ἔμπει-

Sosicles Corinthius, rem dissuasurus,

I acriter increpat, inque tyrannos acerbissime invehitur: et quo magis cæteros moveat, (2—7) mala Corinthiorum sub tyrannis oratione diserta exponit.

[q] Sic S.V.P. ἀπικόμενοι F.a.b. Bekker. vulg. τίσασθαι om. S. [r] Sic S.V.P.F.a. αὐτοῦ γὰρ δὴ τοῦδε εἵν. Wessel. et al. [s] Sic P.F. Paris. τὸν om. al. cum Bekker. [t] ἀπειλόμεθα M.S.P.V. cf. VIII. 3. ἀπελόμεθα Ald. A.B.F. καὶ om. S.d. Ald. Item d. om. αὐτὸν ante ἐς Ἀθήνας.

92. [a] Σωκλῆς M. Σωκλέης F.b. Vulg. habet Plutarch. II. p. 860. D. ὁ σωσικλέης S. [b] ἔλεγε S. [c] Sic Eustath. Il. p. 695, 20=575, 4. F. et al. ὅτε ὁ οὐρ. vulgo. [d] ἔνερθε ἔσται F. [e] οἱ om. K. F.S. Mox ante ἰχθύες P.F. [f] ὅτε γε ὑμεῖς M.P.K.S.F. Paris. γε al. om. [g] καταλύσαντες V.S. [h] Sic K.P. et mox. πόλεις F. πόλιας S. al. et sic S. mox, qui τύραννον πρῶτοι. [i] ἔστιν οὐδὲν F. [k] Sic S.F. a.b.c. δοκέοι Wessel. et al. [l] δίζησθε K.F.b.d. δίζεσθε S. al. [m] τυράννων ἄπειροι ἐόντες F. qui mox τοῦτο δεινότατα. [n] παραχρῆσθε P. [o] Sic S.P. e corr. F. al. Olim αὐτοῦ. Tum ἔμποροι pro ἔμπειροι S.

“ ροι ἔατε, κατάπερ ἡμεῖς, εἴχετε ἂν περὶ αὐτοῦ γνώ-
“ μας [p] ἀμείνονας [q] συμβάλλεσθαι ἤπερ νῦν. Κο- 2
“ ρινθίοισι γὰρ ἦν πόλιος κατάστασις τοιήδε. ἦν
“ ὀλιγαρχίη, καὶ οὗτοι Βακχιάδαι καλεόμενοι ἔνε-
“ μον τὴν πόλιν· ἐδίδοσαν δὲ καὶ ἤγοντο ἐξ ἀλλή-
6 “ λων. Ἀμφίονι δὲ, ἐόντι τούτων τῶν ἀνδρῶν,
“ γίνεται θυγάτηρ χωλή· οὔνομα δέ οἱ ἦν Λάβδα.
7 “ ταύτην, Βακχιαδέων γὰρ οὐδεὶς ἤθελε γῆμαι, ἴσχει
“ Ἠετίων ὁ [r] Ἐχεκράτεος, [s] δήμου μὲν [t] ἐκ Πέτρης
“ ἐὼν, ἀτὰρ τὰ ἀνέκαθεν [u] Λαπίθης τε καὶ [w] Καινίδης·
“ ἐκ δέ οἱ ταύτης τῆς γυναικὸς οὐδ᾽ ἐξ ἄλλης παῖδες
“ [x] ἐγίνοντο. ἐστάλη ὦν ἐς Δελφοὺς περὶ γόνου.
8 “ ἐσιόντα δὲ αὐτὸν [y] ἰθέως ἡ Πυθίη προσαγορεύει
“ [z] τοισίδε τοῖσι ἔπεσι·

Oligarchicus olim Corinthi status, imperiumque penes Bacchiadas [a. 833—663.]: e quorum familia Labda Eetioni nubit.

“ Ἠετίων, οὔτις σε τίει πολύτιτον ἐόντα.
“ Λάβδα κύει, τέξει δ᾽ [a] ὀλοοίτροχον· ἐν δὲ πεσεῖται
“ ἀνδράσι μουνάρχοισι, δικαιώσει δὲ Κόρινθον.

9 “ ταῦτα [b] χρησθέντα τῷ Ἠετίωνι ἐξαγγέλλεταί κως
“ τοῖσι Βακχιάδῃσι, τοῖσι τὸ μὲν πρότερον γενόμενον
“ [c] χρηστήριον ἐς Κόρινθον ἦν ἄσημον, φέρον τε ἐς
“ τὠυτὸ καὶ [d] τὸ τοῦ Ἠετίωνος, καὶ λέγον ὧδε·

10 “ Αἰετὸς ἐν πέτρῃσι κύει· τέξει δὲ λέοντα
“ καρτερὸν, ὠμηστήν· πολλῶν δ᾽ ὑπὸ γούνατα λύσει.
“ Ταῦτά νυν εὖ φράζεσθε, Κορίνθιοι, οἳ περὶ καλὴν
“ Πειρήνην οἰκεῖτε καὶ ὀφρυόεντα Κόρινθον.

11 “ Τοῦτο μὲν [e] δὴ τοῖσι Βακχιάδῃσι, πρότερον γενό- 3
“ μενον, ἦν ἀτέκμαρτον· τότε δὲ, [f] τὸ Ἠετίωνι γε-

His natus Cypselus,

[p] ἀμείνους F. [q] συμβαλέσθαι P.F. Bekker. [r] Ἐχεκράτευς K.F. [s] μήμου S. [t] ἐὼν ἐκ π. F. [u] Λαμπίθης F. [w] Καινείδης a.b. Ald. Bekker. [x] Sic P.S.V.F. al. ἐγένοντο c. vulg. [y] ἰθέως om. c.d. [z] τοῖσδε P.V.F. τοῖσιδε S. Ald. Mox οὗτοι pro οὔτις S. [a] Sic Œnomaus Eusebii P.E. V. 29. δὲ ὀλοίτροχον vulgo. [b] χρησθέντι F. [c] ἐς Κόρινθον χρηστήριον P.F. [d] τὸ om. S.V. [e] δὴ om. F.b. [f] Ita Schweigh. cum Valcken. τὸ τῷ Ἠετ. Schæfer. τῷ Ἠετ. vulgo cum S.

cum infans Bacchiadarum per oracula monitorum insidias evasisset,

" νόμενον ὡς ἐπύθοντο, αὐτίκα καὶ τὸ πρότερον συν-
12 " ῆκαν, [g] ἐὸν συνῳδὸν τῷ Ἠετίωνος. συνέντες δὲ
" καὶ τοῦτο, εἶχον ἐν ἡσυχίῃ, [h] ἐθέλοντες τὸν μέλ-
" λοντα Ἠετίωνι [i] γενέσθαι γόνον διαφθεῖραι. ὡς
" δ' ἔτεκε ἡ γυνὴ τάχιστα, πέμπουσι σφέων αὐτῶν
" δέκα ἐς τὸν δῆμον ἐν τῷ κατοίκητο [k] Ἠετίων,
13 " ἀποκτενέοντας τὸ παιδίον. ἀπικόμενοι δὲ οὗτοι ἐς
" [l] τὴν Πέτρην, καὶ παρελθόντες ἐς τὴν αὐλὴν τοῦ
" Ἠετίωνος, αἴτεον τὸ παιδίον· ἡ δὲ Λάβδα, [m] εἰ-
" δυῖά τε οὐδὲν τῶν εἵνεκα ἐκεῖνοι ἀπικοίατο, καὶ δο-
" κέουσά σφεας φιλοφροσύνης τοῦ πατρὸς [n] εἵνεκα
" αἰτέειν, φέρουσα ἐνεχείρισε αὐτῶν ἑνί. τοῖσι δὲ ἄρα
" ἐβεβούλευτο κατ' ὁδὸν, τὸν πρῶτον αὐτῶν λαβόντα
14 " [o] τὸ παιδίον προσουδίσαι. ἐπεί [p] τε ὦν ἔδωκε φέ-
" ρουσα ἡ Λάβδα, τὸν λαβόντα τῶν ἀνδρῶν θείῃ
" τύχῃ [q] προσεγέλασε τὸ παιδίον· καὶ τὸν, φρα-
" σθέντα τοῦτο, οἶκτός τις [r] ἴσχει ἀποκτεῖναι· κατοι-
" κτείρας δὲ παραδιδοῖ τῷ δευτέρῳ· ὁ δὲ, τῷ τρίτῳ·
" [s] οὕτω δὴ διεξῆλθε διὰ πάντων τῶν δέκα παραδι-
15 " δόμενον, οὐδενὸς βουλομένου [t] διεργάσασθαι. Ἀπο-
" δόντες ὦν ὀπίσω τῇ τεκούσῃ τὸ παιδίον, καὶ ἐξελ-
" θόντες ἔξω, ἑστεῶτες ἐπὶ τῶν θυρέων, ἀλλήλων
" [u] ἅπτοντο καταιτιώμενοι· καὶ μάλιστα τοῦ πρώτου
" λαβόντος, ὅτι οὐκ ἐποίησε κατὰ τὰ δεδογμένα· ἐς
" ὃ δή σφι, χρόνου ἐγγινομένου, ἔδοξε αὖτις παρελ-
16 " θόντας πάντας τοῦ φόνου μετίσχειν. Ἔδει δὲ ἐκ

[g] συνῳδὸν ἐὸν S. [h] θέλοντες S.V. [i] γίνεσθαι P.F.c.d. [k] ὁ Ἠετίων P.F. [l] τὴν om. d. [m] εἰδοῖα P. [n] εἵνεκεν S.V. Mox αὐτῶν ἑνὶ F. ubi αὐτέων retinet S. Sed infra αὐτῶν S. ubi αὐτέων F. [o] τὸ παιδίον om. S.V. [p] τε om. K.F.a.b.c. [q] Citat Eustath. Il. p. 650, 59=514, 1. ubi τῷ λαβόντι pro τὸν λαβόντα. [r] ἴσχεν S.V. [s] οὕτω δὲ F.c. Bekker. οὕτω τε S.V. [t] διεξεργάσασθαι F. Mox θυρῶν S. [u] Thomas M. in Καθάπτομαι. Mox πάντας παρελθόντας S. et ταῦτα πάντα.

" τοῦ Ἠετίωνος γόνου Κορίνθῳ κακὰ ἀναβλαστεῖν. 421
" ἡ Λάβδα γὰρ πάντα ταῦτα ἤκουε ἑστεῶσα πρὸς
" [w] αὐτῇσι τῇσι θύρῃσι· δείσασα δὲ μή σφι μετα-
" δόξῃ, καὶ τὸ δεύτερον λαβόντες τὸ παιδίον ἀπο-
" κτείνωσι, φέρουσα [x] κατακρύπτει ἐς τὸ [y] ἀφραστό-
" τατόν οἱ ἐφαίνετο εἶναι, ἐς κυψέλην· ἐπισταμένη
" ὡς [z] εἰ ὑποστρέψαντες ἐς ζήτησιν [a] ἀπικοίατο, πάντα
17 " ἐρευνήσειν μέλλοιεν· τὰ δὴ καὶ [b] ἐγίνετο. [c] ἐλ-
" θοῦσι δὲ καὶ διζημένοισι αὐτοῖσι ὡς οὐκ ἐφαίνετο,
" [d] ἐδόκεε ἀπαλλάσσεσθαι, καὶ λέγειν πρὸς τοὺς ἀπο-
" πέμψαντας, ὡς πάντα ποιήσειαν τὰ ἐκεῖνοι ἐνετεί-
18 " λαντο. οἱ μὲν δὴ ἀπελθόντες, ἔλεγον ταῦτα. Ἠε-
" τίωνι δὲ μετὰ ταῦτα ὁ παῖς [e] αὐξάνετο· καί οἱ δια-
" φυγόντι τοῦτον τὸν κίνδυνον ἀπὸ τῆς κυψέλης
19 " ἐπωνυμίην Κύψελος οὔνομα ἐτέθη. Ἀνδρωθέντι
" δὲ καὶ [f] μαντευομένῳ Κυψέλῳ ἐγένετο ἀμφιδέξιον
" χρηστήριον ἐν Δελφοῖσι, τῷ πίσυνος γενόμενος,
" ἐπεχείρησέ τε καὶ ἔσχε Κόρινθον. ὁ δὲ χρησμὸς
" [g] ὅδε ἦν·

5 vir factus, tyrannide occupata [a. 663.], Corinthios jugo gravissimo premit.

20 " Ὄλβιος οὗτος ἀνὴρ, ὃς ἐμὸν δόμον [h] ἐσκαταβαίνει,
" Κύψελος [i] Ἠετίδης, βασιλεὺς [k] κλειτοῖο Κορίνθου·
" αὐτὸς, καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες. 422

21 " Τὸ [l] μὲν δὴ χρηστήριον τοῦτο ἦν. τυραννεύσας δὲ
" ὁ Κύψελος, τοιοῦτος δή τις [m] ἀνὴρ ἐγένετο· πολ-

[w] Sic M.P.K.F. om. Ald. S.V.A.B. [x] κρύπτει S. κατακρύβει M. P.K. et F. pr. ubi nunc κατακρύβῃ. [y] ἀφάστατον F. [z] εἰ om. S.V. [a] Sic Ald. A.B. ἀπίκοντο V.S.a. ἀπικνέοιντο M.P.K.b. ἀπικέοιτο F. et ἀπικνέοιτο suprasc. pr. [b] Sic Ald. F.a. al. ἐγένετο S.V. Wessel. [c] Sic M.K.F. al. ἐσελθοῦσι γὰρ S.V.P.a. Ald. [d] ἐδώκατε F. [e] Sic S.V. ut I. 58. VI. 132. ηὐξάνετο F. et vulg. [f] κρυπτομένῳ S.V.P. quod Wesselingio non improbatum, glossæ unice deberi putat Schweighæuser. Mox ἐπεχείρισε Ald. [g] ὧδε S.V. [h] ἐγκαταβ. S. [i] Αἰακίδης Euseb. Pr. Ev. V. 35. [k] κλεινοῖο] κλειτοῖο F.P.K.b. Dio Chrys. p. 456. A. cf. VII. 228. βασιλεύς τε κλοιοκορίνθου S. [l] μέν γε b. [m] ἦν ἀνὴρ M.F.b.

" λοὺς μὲν Κορινθίων ἐδίωξε, πολλοὺς δὲ χρημάτων
" ἀπεστέρησε, πολλῷ δ' ἔτι [mm]πλείστους τῆς ψυχῆς.

6 Cui succedens filius Periander [a. 633.], crudelitate patrem etiam superat.

22 " Ἄρξαντος δὲ τούτου ἐπὶ τριήκοντα ἔτεα, καὶ [n] δια-
" πλέξαντος τὸν βίον εὖ, διάδοχός οἱ τῆς τυραννίδος
23 " ὁ παῖς Περίανδρος γίνεται. Ὁ τοίνυν Περίανδρος
" κατ' ἀρχὰς μὲν ἦν ἠπιώτερος τοῦ πατρός. ἐπεί τε
" δὲ ὡμίλησε δι' ἀγγέλων Θρασυβούλῳ τῷ Μιλήτου
" τυράννῳ, πολλῷ ἔτι ἐγένετο Κυψέλου μιαιφονώ-
24 " τερος. πέμψας γὰρ παρὰ Θρασύβουλον κήρυκα,
" ἐπυνθάνετο ὅντινα [o] ἂν τρόπον [p] ἀσφαλέστατον
" καταστησάμενος τῶν πρηγμάτων, κάλλιστα τὴν
25 " πόλιν ἐπιτροπεύοι. Θρασύβουλος [q] δὲ τὸν ἐλθόντα
" παρὰ τοῦ Περιάνδρου ἐξῆγε ἔξω τοῦ ἄστεος· ἐσβὰς
" δὲ ἐς ἄρουραν ἐσπαρμένην, ἅμα τε διεξήϊε τὸ λήϊον,
" ἐπειρωτῶν τε καὶ [r] ἀναποδίζων τὸν κήρυκα [s] κατὰ
" τὴν ἀπὸ Κορίνθου ἄπιξιν, καὶ ἐκόλουε αἰεὶ ὅκως
" [t] τινὰ [u] ἴδοι τῶν [w] ἀσταχύων ὑπερέχοντα· κολούων
" δὲ, ἔρριπτε· ἐς ὃ τοῦ ληΐου τὸ [x] κάλλιστόν τε καὶ 423
" βαθύτατον διέφθειρε τρόπῳ τοιούτῳ· διεξελθὼν δὲ
" τὸ χωρίον, καὶ ὑποθέμενος ἔπος οὐδὲν, ἀποπέμπει
26 " τὸν κήρυκα. Νοστήσαντος δὲ τοῦ κήρυκος ἐς τὴν
" Κόρινθον, ἦν πρόθυμος πυνθάνεσθαι τὴν ὑποθήκην
" ὁ Περίανδρος. ὁ δὲ οὐδέν οἱ ἔφη Θρασύβουλον
" ὑποθέσθαι· [y] θωμάζειν τε αὐτοῦ, παρ' [z] οἷόν μιν
" ἄνδρα ἀποπέμψειε, ὡς παραπλῆγά τε καὶ τῶν ἑωυ-

[mm] πλείστους] Bekkerus conj. πλείους vel πλεῦνας. [n] Sic S.V.P. F.a.b.d. διαπλεύσαντος al. [o] Sic M.P.K.F. Paris. ἂν om. S. Ald. al. [p] Sic P.f.F.b. ἀσφαλέστερον S. Wess. et al. [q] δὲ om. ms. unus. [r] ἀναποδίζων Suid. in v. [s] καὶ τὴν S. omisso καὶ ante ἐκόλουε. [t] τινὰ et dein ὑπερέχοντα M.P.K.F.b.c.d. τινὰς et dein ὑπερέχοντας τῶν ἄλλων S. Ald. τινὰς et ὑπερέχοντας absque τῶν ἄλλων a. [u] Sic Ald. M.F. Paris. ἴδῃ S. ἤδη Steph. et seqq. [w] σταχύων unus ms. apud Wessel. [x] κράτιστον f. [y] Sic K.F.f. θωυμάζειν S. al. [z] οἷόν τινα f.

“ τοῦ [a] σινάμωρον· ἀπηγεόμενος [b] τάπερ πρὸς Θρα-
27 “ συβούλου ὀπώπεε. Περίανδρος δὲ, [c] συνιεὶς τὸ 7
“ ποιηθὲν, καὶ νόῳ [d] ἴσχων ὥς οἱ ὑπετίθετο Θρασύ-
“ βουλος τοὺς [e] ὑπειρόχους τῶν ἀστῶν φονεύειν, ἐν-
“ θαῦτα δὴ πᾶσαν κακότητα ἐξέφαινε ἐς τοὺς πολιή-
28 “ τας. ὅσα γὰρ Κύψελος ἀπέλιπε κτείνων τε καὶ
“ διώκων, Περίανδρός σφεα [f] ἀπετέλεσε. Μιῇ δὲ
“ ἡμέρῃ ἀπέδυσε πάσας τὰς Κορινθίων γυναῖκας,
29 “ διὰ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν. πέμψαντι γάρ
“ οἱ ἐς Θεσπρωτοὺς ἐπ᾽ Ἀχέροντα ποταμὸν ἀγγέλους
“ ἐπὶ τὸ νεκυομαντήϊον παρακαταθήκης πέρι ξεινικῆς,
“ οὔτε σημανέειν ἔφη ἡ Μέλισσα ἐπιφανεῖσα, οὔτε
“ [g] κατερέειν ἐν τῷ κέεται χώρῳ ἡ παρακαταθήκη·
“ [h] ῥιγοῦν τε γὰρ, καὶ εἶναι γυμνή· τῶν γάρ οἱ συγ-
“ κατέθαψε [i] εἱμάτων ὄφελος εἶναι οὐδὲν, οὐ [k] κατα-
30 “ καυθέντων. μαρτύριον δέ οἱ εἶναι ὡς ἀληθέα ταῦτα
“ λέγει, ὅτι ἐπὶ ψυχρὸν τὸν ἰπνὸν Περίανδρος τοὺς
“ ἄρτους ἐπέβαλε. Ταῦτα δὲ ὡς ὀπίσω ἀπηγγέλθη
“ τῷ Περιάνδρῳ, (πιστὸν γάρ [l] οἱ ἦν τὸ [m] συμβό-
“ λαιον, [n] ὃς νεκρῷ ἐούσῃ Μελίσσῃ ἐμίγη,) ἰθέως
“ δὴ μετὰ τὴν ἀγγελίην [o] κήρυγμα ἐποιήσατο, ἐς τὸ
“ Ἡραῖον ἐξιέναι πάσας τὰς Κορινθίων γυναῖκας.
31 “ αἱ μὲν δὴ, ὡς ἐς ὁρτὴν, [p] ἤϊσαν κόσμῳ τῷ καλ-
“ λίστῳ χρεώμεναι· ὁ δ᾽ ὑποστήσας τοὺς δορυφό- 424
“ ρους, ἀπέδυσέ σφεας, πάσας ὁμοίως τάς τ᾽ ἐλευ-

[a] Sic S.F.a.b. Gl. Suid. Hesych. cf. I. 152. VIII. 35. σινάμορον al. συνάμορον Ald. [b] τὰ πρὸς V.S. [c] συνεὶς f. [d] σχὼν S.V. [e] Sic M.P.K.F. Paris. Ald. ὑπερόχους S. al. cf. Clark. ad Il. β΄. 426. Mox ἐξέφανεν S. [f] ἐπετέλεσε S. ἀπετέλεε P.F. Schæfer. Mox τὰς Κορινθίων γυναῖκας πάσας S. [g] καταιρ.—καίεται S. [h] ῥιγοῦται γὰρ S. ῥιγοῦνται unus ms. [i] Sic S.V. Schæfer. ἱματίων F. al. Wessel. [k] κατακαυσθέντων F. οἱ pro οὐ S. [l] οἱ om. unus ms. apud Wesseling. [m] συμβόλεον S. [n] Sic K.M.P.V.F. Paris. ὡς νεκρῷ S. νεκρᾷ al. [o] κήρυκα F. [p] ἤεσαν S.V.

" θέρας καὶ [q] τὰς ἀμφιπόλους· συμφορήσας δὲ ἐς
32 " ὄρυγμα, Μελίσσῃ ἐπευχόμενος κατέκαιε. ταῦτα δέ
" οἱ ποιήσαντι, καὶ τὸ δεύτερον πέμψαντι, [r] ἔφρασε
" τὸ εἴδωλον τὸ Μελίσσης ἐς τὸν κατέθηκε χῶρον
" τοῦ ξείνου τὴν παρακαταθήκην. [s] Τοιοῦτο μέν
" ἐστι ὑμῖν ἡ τυραννὶς, ὦ Λακεδαιμόνιοι, καὶ [t] τοι-
33 " ούτων ἔργων. [u] ἡμέας δὲ τοὺς Κορινθίους τότε
" αὐτίκα [w] θῶμα μέγα εἶχε, [x] ὅτε ὑμέας εἴδομεν με-
" ταπεμπομένους Ἱππίην· νῦν τε δὴ [y] καὶ μεζόνως
" θωμάζομεν λέγοντας ταῦτα· ἐπιμαρτυρόμεθά τε,
" ἐπικαλεόμενοι ὑμῖν θεοὺς τοὺς Ἑλληνίους, μὴ κα-
34 " τιστάναι τυραννίδας ἐς τὰς [z] πόλις. [a] οὐκ ὦν παύ-
" σεσθε, ἀλλὰ [b] πειρήσεσθε παρὰ τὸ δίκαιον [c] κατά-
" γοντες Ἱππίην, ἴστε ὑμῖν Κορινθίους γε οὐ [d] συναι-
" νέοντας."

93 Sosiclis sententia sociis probata,

[a] Σωσικλέης μὲν ἀπὸ Κορίνθου πρεσβεύων ἔλεξε
τάδε. Ἱππίης δὲ αὐτὸν ἀμείβετο, τοὺς αὐτοὺς [b] ἐπι-
καλέσας θεοὺς κείνῳ, [c] ἦ μὲν Κορινθίους μάλιστα
πάντων ἐπιποθήσειν Πεισιστρατίδας, ὅταν σφι ἥκωσι
2 [d] ἡμέραι αἱ κύριαι ἀνιᾶσθαι ὑπ' Ἀθηναίων. Ἱππίης
μὲν τούτοισι ἀμείψατο, [e] οἷά τε τοὺς χρησμοὺς ἀτρε-
3 κέστατα ἀνδρῶν ἐξεπιστάμενος. Οἱ δὲ λοιποὶ τῶν
συμμάχων τέως μὲν εἶχον ἐν ἡσυχίῃ σφέας αὐτούς·

[q] Attigit Eustath. Il. p. 394, 27=298, 50. [r] Sic P.K.F.b.c. ἔφραζε S.a. al. [s] τοιοῦτον S.F. Mox μὲν ὑμῖν ἐστι F. ἡμῖν S. [t] Sic S.V.F. Par. τοιοῦτον ἔργον al. [u] ἡμέας δὲ τοὺς M.P.K.S.V.F. Par. ἡμέας δὲ αὐτοὺς olim. Mox τὸ, τότε S. [w] Sic F. θῶυμα et θωυμάζομεν al. [x] Sic S.F. ὅτι al. [y] καὶ om. S.V. Tum θωϋμάζομεν λέγοντες S. [z] Sic P.K.F. Paris. πόλιας S. al. [a] οὐκῶν ἦν μὴ παύσησθε] οὔκων παύσεσθε S.V. οὐκ ὦν μὴ παύσεσθε Matthiæ. [b] Sic S.V.F. πειρήσησθε Wessel. et al. [c] καταγαγόντες S.V. [d] συνέοντας S.V.

93. [a] Σωκλῆς M.K.F. cf. 92. [b] ἐπικαλέσασθαι S. θεοὺς ἐπικαλέσας ἐκείνῳ F. [c] ἦ μὴν S.V. cf. Koen. Gregor. Dial. Ion. 62. [d] ἠραιαὶ S. [e] Sic V.S. τε om. F.a. al.

ἐπεί τε δὲ Σωσικλέος ἤκουσαν [f] εἴπαντος ἐλευθέρως, ἅπας τις αὐτῶν φωνὴν ῥήξας, αἱρέετο τοῦ Κορινθίου τὴν γνώμην· Λακεδαιμονίοισί τε ἐπεμαρτυρέοντο, μὴ ποιέειν μηδὲν νεώτερον περὶ πόλιν [g] Ἑλλάδα. οὕτω μὲν [h] ταῦτα [i] ἐπαύσθη.

94 Ἱππίῃ δὲ ἐνθεῦτεν ἀπελαυνομένῳ, [a] ἐδίδου μὲν Ἀμύντης ὁ [b] Μακεδὼν Ἀνθεμοῦντα, ἐδίδοσαν δὲ
2 Θεσσαλοὶ Ἰωλκόν. ὁ δὲ τούτων μὲν [c] οὐδέτερα αἱρέετο, ἀνεχώρεε δὲ ὀπίσω ἐς [d] Σίγειον, τὸ εἷλε Πεισίστρατος αἰχμῇ παρὰ Μυτιληναίων· κρατήσας δὲ αὐτοῦ, κατέστησε τύραννον εἶναι παῖδα τὸν ἑωυτοῦ νόθον Ἡγησίστρατον, [e] γεγονότα ἐξ Ἀργείης γυναικός· ὃς οὐκ ἀμαχητὶ εἶχε [f] τά περ ἔλαβε παρὰ
3 Πεισιστράτου. ἐπολέμεον γὰρ ἔκ τε [g] Ἀχιλλητ̈ου πόλιος ὁρμεώμενοι καὶ Σιγείου [h] ἐπὶ χρόνον συχνὸν Μυτιληναῖοί τε καὶ Ἀθηναῖοι· οἱ μὲν, ἀπαιτέοντες τὴν χώρην· Ἀθηναῖοι δὲ, οὔτε συγγινωσκόμενοι, [i] ἀποδεικνύντες τε λόγῳ οὐδὲν μᾶλλον Αἰολεῦσι μετεὸν τῆς Ἰλιάδος χώρης, ἢ οὐ [k] καὶ σφὶ καὶ [l] τοῖσι ἄλλοισι, ὅσοι Ἑλλήνων [m] συνεπρήξαντο [n] Μενέλεῳ
95 τὰς Ἑλένης ἁρπαγάς. Πολεμεόντων δέ σφεων,

Hippias Sigeum revertitur, quod Pisistratus olim Mitylenæis eripuerat, jam dudum multorum inter Athenienses ac Mitylenæos bel- 425 lorum causam, inprimis Alcæi

[f] Sic Ald. S.a.b.c. εἴπαντος ἐλευθερῶσαι, πᾶς τις M.K.P.F. Wessel. Tum αὐτῶν ex F. [g] Sic M.K.F. cf. VII. 22. 115. Ἑλληνίδα Ald. S.V.P. al. [h] τοῦτο M.P.K.F. Wessel. [i] ἐπαύθη b.

94. [a] ἐδίδου μὲν om. F. [b] Μακεδὼν S.V. Vall. cf. 20. VIII. 142. IX. 44. Μακεδόνων βασιλεὺς F.a.c. Ald. [c] οὐδέτερον S.V. [d] Σίγιον F. constanter. Tum Μιτυληναίων vulg. [e] Sic M.P.K.F. ὄντα S.c. Ald. al. [f] τὰ παρέλαβε] τά περ ἔλαβε S. Wessel. et prætulit Schweighæuser. in Annott. [g] Ἀχιλλείου S.V. πόλεος ὁρμώμενοι S. [h] ἐπὶ χρ. συχν. P.K.F.a.S. Vulgo χρ. ἐπὶ σ. [i] ἀποδεικνύντες τε λόγῳ om. S. qui mox μέτρον pro μετεόν. [k] καί σφι S.V. καὶ σφίσι al. [l] Sic M.P.K.S.V.F. Paris. τοῖσι ἄλλοισι Ἕλλησι ὅσοι Ald. τοῖσι Ἕλλησι ὅσοι Steph. 2. et seqq. [m] συνεπρήξαντο P.F. et forte al. cf. VII. 169. συνεπράξαντο S. vulgo. [n] Μενέλεω M.P.K.F. Paris. Μενελάῳ Ald. Deest nomen S.

ῥιψάσπιδος carmine nobilitatorum.

[a] παντοῖα καὶ ἄλλα ἐγένετο ἐν τῇσι μάχῃσι· ἐν δὲ
δὴ καὶ Ἀλκαῖος ὁ ποιητὴς, συμβολῆς γενομένης, καὶ
νικώντων Ἀθηναίων, αὐτὸς μὲν φεύγων ἐκφεύγει, τὰ
δέ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι, καί σφεα ἀνεκρέμασαν
2 πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ. ταῦτα δὲ Ἀλκαῖος
ἐν μέλεϊ [b] ποιήσας, ἐπιτιθεῖ ἐς Μυτιλήνην, ἐξαγγελ-
λόμενος τὸ ἑωυτοῦ πάθος Μελανίππῳ ἀνδρὶ [c] ἑταίρῳ.
3 Μυτιληναίους δὲ καὶ Ἀθηναίους κατήλλαξε Περίαν-
δρος ὁ [d] Κυψέλου· τούτῳ γὰρ διαιτητῇ ἐπετράποντο·
κατήλλαξε δὲ ὧδε· νέμεσθαι [e] ἑκατέρους τὴν ἔχουσι.
Σίγειον μέν νυν οὕτω ἐγένετο ὑπ' Ἀθηναίοισι.

Ibi dum auxilium Persarum ambit, resque jam ad bellum videtur spectare:

96 Ἱππίης δὲ ἐπεί τε ἀπίκετο [a] ἐκ τῆς Λακεδαίμονος ἐς 426
τὴν Ἀσίην, πᾶν χρῆμα ἐκίνεε, διαβάλλων τε τοὺς
Ἀθηναίους πρὸς τὸν [b] Ἀρταφέρνεα, καὶ ποιέων
ἅπαντα ὅκως αἱ Ἀθῆναι γενοίατο ὑπ' [c] ἑωυτῷ τε καὶ
2 Δαρείῳ. Ἱππίης τε δὴ ταῦτα ἔπρησσε, καὶ οἱ Ἀθη-
ναῖοι πυθόμενοι ταῦτα, πέμπουσι ἐς Σάρδις ἀγγέλους,
οὐκ [d] ἐῶντες τοὺς Πέρσας πείθεσθαι Ἀθηναίων τοῖσι
3 φυγάσι. ὁ δὲ Ἀρταφέρνης [e] ἐκέλευέ σφεας, εἰ βου-
λοίατο [f] σόοι εἶναι, καταδέκεσθαι ὀπίσω Ἱππίην.
οὔκων δὴ ἐνεδέκοντο τοὺς λόγους ἀποφερομένους
Ἀθηναῖοι· οὐκ ἐνδεκομένοισι δέ σφι, [g] δέδοκτο ἐκ
τοῦ φανεροῦ τοῖσι Πέρσῃσι πολεμίους εἶναι.

97 Νομίζουσι δὴ ταῦτα, καὶ διαβεβλημένοισι ἐς τοὺς

95. [a] Sic P.K.V.S.F.a. καὶ ἄλλα πολλὰ παντοῖα ἐγίνετο τῇσι vulgo. ἐν τῇσι item M. [b] ποιήσας om. S. [c] ἑταίρῳ S.V.P.F. ἑτάρῳ al. [d] Κυψέλλου b. Ald. cf. I. 14. 20. [e] Sic M.P.K.F.b.c. ἀμφοτέρους S. al.

96. [a] Sic P.F. τῆς om. S. al. Mox διαβάλλων τούς τε S. Ald. [b] Ἀρταφρένεα K.F.a. cum vulg. S. Mox αἱ ante Ἀθῆναι om. S. [c] Sic V.S.F. τε al. om. Mox τε post Ἱππίης om. S. [d] Sic S.P.K.a. ἐῶντας F. Ald. Wessel. [e] ἐκέλευσε F. [f] σόοι V.K. σῶοι S.a.c. vulgo. σῷοι F. [g] Sic F. ἐδέδοκτο vulgo.

Πέρσας, [a]ἐν τούτῳ δὴ τῷ καιρῷ ὁ Μιλήσιος Ἀριστα-
γόρης, ὑπὸ Κλεομένεος τοῦ Λακεδαιμονίου [b]ἐξελα-
σθεὶς ἐκ τῆς Σπάρτης, ἀπίκετο [c]ἐς Ἀθήνας· αὕτη
γὰρ ἡ πόλις τῶν λοιπέων ἐδυνάστευε [d]μέγιστα.
2 ἐπελθὼν δὲ ἐπὶ τὸν δῆμον ὁ Ἀρισταγόρης, [e]ταῦτα
ἔλεγε τὰ καὶ ἐν τῇ Σπάρτῃ, [f]περὶ τῶν ἀγαθῶν τῶν
ἐν τῇ Ἀσίῃ, καὶ τοῦ [g]πολέμου τοῦ Περσικοῦ, ὡς
οὔτε ἀσπίδα οὔτε δόρυ νομίζουσι, εὐπετέες τε χειρω-
3 θῆναι εἴησαν. ταῦτά τε δὴ ἔλεγε, καὶ [h]πρὸς τοῖσι
τάδε, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶ ἄποικοι,
καὶ [i]οἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα· καὶ
οὐδὲν ὅ τι οὐκ [k]ὑπίσχετο, οἷα κάρτα δεόμενος· ἐς ὃ
4 [l]ἀνέπεισέ σφεας. Πολλοὺς γὰρ οἶκε εἶναι εὐπε-
τέστερον [m]διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν
Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβάλ-
λειν, τρεῖς δὲ μυριάδας Ἀθηναίων ἐποίησε τοῦτο.
5 Ἀθηναῖοι μὲν δὴ ἀναπεισθέντες, ἐψηφίσαντο εἴκοσι
νέας ἀποστεῖλαι βοηθοὺς [n]Ἴωσι, [o]στρατηγὸν ἀπο-
δέξαντες αὐτῶν εἶναι [p]Μελάνθιον, ἄνδρα τῶν ἀστῶν,
6 ἐόντα [q]τὰ πάντα δόκιμον. Αὗται δὲ αἱ νέες [r]ἀρχὴ
κακῶν ἐγένοντο Ἕλλησί τε καὶ Βαρβάροισι. 427

Aristagoras Milesius Athenas venit [c. 55.], facileque a populo xx navium classem impetrat.

98 Ἀρισταγόρης δὲ προπλώσας, καὶ ἀπικόμενος ἐς

Hinc prior Miletum

97. [a] ἐν om. S.V. In pr. δὲ pro δὴ S. Mox ὁ Μιλ. ὁ Ἀρισταγ. S. [b] Sic F. cf. III. 51. ἐξελαθεὶς Bekker. et vulgo. [c] ἐς τὰς Ἀθ. V.S. Mox ἡ om. S. [d] Sic S. μέγιστον vulgo. [e] Rectius ταὐτὰ SCHWEIGH. [f] περὶ τῶν—Ἀσίῃ om. K. [g] Sic P.K.S.V.F. Paris. τοῦ Π. π. vulgo. Supra δὲ S. pro τε δή. [h] πρὸς τούτοισι S.V. cf. I. 66. VII. 135. [i] Sic V.M.P.F. Paris. εἰκός σφας S. εἰκός σφι edd. vett. [k] ὑπέσχετο F. [l] ἂν ἔπεισε S.V. Mox ἔοικεν S. [m] διαβάλλειν P.K.V.S. F.a.b.d. μεταβαλέειν Ald. al. μεταβαλεῖν a. διαβαλέειν Wess. Matthiæ, Bekker. cum Steph. marg. Infra διαβαλεῖν S. [n] τοῖσι Ἴωσι S. [o] στρατηγὸν δὲ S.V. [p] Sic S.V.F. Paris. Μηλάνθιον vulgo. [q] τὰ om. S. [r] Sic M.P.K.F. Paris. Eustath. Il. p. 522, 12=395, 20. ἀρχαὶ κ. S. vulgo.

profectus, Pæonas in Phrygiam abductos [c. 15.] sollicitat, ut in patriam invito Dario revertantur.

τὴν Μίλητον, ἐξευρὼν βούλευμα ἀπ' οὗ Ἴωσι [a] μὲν
οὐδεμία ἔμελλε ὠφελίη ἔσεσθαι· οὐδ' ὦν οὐδὲ τούτου
εἵνεκα [b] ἐποίεε, ἀλλ' ὅκως βασιλέα Δαρεῖον λυπήσειε·
ἔπεμψε ἐς [c] τὴν Φρυγίην ἄνδρα ἐπὶ τοὺς Παίονας,
τοὺς ἀπὸ Στρυμόνος ποταμοῦ αἰχμαλώτους γενομέ-
νους ὑπὸ [d] Μεγαβάζου, οἰκέοντας [e] δὲ τῆς Φρυγίης
2 χῶρόν τε καὶ κώμην ἐπ' ἑωυτῶν. ὃς [f] ἐπεί τε ἀπίκετο
ἐς τοὺς Παίονας, ἔλεγε τάδε· "Ἄνδρες Παίονες,
"ἔπεμψέ με Ἀρισταγόρης ὁ Μιλήτου τύραννος
"σωτηρίην [g] ὑμῖν ὑποθησόμενον, ἤνπερ βούλησθε
3 " [h] πείθεσθαι. νῦν γὰρ Ἰωνίη πᾶσα ἀπέστηκε ἀπὸ
"βασιλέος, καὶ ὑμῖν παρέχει σώζεσθαι ἐπὶ τὴν ὑμε-
"τέρην αὐτῶν. μέχρι μὲν θαλάσσης, αὐτοῖσι ὑμῖν,
4 "τὸ δὲ ἀπὸ τούτου ἡμῖν ἤδη μελήσει." Ταῦτα δὲ
ἀκούσαντες οἱ Παίονες, κάρτα τε ἀσπαστὸν ἐποιή-
σαντο, καὶ ἀναλαβόντες [i] παῖδάς τε καὶ γυναῖκας,
ἀπεδίδρησκον ἐπὶ θάλασσαν· οἱ δέ τινες αὐτῶν [k] καὶ
5 κατέμειναν ἀρρωδήσαντες αὐτοῦ. ἐπεί τε δὲ οἱ Παίονες
[l] ἀπικέατο ἐπὶ θάλασσαν, ἐνθεῦτεν ἐς Χίον διέβησαν.
ἐόντων δὲ ἤδη ἐν Χίῳ, κατὰ πόδας ἐληλύθεε Περ-
6 σέων ἵππος πολλὴ, διώκουσα τοὺς Παίονας. ὡς δὲ
οὐ κατέλαβον, ἐπηγγέλλοντο ἐς τὴν Χίον τοῖσι
[m] Παίοσι, ὅκως ἂν ὀπίσω ἀπέλθοιεν. οἱ δὲ Παίονες
τοὺς λόγους οὐκ [n] ἐνεδέκοντο· ἀλλ' ἐκ Χίου μὲν Χῖοί
σφεας ἐς Λέσβον ἤγαγον, Λέσβιοι δὲ ἐς Δορίσκον

98. [a] μὲν om. S.V. qui mox cum K.P. οὐδέμια ἔμελλε ὠφελείη (sic S.) aut ὠφελίη. ὠφείλεια vulgo. ἔμελλε οὐδεμίη ὠφελίη F. Paris. Mox τοῦτο F. [b] ἐποίησε S.V. εἵνεκεν S. [c] τὴν om. F. [d] Μεγαβύζου b. [e] δὲ om. S.V. [f] Sic S. Schæfer. cf. 99. ἐπειδὴ vulgo. [g] ὑποθησ. ὑμῖν F. [h] πείσεσθαι F. [i] τέκνα καὶ γυν. S.V. ut 14. Mox ἀπεδίδρασκον S. [k] καὶ om. F. αὐτοῦ om. b. [l] Sic F. Paris. al. ἀπίκοντο S.V.P. et sic infra, ubi M. ἀπίκατο. [m] Παίοσι om. S. Vall. [n] ἐδέκοντο S.V.

ἐκόμισαν· ἐνθεῦτεν δὲ [o] πεζῇ κομιζόμενοι ἀπικέατο ἐς Παιονίην.

Interim et Atheniensium classis et Eretriensium v triremes adpellunt. Quibus auxiliis juncti Iones, 428

99 Ἀρισταγόρης δὲ, [a] ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπικέατο
εἴκοσι νηυσὶ, ἅμα ἀγόμενοι Ἐρετριέων πέντε τριή-
ρεας, οἳ οὐ τὴν Ἀθηναίων χάριν ἐστρατεύοντο, ἀλλὰ
τὴν αὐτῶν Μιλησίων, ὀφειλόμενά σφι ἀποδιδόντες·
(οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ἐρετριεῦσι τὸν
πρὸς Χαλκιδέας πόλεμον [b] συνδιήνεικαν, ὅτε περ καὶ
Χαλκιδεῦσι [c] ἀντία Ἐρετριέων καὶ Μιλησίων Σάμιοι
ἐβοήθεον·) οὗτοι ὦν ἐπεί τέ σφι [d] ἀπικέατο, καὶ [e] οἱ
ἄλλοι σύμμαχοι παρῆσαν, ἐποιέετο στρατηΐην ὁ Ἀρι-
2 σταγόρης ἐς Σάρδις. αὐτὸς μὲν δὴ οὐκ ἐστρατεύετο,
ἀλλ' [f] ἔμενε ἐν Μιλήτῳ· στρατηγοὺς δὲ ἄλλους ἀπέ-
δεξε Μιλησίων εἶναι, τὸν ἑωυτοῦ τε ἀδελφεὸν Χαρο-
100 πῖνον, [g] καὶ τῶν ἄλλων ἀστῶν Ἑρμόφαντον. Ἀπι-
κόμενοι δὲ τῷ στόλῳ τούτῳ Ἴωνες ἐς Ἔφεσον, πλοῖα
μὲν κατέλιπον ἐν [a] Κορήσσῳ τῆς Ἐφεσίης· αὐτοὶ δὲ
ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Ἐφεσίους [b] ἡγε-
2 μόνας. πορευόμενοι δὲ παρὰ ποταμὸν Καΰστριον,
ἐνθεῦτεν ἐπεί τε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο,
αἱρέουσι Σάρδις, οὐδενός σφι [c] ἀντιωθέντος· αἱρέουσι
δὲ χωρὶς τῆς ἀκροπόλιος τἄλλα πάντα· τὴν δὲ ἀκρό-
πολιν [d] ἐρύετο αὐτὸς [e] Ἀρταφέρνης, ἔχων [f] δύναμιν

Sardes, præter arcem, capiunt,

[o] πεζοὶ unus ms. apud Wessel.

99. [a] Sic vulgo. ἐπεί τε οἱ (vel ἐπεί τέ οἱ) conjicit Schweighæuserus. Mox ἀπίκοντο S. et νανσίν. [b] συνδιένεικαν] συνήνεικαν P.F.b. συνδιήνεικαν S.V. cf. I. 18. [c] ἀντὶ S.V. om. d. [d] Sic F.a.b. Schæfer. ἀπικοίατο edd. ἀπίκοντο S.V. [e] οἱ om. F. [f] ἐν M. ἔμ. F. [g] καὶ τῶν ἀστῶν ἄλλον P.K.F. Supra τε post ἑωυτοῦ om. S. et al.

100. [a] Κορησσῷ S.V. Κορήσῳ F.b. edd. vett. cf. Wesseling. ad Diodor. XIV. 99. [b] ἡγεμόνας τῆς ὁδοῦ K.P.F.b. cf. VIII. 31. [c] ἀντιαθέντος b. [d] ἐρύετο F. ἐρρύατο K.P.S.V. ἐρρύσατο b. ἐρρύετο al. [e] Ἀρταφρένης K.V.P.F. [f] ἀνδρῶν δύναμιν F.

101 ἀνδρῶν οὐκ [g]ὀλίγην. Τὸ δὲ μὴ λεηλατῆσαι [a]ἑλόντας
σφέας τὴν πόλιν, ἔσχε τόδε. [b]ἦσαν ἐν τῇσι Σάρδισι
οἰκίαι, [c]αἱ μὲν πλεῦνες, καλάμιναι· ὅσαι δ' αὐτέων
[d]καὶ πλίνθιναι ἦσαν, [e]καλάμου εἶχον τὰς ὀροφάς.
2 τουτέων δὴ μίαν τῶν τις στρατιωτέων ὡς ἐνέπρησε,
αὐτίκα [f]ἀπ' οἰκίης ἐς οἰκίην ἰὸν τὸ πῦρ, [g]ἐπενέμετο
3 τὸ ἄστυ [h]πᾶν. καιομένου δὲ τοῦ ἄστεος, οἱ Λυδοί τε
καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πόλι, [i]ἀπολαμφθέν-
τες πάντοθεν, ὥστε [k]τὰ περιέσχατα νεμομένου τοῦ
πυρὸς, καὶ οὐκ [kk]ἔχοντες ἐξήλυσιν ἐκ τοῦ ἄστεος,
συνέρρεον ἔς [l]τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν
ποταμόν· [m]ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ
τοῦ Τμώλου, διὰ μέσης τῆς ἀγορῆς ῥέει, καὶ ἔπειτα
ἐς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ, [n]ὁ δὲ, ἐς θάλασσαν.
4 ἐπὶ τοῦτον δὴ [o]τὸν Πακτωλὸν καὶ ἐς τὴν ἀγορὴν
ἀθροιζόμενοι οἵ τε Λυδοὶ καὶ οἱ Πέρσαι, ἠναγκάζοντο
5 ἀμύνεσθαι. οἱ δὲ Ἴωνες, [p]ὁρέοντες [q]τοὺς μὲν ἀμυνο- 429
μένους τῶν πολεμίων, τοὺς δὲ [r]σὺν πλήθεϊ πολλῷ
προσφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς τὸ
οὖρος, [s]τὸν Τμῶλον καλεόμενον· ἐνθεῦτεν δὲ ὑπὸ
νύκτα ἀπαλλάσσοντο ἐπὶ τὰς νέας.

incendioque delent [a. 503.].

g ὀλίγων S.

101. a ἐλθόντας S.V. Vall. b ἔσαν] ἦσαν F.S. c αἱ om. S.V. Mox καλάμινοι V.S. d καὶ om. S. qui ἦσαν pro ἔσαν. e καλάμη S. καλάμους P.K.F. probante Schweighæusero. Mox μίαν S. pro μίην. f ἀποικίην τὸ πῦρ S. ἐπ' οἰκίην pro ἐς οἰκ. F.b. Tum ἐπιὸν b. pro ἰόν. g ἐνέμετο S. h ἅπαν] πᾶν S.K.P.V.F. i λαμφθέντες F. Supra πόλει S. k τὰ ἔσχατα περινεμομ. S.V. kk ἔχοντες Pavius, probante Wesselingio. Et sic ed. Bekker. ἔχοντος vulgo, quod tuentur Schweighæuserus et alii. l τε om. F. m Citat Eustath. Dionys. 830. n Hinc Strabo XIII. p. 928. C.=626. A. o Sic M.P.K.F. al. τὸν ποταμὸν S.a. edd. vett. p Sic S.V. ὁρέωντες F. et vulg. q Sic F. Vulgo τοὺς μὲν τῶν πολ. ἀμυν. Matthiæ τῶν πολεμίων uncis inclusit. r συμπλήθεϊ F. s Sic P.S.F.a.b.d. τὸ Τμῶλον vulgo. Supra ὄρος S.

102 [a]Καὶ Σάρδις μὲν ἐνεπρήσθησαν, ἐν δὲ αὐτῇσι καὶ
ἱρὸν ἐπιχωρίης θεοῦ [b]Κυβήβης· [c]τὸ σκηπτόμενοι [d]οἱ
Πέρσαι, ὕστερον [e]ἀντενεπίμπρασαν τὰ ἐν Ἕλλησι
2 ἱρά. Τότε δὲ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ
νομοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα, [f]συνηλίζοντο
καὶ ἐβοήθεον τοῖσι Λυδοῖσι. καί κως ἐν μὲν Σάρδισι
οὐκέτι ἐόντας τοὺς Ἴωνας εὑρίσκουσι· ἑπόμενοι δὲ
3 κατὰ στίβον, αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ. καὶ ἀντε-
τάχθησαν μὲν οἱ Ἴωνες, συμβαλόντες δὲ, πολλὸν
ἑσσώθησαν· καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι φονεύ-
ουσι, [g]ἄλλους τε ὀνομαστοὺς, ἐν δὲ δὴ καὶ [h]Εὐαλ-
κίδεα στρατηγέοντα Ἐρετριέων, στεφανηφόρους τε
ἀγῶνας [i]ἀναραιρηκότα, καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου
4 πολλὰ [k]αἰνεθέντα. οἳ δὲ αὐτῶν [l]ἀπέφυγον τὴν μάχην,
ἐσκεδάσθησαν ἀνὰ τὰς πόλιας.

Regressos Persæ ad Ephesum adorti, victoriam insignem reportant.

103 Τότε μὲν δὴ οὕτω ἠγωνίσαντο· μετὰ δὲ, Ἀθηναῖοι
[a]μὲν τὸ παράπαν ἀπολιπόντες τοὺς Ἴωνας, [b]ἐπικα-
λεομένου σφέας πολλὰ δι' ἀγγέλων Ἀρισταγόρεω,
2 οὐκ ἔφασαν τιμωρήσειν σφίσι. Ἴωνες δὲ τῆς Ἀθη-
ναίων συμμαχίης στερηθέντες, (οὕτω γάρ σφι ὑπῆρχε
πεποιημένα ἐς Δαρεῖον,) οὐδὲν [c]δὴ ἧσσον [d]τὸν πρὸς
3 βασιλέα πόλεμον [e]ἐσκευάζοντο. Πλώσαντες δὲ ἐς

Inde Iones, etsi Athenienses domum discesserant, nihilo secius in bello perseverantes, et Byzantium cæterasque Hellesponti urbes expug-

102. [a] Sic V.A.B. Ald. *καὶ Σάρδιες μὲν* S. Ald. *αἱ δὲ Σάρδις ἐνεπ.* M.P.K.F. Wessel. [b] *Κυβίβλης* S. *Cybeles* Vall. [c] *τῷ σκηπτ.* b.F. e corr. [d] *οἱ* om. K.P.F. Bekker. [e] *ἀντεπίμπ.* S.V. *ἀντενεπίπρασαν* F. *ἀντενέπρησαν* b. Mox *προσπυνθανόμενοι* S. [f] *συνηυλίζοντο* V.F. cum vulg. consentit S. [g] Sic S.P.K.F. *ὀνομάστους τε ἄλλους* vulgo. [h] *Εὐελκίδην* M.P.A.B.K.F. *Εὐαλκήδεα* F. Ursinus Lyric. p. 183. [i] Sic F.a. Schæfer. *ἀναιρηκότα* S. *εὐραιρηκότα* V. *ἀναρραιρηκότα* Ald. Wessel. [k] *αἱρεθέντα* S. [l] *αὐτίκα ἀπέφυγον* d. Ald.

103. [a] *μὲν* om. S.V. [b] Sic P.K.a.c. cf. 108. *ἐπικαλεομένους* S.F.b. Ald. [c] Sic M.K.P.F. *δὴ* om. a.S. Ald. [d] Sic F.S. et forte P.V. Vulgo *τὸν πρὸς τὸν βασιλῆα.* [e] *ἐσκευάδατο* F.d.

nant, et magnam Cariæ partem ad defectionem permovent.

τὸν Ἑλλήσποντον, Βυζάντιόν τε καὶ τὰς ἄλλας
4 [f]πόλις ἁπάσας τὰς ταύτῃ ὑπ' ἑωυτοῖσι ἐποιήσαντο.
ἐκπλώσαντές τε ἔξω τὸν Ἑλλήσποντον, Καρίης τὴν
[g]πολλὴν προσεκτήσαντο σφίσι σύμμαχον εἶναι· καὶ
γὰρ τὴν Καῦνον, πρότερον οὐ βουλομένην συμμαχέ-
ειν, ὡς ἐνέπρησαν τὰς Σάρδις, τότε [h]σφι καὶ αὕτη
προσεγένετο.

104 Jam et Cyprus, præter Amathuntem, tota Onesilo auctore deficit [a. 502.].

Κύπριοι δὲ [a]ἐθέλονταί σφι πάντες
προσεγένοντο, πλὴν Ἀμαθουσίων. ἀπέστησαν γὰρ
καὶ οὗτοι [b]ὧδε ἀπὸ Μήδων. Ἦν [c]Ὀνήσιλος, Γόργου
μὲν τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸς νεώτερος,
2 Χέρσιος δὲ τοῦ Σιρώμου τοῦ Εὐέλθοντος παῖς. οὗτος
[d]ὡνὴρ πολλάκις μὲν καὶ [e]πρότερον τὸν Γόργον [f]πα-
ρηγορέετο ἀπίστασθαι ἀπὸ βασιλέος· τότε δ', ὡς καὶ
τοὺς Ἴωνας ἐπύθετο ἀπεστάναι, πάγχυ ἐπικείμενος
ἐνῆγε, [g]ὡς δὲ οὐκ ἔπειθε τὸν Γόργον, ἐνθαῦτά μιν
φυλάξας ἐξελθόντα τὸ ἄστυ τὸ Σαλαμινίων ὁ Ὀνή-
σιλος, ἅμα τοῖσι ἑωυτοῦ [h]στασιώτῃσι, [i]ἀπεκλήϊσε
τῶν πυλέων. Γόργος μὲν [k]δὴ στερηθεὶς τῆς πόλιος,
3 ἔφευγε ἐς Μήδους· Ὀνήσιλος δὲ ἦρχε Σαλαμῖνος,
4 καὶ ἀνέπειθε πάντας Κυπρίους συναπίστασθαι. τοὺς
μὲν δὴ ἄλλους [l]ἀνέπεισε· Ἀμαθουσίους δὲ, οὐ
βουλομένους οἱ πείθεσθαι, ἐπολιόρκεε [m]προσκατή-
μενος.

[f] Sic K.P.F. al. πόλιας S. Ald. Tum πάσας K.P.S.V. πάσας ταύτῃ F.b. [g] πόλιν F. Mox βολομένην S. pro βουλομένην. [h] σφίσι καὶ αὐτὴ S.

104. [a] ἐθελοντί σφι S.V. absque πάντες. [b] ὧδε om. S. qui mox Μήδου. [c] Ὀνήσιμος K. ὀνήσιλμος b. [d] Sic Wessel. ὠ 'νὴρ edd. ὡνὴρ F. ἀνὴρ S.V. [e] πρότερον τὸν om. S. [f] Sic P.F. Paris. παρηγόρεε τὸ V.S. παρηγορέατο vulg. [g] ὡς—Γόργον om. S. Mox λόγον pro Γόργον F. Mox ὁ ante Ὀνήσιλος om. S. [h] στρατιώτῃσι S.V. Vall. [i] ἀπέκλεισε F. [k] δὴ om. S.V. Mox πόλεος S. [l] ἀνέπειθεν S. [m] προσκατήμενος Ὀνήσιλος μ. ν. ἐ. om. F.

105 Ὀνήσιλος μέν νυν ἐπολιόρκεε Ἀμαθοῦντα. βασι-
λέϊ δὲ Δαρείῳ ὡς ἐξαγγέλθη Σάρδις ἁλούσας [a]ἐμπε-
πρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγε-
μόνα [b]γενέσθαι τῆς συλλογῆς, ὥστε ταῦτα συνυφαν-
θῆναι, τὸν Μιλήσιον Ἀρισταγόρην· [c]πρῶτα μὲν λέ-
γεται αὐτὸν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων οὐδένα λόγον
ποιησάμενον, εὖ εἰδότα ὡς οὗτοί γε οὐ καταπροΐξον-
ται ἀποστάντες, [d]εἴρεσθαι οἵτινες εἶεν [e]οἱ Ἀθηναῖοι·
μετὰ δὲ, πυθόμενον, αἰτῆσαι τὸ τόξον, λαβόντα δὲ
καὶ ἐπιθέντα ὀϊστὸν, ἄνω [f]ἐς τὸν οὐρανὸν ἀπεῖναι, καί
2 μιν ἐς τὸν ἠέρα [g]βάλλοντα εἰπεῖν· "Ὦ Ζεῦ, [h]ἐκ-
" γενέσθαι μοι Ἀθηναίους τίσασθαι." εἴπαντα δὲ
ταῦτα, προστάξαι ἑνὶ τῶν θεραπόντων, δείπνου προ- 431
κειμένου αὐτῷ, ἐς τρὶς ἑκάστοτε εἰπεῖν· "Δέσποτα,
106 " μέμνεο τῶν Ἀθηναίων." Προστάξας δὲ ταῦτα,
εἶπε, καλέσας ἐς ὄψιν Ἱστιαῖον τὸν Μιλήσιον, τὸν ὁ
Δαρεῖος κατεῖχε χρόνον [a]ἤδη πολλόν· "Πυνθάνομαι,
" Ἱστιαῖε, ἐπίτροπον τὸν σὸν, τῷ σὺ Μίλητον ἐπέ-
" τρεψας, νεώτερα ἐς ἐμὲ πεποιηκέναι πρήγματα.
2 " ἄνδρας γάρ μοι ἐκ τῆς ἑτέρης ἠπείρου ἐπαγαγὼν,
" καὶ Ἴωνας σὺν αὐτοῖσι, τοὺς δώσοντας ἐμοὶ δίκην
" τῶν ἐποίησαν· τούτους [b]ἀναγνώσας ἅμα ἐκείνοισι
3 " ἕπεσθαι, Σαρδίων με [c]ἀπεστέρηκε. νῦν ὦν κῶς τοι
" [d]φαίνεται ταῦτα ἔχειν καλῶς; κῶς δ' ἄνευ τῶν σῶν

Darius ob Sardes conflagratas Atheniensibus iratissimus.

Histiæum primo objurgat: tum, excusatione ejus accepta,

105. [a] Sic M.P.K.F. ἐμπρησθῆναι S.a. et al. [b] γενέσθαι om. S. [c] πρῶτον f [d] πυθέσθαι ὧν οἵ τινες d. [e] οἱ om. S. [f] ἐς τὸν οὐρανὸν S.V.A.B. Ald. Eustath. Il. p. 248, 34=188, 29. πρὸς τ. οὐ. M.K.F.b.f. Mox ἀφεῖναι S. [g] Sic F.a.f. βαλόντα S. Bekker. et vulgo. [h] Sic M.P.K.F.f.a.b. ἐγγενέσθαι S. γενέσθαι Eustath. ἐκγενέσθω Ald. d.V.

106. [a] δὴ F. Mox πεποιηκέναι ἐς ἐμὲ S. [b] ἀναγρώσας S. [c] Sic S.V. ἀπεστέρησε vulgo. [d] ταῦτα φαίνεται F.

" βουλευμάτων [e]τοιοῦτόν τι ἐπρήχθη; ὅρα μὴ ἐξ
4 " ὑστέρης σεωυτὸν ἐν αἰτίῃ [f]σχῇς." Εἶπε πρὸς ταῦτα
ὁ Ἱστιαῖος· " Βασιλεῦ, κοῖον ἐφθέγξαο ἔπος; εμε
" βουλεῦσαι πρῆγμα, ἐκ τοῦ σοί τι ἢ μέγα ἢ σμικρὸν
" ἔμελλε λυπηρὸν ἀνασχήσειν; τί δ' ἂν ἐπιδιζήμενος
" [g]ποιέοιμι ταῦτα; τεῦ δὲ ἐνδεὴς ἐών; τῷ πάρα μὲν
" πάντα [h]ὅσα περ σοὶ, πάντων δὲ πρὸς σέο βουλευ-
5 " μάτων ἐπακούειν ἀξιεῦμαι. Ἀλλ' εἴ περ τι τοιοῦ-
" τον, οἷον σὺ εἴρηκας, πρήσσει ὁ ἐμὸς ἐπίτροπος,
" ἴσθι αὐτὸν ἐπ' ἑωυτοῦ [i]βαλλόμενον [k]πεπρηχέναι.
" ἀρχὴν δὲ ἔγωγε οὐδὲ ἐνδέκομαι τὸν λόγον, ὅκως τι
" Μιλήσιοι καὶ ὁ ἐμὸς ἐπίτροπος νεώτερον πρήσ-
6 " σουσι περὶ πρήγματα τὰ σά. Εἰ δ' ἄρα τι [l]τοιοῦτο
" ποιεῦσι, καὶ σὺ τὸ ἐὸν ἀκήκοας, ὦ βασιλεῦ, μάθε
" οἷον πρῆγμα ἐργάσαο, ἐμὲ ἀπὸ θαλάσσης ἀνάσπα-
7 " στον ποιήσας. Ἴωνες γὰρ [m]οἴκασι, ἐμεῦ ἐξ ὀφθαλ-
" μῶν σφι γενομένου, ποιῆσαι τῶν πάλαι ἵμερον
" εἶχον· ἐμέο δ' ἂν ἐόντος ἐν Ἰωνίῃ οὐδεμία πόλις
8 " ὑπεκίνησε. Νῦν ὦν ὡς τάχος [n]με ἄφες πορευθῆναι
" [o]ἐς Ἰωνίην, ἵνα τοι κεῖνά τε πάντα [p]καταρτίσω ἐς
" τὠυτὸ, καὶ τὸν Μιλήτου ἐπίτροπον τοῦτον, τὸν
9 " ταῦτα μηχανησάμενον, ἐγχειρίθετον παραδῶ. ταῦτα
" δὲ κατὰ νόον τὸν σὸν ποιήσας, θεοὺς ἐπόμνυμι τοὺς
" βασιληΐους, μὴ μὲν πρότερον ἐκδύσασθαι τὸν [q]ἔχων

[e] τούτων τι S.V. Steph. marg. ἂν quod Galeus enotavit non reperitur, nisi in Eton. forte. Wess. Hinc τούτων τι ἂν ἐπρήχθη Valckenærius. [f] ἔχῃς F.b. Mox ὁ om. S. qui infra σύ pro σοί. [g] ποιοῖμι F. Supra λυπηρὸν ἔμελλεν S. [h] ὅσα Πέρσῃσι S. [i] βαλόμενον F.d. Bekker. ἑωϋτῷ S. [k] Sic Ald. S.V.A.B. πεποιηκέναι M.P.K.F.b. [l] ποιεῦσι τοιοῦτον V.S. [m] ἤκασιν S. Mox οὐδεμία S. pro οὐδεμίη. [n] ἄφες με P.K.F. ἄπες edidit Schæferus, invitis libris, quem sequitur Bekker. [o] ἐς om. S. qui mox ἐκεῖνά. [p] Sic S. cf. cap. 28. καταρτήσω F.a.b. Ald. [q] Sic S.M.P.K.V. Vall. F. Paris. ἔχω vulgo. Tum χιτῶνα S.

" κιθῶνα καταβήσομαι ἐς Ἰωνίην, πρὶν ἄν τοι Σαρδὼ,
107 " νῆσον τὴν μεγίστην, δασμοφόρον ποιήσω." Ἱστι-
αῖος [a]μὲν δὴ, λέγων ταῦτα, [b]διέβαλλε. Δαρεῖος δὲ
ἐπείθετο, καί μιν [c]ἀπίει, ἐντειλάμενος, ἐπεὰν τὰ ὑπέ-
σχετό [d]οἱ ἐπιτελέα ποιήσῃ, παραγίνεσθαί οἱ ὀπίσω ἐς
τὰ Σοῦσα.

432 ad sedandas Ioniæ turbas dimittit.

108 Ἐν ᾧ δὲ ἡ ἀγγελίη [a]τε περὶ τῶν Σαρδίων παρὰ
[b]βασιλέα ἀνήϊε, καὶ Δαρεῖος τὰ περὶ τὸ τόξον ποιή-
σας Ἱστιαίῳ ἐς λόγους ἦλθε, καὶ Ἱστιαῖος [c]μεμετι-
μένος ὑπὸ Δαρείου ἐκομίζετο ἐπὶ θάλασσαν· ἐν τούτῳ
2 παντὶ τῷ χρόνῳ ἐγίνετο τάδε. Πολιορκέοντι τῷ Σα-
λαμινίῳ Ὀνησίλῳ Ἀμαθουσίους ἐξαγγέλλεται, νηυσὶ
στρατιὴν πολλὴν ἄγοντα Περσικὴν Ἀρτύβιον, ἄνδρα
3 Πέρσην, [d]προσδόκιμον ἐς τὴν Κύπρον εἶναι. πυθό-
μενος δὲ ταῦτα [e]ὁ Ὀνήσιλος, κήρυκας [f]διέπεμπε ἐς
τὴν Ἰωνίην, [g]ἐπικαλεύμενός σφεας. Ἴωνες δὲ οὐκ ἐς
4 [h]μακρὴν βουλευσάμενοι, ἧκον πολλῷ στόλῳ. Ἴωνές
τε δὴ παρῆσαν ἐς τὴν Κύπρον, καὶ οἱ Πέρσαι νηυσὶ
διαβάντες ἐκ τῆς Κιλικίης, [i]ἤϊσαν ἐπὶ τὴν Σαλαμῖνα
πεζῇ· τῇσι δὲ νηυσὶ οἱ Φοίνικες [k]περιέπλωον τὴν
109 ἄκρην, αἳ [l]καλεῦνται [m]Κληῗδες τῆς Κύπρου. [a]Τού-
του δὲ τοιούτου [b]γινομένου, ἔλεξαν οἱ τύραννοι τῆς
Κύπρου, συγκαλέσαντες τῶν Ἰώνων τοὺς στρατη-
γούς· " Ἄνδρες Ἴωνες, αἵρεσιν ὑμῖν δίδομεν ἡμεῖς οἱ

Interim Onesilo Amathusios obsidente, Cyprum et classis Ionum auxilium ferentium adpellit, et Persarum terrestres navalesque copiæ duce Artybio invadunt.

107. [a] Sic S.V. δὴ vulgo om. Mox λέγων om. d. [b] Sic S.F. a.b. διέβαλε vulgo. [c] ἀπήει F. [d] οἱ om. b. et mox b.F.

108. [a] τε περὶ om. M.K.F. [b] βασιλῆα] βασιλέα F. βασιλεῖ S. [c] μεμετημένος S.V.b.d. μεμετειμένος F. cf. VI. 1. VII. 229. [d] δόκιμον S. Vall. Vulg. defendit VI. 6. [e] ὁ om. S.F. [f] διέπεμψεν S.V. [g] ἐπικαλεόμενος F. [h] μακρὸν d. [i] ἴεσαν S. ἤεσαν V. [k] περιέπλεον F. [l] Sic K.S.V. καλέονται F. Ald. et al. [m] Κλῆδες K.S.V. cf. Valcken. ad Eurip. Ph. 268.

109. [a] τούτου δὲ τοῦ τοιούτου F. [b] γενομένου S.b.

“ Κύπριοι, ὁκοτέροισι βούλεσθε προσφέρεσθαι, [c]ἢ
2 “ Πέρσῃσι, ἢ Φοίνιξι. εἰ μὲν γὰρ πεζῇ βούλεσθε
“ ταχθέντες Περσέων διαπειρᾶσθαι, ὥρη ἂν εἴη ὑμῖν,
“ ἐκβάντας ἐκ τῶν [d]νεῶν, τάσσεσθαι πεζῇ, ἡμέας δὲ
“ ἐς τὰς νέας [e]ἐμβαίνειν τὰς ὑμετέρας, Φοίνιξι [f]ἀν-
“ ταγωνιευμένους· εἰ δὲ Φοινίκων μᾶλλον βούλεσθε
“ διαπειρᾶσθαι, ποιέειν [g]χρεόν ἐστι ὑμέας, ὁκότερα
“ ἂν δὴ τούτων [h]ἕλησθε, ὅκως τὸ κατ' [i]ὑμέας ἔσται
3 “ [k]ἥ τε Ἰωνίη καὶ ἡ Κύπρος ἐλευθέρη.” Εἶπαν [[l]οἱ]
Ἴωνες πρὸς ταῦτα· “ [m]Ἡμέας ἀπέπεμψε [n]τὸ κοινὸν
“ τῶν Ἰώνων [o]φυλάξοντας τὴν θάλασσαν, ἀλλ' οὐκ
“ ἵνα Κυπρίοισι τὰς νέας [p]παραδόντες, αὐτοὶ [q]Πέρ-
4 “ σῃσι πεζῇ προσφερώμεθα. ἡμεῖς μέν νυν [r]ἐπ' οὗ
“ ἐτάχθημεν, ταύτῃ πειρησόμεθα [s]εἶναι χρηστοί·
“ ὑμέας δὲ χρεόν ἐστι, ἀναμνησθέντας οἷα ἐπάσχετε
“ δουλεύοντες πρὸς τῶν Μήδων, γίνεσθαι ἄνδρας
110 “ ἀγαθούς.” Ἴωνες μὲν τούτοισι ἀμείψαντο. Μετὰ
δὲ, ἡκόντων ἐς τὸ πεδίον τὸ Σαλαμινίων τῶν Περ- 433
σέων, διέτασσον οἱ [a]βασιλέες τῶν Κυπρίων, τοὺς μὲν 2
ἄλλους Κυπρίους κατὰ τοὺς ἄλλους στρατιώτας ἀν-
τιτάσσοντες· Σαλαμινίων δὲ καὶ [b]Σολίων [c]ἀπολέ-

[c] ἢ Π. ἢ Φ. om. V.S. ἢ prius om. Ald. Mox ὑμῖν εἴη S. [d] νηῶν S. [e] ἐσβαίνειν S.P.V.F. cf. VII. 128. [f] Sic K.P.F. ἀνταγωνιου. vulgo. [g] Sic F.a.S. pro χρεών. cf. 49. [h] Sic K.P.V.F.a.S. ἕλοισθε vulgo. [i] Sic K.S.V.P.F. Paris. ἡμέας vulgo. [k] ἥ τε Ἰωνίη Κύπρος F. [l] οἱ om. S.P.V.F.a. Bekker. [m] ἡμέας δὲ ἀπ. K.P.F. ἡμέας ἔπεμψε S.V. [n] τὰ κοινὰ S.V. Sed vide 85. VI. 14. [o] Sic a.b. Schæfer. φυλάξαντας S.V.F. φυλάσσοντας vulgo. [p] παραδοθέντες F. τὰς νέας om. S. [q] πεζῇ Πέρσῃσι F. Π. πεζοὶ Steph. marg. [r] Sic M.P.K.F. ὅκου S.a.d. vulgo. [s] εἶναι χρηστοὶ M.P.K.F.b.c. χρηστοὶ γενέσθαι S.a.d. et vulg.

110. [a] βασιλῆες] βασιλέες S.F. Mox τοὺς μὲν ἄλλους Κυπρίους κατὰ τοὺς ἄλλους Κυπρίους κατὰ τοὺς ἄλλους στρατ. F. [b] Σολιέων S.P.V. Σολέων ex S. notaverat Galeus, quod vulgato non deterius. Gentile enim, ut Steph. Byz. docet, perinde Σολεὺς et Σόλιος formatur. Schweigh. Σολιέων S. diserte. Σολέων fortasse error est typothetæ in edit. Galeana. [c] ἀποδέξαντες S.V.P.

2 ξαντες τὸ ἄριστον, ἀντέτασσον Πέρσῃσι. Ἀρτυβίῳ
δὲ τῷ στρατηγῷ τῶν Περσέων [d]ἐθελοντὴς ἀντετάσ-
111 σετο Ὀνήσιλος. Ἤλαυνε δὲ ἵππον ὁ Ἀρτύβιος δεδι-
δαγμένον πρὸς ὁπλίτην [a]ἵστασθαι ὀρθόν. πυθόμενος
ὦν ταῦτα ὁ Ὀνήσιλος, ἦν γάρ οἱ ὑπασπιστὴς [b]γένος
μὲν Κὰρ, τὰ δὲ [c]πολέμια κάρτα δόκιμος, καὶ ἄλλως
2 [d]λήματος πλέος, εἶπε πρὸς τοῦτον· "Πυνθάνομαι
"τὸν Ἀρτυβίου ἵππον ἱστάμενον ὀρθὸν, καὶ [e]ποσὶ
"καὶ στόματι κατεργάζεσθαι [f]πρὸς τὸν ἂν προσενε-
"χθῇ. σὺ ὦν βουλευσάμενος [g]αὐτίκα εἰπὲ ὁκότερον
"βούλεαι φυλάξας πλῆξαι, εἴτε τὸν ἵππον, εἴτε αὐ-
3 "τὸν Ἀρτύβιον." Εἶπε πρὸς ταῦτα ὁ ὀπάων αὐτοῦ·
"Ὦ βασιλεῦ, ἑτοῖμος μὲν ἐγὼ εἰμι ποιέειν καὶ ἀμ-
"φότερα, καὶ τὸ ἕτερον αὐτῶν, καὶ πάντως τὸ ἂν
"[h]ἐπιτάσσῃς σύ· ὡς μέντοι ἔμοιγε δοκέει εἶναι τοῖσι
4 "[i]σοῖσι πρήγμασι [k]προσφερέστερον, φράσω. [l]βα-
"σιλέα μὲν καὶ στρατηγὸν [m]χρεὸν εἶναί φημι βα-
"σιλέϊ [n]τε καὶ στρατηγῷ προσφέρεσθαι· ἤν τε γὰρ
"κατέλῃς ἄνδρα στρατηγὸν, μέγα τοι γίνεται· καὶ
"[o]δεύτερα, ἢν σὲ ἐκεῖνος, τὸ μὴ γένοιτο, ὑπὸ ἀξιό-
"χρεω καὶ ἀποθανεῖν ἡμίσεα συμφορή· ἡμέας δὲ τοὺς

[d] ἐθελοντὶ V.S.

111. [a] Sic K.P.F. Paris. ἀντιτάσσεσθαι S. al. Supra δεδιγμένον S. Mox ὁ ante Ὀνήσιλος om. S. [b] Sic M.K.P. et forte c. γενόμενος μὲν καὶ Ald. d.S. γενόμενος μὲν κατὰ τὰ π. a. ὑπασπιστὴς τὰ πολέμια κάρτα δόκ. b. In F. pr. γενόμενος κάρτα δὲ πολέμια κάρτα δόκιμος, sed corr. ab eadem m. γενόμενος μὲν Κὰρ, τὰ δὲ π. etc. [c] πολεμήϊα V. Schæfer. πολέμια ἔργα δ. S. πολέμια πάντα P. cf. Tzetzes Chil. III. 989. δὲ om. Ald. [d] Sic S.V.F. Paris. λήμματος vulgo. cf. ad 72. [e] χερσὶ K. [f] πρὸς τὸ F. teste Schweighæusero. Tum προσενειχθῇ Ald. [g] εἰπὲ αὐτίκα F. Mox τὸν ante ἵππον om. S. [h] σὺ ἐπιτάσσῃς P.F. σὺ om. S.V. Mox ὡς μέντοι γε δοκέει S. [i] σοῖσι om. F.d. [k] Sic K.P.V.F. προφερέστερον S. Schæfer. προσφερέστατον Wessel. et al. [l] βασιλῆα] βασιλέα F.S. [m] Sic S. χρεὼν vulgo. [n] τε om. F. [o] Sic Ald. S.A.B. δεύτερον M.P.K.F. cf. I. 204.

“ ὑπηρέτας ἑτέροισί τε ὑπηρέτῃσι προσφέρεσθαι, καὶ
“ πρὸς ἵππον· τοῦ σὺ τὰς μηχανὰς μηδὲν φοβηθῇς·
“ ἐγὼ γὰρ [[p] δή] τοι ὑποδέκομαι μή μιν ἀνδρὸς ἔτι
112 “ γε μηδενὸς στήσεσθαι ἐναντίον.” Ταῦτα εἶπε, [a] καὶ
μεταυτίκα συνέμισγε τὰ στρατόπεδα πεζῇ, καὶ νηυσί.
2 Νηυσὶ μέν νυν Ἴωνες, ἄκροι γενόμενοι ταύτην τὴν
ἡμέρην, ὑπερεβάλοντο τοὺς Φοίνικας· καὶ τούτων
Σάμιοι ἠρίστευσαν· πεζῇ δὲ, ὡς [b] συνῆλθε τὰ στρα-
3 τόπεδα, συμπεσόντα ἐμάχοντο. κατὰ δὲ τοὺς στρα-
τηγοὺς ἀμφοτέρους τάδε ἐγίνετο. ὡς προσεφέρετο
πρὸς τὸν Ὀνήσιλον ὁ Ἀρτύβιος ἐπὶ τοῦ ἵππου κα-
τήμενος, ὁ Ὀνήσιλος, [c] κατὰ τὰ συνεθήκατο τῷ ὑπα-
σπιστῇ, παίει προσφερόμενον αὐτὸν τὸν Ἀρτύβιον·
ἐπιβαλόντος δὲ τοῦ ἵππου τοὺς πόδας ἐπὶ τὴν Ὀνη-
σίλου ἀσπίδα, ἐνθαῦτα [d] ὁ Κὰρ δρεπάνῳ πλήξας, 434
4 [e] ἀπαράσσει τοῦ ἵππου τοὺς πόδας. Ἀρτύβιος μὲν δὴ
ὁ στρατηγὸς τῶν Περσέων ὁμοῦ τῷ ἵππῳ πίπτει αὐ-
113 τοῦ ταύτῃ. Μαχομένων δὲ καὶ τῶν ἄλλων, Στησή-
νωρ, τύραννος ἐὼν Κουρίου, προδιδοῖ ἔχων δύναμιν
ἀνδρῶν περὶ ἑωυτὸν οὐ [a] σμικρήν· οἱ δὲ Κουριέες
2 οὗτοι λέγονται εἶναι Ἀργείων ἄποικοι. προδόντων δὲ
[b] τῶν Κουριέων, αὐτίκα καὶ τὰ Σαλαμινίων πολε-
μιστήρια ἅρματα τὠυτὸ τοῖσι Κουριεῦσι [c] ἐποίεε.
γινομένων δὲ [d] τούτων, κατυπέρτεροι ἦσαν οἱ Πέρσαι

Prælio terra marique commisso, dum Iones classem hostium vincunt, Cyprii a terrestri Persarum exercitu profligantur. Cadit et Artybius,

et Onesilus.

[p] δή om. S.K.V.F.

112. [a] καὶ μετὰ συνέμισγε S. συνέσμιγε V. cf. I. 127. VII. 40. συνέμιγε K. συνέμιξε unus ms. apud Wessel. καὶ μετὰ ταῦτα συνέμεινε d. Mox νυν om. S. [b] συνῆλθον S.V. Schæfer. Bekker. [c] Sic S.V.A.B. ‸λ Olim κατά. ξυνεθήκατο S. Ald. Mox αὐτὸν om. S. qui tum ἐπιβάλοντος. [d] ὁ ὀπάων S.V. Vall. Schæfer. Bekker. Supra τοῦ ὀνησίλου S. [e] ἀπαρράσει K.

113. [a] Sic V.K.S.F. Paris. μικρὴν al. cf. notata ad Gregor. Dial. Ion. 88. [b] Sic P.K. Ald. F. Paris. S. καὶ τῶν Κουριέων F. [c] ἐποίεον S.V. Schæfer. [d] τουτέων—ἔσαν] τούτων—ἦσαν F.S. οἱ πέρσαι ἦσαν S.

3 τῶν Κυπρίων. Τετραμμένου [e]δὲ τοῦ στρατοπέδου,
ἄλλοι τε ἔπεσον πολλοὶ, καὶ δὴ καὶ Ὀνήσιλός τε, ὁ
Χέρσιος, ὅσπερ τὴν Κυπρίων ἀπόστασιν ἔπρηξε, καὶ
ὁ [f]Σολίων βασιλεὺς Ἀριστόκυπρος, ὁ Φιλοκύπρου·
Φιλοκύπρου δὲ τούτου, τὸν Σόλων ὁ Ἀθηναῖος, ἀπι-
κόμενος ἐς Κύπρον, ἐν ἔπεσι αἴνεσε τυράννων μά-
114 λιστα. Ὀνησίλου μέν νυν Ἀμαθούσιοι, ὅτι σφέας
ἐπολιόρκησε, ἀποταμόντες τὴν κεφαλὴν, ἐκόμισαν ἐς
Ἀμαθοῦντα· καί μιν [a]ἀνεκρέμασαν ὑπὲρ τῶν πυλέων.
2 [b]κρεμαμένης δὲ τῆς κεφαλῆς, καὶ [c]ἤδη ἐούσης κοίλης,
ἑσμὸς μελισσέων ἐσδὺς ἐς αὐτὴν, κηρίων [d]μιν [e]ἐνέ-
3 πλησε. τούτου δὲ γενομένου τοιούτου, [f]ἐχρέωντο γὰρ
περὶ αὐτῆς οἱ Ἀμαθούσιοι, ἐμαντεύθη σφι τὴν [g]μὲν
κεφαλὴν κατελόντας θάψαι, [h]Ὀνησίλῳ δὲ θύειν ὡς
4 ἥρωϊ ἀνὰ πᾶν ἔτος. καί σφι ποιεῦσι ταῦτα, [i]ἄμεινον
συνοίσεσθαι. Ἀμαθούσιοι [k]μέν νυν ἐποίευν ταῦτα,
115 καὶ τὸ [l]μέχρι ἐμεῦ. Ἴωνες δὲ [a]οἱ ἐν Κύπρῳ ναυμα-
χήσαντες, ἐπεί τε ἔμαθον τὰ πρήγματα [b]τὰ Ὀνησί-
λου διεφθαρμένα, καὶ τὰς [c]πόλιας τῶν Κυπρίων πο-
λιορκευμένας τὰς ἄλλας, πλὴν Σαλαμῖνος, ταύτην δὲ
Γόργῳ τῷ προτέρῳ βασιλέϊ τοὺς Σαλαμινίους [d]πα-
ραδόντας· αὐτίκα μαθόντες οἱ Ἴωνες ταῦτα, [e]ἀπέ-
2 πλωον ἐς τὴν Ἰωνίην. τῶν δὲ [f]ἐν Κύπρῳ πολίων
ἀντέσχε χρόνον ἐπὶ πλεῖστον πολιορκευμένη [g]Σόλοι·

Onesilus post mortem ab Amathusiis primum contumeliose habitus, deinde ut heros cultus.

Cognita clade Cypriorum, Iones domum revertuntur. Cyprus jugo Persico denuo subjecta [a. 501.]

[e] τε τοῦ S.V. [f] Σολιέων S.V. Mox Ἀριστόκυπος S.

114. [a] ἀνεκρέμασαν M.P.K.F. ἀπεκρέμασαν Ald. a.S. [b] κρεμασμένης V. [c] Sic F. οὔσης ἤδη S. al. [d] μὲν F. [e] ἐνέπλησαν S. Schæfer. [f] ἐχρέοντο V. Schæfer. ἐχρίοντο S. qui om. οἱ ante Ἀμαθ. [g] μὲν om. a.c.S. [h] Sic S.P.K.V.F. Ὀνησίλεῳ vulg. [i] ἄμεινον—ταῦτα om. F. Mox συνήσεσθαι S. [k] Sic S.V.A.B. Ald. νυν om. M.P.K.F. [l] Sic F.a. μέχρις Wessel. al.

115. [a] οἱ om. F. [b] τὰ om. F. [c] πόλεις F. πόλις Bekker. [d] Sic S.V.P.F. Paris. παραδιδόντας vulgo. [e] ἀπέπλεον F. [f] Κυπρίων S.V. Mox χρόνον ἀντέσχεν S. qui tum πολιορκεομένη. [g] Σόλη S. Vall.

τὴν, πέριξ ὑπορύσσοντες τὸ τεῖχος, πέμπτῳ μηνὶ
εἷλον οἱ Πέρσαι.

116 Κύπριοι μὲν δὴ, ἐνιαυτὸν ἐλεύθεροι γενόμενοι, αὖ-
2 τις ἐκ νέης κατεδεδούλωντο. [a]Δαυρίσης δὲ, ἔχων
Δαρείου θυγατέρα, καὶ [b]Ὑμέης τε καὶ Ὀτάνης, καὶ
ἄλλοι Πέρσαι στρατηγοὶ, ἔχοντες καὶ οὗτοι Δαρείου
θυγατέρας, ἐπιδιώξαντες τοὺς [c]ἐν Σάρδισι [d]στρατευ-
σαμένους Ἰώνων, καὶ ἐσαράξαντές σφεας ἐς τὰς νέας,
τῇ μάχῃ ὡς ἐπεκράτησαν, τὸ ἐνθεῦτεν ἐπιδιελόμενοι
117 τὰς [e]πόλις ἐπόρθεον. Δαυρίσης μὲν, τραπόμενος
πρὸς τὰς ἐν Ἑλλησπόντῳ πόλις, εἷλε μὲν Δάρδανον,
εἷλε δὲ Ἄβυδόν τε καὶ [a]Περκώτην, καὶ Λάμψακον
καὶ [b]Παισόν· ταύτας μὲν [c]ἐπ' ἡμέρης ἑκάστης αἵρεε.
2 ἀπὸ δὲ Παισοῦ ἐλαύνοντί οἱ ἐπὶ Πάριον πόλιν, [d]ἦλθε
ἀγγελίη, τοὺς Κᾶρας τὠυτὸ Ἴωσι φρονήσαντας, ἀπε-
3 στάναι ἀπὸ Περσέων. [e]ἀποστρέψας ὦν ἐκ τοῦ Ἑλ-
λησπόντου, ἤλαυνε τὸν στρατὸν ἐπὶ τὴν Καρίην.
118 Καί κως ταῦτα τοῖσι Καρσὶ ἐξαγγέλθη πρότερον
[a]πρὶν ἢ τὸν Δαυρίσην ἀπικέσθαι. πυθόμενοι δὲ οἱ
Κᾶρες, συνελέγοντο ἐπὶ Λευκάς τε Στήλας καλεο-
μένας, καὶ ποταμὸν [b]Μαρσύην· ὃς ῥέων ἐκ τῆς
2 [c]Ἰδριάδος χώρης, ἐς τὸν Μαίανδρον ἐκδιδοῖ. συλ-
λεχθέντων δὲ τῶν Καρῶν ἐνθαῦτα, [d]ἐγίνοντο βουλαὶ

Persarum duces, qui Iones ad Ephesum vicerant [c. 102.], bellum profligaturi alii alio copias ducunt.

Et Daurises quidem urbes Hellespontias [c. 103.] regis ditioni restituere incipit: sed audita Carum rebellione [c. 103.], in Cariam deflectit.

116. [a] Δαυρίτης d. et infra. [b] Ὑμαίης S. Vall. [c] ἐν Σάρδισι M.K.P.F. ἐν Σάρδι S.V. ἐς Σάρδις a. vulg. Bekker. cf. 122. [d] στρατευομένους d. [e] Sic K.F. et mox. πόλιας S. al. et mox.

117. [a] Περκώπην V. Steph. marg. Περιώπην S. Vall. Vide Heynium ad Il. β'. 835. λ'. 229. [b] Πεσὸν S. et mox. *Peson* Vall. [c] Sic S.V.P.a.c. Ald. ἐπ' ἡμέρῃ ἑκάστῃ M.K.F.b. [d] ἦλθέ οἱ ἀγγ. M.P.K.F.b. [e] ἀποτρέψας S.V.

118. [a] πρὶν om. M.P.K.F. Bekker. Contulit Gronovius IV. 45. VII. 2. 8. 54. VIII. 8. IX. 86. 92. [b] Μαρσίην S. [c] Sic S.F. et forte Paris. Ἰδρυάδος olim. [d] Sic S.P.V.F.a.b. ἐγένοντο Wessel. et al.

ἄλλαι τε πολλαὶ, καὶ ἀρίστη γε δοκέουσα εἶναι ἐμοὶ
[e]Πιξωδάρου τοῦ Μαυσώλου, ἀνδρὸς Κινδυέος, ὃς τοῦ
3 Κιλίκων βασιλέος Συεννέσιος εἶχε θυγατέρα. τούτου
τοῦ ἀνδρὸς ἡ γνώμη ἔφερε, διαβάντας τὸν Μαίανδρον
τοὺς Κᾶρας, καὶ κατὰ [f]νώτου ἔχοντας τὸν ποταμὸν,
οὕτω συμβάλλειν· ἵνα μὴ [g]ἔχοντες ὀπίσω φεύγειν οἱ
Κᾶρες, αὐτοῦ τε μένειν ἀναγκαζόμενοι, [h]γενοίατο ἔτι
4 ἀμείνονες τῆς φύσιος. αὕτη μέν νυν οὐκ ἐνίκα ἡ
γνώμη, ἀλλὰ τοῖσι Πέρσῃσι κατὰ νώτου γίνεσθαι
τὸν Μαίανδρον [i]μᾶλλον ἢ σφίσι· [k]δηλαδὴ, ἢν φυγὴ
τῶν Περσέων γένηται, καὶ ἑσσωθέωσι τῇ συμβολῇ,
ὡς οὐκ [l]ἀπονοστήσουσι, ἐς τὸν ποταμὸν [m]ἐσπίπτον-
119 τες. Μετὰ δὲ, παρεόντων καὶ διαβάντων τὸν Μαίαν- Cares primo ad fluvium Marsyam,
δρον τῶν Περσέων, ἐνθαῦτα ἐπὶ τῷ Μαρσύῃ ποταμῷ
συνέβαλόν τε τοῖσι Πέρσῃσι οἱ Κᾶρες, καὶ μάχην
ἐμαχέσαντο ἰσχυρὴν, καὶ ἐπὶ χρόνον πολλόν· τέλος
2 δὲ ἑσσώθησαν διὰ πλῆθος. Περσέων μὲν δὴ ἔπεσον
[a]ἄνδρες ἐς δισχιλίους, Καρῶν δὲ ἐς μυρίους. ἐνθεῦτεν
δὲ οἱ διαφυγόντες αὐτῶν κατειλήθησαν ἐς [b]Λάβρανδα,
ἐς Διὸς Στρατίου ἱρὸν, μέγα τε καὶ [c]ἅγιον ἄλσος 436
3 πλατανίστων. μοῦνοι δὲ, τῶν ἡμεῖς [d]ἴδμεν, [e]Κᾶρές
εἰσι οἳ Διῒ Στρατίῳ θυσίας ἀνάγουσι. κατειληθέντες
[f]ὦν οὗτοι ἐνθαῦτα, ἐβουλεύοντο περὶ σωτηρίης, ὁκό-

[e] Πιξοδάρου] Πιξωδάρου F. quomodo scribendum patet ex Epigene Athenæi XI. p. 472. F. [f] νῶτα S. et sic mox. cf. I. 9. et 75. [g] σχόντες S. qui οἱ Κᾶρες post μένειν. [h] γινοίατο F.b. [i] μᾶλλον om. S.V. Schæfer. [k] Sic M.K.F. δηλαδήϊα P. δηλαδὴ ἵνα ἢν S.a. vulg. [l] Sic a.b. et vulgo. F. pro v. l. ἀπονοστήσωσι S.F. pr. [m] ἐμπίπτοντες S. qui init. c. seq. τῶν Περσέων τὸν Μαίανδρον, ἐνθαριτά.

119. [a] δισχίλιοι S.V. et deinde μύριοι. ἄνδρες χίλιοι F. Supra συνεβάλοντο Ald. S.V. [b] Sic Ald. K.F.b. Λάβραυνδα M. Et sic Marm. Oxon. II. 12. Λάβρυνδα S.V.a.c.P. e corr. *Labrydem* Vall. Λάβρηνδα d. [c] ἅγειον ἄλσος πλατάνιστον S. [d] ἴσμεν F. [e] Citat Eustath. Il. p. 187, 17=143, 7. [f] δὲ ὦν M.P.K. Bekker. τῶν F. δὲ om. reliqui.

τερα ἢ παραδόντες [g]σφέας αὐτοὺς [h]Πέρσῃσι, ἢ ἐκλι-
πόντες τὸ παράπαν τὴν Ἀσίην, ἄμεινον [i]πρήξουσι.

120 *iterum, una cum Milesiis, ad Labranda ingentem cladem accipiunt:*

Βουλευομένοισι δέ σφι ταῦτα παραγίνονται βοηθέον-
2 τες Μιλήσιοί τε καὶ οἱ [a]σύμμαχοι αὐτῶν. ἐνθαῦτα
δὲ, τὰ μὲν πρότερον οἱ Κᾶρες ἐβουλεύοντο, μετῆκαν,
οἱ δὲ αὖτις πολεμεῖν ἐξ ἀρχῆς ἀρτέοντο· καὶ ἐπιοῦσί
τε τοῖσι Πέρσῃσι συμβάλλουσι, καὶ μαχεσάμενοι,
ἐπὶ [b]πλεῦν ἢ πρότερον ἑσσώθησαν· πεσόντων δὲ
[c]τῶν πάντων πολλῶν, Μιλήσιοι μάλιστα ἐπλήγησαν.

121 *non tamen inulti, cum Persæ postea in eorum insidias delapsi, ad unum omnes pereant.*

Μετὰ δὲ, τοῦτο τὸ τρῶμα ἀνέλαβόν τε καὶ [a]ἀνεμα-
2 χέσαντο οἱ Κᾶρες. πυθόμενοι γὰρ ὡς στρατεύεσθαι
[b]ὁρμέαται οἱ Πέρσαι ἐπὶ τὰς [c]πόλις σφέων, [d]ἐλόχη-
σαν τὴν [e]ἐν Πηδάσῳ ὁδόν· ἐς τὴν ἐμπεσόντες
οἱ Πέρσαι νυκτὸς διεφθάρησαν καὶ αὐτοὶ καὶ οἱ
στρατηγοὶ αὐτῶν, [f]Δαυρίσης καὶ [g]Ἀμόργης καὶ Σι-
σιμάκης· σὺν δέ σφι ἀπέθανε καὶ [h]Μύρσος ὁ Γύγεω.
3 [i]τοῦ δὲ λόχου τούτου ἡγεμὼν ἦν Ἡρακλείδης [k]Ἰβα-
νώλιος, ἀνὴρ [l]Μυλασσεύς. οὗτοι μέν νυν τῶν Περ-
σέων οὕτω διεφθάρησαν.

[g] Sic S.V.K.F.a. *σφέας ἑωυτοὺς* Wessel. et al. [h] *Πέρσῃσι* om. S.V. Vall. [i] *πρήξωυσι* F.

120. [a] Sic S.V. *τούτων ξύμμαχοι* M.F.a.b.c. Ald. Bekker. Mox *τὸ μὲν πρότερον οἱ Κ. ἃ ἐβ.* S. [b] Sic S.V. *πλέον* F. al. Supra *πόλεμον* K. [c] Sic P.K.F.b. *τῶν πάντων* om. Wessel. et al. cum S. Mox *μάλιστα Μιλήσ.* F.

121. [a] *ἐμαχέσαντο* S.V. [b] *ὁρμέατο* d. [c] Sic K.F. *πόλιας* vulgo. *πόλεας* S. [d] Sic S.V.P.K.F. Paris. cf. VI. 138. *ἐλοχήσαντο* vulgo. [e] *ἐν Πιδάσῳ* M.P.K. *ἐμπιδάσῳ* F. *ἐπὶ δάσῳ* Ald. A.B. *ἐπὶ δαύσῳ* b. *ἐπὶ λασοῖσιν* S.V. *In via quæ in Mylasa fert* Valla, unde *ἐπὶ Μυλάσοισιν* eruit Wesseling. [f] *Λαυρίσης* P.K.F. [g] Sic M.P.F. *Ἀρμόγης καὶ Συσαμάγκης* S.V. *Συσφιάκης* K. *Σισαμάκης* Ald. A.B. [h] Sic S.V.P.F.a.b.c. *Μύρσης* d. et vulgo. cf. III. 122. [i] *τούτου δὲ τοῦ λόχου* S. [k] *Εἰβανωλαῖος* S. Vall. *Ἰβανώλλιος* P. *Ἰβαννώλιος* b. *Ἰβαλλώνιος* F. [l] Rectius *Μυλασεύς*. cf. I. 171. SCHWEIGH.

Hymeas, cui Propontis obtigerat, Daurise 437 in Cariam profecto, cæteras Hellesponti partes subigit.

122 [a]Ὑμέης δὲ, καὶ αὐτὸς ἐὼν τῶν ἐπιδιωξάντων τοὺς
[b]ἐς Σάρδις στρατευσαμένους Ἰώνων, τραπόμενος ἐς
2 τὴν Προποντίδα, εἷλε Κίον τὴν Μυσίην. ταύτην δὲ
ἐξελὼν, ὡς ἐπύθετο τὸν Ἑλλήσποντον ἐκλελοιπέναι
[c]Δαυρίσην, καὶ στρατεύεσθαι ἐπὶ Καρίης, καταλιπὼν
τὴν Προποντίδα, ἐπὶ τὸν Ἑλλήσποντον ἦγε τὸν
στρατόν· καὶ εἷλε μὲν Αἰολέας πάντας, ὅσοι τὴν
[d]Ἰλιάδα νέμονται, εἷλε δὲ Γέργιθας, τοὺς [e]ὑπολει-
φθέντας τῶν ἀρχαίων Τευκρῶν· [f]αὐτός τε Ὑμέης αἱ-
ρέων ταῦτα τὰ ἔθνεα, νούσῳ [g]τελευτᾷ ἐν τῇ Τρῳάδι.

Artaphernes et Otanes Ioniam Æolidemque invadunt.

123 Οὗτος μὲν δὴ οὕτω ἐτελεύτησε· [a]Ἀρταφέρνης δὲ ὁ Σαρδίων ὕπαρχος, καὶ Ὀτάνης ὁ τρίτος στρατηγὸς, [b]ἐτάχθησαν ἐπὶ τὴν Ἰωνίην καὶ τὴν προσεχέα Αἰολίδα στρατεύεσθαι. Ἰωνίης μέν νυν, Κλαζομενὰς αἱρέουσι· Αἰολέων δὲ, Κύμην.

Quæ dum geruntur, Aristagoras Milesius de rebus suis desperans,

124 [a]Ἁλισκομενέων δὲ τῶν πολίων, ἦν γὰρ [b]δὴ, ὡς
[c]διέδεξε, Ἀρισταγόρης ὁ Μιλήσιος ψυχὴν οὐκ ἄκρος,
ὃς ταράξας τὴν Ἰωνίην, καὶ ἐγκερασάμενος πρήγματα
μεγάλα, δρησμὸν ἐβούλευε, ὁρέων ταῦτα· πρὸς δέ [d]οἱ
καὶ ἀδύνατα [e]ἐφάνη [f]βασιλέα Δαρεῖον ὑπερβαλέσθαι.
2 πρὸς ταῦτα δὴ ὦν συγκαλέσας τοὺς [g]συστασιώτας,
ἐβουλεύετο, λέγων ὡς ἄμεινόν [h]σφι εἴη κρησφύγετόν
τι ὑπάρχον εἶναι, ἢν ἄρα ἐξωθέωνται ἐκ τῆς Μιλήτου.

122. [a] Ὑμαίης S.K. Vall. [b] Sic mss. plerique. ἐν Σάρδισι V. probante Wesselingio et conferente c. 116. Vulgatum retinet Schweighæuserus, nihil tamen decernens, et conferens varr. lectt. VI. 1. H. l. ἐν Σάρδι diserte S. ut VI. 1. [c] Δαυρίτην d. [d] Ἐλιάδα S. [e] ἀπολ. S.V. [f] Sic M.P.K.F. αὐτὸς μὲν S.A.B.V. Ald. Ὑμαίης S. [g] ἐτελεύτησε S.V. Mox ἐτελεύτησεν οὕτως S.

123. [a] Ἀρταφρένης K.V.F.a. [b] ἐτάχθησαν om. S.

124. [a] Sic M.P.K.F. Ἁλισκομένων S. al. [b] δὴ om. K.P.S.F.a. Bekker. [c] διέδεξε M.P.K.F. διέδοξε c.d. et vulg. Mox μεγάλα πρήγματα S. [d] οἱ om. S.V. Tum ἀδύνατον S. [e] Sic S.V.P.F.a.d. ἐφαίνετο vulg. [f] βασιλῆα] βασιλέα F.a.S. [g] συστρατιώτας d. [h] σφίσι S.F. Mox F. om. εἶναι.

3 εἴτε δὴ ὦν ἐς Σαρδὼ ἐκ τοῦ τόπου τούτου [i]ἄγοι ἐς ἀποικίην, εἴτε ἐς Μύρκινον τὴν Ἠδωνῶν, τὴν Ἱστιαῖος [k]ἐτείχεε παρὰ Δαρείου δωρεὴν λαβών; ταῦτα

125 [l]ἐπειρώτα ὁ Ἀρισταγόρης. Ἑκαταίου μέν νυν τοῦ Ἡγησάνδρου, ἀνδρὸς λογοποιοῦ, [a]τουτέων μὲν ἐς οὐδετέρην στέλλειν ἔφερε ἡ γνώμη, ἐν Λέρῳ δὲ τῇ νήσῳ τεῖχος οἰκοδομησάμενον ἡσυχίην ἄγειν, ἢν ἐκπέσῃ ἐκ τῆς Μιλήτου· ἔπειτα δὲ ἐκ ταύτης ὁρμεώμενον, κατελεύσεσθαι ἐς τὴν Μίλητον. ταῦτα μὲν δὴ

126 Ἑκαταῖος συνεβούλευε. Αὐτῷ δὲ Ἀρισταγόρῃ ἡ πλείστη γνώμη [a]ἦν ἐς τὴν Μύρκινον [b]ἀπάγειν. τὴν μὲν δὴ Μίλητον ἐπιτρέπει Πυθαγόρῃ, ἀνδρὶ τῶν ἀστῶν δοκίμῳ· αὐτὸς δὲ παραλαβὼν πάντα τὸν βουλόμενον, ἔπλεε ἐς τὴν Θρηΐκην, καὶ ἔσχε τὴν χώρην
2 ἐπ' ἣν ἐστάλη. ἐκ δὲ ταύτης ὁρμεώμενος, ἀπόλλυται ὑπὸ Θρηΐκων αὐτός τε [c]ὁ Ἀρισταγόρης, καὶ ὁ στρατὸς αὐτοῦ, πόλιν περικατήμενος, καὶ βουλομένων τῶν 438
Θρηΐκων ὑποσπόνδων ἐξιέναι.

Mileto relicta, Myrcinum Edonidem [c. 11.] petit, unde cum exercitu egressus, a Thracibus occiditur [a. 498.].

i Sic V.S.F.a.d. ἄγει Ald. b.c. ἄγῃ Dobræus. k ἐτείχισε S.V. Vulg. citato c. 23. defendit Wesseling. l Sic S.V.P. ἐπηρώτα F. vulg.

125. a τούτου S. et mox ὁρμώμενον, qui ὁρμώμενος c. seq.

126. a ἦν om. S. b ἀπαγαγεῖν V.S. qui mox Θρήκην et Θρηκῶν. Claudit librum P. sic: ῾ΗΡΟΔΟΤΟΥ ῾ΙΣΤΟΡΙΩΝ E. XXHH. cf. ad IV. extr. c ὁ om. S.

῾ΙΣΤΟΡΙΩΝ ῾ΗΡΟΔΟΤΟΥ Ε΄.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΚΤΗ.

ΕΡΑΤΩ.

1 ᾿ΑΡΙΣΤΑΓΟΡΗΣ μέν νυν Ἰωνίην ἀποστήσας, 439
οὕτω [a]τελευτᾷ. Ἱστιαῖος δὲ ὁ Μιλήτου τύραννος, Histiæus Sardes delatus [5, 107.], Artapherni suspectum se esse intelligens,
2 [b]μεμετιμένος ὑπὸ Δαρείου, παρῆν [c]ἐς Σάρδις. ἀπι-
γμένον δὲ αὐτὸν ἐκ τῶν Σούσων [d]εἴρετο Ἀρταφέρνης
ὁ Σαρδίων ὕπαρχος, κατὰ κοῖόν τι [e]δοκέοι Ἴωνας
3 ἀπεστάναι. ὁ δὲ οὔτε εἰδέναι ἔφη, [f]ἐθώμαζέ τε τὸ
γεγονὸς, ὡς οὐδὲν δῆθεν τῶν παρεόντων πρηγμάτων
4 ἐπιστάμενος. ὁ δὲ Ἀρταφέρνης ὁρέων αὐτὸν τεχνά-
ζοντα, εἶπε, εἰδὼς τὴν [g]ἀτρεκίην τῆς ἀποστάσιος·
“ Οὕτω τοι, Ἱστιαῖε, ἔχει κατὰ ταῦτα τὰ πρήγματα·
“ τοῦτο τὸ ὑπόδημα ἔρραψας μὲν σὺ, [h]ὑπεδήσατο δὲ 440
2 “ [i]Ἀρισταγόρης.” Ἀρταφέρνης μὲν ταῦτα ἐς τὴν in insulam Chium aufugit,
ἀπόστασιν ἔχοντα εἶπε. Ἱστιαῖος δὲ, δείσας ὡς συν-
ιέντα Ἀρταφέρνεα, ὑπὸ τὴν πρώτην ἐπελθοῦσαν
νύκτα ἀπέδρη ἐπὶ θάλασσαν, [a]βασιλέα Δαρεῖον ἐξη-
πατηκώς· ὃς Σαρδὼ [b]νῆσον τὴν μεγίστην ὑποδεξά-

LIB. VI. 1. [a] ἐτελεύτα S.P.V. [b] Sic F.a.c. μετειμένος f. μεμετημένος S.V.b.d. cf. V. 108. VII. 229. [c] ἐν Σάρδισι V. ἐν Σάρδι S. ἐς Σάρδιον d. [d] Sic A.B.S.V. Ald. ἤρετο M.P.K.F. [e] Sic M.P.K.S.V.F.a.b.c. δοκέει olim. Porro Ἀρταφρένης K.P.V.F.a. plerumque semper. [f] ἐθώμαζέ τε F.f. ἐθωύμαζε alii cum S. ἐθώμαζε δὲ K. Mox ὁρῶν S. [g] ἀτρεκείην F.a.S. [h] ὑπεδύσατο S. Greg. Naz. II. p. 118. [i] Sic P.V.S.F. Paris. Greg. Naz. ὁ Ἀριστ. vulgo.

2. [a] βασιλῆα] βασιλέα S.K.F. [b] νήσων c.

μενος [c]κατεργάσασθαι, ὑπέδυνε τῶν Ἰώνων τὴν ἡγε-
2 μονίην τοῦ πρὸς Δαρεῖον πολέμου. διαβὰς δὲ ἐς
Χίον, ἐδέθη ὑπὸ Χίων, καταγνωσθεὶς [d]πρὸς αὐτῶν
νεώτερα πρήσσειν πρήγματα ἐς [e]ἑωυτοὺς ἐκ Δαρείου.
3 μαθόντες μέντοι οἱ Χῖοι τὸν πάντα λόγον, ὡς πολέ-
μιος εἴη βασιλέϊ, ἔλυσαν αὐτόν.

3 Ionesque ægre ferentes, quod Aristagoram ad rebellandum instigavisset [5, 35.], probabili illius consilii causa prætexta placat.

Ἐνθαῦτα δὴ εἰρω-
τεώμενος ὑπὸ τῶν Ἰώνων ὁ Ἱστιαῖος, κατ' [a]ὅ τι
προθύμως οὕτω ἐπέστειλε τῷ Ἀρισταγόρῃ ἀπίστα-
σθαι ἀπὸ βασιλέος, καὶ κακὸν τοσοῦτον εἴη Ἴωνας
ἐξεργασμένος, [b]τὴν μὲν γενομένην αὐτοῖσι αἰτίην οὐ
μάλα ἐξέφαινε, ὁ δὲ ἔλεγέ σφι, ὡς βασιλεὺς Δαρεῖος
ἐβουλεύσατο, Φοίνικας μὲν ἐξαναστήσας, ἐν τῇ Ἰωνίῃ
κατοικίσαι, Ἴωνας δὲ ἐν [c]τῇ Φοινίκῃ· καὶ τούτων
2 εἵνεκα ἐπιστείλειε. [d]οὐδέν τι πάντως ταῦτα βασιλέος
βουλευσαμένου, [e]ἐδειμάτου τοὺς [f]Ἴωνας.

4 Ibi per literas conspirat cum Sardianis: qui tabellarii fraude proditi, rem capite luunt.

Μετὰ δὲ, ὁ Ἱστιαῖος δι' ἀγγέλου ποιεύμενος Ἑρ-
μίππου, ἀνδρὸς [a]Ἀταρνεΐτεω, τοῖσι ἐν Σάρδισι
[b]ἐοῦσι Περσέων ἔπεμπε [c]βυβλία, ὡς [d]προλελεσχη-
2 νευμένων αὐτῷ ἀποστάσιος πέρι. ὁ δὲ Ἕρμιππος,
[e]πρὸς τοὺς μὲν ἀπεπέμφθη, οὐ διδοῖ, φέρων δὲ ἐνεχεί-
ρισε τὰ βυβλία Ἀρταφέρνεϊ. ὁ δὲ, μαθὼν [f]ἅπαν τὸ
γινόμενον, ἐκέλευε τὸν Ἕρμιππον τὰ μὲν παρὰ τοῦ

[c] κατεργάσεσθαι a. [d] πρὸς αὐτέων] Sic M.P.K.b.d. πρὸς αὐτῶν F. ὑπ' αὐτέων a.c. et vulg. ὑπ' αὐτῶν S. [e] αὐτοὺς F.

3. [a] Ita Schweighæuserus. κατότι vulgo. In pr. ἐνθαῦτα δὲ εἰρωτώμενος S. [b] τὴν μέν νυν ἐν αὐτοῖσι αἰτ. S.V. Vall. Supra ἀπίστασθαι S. marg. sed p. m. Idem ἐξεργασάμενος. Mox βεβουλεύσατο S. [c] τῇ om. S.V. [d] Sic S.V.P.K. cf. V. 65. οὐδέ τι F. et vulg. Ib. Deesse videri possit copula vel alia particula οὕτω οὐδέν τι. Nam quod vulgo legitur οὐδέ τι tum demum locum haberet, si quid novi sequeretur. Itaque videtur esse anacoluthon, quasi præcesserit ὁ δὲ λέγων σφι, ὡς βασιλεὺς — ἐπιστείλειε, οὐδέν τι πάντως. MATTH. [e] ἐδειμᾶτο S. ἐδείματο d. [f] Ἕλληνας F.

4. [a] Ἀρτανείτεω S. Vall. Ἀταρνίτεω P.K.F.b. [b] ἐοῦσι om. d. [c] Sic P.F. Schæfer. βιβλία vulgo cum S. et mox. [d] προλελεσχηνευμένω S. [e] πρὸς οὓς F. γνοὺς πρὸς τοὺς d. [f] πᾶν P.K.F.

Ἱστιαίου δοῦναι φέροντα τοῖσί περ ἔφερε, τὰ δὲ ἀμοιβαῖα τὰ παρὰ τῶν Περσέων ἀντιπεμπόμενα Ἱστιαίῳ, 3 ἑωυτῷ δοῦναι. τούτων δὲ γενομένων φανερῶν, ἀπέκτεινε ἐνθαῦτα πολλοὺς Περσέων ὁ Ἀρταφέρνης. περὶ Σάρδις μὲν δὴ [g] ἐγίνετο ταραχή.

Post reditu Miletum frustra tentato, cum triremibus Lesbiis Byzantium petit, navesque e Ponto venientes intercipit.

5 Ἱστιαῖον δὲ, ταύτης ἀποσφαλέντα τῆς ἐλπίδος, Χῖοι [a] κατῆγον ἐς Μίλητον, αὐτοῦ Ἱστιαίου δεηθέντος. 2 οἱ δὲ Μιλήσιοι, ἄσμενοι ἀπαλλαχθέντες καὶ [b] Ἀρισταγόρεω, οὐδαμῶς πρόθυμοι [c] ἦσαν ἄλλον τύραννον δέκεσθαι ἐς τὴν χώρην, [d] οἷά τε ἐλευθερίης γευσάμενοι. 3 καὶ δὴ, νυκτὸς γὰρ ἐούσης βίῃ ἐπειρᾶτο κατιὼν ὁ Ἱστιαῖος ἐς τὴν Μίλητον, τιτρώσκεται τὸν 4 μηρὸν ὑπό [e] τευ τῶν Μιλησίων. Ὁ μὲν δὴ ὡς [f] ἀπωστὸς τῆς ἑωυτοῦ γίνεται, ἀπικνέεται ὀπίσω ἐς τὴν Χίον· ἐνθεῦτεν δὲ, οὐ γὰρ ἔπειθε τοὺς Χίους ὥστε ἑωυτῷ δοῦναι νέας, διέβη ἐς Μυτιλήνην, καὶ 5 ἔπεισε Λεσβίους δοῦναί οἱ νέας. οἱ δὲ, πληρώσαντες ὀκτὼ τριήρεας, ἔπλεον ἅμα Ἱστιαίῳ ἐς 441 Βυζάντιον· ἐνθαῦτα δὲ ἰζόμενοι, τὰς ἐκ τοῦ Πόντου [g] ἐκπλωούσας τῶν νεῶν ἐλάμβανον, πλὴν [h] ἢ [i] ὅσοι αὐτῶν Ἱστιαίῳ [k] ἔφασαν ἑτοῖμοι εἶναι [l] πείσεσθαι.

Interea dum Persarum duces,

6 Ἱστιαῖος μέν νυν καὶ Μυτιληναῖοι ἐποίευν ταῦτα. ἐπὶ δὲ Μίλητον αὐτὴν ναυτικὸς πολλὸς καὶ πεζὸς ἦν

[g] ἐγίνετο P.S.V.F.a.c. ἐγένετο al.

5. [a] κατήγαγον S.V. Schæfer. [b] Ἀρισταγόρῃ F. [c] ἔσαν] ἦσαν S.K.P.F. Videndum ne in ed. Ald. Ionicæ formæ sæpius invitis omnibus msstis invectæ sint, ubi ferri potuerant communes formæ, quibus perinde uti licuit Ionico scriptori. SCHWEIGH. [d] Sic S.V. τε om. F.a.c.d. vulgo. [e] τευ om. S. [f] Sic M.P.K.F. ἀπωστὴς ἐκ S. ἀπ. ἐκ τῆς Ald. A.B.V. Mox vulgo Μιτυλήνην et c. seq. Μιτυληναῖοι. [g] ἐκπλεούσας F. [h] ἢ om. c.d. Ald. [i] ὅσοι αὐτέων] Sic Ald. ὅσοι αὐτῶν F. ὅσοι αὐτῷ M.P.K.b. ὅσαι αὐτέων S. [k] ἔφθασαν b. ἔφασαν Ἱστιαίῳ S. [l] Sic M.K.F. πείθεσθαι S.P.c. al. cum Bekkero.

copiis in unum collectis, Miletum terra marique adgrediuntur,

2 στρατὸς προσδόκιμος. συστραφέντες γὰρ οἱ στρατηγοὶ τῶν Περσέων, καὶ ἓν ποιήσαντες στρατόπεδον, ἤλαυνον ἐπὶ τὴν Μίλητον, τὰ ἄλλα πολίσματα περὶ ἐλάσσονος ποιησάμενοι· τοῦ δὲ ναυτικοῦ Φοίνικες μὲν ἦσαν προθυμότατοι, συνεστρατεύοντο δὲ καὶ Κύπριοι, νεωστὶ κατεστραμμένοι, καὶ Κίλικές [a] τε καὶ Αἰγύπτιοι. Οἱ μὲν δὴ ἐπὶ τὴν [a] Μίλητον καὶ

Iones pugna navali decernere statuentes,

7 τὴν ἄλλην Ἰωνίην [b] ἐστράτευον. Ἴωνες δὲ, πυνθανόμενοι ταῦτα, ἔπεμπον προβούλους σφέων αὐτῶν
2 ἐς Πανιώνιον. ἀπικομένοισι δὲ τούτοισι ἐς τοῦτον τὸν χῶρον καὶ βουλευομένοισι, ἔδοξε πεζὸν μὲν στρατὸν [c] μὴ συλλέγειν [d] ἀντίξοον Πέρσῃσι, ἀλλὰ [e] τὰ τείχεα ῥύεσθαι αὐτοὺς Μιλησίους· τὸ δὲ ναυτικὸν πληροῦν, [f] ὑπολειπομένους μηδεμίαν τῶν νεῶν· πληρώσαντας δὲ, συλλέγεσθαι τὴν ταχίστην ἐς Λάδην,
3 προναυμαχήσοντας [g] Μιλήτου. ἡ δὲ Λάδη ἐστὶ νῆσος

classem triremium cccliii ad Ladam, insulam Mileto adjacentem, cogunt,

8 [h] σμικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη. Μετὰ δὲ ταῦτα, πεπληρωμένῃσι τῇσι νηυσὶ παρῆσαν οἱ Ἴωνες· σὺν δέ σφι καὶ Αἰολέων [a] οἳ Λέσβον νέμον-
2 ται. ἐτάσσοντο δὲ ὧδε. τὸ μὲν πρὸς τὴν [b] ἕω εἶχον κέρας αὐτοὶ Μιλήσιοι, νέας παρεχόμενοι ὀγδώκοντα.
3 εἴχοντο δὲ τουτέων Πριηνέες δυώδεκα νηυσὶ, [c] καὶ Μυούσιοι τρισὶ νηυσί· Μυουσίων δὲ Τήϊοι εἴχοντο ἑπτακαίδεκα νηυσί· Τηΐων δὲ εἴχοντο Χῖοι ἑκατὸν

6. [a] τε om. F.

7. [a] Μιλητόν τε καὶ S. τὴν Μίλητον καὶ om. b. [b] Sic M.K.F.P. pr. ἐστρατεύοντο S.V.b.c.d. Ald. cf. I. 77. et varr. ad I. 204. Mox προβόλους S. [c] Sic M.K.F.a.b.P. pr. μηδένα P. e corr. Ald. c.d.S. [d] Hinc Suid. in v. [e] Sic M.P.K.F. Paris. ἀλλ' ἐκ τείχεος ὡς δυνατὸν ῥ. S. et al. [f] ὑπολιπ. F. [g] τῆς Μιλήτου F. [h] μικρὴ F.S. Ald. Bekker.

8. [a] Sic S.V. Vall. a. marg. ὅσοι τὴν Αἰολίδα γῆν F.a.b.c.d. Ald. [b] ἠῶ S.V. Bekker. [c] Πριηνέων δὲ εἴχοντο Τήϊοι εἴκοσι νηυσί· Τηΐων δὲ S. *et Theii cum tribus Theiis* Vall. Μυήσιοι et Μυησίων P.F.a.b.c.d. Μυῆσι τε pro καὶ Μυήσιοι c. Μυῆσί τε et Μυησίων Ald.

νηυσί· πρὸς δὲ τούτοισι Ἐρυθραῖοί τε ἐτάσσοντο
καὶ [d] Φωκαέες· Ἐρυθραῖοι μὲν, ὀκτὼ νέας παρεχό-
4 μενοι, Φωκαέες δὲ τρεῖς. Φωκαέων δὲ εἴχοντο Λέ-
σβιοι νηυσὶ ἑβδομήκοντα. τελευταῖοι δὲ ἐτάσσοντο,
ἔχοντες [e] τὸ πρὸς ἑσπέρην κέρας, Σάμιοι, ἑξήκοντα
5 νηυσί. [f] Πασέων δὲ τουτέων [g] ὁ σύμπας ἀριθμὸς
ἐγένετο, τρεῖς καὶ πεντήκοντα καὶ τριηκόσιαι τριήρεες.
9 αὗται μὲν Ἰώνων ἦσαν. Τῶν δὲ βαρβάρων τὸ πλῆ-
θος τῶν νεῶν ἦσαν ἑξακόσιαι. ὡς δὲ καὶ [a] αὗται
[b] ἀπίκατο πρὸς τὴν Μιλησίην, καὶ ὁ πεζός σφι [c] ἅπας
παρῆν, ἐνθαῦτα οἱ Περσέων στρατηγοὶ, πυθόμενοι τὸ
πλῆθος τῶν Ἰάδων νεῶν, καταρρώδησαν μὴ οὐ δυνα-
τοὶ γένωνται ὑπερβαλέσθαι, καὶ οὕτω οὔτε τὴν Μί-
λητον οἷοί τε [d] ἔωσι ἐξελεῖν, μὴ οὐκ ἐόντες ναυκρά-
τορες, πρός τε Δαρείου κινδυνεύσωσι κακόν τι λαβεῖν.
2 Ταῦτα [e] ἐπιλεγόμενοι, συλλέξαντες τῶν Ἰώνων τοὺς
τυράννους, οἳ ὑπ' Ἀρισταγόρεω μὲν τοῦ Μιλησίου
καταλυθέντες τῶν [f] ἀρχέων ἔφευγον ἐς Μήδους,
ἐτύγχανον δὲ τότε συστρατευόμενοι ἐπὶ τὴν Μίλητον,
τούτων τῶν ἀνδρῶν τοὺς παρεόντας [g] συγκαλέσαντες,
3 [h] ἔλεγόν σφι τάδε· "Ἄνδρες Ἴωνες, νῦν τις ὑμέων
"εὖ ποιήσας φανήτω τὸν βασιλέος οἶκον· τοὺς γὰρ
"[i] ἑωυτοῦ ἕκαστος ὑμέων πολιήτας πειράσθω [k] ἀπο-
4 "σχίζων ἀπὸ τοῦ λοιποῦ συμμαχικοῦ. προϊσχόμενοι

pacisque conditiones a Persis propositas

442

[d] Φωκέες K.F. qui ἐταράσσοντο pro ἐτάσσοντο. [e] τὰ πρὸς ἑσπέρην sine κέρας S.V. πρὸς ἑσπέρης c.d. [f] πάντων δὲ τούτ. M.K.b.F. [g] ὁ om. S.V. συνάπας S. cf. I. 98. V. 49.

9. [a] αὑταὶ F.a.b. [b] Sic M.K.P.S.V.F. ἀπίκαντο a.b. ἀπίκοντο al. [c] ἅμα S. absque ἅπας. [d] ἔσωνται ms. apud Wessel. [e] Sic S.V. Paris. Ald. Vall. ἐπιλεγόμενοι ἔλεξαν συλλέξαντες M.P.K.F. [f] Sic S.V. Vall. ἀρχαίων F. et al. [g] Sic S.V.K. Paris. ξυγκαλ. F. et al. [h] ἔλεγόν σφι (vel σφιν) M.P.K.F. σφι om. al. cum S. [i] Sic S.V.P. e corr. αὐτέων M.K.F. [k] ἀποσχίζειν S.V.

“ δὲ [l] ἐπαγγείλασθε τάδε, ὡς [m] πείσονταί τε ἄχαρι
“ οὐδὲν διὰ τὴν ἀπόστασιν, οὐδέ σφι οὔτε τὰ ἱρὰ
“ οὔτε τὰ ἴδια [n] ἐμπεπρήσεται, οὐδὲ βιαιότερον ἕξουσι
“ οὐδὲν, ἢ πρότερον [o] εἶχον. εἰ δὲ ταῦτα [p] μὲν οὐ ποιή-
“ σουσι, οἱ δὲ πάντως διὰ μάχης ἐλεύσονται, [q] τάδε
“ σφι λέγετε ἐπηρεάζοντες, τάπερ σφέας [r] κατέξει·
“ ὡς ἑσσωθέντες τῇ μάχῃ ἐξανδραποδιεῦνται, καὶ ὥς
“ σφεων τοὺς παῖδας ἐκτομίας ποιήσομεν, τὰς δὲ
“ παρθένους ἀνασπάστους ἐς Βάκτρα, καὶ ὡς τὴν
10 adspernati, “ χώρην ἄλλοισι [s] παραδώσομεν.” Οἱ μὲν δὴ ἔλε-
γον [a] ταῦτα· τῶν δὲ Ἰώνων οἱ τύραννοι διέπεμπον
2 νυκτὸς ἕκαστος [b] ἐς τοὺς ἑωυτοῦ ἐξαγγελλόμενος. οἱ
δὲ Ἴωνες, ἐς τοὺς καὶ [c] ἀπίκοντο αὗται αἱ ἀγγελίαι,
ἀγνωμοσύνῃ τε διεχρέωντο, καὶ οὐ προσίεντο τὴν
[d] προδοσίην· [e] ἑωυτοῖσί τε ἕκαστοι ἐδόκεον μούνοισι
3 ταῦτα τοὺς Πέρσας ἐξαγγέλλεσθαι. ταῦτα μέν νυν
ἰθέως ἀπικομένων ἐς τὴν Μίλητον τῶν Περσέων
ἐγίνετο. 443

11 primum, Dionysio Phocæo auctore, Μετὰ δὲ, τῶν Ἰώνων συλλεχθέντων ἐς τὴν Λάδην,
ἐγίνοντο ἀγοραί· καὶ δή κου σφι καὶ ἄλλοι ἠγορόωντο,
ἐν δὲ δὴ καὶ [a] ὁ Φωκαεὺς στρατηγὸς Διονύσιος,
2 λέγων τάδε· “ Ἐπὶ ξυροῦ [b] γὰρ ἀκμῆς ἔχεται ἡμῖν
“ τὰ πρήγματα, ἄνδρες Ἴωνες, [c] ἢ εἶναι ἐλευθέροισι

[l] ἐπαγγέλλεσθε V.P. ἀπαγγέλλεσθε S. probante Wesselingio. [m] πειρήσονται F. [n] ἐμπεπρήσεται M.P.a.K. ἐμπρήσεται S.c.d. Ald. ἐμπρήσσεται F.b. Matthiæ prætulit ἐμπρήσεται, *incensum iri*, alteram lect. quæ significat *incensa futura esse*, minus huc quadrare monens. [o] εἶχον om. unus ms. apud Wessel. [p] Sic M.K.P.F.a. μὲν μὴ S.c. et al. [q] τάδε ἤδη σφι P.F. Mox ἐπερεάζοντες S. [r] κατάξει S. qui ἑσσωθέοντες. [s] παραδῶμεν F.

10. [a] τάδε P.F. [b] ἐς οὓς P.K.F. [c] ἀπίκονται a. [d] προσοδίην F. [e] ἑωυτ. δὲ F.b.

11. [a] ὁ om. S.V. στρατηγὸς om. K. Longinus c. 22. [b] Sic S. V.P.K.F. Paris. Longinus. γὰρ τῆς ἀ. vulgo. [c] ἢ om. Longin. qui mox ἐλευθέροις ἢ δούλοις.

3 " ἢ δούλοισι, καὶ τούτοισι ὡς δρηπέτῃσι. νῦν ὦν
" ὑμέες, ἢν μὲν βούλησθε [d] ταλαιπωρίας ἐνδέκεσθαι,
" τὸ παραχρῆμα μὲν πόνος ὑμῖν ἔσται, οἷοί τε δὲ
" ἔσεσθε, [e] ὑπερβαλλόμενοι τοὺς ἐναντίους, εἶναι
" ἐλεύθεροι· εἰ δὲ μαλακίῃ τε καὶ ἀταξίῃ [f] διαχρή-
" σεσθε, οὐδεμίαν ὑμέων ἔχω ἐλπίδα μὴ οὐ δώσειν
4 " ὑμέας δίκην [g] τῷ βασιλέϊ τῆς ἀποστάσιος. ἀλλ'
" ἐμοί τε πείθεσθε, καὶ ἐμοὶ ὑμέας αὐτοὺς [h] ἐπιτρέ-
" ψατε· καὶ ὑμῖν ἐγὼ, θεῶν τὰ ἴσα νεμόντων, ὑπο-
" δέκομαι ἢ οὐ συμμίξειν τοὺς πολεμίους, ἢ συμ-
12 " μίσγοντας, πολλὸν [i] ἐλασσώσεσθαι." Ταῦτα ἀκού-
σαντες οἱ Ἴωνες ἐπιτρέπουσι σφέας αὐτοὺς τῷ Διο-
νυσίῳ. ὁ δὲ, ἀνάγων [a] ἑκάστοτε ἐπὶ κέρας τὰς νέας,
ὅκως τοῖσι ἐρέτῃσι χρήσαιτο, διέκπλοον ποιεύμενος
τῇσι νηυσὶ δι' ἀλληλέων, καὶ τοὺς ἐπιβάτας ὁπλίσειε,
τὸ λοιπὸν τῆς ἡμέρης τὰς νέας ἔχεσκε ἐπ' ἀγκυρέων·
2 παρεῖχέ τε τοῖσι Ἴωσι πόνον δι' ἡμέρης. μέχρι μέν
νυν ἡμερέων ἑπτὰ [b] ἐπείθοντό τε καὶ ἐποίευν τὸ
κελευόμενον· τῇ δὲ ἐπὶ ταύτῃσι, οἱ Ἴωνες, οἷα ἀπα-
θέες ἐόντες πόνων τοιούτων, [c] τετρυμένοι τε ταλαιπω-
ρίῃσί τε καὶ [d] ἡελίῳ, ἔλεξαν πρὸς ἑωυτοὺς τάδε· 444
3 " Τίνα δαιμόνων παραβάντες τάδε ἀναπίμπλαμεν;
" οἵτινες παραφρονήσαντες, καὶ ἐκπλώσαντες ἐκ τοῦ
" νόου, ἀνδρὶ Φωκαέϊ ἀλαζόνι, παρεχομένῳ νέας τρεῖς,
4 " ἐπιτρέψαντες [e] ἡμέας αὐτοὺς ἔχομεν. ὁ δὲ, παραλα-

per aliquot dies ad pugnam strenue sese exercent: mox laboris impatientes, ad desidiam labuntur.

[d] Sic Longin. a.c.S.V. Ald. ταλαιπωρίην δέκεσθαι M.P.K.F.b. [e] ὑπερβαλόμενοι F. ὑπερβαλέσθαι Longin. [f] διαχρήσησθε F. [g] τῷ om. S.P.V.F.c. Mox τε om. S. [h] ἐπιστρέψ. S. [i] ἐλασσώσεσθαι V. A.B. Ald. πολλῷ ἐλάσσωσθαι S. ἐλασσωθήσεσθαι M.P.K.F.b. conf. Wessel. ad V. 35.

12. [a] ἑκάστας τε S. Mox διέπλοον S. [b] ἐπύθοντο absque τε S.V. qui mox ταύτῃ pro ταύτῃσι. [c] τετριμμένοι S. Mox τε om. b. [d] ἡλίῳ V.K.F. [e] Sic S.V.K.F. ἡμέας ἑωυτοὺς Wessel. al. Mox νόσους S.

" βὼν ἡμέας, λυμαίνεται λύμῃσι ἀνηκέστοισι· καὶ
" δὴ πολλοὶ μὲν ἡμέων ἐς νούσους πεπτώκασι, πολ-
5 " λοὶ δὲ ἐπίδοξοι τὠυτὸ τοῦτο πείσεσθαί [f] εἰσι. πρό
" τε τούτων τῶν κακῶν ἡμῖν γε κρέσσον καὶ [g] ὁτιῶν
" ἄλλο παθέειν ἐστὶ, καὶ τὴν μέλλουσαν δουληΐην
" ὑπομεῖναι, ἥτις ἔσται, μᾶλλον ἢ τῇ παρεούσῃ
" συνέχεσθαι. φέρετε, τοῦ λοιποῦ μὴ πειθώμεθα
6 " [h] αὐτοῦ." Ταῦτα ἔλεξαν, καὶ μετὰ ταῦτα αὐτίκα
πείθεσθαι οὐδεὶς ἤθελε· ἀλλ', οἷα στρατιὴ, σκηνάς τε πηξάμενοι ἐν τῇ νήσῳ, ἐσκιητροφέοντο, καὶ ἐσβαίνειν οὐκ ἐθέλεσκον [i] ἐς τὰς νέας, οὐδ' ἀναπειρᾶσθαι.

13 Igitur Samiorum duces, belli providentes exitum, cum Persis clam paciscuntur.

13 Μαθόντες δὲ ταῦτα [a] τὰ γινόμενα ἐκ τῶν Ἰώνων οἱ στρατηγοὶ τῶν Σαμίων, ἐνθαῦτα δὴ παρ' [b] Αἰάκεος τοῦ Συλοσῶντος κείνους τοὺς πρότερον ἔπεμπε λόγους [c] ὁ Αἰάκης, κελευόντων τῶν Περσέων, δεόμενός
2 σφεων ἐκλιπεῖν τὴν Ἰώνων [d] συμμαχίην· οἱ Σάμιοι ὦν, ὁρέωντες [e] ἅμα μὲν ἐοῦσαν ἀταξίην πολλὴν ἐκ τῶν Ἰώνων, ἐδέκοντο τοὺς λόγους· ἅμα δὲ κατεφαίνετό σφι εἶναι [f] ἀδύνατα [g] τὰ βασιλέος πρήγματα ὑπερβαλέσθαι· [h] εὖ τε ἐπιστάμενοι, ὡς, εἰ καὶ τὸ

[f] εἰσι om. S.V. Ald. a.d. Bekker. Habent M.P.K.F.b.c. Mox κρεῖσσον S. [g] ὅτι ὦν vel ὁτιῶν P.K.V.S. ὁτιοῦν olim. [h] Sic P.K. V.S.F.a. cf. V. 33. αὐτῷ Wessel. al. Mox στρατιῇ S. [i] ἐς τὰς νέας om. d.

13. [a] τὰ om. P.K.V.S. Bekker. [b] Αἰσάκεος K. [c] Sic P.F. ὁ om. Wessel. et al. cum S. [d] ξυμμαχίην F. οἱ om. S. qui ὁρῶντες. [e] ἐοῦσαν ἅμα μὲν P.K.F. [f] ἀδύνατα F.b. Steph. marg. probante Valcken. ad Euripid. Hipp. 370. ἀδύνατον vulg. cum S. [g] τὰ om. S.V. βασιλέως F. [h] εὖ δὲ ἐπιστ. F. Mox τὸν δαρεῖον S. et reliqui omnes. τοῦ Δαρείου e conjectura Valckenærii et Reiskii edidit Schweighæuser. τὸν Δαρεῖον deleri voluit Wesseling. Nescio quare quid mutemus. Vulgatum interpretor, *etiamsi Darium superarent quod ad præsentes copias attinet* etc. Ib. ὑπερβάλλεσθαι τὸ ναυτικὸν dictum est, ut νικᾶν μάχην, Ὀλύμπια, τοὺς στρεφανίτας ἀγῶνας, cui alia ratione adjectum est τὸν Δαρεῖον, plane ut Æschin. c. Ctesiph. p. 570. ed. Reisk. Μιλτιάδης ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας. Vid. Gramm. Gr. §. 409. 3. sec. ed. Dicerem, duas constructiones conjunctas esse,

παρεὸν ναυτικὸν ὑπερβαλοίατο τὸν Δαρεῖον, ἄλλο
3 σφι παρέσται πενταπλήσιον. προφάσιος ὦν ἐπιλα-
βόμενοι, ἐπεί τε τάχιστα εἶδον τοὺς Ἴωνας [i] ἀρνευ-
μένους εἶναι χρηστοὺς, ἐν κέρδεϊ ἐποιεῦντο περι-
ποιῆσαι τά τε ἱρὰ τὰ σφέτερα καὶ τὰ ἴδια. Ὁ δὲ
Αἰάκης, [k] παρ' ὅτευ τοὺς λόγους [l] ἐδέκοντο οἱ Σάμιοι,
παῖς μὲν [m] ἦν Συλοσῶντος τοῦ Αἰάκεος· τύραννος δὲ
ἐὼν Σάμου, ὑπὸ τοῦ Μιλησίου Ἀρισταγόρεω ἀπεστέ-
ρητο τὴν ἀρχὴν, κατάπερ οἱ ἄλλοι τῆς Ἰωνίης τύ-
ραννοι.

14 Τότε ὦν ἐπεὶ [a] ἐπέπλωον οἱ Φοίνικες, οἱ Ἴωνες 445
[b] ἀντανῆγον καὶ αὐτοὶ τὰς νέας ἐπὶ κέρας. ὡς δὲ καὶ
ἀγχοῦ [c] ἐγίνοντο, καὶ [d] συνέμισγον ἀλλήλοισι, τὸ
ἐνθεῦτεν οὐκ ἔχω ἀτρεκέως συγγράψαι, οἵτινες τῶν
Ἰώνων [e] ἐγένοντο ἄνδρες κακοὶ ἢ ἀγαθοὶ ἐν τῇ ναυμαχίῃ
2 ταύτῃ· ἀλλήλους γὰρ καταιτιῶνται. Λέγονται δὲ Σά-
μιοι [f] ἐνθαῦτα, κατὰ τὰ [g] συγκείμενα πρὸς τὸν Αἰάκεα,
[h] ἀειράμενοι τὰ ἱστία, ἀποπλῶσαι ἐκ τῆς τάξιος ἐς
3 τὴν Σάμον, πλὴν [i] ἕνδεκα νεῶν. τουτέων δὲ οἱ τριή-
ραρχοι [k] παρέμενον καὶ ἐναυμάχεον, [l] ἀνηκουστή-
σαντες τοῖσι στρατηγοῖσι· καί σφι τὸ κοινὸν [m] τῶν
Σαμίων ἔδωκε διὰ τοῦτο τὸ πρῆγμα ἐν στήλῃ

Quo fit, ut, prœlio commisso, et Samiorum pleræque naves cum multis aliis aufugiant,

ὑπερβαλέσθαι τὸν Δαρεῖον, et ὑπερβ. τὸ ναυτικὸν, nisi hac ratione offendi eos qui e patria lingua Græcam etiam metirentur, intellexissem. MATTH. [i] ἀρνευμένους S.V. Vall. οὐ βουλομένους F. Paris. al. [k] Sic Ald. P.S.V. Paris. παρ' οὗ M.K.F. [l] Sic P.K.F. οἱ Σάμιοι om. S. Wessel. et Bekker. [m] ἦν om. S. qui τοῦ habet post Μιλησίου.

14. [a] Sic P. ἐπέπλεον F.a. et al. ἐπέπλων S. [b] ἀντανήγαγον b. [c] Sic V.P.K.F.a.d. ἐγένοντο S. al. [d] συνέσμιγον V. cf. I. 127. Vulg. habet S. [e] ἐγίνοντο V.P.K.F.a. [f] ἐνθαῦτα om. S.V. ἐνθεῦτεν P. [g] ξυγκ. F. qui sæpe ξυν usurpat pro συν in seqq. [h] αἰράμενοι S.V. [i] δέκα S.V. Vall. Vulgatum defendit Pausanias VII. 10. [k] Sic M. P.K.F. ἔμενον S.a.d. al. [l] Suid. in v. [m] τὸ Σαμίων S.V. Tum ἐδόκεε στήλῃ ἀναγραφ. S. et ἐδώκεε στήλῃ ἀναγρ. V. omissis mediis. ἐδόκεε etiam P. e corr.

ἀναγραφῆναι πατρόθεν, ὡς ἀνδράσι ἀγαθοῖσι [n] γενο-
4 μένοισι· καὶ ἔστι αὕτη ἡ στήλη ἐν τῇ ἀγορῇ. Ἰδό-
μενοι δὲ καὶ Λέσβιοι τοὺς προσεχέας φεύγοντας,
τὠυτὸ ἐποίευν τοῖσι Σαμίοισι· ὡς δὲ καὶ οἱ πλεῦνες
τῶν Ἰώνων ἐποίευν τὰ αὐτὰ ταῦτα.

15 Τῶν δὲ παρα-
μεινάντων ἐν τῇ ναυμαχίῃ περιέφθησαν [a] τρηχύτατα
Χῖοι, ὡς ἀποδεικνύμενοί τε ἔργα λαμπρὰ καὶ οὐκ
2 ἐθελοκακέοντες. [b] παρείχοντο μὲν γὰρ, [c] ὥσπερ καὶ
πρότερον [d] εἰρέθη, νέας ἑκατὸν, καὶ ἐπ' ἑκάστης
αὐτέων ἄνδρας τεσσεράκοντα τῶν ἀστῶν λογάδας
3 ἐπιβατεύοντας. [e] ὁρέοντες δὲ τοὺς πολλοὺς τῶν συμ-
μάχων προδιδόντας, οὐκ ἐδικαίευν [f] γενέσθαι τοῖσι
κακοῖσι [g] αὐτῶν ὁμοῖοι· ἀλλὰ μετ' ὀλίγων συμμά-
χων μεμουνωμένοι, [h] διεκπλώοντες ἐναυμάχεον, ἐς ὃ
τῶν πολεμίων ἑλόντες νέας συχνὰς, [i] ἀπέβαλον τῶν
σφετέρων [k] νεῶν τὰς πλεῦνας. Χῖοι μὲν δὴ τῇσι
λοιπῇσι τῶν νεῶν ἀποφεύγουσι ἐς τὴν ἑωυτῶν.

et reliqui Iones ingenti clade sternantur: inque his maxime Chii,

16 Ὅσοισι δὲ τῶν Χίων ἀδύνατοι [a] ἦσαν αἱ νέες ὑπὸ
τρωμάτων, [b] οὗτοι δὲ, ὡς ἐδιώκοντο, [c] καταφυγ-
γάνουσι πρὸς τὴν Μυκάλην. νέας μὲν δὴ αὐτοῦ
ταύτῃ ἐποκείλαντες κατέλιπον, οἱ δὲ [d] πεζῇ ἐκομί-
2 ζοντο διὰ τῆς ἠπείρου. [e] ἐπεὶ δὲ ἐσέβαλον ἐς τὴν
Ἐφεσίην κομιζόμενοι οἱ Χῖοι, νυκτός τε [f] ἀπι-
κέατο ἐς αὐτήν, καὶ ἐόντων τῇσι γυναιξὶ αὐτόθι
θεσμοφορίων· ἐνθαῦτα δὴ οἱ Ἐφέσιοι, οὔτε προακη-

quorum pars, navibus ad Mycalen adlisis, dum Ephesum tendunt, ab Ephesiis rei ignaris noctu occiduntur.

[n] γινομένοισι F.

15. [a] τρηχύματα S. τρηχύτατοι b. [b] Sic M.P.K.F.b.c. οἱ παρ. μὲν S.a.d. et al. [c] ὡς καὶ S. qui γὰρ om. cum Ald. [d] εἰρέθη V.P. cf. IV. 156. ἠρέθη F. ἐρρήθη Wess. et al. ἐρρέθη S. [e] Sic S.V. ὁρέωντες F. et al. [f] γίνεσθαι F.b. [g] αὐτέων] αὐτῶν F.S. αὐτοὶ malebat Schweigh. [h] διεκπλέοντες F. [i] ἀπέβαλλον F. [k] νεῶν om. P.F.

16. [a] ἔσαν] ἦσαν F.S. [b] Sic S.V.A.Ald. αὐτοὶ M.P.K.F. [c] καταφεύγουσι P.F.b. [d] πεζοὶ unus ms. apud Wessel. [e] ἐπειδὴ δὲ F. [f] Sic F. Paris. al. ἀπίκατο S.V.K.

κοότες [g] *ὡς εἶχε περὶ τῶν Χίων,* [h] *ἰδόντες τε στρατὸν ἐς τὴν χώρην ἐσβεβληκότα, πάγχυ σφέας καταδόξαντες εἶναι κλῶπας, καὶ ἰέναι ἐπὶ τὰς γυναῖκας, ἐξεβοήθεον πανδημεὶ, καὶ ἔκτεινον τοὺς Χίους.*

17 Οὗτοι [i] *μέν νυν τοιαύτῃσι περιέπιπτον τύχῃσι.*
Διονύσιος δὲ ὁ Φωκαεὺς, ἐπεί τε ἔμαθε τῶν Ἰώνων
τὰ πρήγματα διεφθαρμένα, νέας ἑλὼν τρεῖς τῶν
πολεμίων, ἀπέπλεε [a] *ἐς μὲν Φώκαιαν οὐκέτι, εὖ εἰδὼς*
ὡς ἀνδραποδιεῖται σὺν τῇ ἄλλῃ Ἰωνίῃ· ὁ δὲ ἰθέως,
2 *ὡς εἶχε,* [b] *ἔπλωε ἐς Φοινίκην.* [c] *γαύλους δὲ ἐνθαῦτα*
[d] *καταδύσας, καὶ χρήματα λαβὼν πολλὰ, ἔπλωε ἐς* 446
Σικελίην· ὁρμεώμενος δὲ ἐνθεῦτεν, ληϊστὴς [e] *κατεστήκεε, Ἑλλήνων μὲν οὐδενὸς,* [f] *Καρχηδονίων δὲ καὶ* [g] *Τυρσηνῶν.*

Dionysius Phocæus [c. 11.] Siciliam petit, unde latrociniis mare infestat.

18 Οἱ δὲ Πέρσαι ἐπεί τε τῇ ναυμαχίῃ ἐνίκων [a] *τοὺς Ἴωνας, τὴν Μίλητον πολιορκέοντες ἐκ γῆς καὶ θαλάσσης,* [b] *καὶ ὑπορύσσοντες τὰ τείχεα, καὶ παντοίας μηχανὰς προσφέροντες, αἱρέουσι* [c] *κατ' ἄκρης,* [d] *ἕκτῳ ἔτεϊ ἀπὸ τῆς ἀποστάσιος τῆς Ἀρισταγόρεω· καὶ ἠνδραποδίσαντο τὴν πόλιν, ὥστε* [e] *συμπεσέειν τὸ πάθος τῷ χρηστηρίῳ τῷ ἐς Μίλητον γενομένῳ.*

Miletus sexto post rebellionem anno [a. 498.] capta,

19 *Χρεωμένοισι γὰρ Ἀργείοισι ἐν Δελφοῖσι περὶ σωτηρίης τῆς πόλιος τῆς σφετέρης, ἐχρήσθη ἐπίκοινον*

id quod olim Pythia prædixerat,

[g] Sic M.S.P.K.V.F. Paris. vid. Gronov. ad Arrian. Exp. I. 14. *ὅπως εἶχε* olim. Mox *οὐδὲν* post *Χίων* inserebat Valckenærius tanquam ex S. qui quidem ms. cum vulg. consentit. [h] *εἰδόντες* S. Infra *καταδόξαντας* Ald. [i] Sic P.S.V.A.B. Ald. *μέν τοί νυν* M.K.F.

17. [a] *μὲν ἐς Φωκ.* b. *Φωκέαν* F. [b] Sic P. e corr. et mox. *ἔπλεεν* S. vulgo. Supra *ἀπέπλωε* Bekker. [c] Citat Suid. in *Γαῦλος*. [d] *καταλύσας* S.V. cf. Wesseling. ad Diodor. XIV. 49. *καταδήσας* d. Mox *ὁρμώμενος* S. [e] *κατέστηκεν* S.V. [f] *Καλχηδ.* S.V. [g] *Τυρρηνῶν* K.P. cf. I. 163. *Τυρηνῶν* F. *Τυρσηνίω* S.

18. [a] *τοὺς Ἕλληνας Ἴωνας* F. sed *Ἑλλ.* statim delet. [b] *καὶ* om. S.V. [c] *κατάκρως* S. [d] *ἐν τῷ ἕκτῳ ἔ.* S.V. [e] *συμπεσέειν* V.S. *συμπεσεῖν* K. *ξυμπεσεῖν* a. vulg. *ξυμπεσέειν* F.

χρηστήριον· τὸ μὲν ἐς [a] αὐτοὺς τοὺς Ἀργείους φέρον,
2 [b] τὴν δὲ παρενθήκην ἔχρησε ἐς Μιλησίους. τὸ μέν
[c] νυν [d] ἐς τοὺς Ἀργείους ἔχον, ἐπεὰν κατὰ τοῦτο
γένωμαι τοῦ λόγου, τότε μνησθήσομαι· τὰ δὲ τοῖσι
Μιλησίοισι οὐ παρεοῦσι ἔχρησε, ἔχει ὧδε·

3 Καὶ τότε δή, Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
πολλοῖσι δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα [e] γενήσει·
σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι [f] κομήταις·
νηοῦ δ' ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.

4 Τότε δὴ ταῦτα τοὺς Μιλησίους κατελάμβανε, [g] ὅτε
γε ἄνδρες μὲν οἱ πλεῦνες ἐκτείνοντο ὑπὸ τῶν Περ-
σέων ἐόντων [h] κομητέων, γυναῖκες δὲ καὶ τέκνα ἐν
ἀνδραπόδων λόγῳ ἐγίνοντο· [i] ἱρὸν δὲ τὸ ἐν Διδύμοισι,
[k] ὁ νηός τε καὶ τὸ χρηστήριον, συληθέντα [l] ἐνεπίμ-
5 πρατο. τῶν δ' ἐν τῷ ἱρῷ τούτῳ χρημάτων πολλάκις
μνήμην ἑτέρωθι τοῦ λόγου ἐποιησάμην.

20 Ἐνθεῦτεν
oἱ ζωγρηθέντες τῶν Μιλησίων ἤγοντο ἐς Σοῦσα.
βασιλεὺς δέ σφεας Δαρεῖος, κακὸν οὐδὲν ἄλλο ποιή-
σας, κατοίκισε ἐπὶ τῇ Ἐρυθρῇ [a] καλεομένῃ θαλάσσῃ, 447
ἐν [b] Ἄμπῃ [c] πόλι, παρ' ἣν Τίγρης ποταμὸς παραρ-
2 ρέων, ἐς θάλασσαν [d] ἐξίει. τῆς δὲ [e] Μιλησίης χώρης
αὐτοὶ μὲν οἱ Πέρσαι εἶχον τὰ περὶ τὴν πόλιν καὶ τὸ
πεδίον, [f] τὰ δὲ ὑπεράκρια ἔδοσαν Καρσὶ [g] Πηδασεῦσι
ἐκτῆσθαι.

incolæque Ampen, ad ostia Tigridis, translati.

21 Παθοῦσι δὲ ταῦτα [a] Μιλησίοισι πρὸς Περσέων

19. [a] αὐτοὺς om. F.a. [b] τὸ δὲ παρ' ἐνθ. S. [c] νυν om. F. [d] ἐς αὐτοὺς Ἀργ. M.K.P.F. [e] Sic P. γενήσῃ vulgo. [f] κοσμήταις Tzetzes Chil. VIII. p. 390. κομίταις S. qui v. seq. ναοῦ. [g] Sic S.V. ὁπότε F.a.b.c. al. [h] κομιτέων S. [i] Sic S.V.P.F. ἱερὸν vulgo. [k] καὶ ὁ νηός τε M.K.P.F. Wessel. ὁ ν. τε κατὰ τὸ Ald. [l] ἐνεπίμπραντο a. pro συληθέντα F. habet συληφθέντα.

20. [a] καλεομένῃ om. M.P.K.F. [b] Sic Steph. Byz. Ald. Tzetz. S.V.M.P.K. Vall. F. Paris. Ἄμπι olim. [c] πόλει F. [d] ἐξήει F.b. cf. I. 180. [e] Μιλησίης S.V. Μιλησίων F.a.b. et vulg. [f] Attigit Eustath. Odyss. p. 1636, 54=365, 51. [g] Πηγαδεῦσιν S. Vall.

21. [a] Μιλήσιοι F.

οὐκ ἀπέδοσαν τὴν ὁμοίην Συβαρῖται, οἳ Λάον τε καὶ
2 [b]Σκίδρον οἴκεον, τῆς πόλιος ἀπεστερημένοι. Συβά-
ριος γὰρ ἁλούσης ὑπὸ Κροτωνιητέων, Μιλήσιοι πάν-
τες ἡβηδὸν ἀπεκείραντο τὰς κεφαλὰς, καὶ πένθος
μέγα [c]προεθήκαντο· πόλιες γὰρ αὗται μάλιστα δὴ
τῶν ἡμεῖς ἴδμεν, ἀλλήλῃσι ἐξεινώθησαν. Οὐδὲν
3 ὁμοίως καὶ Ἀθηναῖοι. Ἀθηναῖοι μὲν γὰρ δῆλον
ἐποίησαν [d]ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσει, τῇ
τε ἄλλῃ πολλαχῇ, καὶ δὴ καὶ ποιήσαντι Φρυνίχῳ
δρᾶμα Μιλήτου ἅλωσιν, καὶ διδάξαντι, ἐς δάκρυά τε
[e]ἔπεσε τὸ [f]θέητρον, καὶ ἐζημίωσάν μιν, ὡς ἀναμνή-
σαντα οἰκήϊα κακὰ, χιλίῃσι δραχμῇσι· καὶ ἐπέταξαν
μηκέτι μηδένα χρᾶσθαι τούτῳ τῷ δράματι.

Athenienses Milesiorum infortunium acerbissime lugent.

Phrynichi Μιλήτου ἅλωσις. [Docuit eam a. 497.]

22 Μίλητος μέν νυν Μιλησίων [a]ἐρήμωτο. Σαμίων
δὲ [b]τοῖσί τι ἔχουσι τὸ μὲν ἐς τοὺς Μήδους ἐκ τῶν
στρατηγῶν τῶν σφετέρων ποιηθὲν οὐδαμῶς ἤρεσκε.
2 ἐδόκεε δὲ μετὰ τὴν ναυμαχίην αὐτίκα [c]βουλευο-
μένοισι, [d]πρὶν ἤ σφι ἐς τὴν χώρην ἀπικέσθαι τὸν
τύραννον Αἰάκεα, ἐς ἀποικίην ἐκπλέειν, μηδὲ μένοντας
3 Μήδοισί τε καὶ [e]Αἰάκεϊ δουλεύειν. [f]Ζαγκλαῖοι γὰρ,
οἱ ἀπὸ Σικελίης, τὸν αὐτὸν χρόνον τοῦτον πέμποντες
ἐς τὴν Ἰωνίην ἀγγέλους, ἐπεκαλέοντο τοὺς Ἴωνας ἐς
Καλὴν Ἀκτὴν, βουλόμενοι αὐτόθι πόλιν [g]κτίσαι
4 Ἰώνων. ἡ δὲ [h]Καλὴ αὕτη Ἀκτὴ καλεομένη, ἔστι
μὲν Σικελῶν, πρὸς δὲ [i]Τυρσηνίην τετραμμένη τῆς

Pars Samiorum 448 jugum Persicum abhorrentes, cum Milesiorum profugis in Siciliam coloni abeunt,

[b] Σκίδναν d. [c] προσεθήκαντο S.V. Vall. F.b. Bekker. Mox δὴ μάλιστα S. [d] οἱ παραχθ. unus ms. apud Wesseling. [e] Sic M.P. K.F. Paris. ἔπεισε S. ἔπεσαν al. Attigit Longinus c. 24. [f] θέατρον S.

22. [a] Sic V.S. ἠρήμωτο F. Wessel. al. [b] τοῖσι τὲ S. cf. notata ad Lucæ 18, 24. [c] βουλομ. b. [d] πρινή σφεας τὴν χ. S. [e] Αἰάκεϊ S.V.P.M.K. Vall. Αἰάκεσι c. vulg. Supra μένειν ἐθέλοντας pro μένοντας d. [f] Ζαγκλαῖοι δὲ d. [g] κτῆσαι S. [h] καλὴ ἀκτὴ αὕτη S. [i] Τυρρηνίην K.P. in quo Τυρσ. corr. τυραννίην F. τυρσινίην S.

Σικελίης. τούτων ὦν [k] ἐπικαλεομένων, οἱ Σάμιοι
μοῦνοι [l] Ἰώνων ἐστάλησαν, σὺν δέ [m] σφι Μιλησίων
23 οἱ ἐκπεφευγότες. [a] Ἐν ᾧ τοιόνδε δή τι συνήνεικε
γενέσθαι. [b] Σάμιοι γὰρ κομιζόμενοι ἐς Σικελίην,
[c] ἐγίνοντο [d] ἐν Λοκροῖσι τοῖσι Ἐπιζεφυρίοισι, καὶ
Ζαγκλαῖοι, αὐτοί τε καὶ ὁ βασιλεὺς αὐτῶν, τῷ
οὔνομα ἦν Σκύθης, [e] περιεκατέατο πόλιν τῶν Σικε-
2 λῶν, ἐξελεῖν βουλόμενοι. μαθὼν δὲ ταῦτα ὁ Ῥηγίου
τύραννος Ἀναξίλεως, [f] τότε ἐὼν διάφορος τοῖσι Ζαγ-
κλαίοισι, συμμίξας τοῖσι Σαμίοισι, ἀναπείθει ὡς
[g] χρεὸν [h] εἴη Καλὴν μὲν Ἀκτὴν ἐπ' ἣν ἔπλεον ἐᾶν
χαίρειν, τὴν δὲ Ζάγκλην σχεῖν, ἐοῦσαν [i] ἐρῆμον
3 ἀνδρῶν. πειθομένων δὲ τῶν Σαμίων, καὶ σχόντων
τὴν Ζάγκλην, ἐνθαῦτα οἱ Ζαγκλαῖοι, ὡς ἐπύθοντο
ἐχομένην τὴν πόλιν [k] ἑωυτῶν, ἐβοήθεον αὐτῇ, καὶ
ἐπεκαλέοντο Ἱπποκράτεα, τὸν Γέλης τύραννον· ἦν
4 γὰρ δή σφι οὗτος σύμμαχος. ἐπεί τε δὲ αὐτοῖσι καὶ
[l] ὁ Ἱπποκράτης σὺν τῇ στρατιῇ ἧκε βοηθέων, Σκύθην
μὲν τὸν μούναρχον τῶν Ζαγκλαίων, [m] ἀποβαλόντα
τὴν πόλιν, ὁ Ἱπποκράτης πεδήσας, καὶ τὸν ἀδελφεὸν
αὐτοῦ Πυθογένεα, ἐς Ἴνυκον πόλιν ἀπέπεμψε· τοὺς
δὲ λοιποὺς Ζαγκλαίους, κοινολογησάμενος τοῖσι Σα-
μίοισι, καὶ [n] ὅρκους δοὺς καὶ δεξάμενος, προέδωκε.
5 μισθὸς δέ οἱ ἦν εἰρημένος ὅδε ὑπὸ τῶν Σαμίων,

ibique Zanclen occupant.

[k] ἐπικαλεσαμένων F.b. [l] Sic M.P.K.F. Ἴωνες a.c.S. et olim. [m] σφισι S.

23. [a] ἐν ᾧ om. S.V. ubi δὲ pro δή. [b] Σ. τε absque γὰρ S.V. [c] Sic S.V.F.a.c. ἐγένοντο vulg. [d] Sic S.V.P.K.F. Paris. ἐπὶ Λ. vulg. [e] περιεκαθέατο edd. mss. Correxit Wesseling. [f] Sic P.F.K. Paris. ὅστε S. vulg. ὥστε Schæfer. Bekker. ἅτε Reiskius. [g] Sic S.F. χρεὼν vulg. [h] μὲν εἴη Καλὴν S. [i] ἐρῆμον (aut ἔρημον) M.P.K.V.S. Paris. ἐρήμην vulg. ἐοῦσαν ἐρῆμον ἀνδρῶν om. F. [k] ἑωυτῶν om. S.V. [l] ὁ om. S. [m] Sic M.K.P. ὡς ἀποβαλόντα S.V.A.B. Ald. ἀποβάλλοντα absque ὡς F. Mox κοιλογησάμενος S. [n] Sic S.V.K.P.F. al. Pausan. IV. p. 337. ὅρκον a. et vulg.

πάντων τῶν ἐπίπλων καὶ ἀνδραπόδων [o] τὰ ἡμίσεα
μεταλαβεῖν τῶν ἐν τῇ πόλι, τὰ δ' ἐπὶ τῶν ἀγρῶν
6 πάντα Ἱπποκράτεα λαγχάνειν. τοὺς μὲν δὴ πλεῦνας
τῶν Ζαγκλαίων αὐτὸς ἐν ἀνδραπόδων λόγῳ εἶχε
δήσας· τοὺς δὲ κορυφαίους αὐτῶν τριηκοσίους, ἔδωκε
τοῖσι Σαμίοισι κατασφάξαι· οὐ μέντοι οἵ γε Σάμιοι
24 ἐποίησαν ταῦτα. [a] Σκύθης δὲ, ὁ τῶν Ζαγκλαίων
μούναρχος, ἐκ τῆς Ἰνύκου ἐκδιδρήσκει ἐς Ἱμέρην· ἐκ
δὲ ταύτης [b] παρῆν ἐς [c] τὴν Ἀσίην, καὶ ἀνέβη παρὰ
2 [d] βασιλέα Δαρεῖον. καί μιν ἐνόμισε Δαρεῖος πάντων
ἀνδρῶν δικαιότατον εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ'
3 ἑωυτὸν ἀνέβησαν. καὶ γὰρ παραιτησάμενος βασιλέα,
ἐς Σικελίην ἀπίκετο· καὶ αὖτις ἐκ [e] τῆς Σικελίης
ὀπίσω παρὰ βασιλέα, ἐς ὃ [f] γήραϊ μέγα ὄλβιος ἐὼν
4 ἐτελεύτησε [g] ἐν Πέρσῃσι. Σάμιοι δὲ, ἀπαλλαχθέντες
Μήδων, ἀπονητὶ πόλιν καλλίστην Ζάγκλην [h] περι-
25 εβεβλήατο. Μετὰ δὲ τὴν ναυμαχίην τὴν ὑπὲρ Μι-
λήτου [a] γενομένην, Φοίνικες, κελευσάντων Περσέων,
κατῆγον ἐς Σάμον Αἰάκεα τὸν Συλοσῶντος, ὡς πολ-
λοῦ τε ἄξιον γενόμενόν σφισι, καὶ μεγάλα κατεργα-
2 σάμενον. καὶ Σαμίοισι μούνοισι τῶν ἀποστάντων
ἀπὸ Δαρείου, διὰ τὴν ἔκλειψιν τῶν νεῶν τῶν ἐν τῇ
3 ναυμαχίῃ, οὔτε ἡ πόλις, οὔτε τὰ ἱρὰ ἐνεπρήσθη. Μι-
λήτου δὲ ἁλούσης, [b] αὐτίκα [c] Καρίην ἔσχον οἱ Πέρ-

Scythes, Zanclæorum antehac tyrannus, amisso regno, ad Darium aufugit. 449

Samus post pugnam navalem [c. 14.], Caria [5, 103.] post Mileti expugnationem [c. 18.] in ditionem regis redacta.

[o] τῶν ἐν τῇ π. τὰ ἡμ. λαβεῖν S. μεταλαβεῖν P.F.b. pro λαβεῖν. cf. IV. 64. Infra Ἱπποκράτεϊ Ald.

24. [a] Σκύθης δὲ om. F. Mox ἐκ τῆς om. M.K.F. Tum Ἰνύκου S. Ἴνυκος vulgo. [b] πέρην S. [c] τὴν om. F. [d] βασιλῆα] βασιλέα S.F. et mox. Tum δικαιότατον ἀνδρῶν S. [e] τῆς om. S. [f] Ita Schæfer. Vulgo γήρᾳ. [g] ἐν om. S. [h] Sic P.K.F.b. περιεβαλέατο S. al.

25. [a] γινομ. S. et mox καλεσάντων pro κελευσ. et infra γινόμενον. [b] καὶ S.V. Paullo supra τὴν ἐν τῇ ναυμαχίῃ cum Reiskio malit Schweighæuser. ed. Bekker. [c] Sic K.F.S. Καρίαν vulgo.

σαι· τὰς μὲν [d] ἐθελοντὴν τῶν πολίων ὑποκυψάσας,
τὰς δὲ ἀνάγκῃ προσηγάγοντο. ταῦτα μὲν δὴ [e] οὕτω
ἐγίνετο.

26 Histiæus, audita clade Mileti, Lesbiorum opera adjutus [c. 5.] Chios subigit,

Ἱστιαίῳ δὲ τῷ Μιλησίῳ ἐόντι περὶ Βυζάντιον, καὶ
συλλαμβάνοντι τὰς Ἰώνων ὁλκάδας [a] ἐκπλωούσας ἐκ
τοῦ Πόντου, ἐξαγγέλλεται τὰ [b] περὶ Μίλητον γενό-
2 μενα. τὰ μὲν δὴ περὶ Ἑλλήσποντον ἔχοντα πρή-
γματα [c] ἐπιτράπει [d] Βισάλτῃ Ἀπολλοφάνεος παιδὶ,
Ἀβυδηνῷ· αὐτὸς δὲ ἔχων Λεσβίους, ἐς Χίον ἔπλεε.
3 καὶ Χίων [e] φρουρῇ, οὐ προσιεμένῃ μιν, συνέβαλε ἐν
4 Κοίλοισι καλεομένοισι τῆς Χίης χώρης. τούτων [f] τε
δὴ ἐφόνευσε συχνούς· καὶ τῶν λοιπῶν Χίων, οἷα δὴ
κεκακωμένων ἐκ τῆς ναυμαχίης, ὁ Ἱστιαῖος ἔχων τοὺς
Λεσβίους ἐπεκράτησε, ἐκ [g] Πολίχνης τῆς Χίων ὁρμεώ-
μενος.

27 quibus varia prodigia futuras calamitates portenderant.

Φιλέει δέ κως προσημαίνειν, [a] εὖτ' ἂν μέλλῃ
μεγάλα κακὰ [b] ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι· καὶ γὰρ
2 Χίοισι πρὸ τούτων σημήϊα μεγάλα ἐγένετο. τοῦτο
μέν σφι πέμψασι ἐς Δελφοὺς χορὸν νεηνιέων ἑκατὸν,
δύο μοῦνοι τούτων ἀπενόστησαν, τοὺς δὲ ὀκτώ τε
καὶ ἐννενήκοντα αὐτῶν λοιμὸς [c] ὑπολαβὼν ἀπήνεικε·
τοῦτο δὲ, ἐν τῇ πόλι τὸν αὐτὸν τοῦτον χρόνον, [d] ὀλί-
γον πρὸ τῆς ναυμαχίης, παισὶ γράμματα διδασκο-
μένοισι [e] ἐνέπεσε ἡ στέγη, ὥστε [f] ἀπ' ἑκατὸν καὶ εἴ-

[d] Sic M.K.F.b. ἐθελοντιῇ S. ἐθελοντὶ a.c.d. Ald. ἐθελοντὰς b. teste Larchero. ἐθελοντὴν b. teste Georgiade in contextu, ἐθελοντὶ in marg. [e] οὕτως ἐγένετο S.

26. [a] Sic S.V. ἐκπλεούσας F.a. et vulg. [b] περὶ τὴν M. F. [c] ἐπιτρέπει F.b. [d] Βισάλτῳ S.V. Mox Ἀβυδινῷ S. [e] φρουρὴ—προσιεμένη Ald. [f] τε om. S.V. δὴ om. b. qui rursus om. δὴ cum F. [g] Πολίσχνης S. et τῶν X. pro τῆς X. ναυμαχίης—Πολίχνης τῆς om. F. tum ὁρμώμενος S.

27. [a] ἐπεὰν S. [b] Sic Stobæus 43, 39. S.V.A. Ald. Vall. ἢ om. M.P.K.F. [c] Sic M.S.P.K.V.F. Paris. ἀπολαβὼν vulg. Tum ἀπήνεγκε S. [d] ὀλίγῳ S. Bekker. [e] ἔπεσε S. [f] ἀπ' S. om.

3 κοσι παίδων εἷς μοῦνος ἀπέφυγε. ταῦτα μέν σφι
σημήϊα ὁ θεὸς [g]προέδεξε· μετὰ δὲ ταῦτα, ἡ ναυμαχίη
ὑπολαβοῦσα, ἐς γόνυ τὴν πόλιν [h]ἔβαλε· ἐπὶ δὲ τῇ
ναυμαχίῃ ἐπεγένετο Ἱστιαῖος, Λεσβίους ἄγων· [i]κε-
κακωμένων δὲ τῶν Χίων, καταστροφὴν [k]εὐπετέως
αὐτῶν [l]ἐποιήσατο.

28 Ἐνθεῦτεν δὲ ὁ Ἱστιαῖος ἐστρατεύετο ἐπὶ Θάσον,
ἄγων Ἰώνων καὶ Αἰολέων συχνούς. περικατημένῳ δέ
οἱ Θάσον ἦλθε ἀγγελίη, ὡς οἱ Φοίνικες [a]ἀναπλώουσι
2 ἐκ τῆς Μιλήτου ἐπὶ τὴν ἄλλην Ἰωνίην. πυθόμενος
δὲ ταῦτα, Θάσον μὲν ἀπόρθητον λείπει, αὐτὸς δὲ ἐς
τὴν Λέσβον ἠπείγετο, ἄγων πᾶσαν τὴν στρατιήν.
3 [b]ἐκ Λέσβου δὲ, [c]λιμαινούσης οἱ τῆς στρατιῆς, πέρην
διαβαίνει, [d]ἐκ τοῦ Ἀταρνέος ὡς ἀμήσων τὸν σῖτον,
τόν τε ἐνθεῦτεν, καὶ τὸν ἐκ Καΐκου πεδίου [e]τὸν τῶν
4 Μυσῶν. Ἐν δὲ τούτοισι τοῖσι χωρίοισι ἐτύγχανε
ἐὼν Ἅρπαγος, ἀνὴρ Πέρσης, στρατηγὸς στρατιῆς
οὐκ ὀλίγης· ὅς οἱ [f]ἀποβάντι συμβαλὼν, αὐτόν τε
Ἱστιαῖον ζωγρίῃ ἔλαβε, καὶ τὸν [g]στρατὸν αὐτοῦ τὸν
29 [h]πλέω διέφθειρε. Ἐζωγρήθη δὲ ὁ Ἱστιαῖος ὧδε. ὡς
ἐμάχοντο οἱ Ἕλληνες τοῖσι Πέρσῃσι ἐν τῇ [a]Μαλήνῃ
τῆς Ἀταρνείτιδος χώρης, οἱ μὲν συνέστασαν χρόνον

Post Thasum adoritur: sed nuntio allato, classem Persarum ad reliquam Ioniæ partem debellandam solvisse, Lesbum propere redit. Unde cum copias in continentem frumentatum trajecisset, cum Persis congressus, fugatur, ac vivus capitur.

[g] Sic P.F. Paris. προέδειξε M. προσέδεξε S.V. προσέδειξε olim. [h] ἐνέβαλε d. [i] καὶ κεκακωμένων δὲ S. [k] εὐθέως b. [l] Sic Ald. et mss. præter M. qui ἐποιήσαντο.

28. [a] ἀναπλέουσι P.K.F. [b] ἐς Λέσβον F. [c] Ita Wesseling. ex Reiskii et Heringæ Obs. Crit. p. 277. conjectura, Valckenærio quoque probata. Libri omnes δειμαινούσης. [d] Sic M.P.K.F. ἐς τοῦ Ἀτ. A.B.S.V. Ald. Ἀρτανέος S.V. Vall. Hinc Harpocratio in v. Ἀταρνεύς. cf. VII. 42. [e] Sic M.K.P.S. τὸν om. F.a.b.c. Ald. [f] ἀπόβαντα S. [g] στρατὸν δὲ S. [h] πλέον b.S.

29. [a] Μεγαλήνῃ P. Μαλίνῃ τῆς Ἀρτανίδος S.V. Vall. Ex VII. 42. Ἀταρνέος ἐς Καρίνην πόλιν, nescio an Καρίνῃ vel Καρήνῃ repositum velit Wesseling. Mox συνέστησαν S. Infra τό τε δὴ Bekker. secutus Dobræum.

ἐπὶ πολλὸν, ἡ δὲ ἵππος ὕστερον ὁρμηθεῖσα ἐπιπίπτει
2 τοῖσι Ἕλλησι. τότε δὴ ἔργον τῆς ἵππου τοῦτο ἐγέ-
νετο· καὶ τετραμμένων τῶν Ἑλλήνων, ὁ Ἱστιαῖος
ἐλπίζων οὐκ ἀπολέεσθαι ὑπὸ βασιλέος διὰ τὴν παρε-
οῦσαν ἁμαρτάδα, φιλοψυχίην τοιήνδε τινὰ ἀναιρέεται·
[b]ὡς φεύγων τε κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω,
καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε [c]συγκεντηθή-
σεσθαι, Περσίδα γλῶσσαν [d]μετεὶς καταμηνύει ἑωυ-
30 τὸν, ὡς εἴη Ἱστιαῖος [e]ὁ Μιλήσιος. Εἰ μέν νυν, ὡς

Sardes abductum Artaphernes, inscio invitoque Dario, necat.

ἐζωγρήθη, ἄχθη ἀγόμενος παρὰ [a]βασιλέα Δαρεῖον, ὁ
δὲ οὔτ' ἂν ἔπαθε κακὸν οὐδὲν, δοκέειν ἐμοὶ, [b]ἀπῆκέ τ' 451
2 ἂν αὐτῷ τὴν αἰτίην. νῦν δέ μιν, αὐτῶν τε τούτων
εἵνεκα, καὶ ἵνα μὴ διαφυγὼν αὖτις μέγας παρὰ βασι-
λέϊ γένηται, [c]Ἀρταφέρνης τε ὁ Σαρδίων ὕπαρχος,
καὶ ὁ λαβὼν Ἅρπαγος, ὡς ἀπίκετο ἀγόμενος ἐς Σάρ-
δις, τὸ μὲν [d]αὐτοῦ σῶμα αὐτοῦ ταύτῃ ἀνεσταύρωσαν,
τὴν δὲ κεφαλὴν ταριχεύσαντες, ἀνήνεικαν παρὰ βα-
3 σιλέα Δαρεῖον ἐς Σοῦσα. Δαρεῖος δὲ πυθόμενος
ταῦτα, καὶ ἐπαιτιησάμενος τοὺς ταῦτα ποιήσαντας,
ὅτι μιν οὐ [e]ζώοντα ἀνήγαγον ἐς ὄψιν τὴν ἑωυτοῦ,
τὴν κεφαλὴν τὴν Ἱστιαίου λούσαντάς τε καὶ [f]περι-
στείλαντας εὖ ἐνετείλατο θάψαι, ὡς ἀνδρὸς μεγάλως
ἑωυτῷ τε καὶ Πέρσῃσι εὐεργέτεω. Τὰ μὲν περὶ Ἱστι-
αῖον οὕτω ἔσχε.

[b] ὡς φεύγων—Πέρσεω καὶ om. K. Citat Suidas in Καταιρεόμενος. Supra ἀπολέσθαι S. [c] συγκεντηθῆναι d. [d] Sic vulg. cum Suid. in Ζωγρίη. μετιεὶς S.V. Nec sperno; multo tamen tritius γλῶσσαν ἱείς. cf. II. 2. WESSEL. Similiter usurpat noster βλαστὸν μετιέναι VI. 37. δάκρυα μετιέναι IX. 16. SCHWEIGH. [e] ὁ om. F.

30. [a] βασιλῆα] βασιλέα F. ἀνάχθη Bekker. pro ἄχθη. [b] Sic S.V. ἀφῆκε vulgo. [c] Ἀρταφρένης K.F. al. Tum δὴ S. pro τε. qui mox ἀγόμενος ἀπίκετο ἐς τὰς Σ. [d] τὸ μὲν σῶμα αὐτοῦ ἀνεσταύρωσαν S. et credo V. [e] ζῶντα S.V. [f] Sic M.K.P.F. Paris. εὐπρεπῶς Ald. εὖ et εὐπρεπῶς om. S. Vall. Vid. Tzetzes Chil. III. 540.

31 Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Περσέων, χειμερίσας
[a]περὶ Μίλητον, τῷ δευτέρῳ ἔτεϊ ὡς ἀνέπλωσε, αἱρέει
εὐπετέως τὰς νήσους τὰς πρὸς τῇ ἠπείρῳ κειμένας,
2 Χίον καὶ Λέσβον καὶ Τένεδον. ὅκως δὲ λάβοι τινὰ
τῶν νήσων, ὡς ἑκάστην αἱρέοντες οἱ βάρβαροι, ἐσα-
3 γήνευον τοὺς ἀνθρώπους. σαγηνεύουσι δὲ [b]τόνδε τὸν
τρόπον. ἀνὴρ ἀνδρὸς ἁψάμενος τῆς χειρὸς, ἐκ θα-
λάσσης τῆς βορηΐης ἐπὶ τὴν νοτίην [c]διήκουσι, καὶ
ἔπειτα διὰ πάσης τῆς νήσου διέρχονται ἐκθηρεύοντες
4 τοὺς ἀνθρώπους. Αἵρεον δὲ καὶ τὰς [d]ἐν τῇ ἠπείρῳ
πόλιας τὰς Ἰάδας κατὰ τὰ αὐτά· πλὴν οὐκ ἐσαγή-
32 νευον τοὺς ἀνθρώπους· οὐ γὰρ οἷά τ' ἦν. Ἐνθαῦτα
Περσέων οἱ στρατηγοὶ οὐκ ἐψεύσαντο τὰς [a]ἀπειλὰς
τὰς [b]ἐπηπείλησαν τοῖσι Ἴωσι στρατοπεδευομένοισι
2 ἐναντία σφίσι. ὡς γὰρ [c]δὴ ἐπεκράτησαν τῶν πο-
λίων, παῖδάς τε τοὺς εὐειδεστάτους ἐκλεγόμενοι ἐξέ-
ταμνον, καὶ ἐποίευν [d]ἀντὶ εἶναι ἐνόρχιας εὐνούχους·
καὶ παρθένους τὰς [e]καλλιστευούσας, ἀνασπάστους
παρὰ βασιλέα· ταῦτά τε δὴ ἐποίευν, καὶ τὰς πόλιας
3 ἐνεπίμπρασαν αὐτοῖσι τοῖσι ἱροῖσι. [f]Οὕτω δὲ τὸ
τρίτον Ἴωνες κατεδουλώθησαν· πρῶτον μὲν ὑπὸ
Λυδῶν, [g]δὶς δὲ ἐπεξῆς τότε ὑπὸ Περσέων.

Altero post Miletum captam anno Persæ cæteros Iones cum insulanis subigunt,

pœnas defectionis petentes atrocissimas.

31. [a] τὰ περὶ Μιλ. F. [b] Sic M.P.K.F. Paris. τοῦτον τὸν τρ. S. al. [c] Sic P.V.S.A.B. Ald. διήκουσαν M.K.F. [d] Sic K.P.V.S.F. Paris. τῇ om. vulg. Tum κατὰ τὰ αὐτὰ τὰς Ἰάδας S.

32. [a] κεφαλὰς F. [b] ἐπηπειλήσαντο M.P.K.F. [c] δὴ om. S.V. [d] Sic M.P.K.S.F. Paris. nisi quod ἐνόρχας S.c. cf. VIII. 105. ἀντὶ τοῦ εἶναι edidit ex Valckenærii sententia Schæferus ad Gregor. pag. 39. cui respondet Schweighæuserus, Herodotum citans I. 210. VII. 170. ubi articulus similiter omittitur. Vide contra Schweighæuserum disputantem Schæferum ad Demosth. Fals. Leg. p. 564. n.*. Schæferum sequitur Bekker. ἐποίεον S. ἀντὶ ἐνόρχων εἶναι Ald. Atque hanc scripturam amplectitur Matthiæ. Mihi saltem a correctore ea proficisci videtur. [e] καλλίστους K. Mox τε post ταῦτα om. S. [f] Sic a. οὕτω δὴ vulgo. οὕτω τε F. Supra τοῖσι om. Bekker. [g] Sic V.A.B. Ald. ὑπὸ Λυδῶν δὶς, ἐπεξῆς δὲ S. Vall. δὶς δὲ ἑξῆς M.K.P.F.

33 Quibus de-victis, postremo Hellesponti pars Europæa debellatur. Byzantii tamen, adscitis in societatem Chalcedoniis, priusquam Persæ adventarent, in fugam se dant, inque ora Euxini Mesambriam condunt.

'Απὸ δὲ 'Ιωνίης ἀπαλλασσόμενος ὁ ναυτικὸς 452
στρατὸς, τὰ ἐπ' ἀριστερὰ ἐσπλέοντι τοῦ 'Ελλησπόν-
του αἵρεε πάντα· τὰ γὰρ ἐπὶ δεξιὰ αὐτοῖσι [[a] τοῖσι]
2 Πέρσῃσι ὑποχείρια ἦν γεγονότα κατ' ἤπειρον. Εἰσὶ
[b] δὲ ἐν τῇ Εὐρώπῃ αἵδε τοῦ 'Ελλησπόντου· Χερσό-
νησός τε, ἐν τῇ πόλιες [c] συχναὶ ἔνεισι, καὶ Πέρινθος,
καὶ [d] τὰ τείχεα τὰ ἐπὶ Θρηΐκης, καὶ [e] Σηλυβρίη τε,
3 καὶ Βυζάντιον. Βυζάντιοι μέν νυν, [f] καὶ οἱ πέρηθεν
[g] Χαλκηδόνιοι, οὐδ' ὑπέμειναν [h] ἐπιπλέοντας τοὺς
Φοίνικας, ἀλλ' [i] οἴχοντο ἀπολιπόντες [k] τὴν σφετέρην
ἔσω ἐς τὸν Εὔξεινον πόντον· καὶ ἐνθαῦτα πόλιν
4 [l] Μεσαμβρίην [m] οἴκησαν. οἱ δὲ Φοίνικες κατακαύ-
σαντες ταύτας τὰς χώρας τὰς [n] καταλεχθείσας, τρά-
πονται ἐπί τε [o] Προκόννησον, καὶ 'Αρτάκην· πυρὶ δὲ
καὶ ταύτας νείμαντες [p] ἔπλωον αὖτις [q] ἐς τὴν Χερσό-
νησον, ἐξαιρήσοντες τὰς [r] ἐπιλοίπους τῶν πολίων,
5 ὅσας [s] πρότερον προσχόντες οὐ κατέσυραν. 'Επὶ δὲ
Κύζικον οὐδὲ ἔπλωσαν [t] ἀρχήν· αὐτοὶ γὰρ Κυζικηνοὶ

33. [a] *τοῖσι* om. P.S.F. Bekker. Supra *ἐπαριστερὰ* et *ἐπιδεξιὰ* S. et credo alii. *ἐπὶ δεξιᾶ* K. [b] Sic S.V.P.a.c.d. *δὲ αἱ ἐν* M.K.F.b. Mox *Χερσόννησος* S. [c] *συχναὶ ἔνεισι* M.P.K.F. al. *συχναί εἰσι* S.V.a. *πόλιες πολέες εἰσὶ* Ald. Mox *Πέριθος* S. [d] *τὰ* om. S. [e] *Σηλυβρίη* A.B. Ald. *Συληβρίη* S. *Sylebria* Vall. *Σηλυμβρίη* M.K.P.F. *Σηλυμρίη* V. Vide Wesseling. ad Diodor. XIII. 66. [f] *καὶ* om. F. [g] *Καλχηδόνιοι* S. cf. IV. 85. V. 26. var. lectt. IV. 144. [h] *ὑποπλέοντας* F. [i] Sic S.V.M.K.P.F. Paris. *οἴχοντο φεύγοντες ἀπολ.* olim. [k] *τὴν πόλιν* S.V. Ald. a.c.d. cf. Eustath. Dionys. 803. [l] *Θηλυμβρίην* P.K.F.b. [m] Sic mss. edd. vett. *οἴκισαν* edd. Genev. Schæfer. probante Wesseling. et conferente II. 154. et sic Bekker. [n] *καταλεχθείσας* S.V.a.c. Ald. cf. IV. 28. *καταλειφθείσας* M.K.P.F.b. Paullo ante *κατακλαύσ.* F. [o] Sic P. cf. IV. 14. Schol. Apoll. Rhod. II. 279. *Προκόνησον* V.S. Vall. F. *Προικόννησον* vulgo. *τε* om. S. [p] Sic V.S. *ἔπλεον* F. al. [q] *ἐπὶ τὴν* K. Mox *Χερόνησον* F. et sæpius. *Χερσόννησον ἐξορήσοντες* S. qui *Χερσόννησον* sæpius in seqq. [r] *ὑπολοίπους* b. [s] *πρότερον* præbent M.K.P.F. alii om. Mox *προσσχόντες* Schæfer. vulgo *προσχόντες*. cf. I. 2. [t] Sic S.V.P.K.F. Paris. *τὴν ἀρχὴν* olim. Mox *ἔτεϊ* Dobræus pro *ἔτι*.

ἔτι πρότερον τοῦ Φοινίκων [u] ἔσπλου [w] ἐγεγόνεσαν ὑπὸ βασιλέϊ, Οἰβάρεϊ τῷ Μεγαβάζου ὁμολογήσαντες, 6 τῷ ἐν [x] Δασκυλείῳ ὑπάρχῳ. τῆς δὲ Χερσονήσου, πλὴν Καρδίης πόλιος, τὰς ἄλλας πάσας ἐχειρώσαντο οἱ Φοίνικες.

34 Ἐτυράννευε δὲ αὐτέων μέχρι τότε Μιλτιάδης ὁ Κίμωνος τοῦ Στησαγόρεω, κτησαμένου τὴν ἀρχὴν ταύτην [a] πρότερον Μιλτιάδεω τοῦ [b] Κυψέλου τρόπῳ 2 τοιῷδε. Εἶχον Δόλογκοι Θρήϊκες [c] τὴν Χερσόνησον ταύτην. οὗτοι ὦν οἱ Δόλογκοι πιεσθέντες πολέμῳ ὑπὸ Ἀψινθίων, ἐς Δελφοὺς ἔπεμψαν τοὺς βασιλέας, 3 περὶ τοῦ πολέμου χρησομένους. ἡ δὲ Πυθίη σφι ἀνεῖλε οἰκιστὴν ἐπάγεσθαι ἐπὶ τὴν χώρην τοῦτον, ὃς ἄν σφεας ἀπιόντας ἐκ τοῦ ἱροῦ πρῶτος ἐπὶ ξείνια 4 [d] καλέσῃ. Ἰόντες δὲ οἱ Δόλογκοι τὴν ἱρὴν ὁδὸν, διὰ Φωκέων τε καὶ Βοιωτῶν ἤϊσαν· καί σφεας [e] ὡς οὐδεὶς 453

Digressio de Chersoneso Thracia. Dolonci Thraces, Chersonesi incolæ, Apsinthiorum bello infestati, cum oraculum Delphicum adissent,

35 ἐκάλεε, ἐκτράπονται ἐπ' [f] Ἀθηνέων. Ἐν δὲ τῇσι Ἀθήνῃσι τηνικαῦτα εἶχε μὲν τὸ πᾶν κράτος Πεισίστρατος, ἀτὰρ ἐδυνάστευε [a] καὶ Μιλτιάδης ὁ Κυψέλου, ἐὼν οἰκίης τεθριπποτρόφου, τὰ μὲν ἀνέκαθεν ἀπ' Αἰακοῦ [b] τε καὶ [c] Αἰγίνης γεγονὼς, τὰ δὲ νεώτερα Ἀθηναῖος· [d] Φιλαίου, τοῦ Αἴαντος παιδὸς, γενομένου 2 πρώτου τῆς οἰκίης [e] ταύτης Ἀθηναίου. Οὗτος ὁ Μιλ-

Miltiadem Cypseli filium, clarum Athenis civem, in Chersonesum deducere jubentur. Qui perosus Pisistrati tyrannidem,

[u] Sic M.K.F.b.d. ἔσπλου τούτου a.c. al. τούτου in P. e corr. Κυζικηνοὶ τοῦ Φοινίκων τούτου ἔπλου ἔτι πρότερον S. [w] ἐγεγόνεσαν ὑ. β. om S. [x] Sic S. Vall. F. Paris. Δασκυλίῳ olim. Δασκυληΐῳ scribendum monet Schweighæuserus. cf. III. 120. 126.

34. [a] πρότερον om. S. Vall. [b] Κυψέλλου Ald. [c] Sic P.S.V. Paris F. (in quo Χερον.) ἀρχὴν τῆς Χερσονήσου τ. olim. [d] καλέσοι S. [e] ὡς om. S. qui mox ἐκτράπονται οὖν. ἐκτρέπ. P.F. [f] Ἀθηνέων M.P.K. Ἀθηναίων S. al.

35. [a] τε καὶ M.P.K.F. Seqq attigit auctor arg. sec. Nub. Aristoph. [b] τε om. a. [c] Αἰγινήτης F. [d] Φιλέου S. Vall. a.c. Mox πρώτης S. [e] ταύτης om. S.

τιάδης, κατήμενος ἐν τοῖσι προθύροισι τοῖσι ἑωυτοῦ,
ὁρέων τοὺς Δολόγκους παριόντας, ἐσθῆτα [f] ἔχοντας
οὐκ ἐγχωρίην καὶ αἰχμὰς, προσεβώσατο· καί σφι
[g] προσελθοῦσι, ἐπηγγείλατο καταγωγὴν καὶ ξείνια.
3 οἱ δὲ δεξάμενοι, καὶ ξεινισθέντες ὑπ' αὐτοῦ, ἐξέφαινον
[h] πᾶν οἱ τὸ μαντήϊον· ἐκφήναντες δὲ, ἐδέοντο αὐτοῦ
4 τῷ θεῷ μιν πείθεσθαι. [i] Μιλτιάδεα δὲ ἀκούσαντα
παραυτίκα ἔπεισε ὁ λόγος, οἷα [k] ἀχθόμενόν τε τῇ
Πεισιστράτου ἀρχῇ, καὶ βουλόμενον [l] ἐκ ποδῶν εἶναι.
5 αὐτίκα δὲ ἐστάλη ἐς Δελφοὺς, ἐπειρησόμενος τὸ
χρηστήριον, εἰ [m] ποιοίη τά περ αὐτοῦ οἱ Δόλογκοι
36 [n] προσεδέοντο. Κελευούσης δὲ [a] καὶ τῆς Πυθίης,
οὕτω δὴ Μιλτιάδης ὁ Κυψέλου, Ὀλύμπια [b] ἀναιρη-
κὼς πρότερον τούτων τεθρίππῳ, τότε [c] παραλαβὼν
Ἀθηναίων πάντα τὸν βουλόμενον μετέχειν τοῦ στό-
λου, ἔπλεε ἅμα τοῖσι Δολόγκοισι, καὶ [d] ἔσχε τὴν
χώρην· καί μιν οἱ [e] ἐπαγαγόμενοι τύραννον [f] κατε-
2 στήσαντο. Ὁ δὲ [g] πρῶτον μὲν [h] ἀπετείχισε τὸν
ἰσθμὸν τῆς Χερσονήσου ἐκ Καρδίης πόλιος ἐς Πα-
κτύην, ἵνα μὴ ἔχοιέν σφεας οἱ Ἀψίνθιοι [i] δηλέεσθαι
3 ἐσβάλλοντες ἐς τὴν χώρην. εἰσὶ δὲ οὗτοι στάδιοι ἓξ

facilem se præbet Doloncis, eosque in Chersonesum cum colonis secutus, [a. 560.], et summum ibi imperium adipiscitur, et Apsinthiorum incursiones munitionibus cohibet.

[f] Sic P.K.S.F.a. οὐκ ἐγ. ἔχ. vulgo. Supra ὁρῶν F. non ὁρέων. [g] προελθ. V. [h] Sic S.V.P. Vall. οἱ om. F.a.c.d. al. [i] Μιλτιάδην S. Mox ὁ om. S. [k] ἀχθήμενον S.V. [l] Sic F.a. ἐκποδὼν S. vulgo. [m] ποιοῖ S.V. ποιείη b. ποιῇ Dobræus ad VI. 67. Mox αὐτοὶ pro αὐτοῦ S.V. [n] προσεδέκοντο b.

36. [a] καὶ om. d. Suprasc. in S. sed pr. m. [b] Sic S.V. ἀνη-ρηκὼς vulgo. [c] λαβὼν S.V. [d] Sic S.V.P.K.F. Par. ἔσκε olim, sic et 47. Recte vero utrobique ἔσχε restituit Wesselingius. Nam ἔσκε apud Nostrum aliosque Ionas *erat* significat; et ille A. Gellii amicus, qui ἔσκον cum ἔσχον dici ait, Noct. Att. VI. 15. aut ἔσκον cum ἔσχον imperite confudit, aut corrupto jam tunc Herodoti codice usus est. Cf. Herman. Em. Rat. Gramm. pag. 58. SCHWEIGH. [e] ἐπαγαγόμενοι M.P.a.b. ἐπαγόμενοι S.V.K.c. Ald. ἀπαγόμενοι d. [f] κατέστησαν S. [g] πρότερον K. [h] Sic S.V. Paris. Ald. ἐπετ. M.K.P.F. [i] δηλήσασθαι F. qui mox ἐκβαλόντες.

τε καὶ τριήκοντα τοῦ ἰσθμοῦ· ἀπὸ δὲ τοῦ ἰσθμοῦ
τούτου ἡ Χερσόνησος εἴσω πᾶσά ἐστι σταδίων εἴκοσι
37 καὶ τετρακοσίων τὸ μῆκος. Ἀποτειχίσας ὦν τὸν
αὐχένα τῆς Χερσονήσου ὁ Μιλτιάδης, καὶ τοὺς
Ἀψινθίους τρόπῳ [a] τοιούτῳ ὠσάμενος, τῶν λοιπῶν
πρώτοισι ἐπολέμησε Λαμψακηνοῖσι· καί μιν οἱ Λαμ-
2 ψακηνοὶ [b] λοχήσαντες αἱρέουσι ζωγρίῃ. ἦν δὲ ὁ Μιλ-
τιάδης Κροίσῳ τῷ Λυδῷ ἐν γνώμῃ γεγονώς· πυθό-
μενος ὦν ὁ Κροῖσος ταῦτα, πέμπων [c] προηγόρευε
τοῖσι Λαμψακηνοῖσι [d] μετιέναι Μιλτιάδεα· εἰ δὲ μή, 454
3 σφέας πίτυος τρόπον ἀπείλεε [e] ἐκτρίψειν. [f] πλανω-
μένων δὲ τῶν Λαμψακηνῶν ἐν τοῖσι λόγοισι, [g] τὸ
θέλει τὸ ἔπος εἶναι, τό σφι ἀπείλησεν ὁ Κροῖσος,
πίτυος τρόπον ἐκτρίψειν, μόγις κοτὲ μαθὼν τῶν τις
πρεσβυτέρων, εἶπε τὸ ἐόν, ὅτι πίτυς μούνη [h] πάντων
δενδρέων ἐκκοπεῖσα βλαστὸν οὐδένα [i] μετίει, ἀλλὰ
[k] πανώλεθρος ἐξαπόλλυται. δείσαντες ὦν οἱ Λαμψα-
38 κηνοὶ Κροῖσον, λύσαντες μετῆκαν [l] Μιλτιάδεα. Οὗ-
τος μὲν δὴ διὰ Κροῖσον ἐκφεύγει· [a] μετὰ δέ, τελευτᾷ
ἄπαις, τὴν ἀρχήν [b] τε καὶ τὰ χρήματα παραδοὺς Στη-

Dehinc Lampsacenos aggressus, vivus capitur: sed Crœso illis atrociter minitante, nisi incolumem dimitterent, libertatem recuperat.

Post obitum divinis honoribus a Chersonesitis affectus.

37. [a] Sic P.K.F. *τούτῳ* V.S. *τοιῷδε* Wessel. et al. *τρόπῳ τοιούτῳ* significat, *tali modo quali dictum est: τοιῷδε tali, quali continuo dicam.* Schweigh. Num igitur c. 39. inf. *τελευτήσαντος δὲ καὶ Στησαγόρεω τρόπῳ τοιῷδε* est *eo modo, quo continuo dicam*, an *eo quo dictum est*, nimirum c. 33. et vid. Gr. Gr. §. 470. not. Matth. [b] *λοχήσαντες αἱρέουσι* V.M.P.K.F. Paris. *λοχήσαντές οἱ αἱρ.* vulgo. *λογχήσαντες αἱρ.* S. [c] *παρηγόρευε* S. [d] *πέμπειν* S. cum *μετιέναι* in marg. *Μιλτιάδην* S. [e] *ἐκτρίψας* F. [f] *πλανωμένων—μόγις* om. Ald. c. [g] Sic M.P.K.a.F. et fere S. qui *τὸ* sec. om. *τί θέλει* Steph. Est illud *τὸ* Ionicum, idem atque *ὅ* commune valens. Sic *ὃς* pro *τίς* apud Nostrum VI. 124. IX. 71. *τὰ* pro *τίνα* III. 51. Schweigh. Wesselingius ad *τὸ θέλει* apponit I. 78. II. 13. IV. 131. *τί* ed. Bekker. [h] *δενδρέων πάντων*] *πάντων δενδρέων* S.F. *πάντων δένδρων* Eustath. [i] *μετιεῖ* Schæfer. cf. I. 180. *μετήιει* F.b. [k] Sic S. Eustath. Wesselingius confert Soph. El. 1012. Æschyl. Theb. 71. *πανωλέθρως* F.a.b.c. al. [l] *Μιλτιάδην* S.

38. [a] Sic M.P.K.F. Paris. *μετὰ δὲ ταῦτα* S. al. [b] *τε* om. F.

Ei succedit fratris uterini, Cimonis, filius Stesagoras: quo per dolum occiso,

2 σαγόρῃ τῷ Κίμωνος ἀδελφεοῦ παιδὶ ὁμομητρίου. καί οἱ τελευτήσαντι [c] Χερσονησῖται θύουσι, [d] ὡς νόμος οἰκιστῇ, καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν [e] ἐπιστᾶσι, ἐν τῷ Λαμψακηνῶν οὐδενὶ ἐγγίνεται ἀγωνίζεσθαι.
3 Πολέμου δὲ [f] ἐόντος πρὸς Λαμψακηνοὺς, καὶ [g] Στησαγόρεα κατέλαβε ἀποθανεῖν ἄπαιδα, πληγέντα τὴν κεφαλὴν πελέκεϊ [h] ἐν τῷ πρυτανηΐῳ, πρὸς ἀνδρὸς αὐτομόλου μὲν τῷ λόγῳ, πολεμίου δὲ καὶ ὑποθερμοτέρου τῷ ἔργῳ.

39 alter Cimonis filius, Miltiades, in locum fratris successurus, Athenis solvit, tenetque imperium Chersonesi.

39 Τελευτήσαντος δὲ [a] καὶ Στησαγόρεω τρόπῳ τοιῷδε, ἐνθαῦτα Μιλτιάδεα τὸν Κίμωνος, Στησαγόρεω δὲ τοῦ τελευτήσαντος ἀδελφεὸν, [b] καταλαμψόμενον τὰ πρήγματα ἐπὶ Χερσονήσου [c] ἀποστέλλουσι τριήρεϊ οἱ Πεισιστρατίδαι· οἵ μιν καὶ ἐν Ἀθήνῃσι ἐποίευν εὖ, ὡς οὐ συνειδότες δῆθεν τοῦ πατρὸς [d] Κίμωνος αὐτοῦ τὸν θάνατον, τὸν ἐγὼ ἐν ἄλλῳ λόγῳ σημανέω ὡς ἐγένετο.
2 Μιλτιάδης δὲ ἀπικόμενος ἐς τὴν Χερσόνησον, εἶχε [e] κατ᾽ οἴκους, τὸν ἀδελφεὸν Στησαγόρεα δηλαδὴ ἐπιτιμέων.
3 οἱ δὲ Χερσονησῖται, πυνθανόμενοι ταῦτα, 455
συνελέχθησαν ἀπὸ πασέων τῶν πολίων οἱ δυναστεύοντες πάντοθεν· κοινῷ δὲ στόλῳ ἀπικόμενοι ὡς συλλυπηθησόμενοι, [f] ἐδέθησαν ὑπ᾽ αὐτοῦ.
4 Μιλτιάδης τε δὴ ἴσχει τὴν Χερσόνησον, πεντακοσίους βόσκων ἐπικούρους, καὶ γαμέει Ὀλόρου τοῦ Θρηΐκων βασιλέος [g] θυγατέρα Ἡγησιπύλην.
40 Οὗτος δὲ ὁ Κίμωνος

[c] χερσοννησῖται a. et sic c. seq. Χερονησ. plerumque F. [d] Sic P.F. Paris. cf. Aristoph. Plut. 795. ὡς ὁ νόμος olim. [e] ἐπιστεῦσι S. vid. Hesych. in Ἐπιστεῖ. ἐπιστῶσι b. cf. I. 167. [f] ὄντος F. [g] Στησαγόρην κατελάμβανεν S.V. [h] ἐν τῷ πρυτ. P.K.F. Paris. cf. 103. τῷ vulgo om.

39. [a] καὶ om. b. [b] καταλαμψάμενον S. [c] στέλλουσι S. [d] αὐτοῦ Κίμωνος V.S. [e] κατ᾽ οἴκους A.B.S.V. Ald. κατ᾽ οἴκου M.P.K.F. [f] ἐδεήθησαν F. Mox ὑπ᾽ om. S. qui paulo post om. δή. [g] Sic S.V. τὴν θυγ. vulgo.

Μιλτιάδης, νεωστὶ μὲν [a] ἐληλύθεε ἐς τὴν Χερσό-
νησον· κατελάμβανε δέ μιν ἐλθόντα ἄλλα τῶν
2 [b] κατεχόντων πρηγμάτων χαλεπώτερα. τρίτῳ μὲν
γὰρ ἔτεϊ τούτων, Σκύθας [c] ἔφευγε· Σκύθαι γὰρ οἱ
νομάδες [d] ἐρεθισθέντες ὑπὸ βασιλέος Δαρείου, συν-
εστράφησαν καὶ ἤλασαν [e] μέχρι τῆς Χερσονήσου
3 ταύτης· τούτους ἐπιόντας οὐκ ὑπομείνας ὁ Μιλτιά-
δης, ἔφευγε [f] ἀπὸ Χερσονήσου, ἐς ὃ οἵ τε Σκύθαι
ἀπαλλάχθησαν, [g] καί μιν οἱ Δόλογκοι κατήγαγον
ὀπίσω. ταῦτα μὲν δὴ τρίτῳ ἔτεϊ πρότερον ἐγεγόνεε
41 τῶν τότε μιν κατεχόντων. [a] Τότε δὲ, πυνθανόμενος
εἶναι τοὺς Φοίνικας ἐν Τενέδῳ, πληρώσας [b] τριήρεας
πέντε χρημάτων τῶν παρεόντων, ἀπέπλεε ἐς τὰς
2 Ἀθήνας. καὶ ὥσπερ ὡρμήθη ἐκ Καρδίης πόλιος,
ἔπλεε διὰ τοῦ Μέλανος κόλπου· [c] παραμείβετό τε
τὴν Χερσόνησον, καὶ οἱ Φοίνικές οἱ περιπίπτουσι
τῇσι νηυσί. αὐτὸς μὲν δὴ Μιλτιάδης σὺν τῇσι
[d] τέσσαρσι τῶν νεῶν [e] καταφεύγει ἐς Ἴμβρον, [f] τὴν
δέ οἱ πέμπτην τῶν νεῶν κατεῖλον διώκοντες οἱ Φοί-
3 νικες. τῆς δὲ νεὸς ταύτης ἔτυχε τῶν Μιλτιάδεω
παίδων ὁ πρεσβύτατος ἄρχων Μητίοχος, οὐκ ἐκ τῆς
Ὀλόρου τοῦ [g] Θρήϊκος ἐὼν θυγατρὸς, ἀλλ' ἐξ ἄλλης·
4 καὶ τοῦτον ἅμα τῇ νηῒ εἷλον οἱ Φοίνικες. καί μιν
πυθόμενοι ὡς εἴη Μιλτιάδεω παῖς, ἀνήγαγον παρὰ

Scytharum a Dario lacessitorum in Chersonesum irruptio, Miltiadisque ob eam fuga. Scythis regressis, in imperium restituitur.

Post a Persis ob consilium Ionibus datum [4, 137.] metuens, cum illorum classem Tenedum appulisse audivisset [c. 31.], quinque triremibus instructis Athenas aufugit. Illarum unam, cui præerat filius ejus natu maximus, Metiochus,

456

40. [a] ἐλήλυθεν F. [b] καταλαβόντων F. καταλαμβανόντων b. [c] ἐκφεύγει] ἔφευγε S.V. [d] ἐρετισθέντες S. [e] Sic P.F. al. τῆς om. S. edd. vett. [f] Sic M.P.K. Alii Χερσόνησον absque præpos. Utrumque om. F.b. nec injuria suspicatur Schweighæuser. e scholio irrepsisse. ἔφευγε Χερσόννησον S. [g] Sic V.S. καὶ ἐκεῖνον Δολ. Ald. a. al. καὶ ἐκεῖνον οἱ Δολ. F.

41. [a] τῆτε S.V. Wess. Atqui τότε diserte S. δὲ om. c. δὴ Ald. [b] τριηρ. πέντε χρημ. S.P.K.F.a. χρ. τρ. π. al. [c] παρημ. P.F. [d] τέσσερσι] τέσσαρσι F.S. τέσσερσι non alibi legi monet Matthiæ. [e] φεύγει S. [f] μίαν δὲ τῶν νεῶν S. Mox νεὼς S. [g] Θρηκὸς S.V.

Persæ capiunt. Metiochus a Dario humanissime habitus.

βασιλέα, δοκέοντες χάριτα μεγάλην καταθήσεσθαι· ὅτι δὴ Μιλτιάδης γνώμην ἀπεδέξατο ἐν τοῖσι Ἴωσι, πείθεσθαι κελεύων τοῖσι Σκύθῃσι, ὅτε οἱ Σκύθαι προσεδέοντο, [h] λύσαντας τὴν σχεδίην, ἀποπλέειν ἐς
5 τὴν ἑωυτῶν. Δαρεῖος δὲ, ὡς οἱ Φοίνικες Μητίοχον τὸν Μιλτιάδεω ἀνήγαγον, ἐποίησε [i] κακὸν μὲν οὐδὲν Μητίοχον, ἀγαθὰ δὲ συχνά· καὶ γὰρ οἶκον καὶ κτῆσιν ἔδωκε, καὶ Περσίδα γυναῖκα, [k] ἐκ τῆς οἱ τέκνα ἐγένετο, τὰ ἐς Πέρσας [l] κεκοσμέαται. Μιλτιάδης δὲ ἐξ Ἴμβρου ἀπικνέεται ἐς τὰς Ἀθήνας.

42 Eodem anno Ionia penitus pacata, resque Ionum, judiciis instituendis, terris dimetiendis, tributis imperandis, in ordinem redactæ.

Καὶ κατὰ τὸ ἔτος τοῦτο ἐκ τῶν Περσέων οὐδὲν [a] ἐπὶ πλέον ἐγένετο τούτων ἐς νεῖκος φέρον Ἴωσι, ἀλλὰ τάδε μὲν χρήσιμα κάρτα τοῖσι Ἴωσι ἐγένετο
2 τούτου τοῦ ἔτεος. [b] Ἀρταφέρνης ὁ Σαρδίων ὕπαρχος, μεταπεμψάμενος ἀγγέλους ἐκ τῶν [c] πολίων, συνθήκας σφίσι αὐτοῖσι τοὺς Ἴωνας ἠνάγκασε [d] ποιέεσθαι, ἵνα [e] δοσίδικοι εἶεν, καὶ μὴ ἀλλήλους φέροιέν
3 τε καὶ ἄγοιεν. ταῦτά [f] τε ἠνάγκασε ποιέειν, καὶ τὰς χώρας [g] σφέων μετρήσας κατὰ παρασάγγας, τοὺς καλέουσι οἱ Πέρσαι τὰ τριήκοντα στάδια· κατὰ δὴ τούτους μετρήσας, φόρους ἔταξε ἑκάστοισι, οἳ κατὰ χώρην διατελέουσι ἔχοντες ἐκ τούτου τοῦ χρόνου αἰεὶ [h] ἔτι καὶ ἐς ἐμὲ, ὡς ἐτάχθησαν ἐξ Ἀρταφέρνεος·

[h] λύσαντες S.K.V. cf. IV. 136. [i] μὲν κακὸν F. [k] ἐξ ἧς F. [l] κεκοσμήαται V. cf. III. 91.

42. [a] Sic F. cf. II. 171. V. 51. 120. IX. 41. 107. 121. Perizon. Ælian. Var. I. 30. ἔτι πλέον Ald. S.V. Paris. Bekker. ἐπίπλεον M. P.K. Mox νίκος S. [b] Ἀρταφρένης δὲ F. Ἀρταφέρνης δὲ b. [c] Sic M.K.P.F.b.a. marg. πολεμίων S.a.c.d. al. Similem confusionem notavit ad Diodor. XIV. 50. Wesselingius, hic in Polyæno V. 44, 1. πολέων pro πολεμίων reponens. [d] Sic P.S.V.K.F. Paris. ποιήσασθαι al. [e] δωσίδικοι S. probante Wesselingio, et citante Steph. Thes. I. p. 989. Polyb. IV. 4, 3. Vulg. defendit Schweighæuserus. [f] τε om. S. [g] μετρήσας σφέων F. [h] ἔτι καὶ F.b. καὶ ἔτι Wessel. al. S.

ἐτάχθησαν δὲ σχεδὸν κατὰ τὰ αὐτὰ τὰ καὶ πρότερον
εἶχον. καί σφι ταῦτα μὲν εἰρηναῖα ἦν.

43 Ἅμα δὲ τῷ ἔαρι, τῶν ἄλλων [a] καταλελυμένων στρατηγῶν
[b] ἐκ βασιλέος, Μαρδόνιος ὁ Γωβρύεω κατέβαινε ἐπὶ
θάλασσαν, στρατὸν πολλὸν μὲν κάρτα πεζὸν ἅμα
ἀγόμενος, πολλὸν δὲ ναυτικόν· ἡλικίην τε νέος ἐὼν,
καὶ νεωστὶ γεγαμηκὼς βασιλέος Δαρείου θυγατέρα
2 [c] Ἀρταζώστρην. ἄγων δὲ τὸν στρατὸν τοῦτον ὁ
Μαρδόνιος, ἐπεί τε ἐγένετο ἐν τῇ Κιλικίῃ, αὐτὸς μὲν
ἐπιβὰς ἐπὶ νεὸς, ἐκομίζετο ἅμα τῇσι [d] ἄλλῃσι νηυσὶ,
στρατιὴν δὲ τὴν πεζὴν ἄλλοι ἡγεμόνες ἦγον ἐπὶ τὸν
3 Ἑλλήσποντον. Ὡς δὲ παραπλέων τὴν Ἀσίην ἀπί-
κετο ὁ Μαρδόνιος ἐς τὴν Ἰωνίην, ἐνθαῦτα μέγιστον
[e] θῶμα ἐρέω τοῖσι μὴ ἀποδεκομένοισι [f] Ἑλλήνων, 457
Περσέων τοῖσι ἑπτὰ Ὀτάνεα γνώμην ἀποδέξασθαι
ὡς [g] χρεὸν εἴη δημοκρατέεσθαι Πέρσας· τοὺς γὰρ
τυράννους τῶν Ἰώνων καταπαύσας πάντας ὁ Μαρ-
δόνιος, δημοκρατίας κατίστα ἐς τὰς πόλιας. ταῦτα
4 δὲ ποιήσας, ἠπείγετο ἐς τὸν Ἑλλήσποντον. Ὡς δὲ
συνελέχθη μὲν χρῆμα [h] πολλὸν νεῶν, συνελέχθη δὲ
καὶ πεζὸς [i] πολλὸς στρατὸς, διαβάντες τῇσι νηυσὶ
τὸν Ἑλλήσποντον, ἐπορεύοντο διὰ τῆς Εὐρώπης·

Proximo vere [a. 495.] Mardonius, populari statu in Ioniæ civitates reducto, Europam cum ingentibus copiis petit, Eretriæ Athenisque [5, 99.] bellum illaturus.

44 ἐπορεύοντο δὲ ἐπί τε [k] Ἐρετριαν καὶ Ἀθήνας. Αὗται
μὲν ὦν σφι πρόσχημα [a] ἦσαν τοῦ στόλου. ἀτὰρ, ἐν
νόῳ ἔχοντες ὅσας ἂν πλείστας [b] δύναιντο καταστρέ-

Ac primum quidem (nam is modo prætextus fuit

43. [a] καταλελειμμ. d. [b] ἐκ βασιλέος om. S. Mox πολλόν τε S. [c] Sic P. pr. F. Ἀρτοζώστρην S. Bekker. vulgo. Mox τοῦτον om. S. [d] ἄλλῃσι om. S.V. Supra ἐπιβὰς om. S. ubi νεώς. [e] Sic F.b. θαῦμα S.V. θῶυμα (vel θώϋμα) al. [f] τῶν Ἑλ. S. [g] Sic F. Vulgo χρεών. cf. V. 49. [h] Sic P. ex em. ed. Genev. πολλῶν F.a.b.S. et vulg. vid. ad IV. 81. [i] Sic P.K.F. στ. π. S. Wessel. al. [k] Ἐρέτρειαν F.

44. [a] ἔσαν] ἦσαν F.S. [b] δύνωνται S.P.a. Mox γὰρ pro δή S.

expeditionis,) Thasii et Macedones subiguntur. Thaso expugnata, dum classis Athon legit, tempestas vehemens cooritur, cujus vi plurimæ naves pereunt.

φεσθαι τῶν Ἑλληνίδων πολίων, τοῦτο μὲν δὴ, τῇσι
νηυσὶ Θασίους, οὐδὲ χεῖρας ἀνταειραμένους, κατα-
στρέψαντο· τοῦτο δὲ τῷ πεζῷ Μακεδόνας, πρὸς
τοῖσι ὑπάρχουσι, δούλους [c]προσεκτήσαντο· τὰ γὰρ
ἐντὸς Μακεδόνων ἔθνεα πάντα σφι [d]ἦν ἤδη ὑπο-
2 χείρια γεγονότα. Ἐκ μὲν δὴ Θάσου [e]διαβαλόντες
πέρην, ὑπὸ τὴν ἤπειρον ἐκομίζοντο μέχρι Ἀκάνθου·
ἐκ δὲ Ἀκάνθου ὁρμεώμενοι, τὸν Ἄθων περιέβαλλον.
3 ἐπιπεσὼν δέ σφι περιπλέουσι βορῆς ἄνεμος μέγας τε
καὶ ἄπορος, κάρτα τρηχέως [f]περιέσπε πλήθεϊ πολλὰς
4 τῶν νεῶν, ἐκβάλλων πρὸς τὸν Ἄθων. λέγεται γὰρ
[g]κατὰ τριηκοσίας μὲν τῶν νεῶν τὰς διαφθαρείσας
5 εἶναι, ὑπὲρ δὲ δύο μυριάδας ἀνθρώπων. ὥστε γὰρ
[h]θηριωδεστάτης ἐούσης τῆς θαλάσσης ταύτης τῆς
περὶ τὸν Ἄθων, οἱ μὲν ὑπὸ τῶν θηρίων διεφθείροντο
ἁρπαζόμενοι· [i]οἱ δὲ, πρὸς τὰς πέτρας ἀρασσόμενοι·
οἱ δὲ [k]αὐτῶν νέειν οὐκ ἐπιστέατο, καὶ κατὰ τοῦτο
διεφθείροντο· [l]οἱ δὲ, ῥίγεϊ. ὁ μὲν δὴ ναυτικὸς στρα-
τὸς οὕτω ἔπρησσε.

45

Nihilo felicior pedester exercitus: quem in Macedonia castra metatum Brygi Thraces noctu adorti, magna clade affi-

Μαρδονίῳ δὲ, καὶ τῷ [a]πεζῷ
στρατοπεδευομένῳ ἐν Μακεδονίῃ, νυκτὸς Βρύγοι Θρήϊ-
κες ἐπεχείρησαν· καί σφεων πολλοὺς φονεύουσι οἱ
2 Βρύγοι, [b]Μαρδόνιον δὲ αὐτὸν τρωματίζουσι. [c]οὐ
μέντοι οὐδὲ αὐτοὶ δουλοσύνην διέφυγον πρὸς Περ- 458
σέων· οὐ γὰρ δὴ πρότερον ἀπανέστη ἐκ τῶν χωρέων
τουτέων Μαρδόνιος, πρὶν ἤ σφεας ὑποχειρίους ἐποιή-

[c] κατεκτήσ. Steph. marg. [d] Sic F. ἤδη ἦν S. vulgo. [e] διαβαλ. P, e corr. Mox ὁρμώμενοι S. et περιέβαλον qui om. περιπλέουσι. [f] περιέπεσε S. Mox ἐκβαλὼν S. [g] Sic S.V. *ad trecentos* Vall. Vulgo om. κατά. [h] Laudat Eustath. Il. p. 294, 16=222, 39. [i] οἱ δὲ αὐτέων νέειν . . . διεφθείροντο· οἱ δὲ πρὸς τὰς πέτρας ἀ. S. Vall. [k] αὐτέων νέειν] αὐτῶν νεῖν F. [l] ὁ δὲ F.

45. [a] πεζῷ στρατοπεδ. M.P.K.S.F. Paris. πεζῷ στρατῷ στρατοπ. Ald. al. [b] καὶ Μαρδ. S.V. [c] οὐ μὲν S.V.

3 σατο. Τούτους μέντοι καταστρεψάμενος, ἀπῆγε τὴν
στρατιὴν ὀπίσω, ἅτε τῷ πεζῷ τε προσπταίσας πρὸς
τοὺς [d] Βρύγους, καὶ τῷ ναυτικῷ μεγάλως [e] περὶ Ἄθων.
[f] Οὗτος μέν νυν ὁ στόλος αἰσχρῶς ἀγωνισάμενος,
[g] ἀπαλλάχθη ἐς τὴν Ἀσίην.

ciunt. His tandem devictis, Mardonius copias jam satis fractas in Asiam reducit.

46 Δευτέρῳ δὲ ἔτεϊ τούτων ὁ Δαρεῖος, πρῶτα μὲν
Θασίους διαβληθέντας ὑπὸ τῶν ἀστυγειτόνων, [a] ὡς
ἀπόστασιν μηχανοίατο, πέμψας ἄγγελον, ἐκέλευέ
σφεας τὸ τεῖχος περιαιρέειν, καὶ τὰς νέας ἐς Ἄβδηρα
2 κομίζειν. οἱ γὰρ δὴ Θάσιοι, [b] οἷα ὑπὸ Ἱστιαίου [c] τε
τοῦ Μιλησίου πολιορκηθέντες, καὶ προσόδων ἐουσέων
[d] μεγαλέων, [e] ἐχρέοντο τοῖσι χρήμασι, νaῦς τε ναυπη-
γεύμενοι μακρὰς, καὶ τεῖχος [f] ἰσχυρότερον περιβαλ-
λόμενοι. ἡ δὲ πρόσοδός σφι ἐγίνετο ἔκ τε τῆς ἠπείρου
3 καὶ ἀπὸ τῶν μετάλλων. ἐκ μέν γε τῶν [g] ἐν Σκαπτῇ
Ὕλῃ τῶν χρυσέων μετάλλων, τὸ ἐπίπαν [h] ὀγδώκοντα
τάλαντα [i] προσήϊε· ἐκ δὲ τῶν ἐν αὐτῇ Θάσῳ, ἐλάσσω
μὲν τούτων, συχνὰ δὲ οὕτω, ὥστε τὸ ἐπίπαν Θασίοισι,
[k] ἐοῦσι καρπῶν ἀτελέσι, προσήϊε ἀπό τε [l] τῆς ἠπείρου
καὶ τῶν μετάλλων ἔτεος ἑκάστου διηκόσια τάλαντα·
47 ὅτε δὲ τὸ πλεῖστον προσῆλθε, τριηκόσια. Εἶδον
δὲ καὶ αὐτὸς τὰ μέταλλα ταῦτα· καὶ μακρῷ ἦν
αὐτῶν [a] θωμασιώτατα τὰ οἱ Φοίνικες ἀνεῦρον, οἱ μετὰ

Altero anno post Darius et Thasios, quod rebellionem moliri viderentur, muris ac navibus exuit, (obiter hic de Thasiorum opibus metallisque,)

[d] Βρύγας b. [e] Sic S.V.P.K.F.a.b. περὶ τὸν Ἄ. Ald. Wessel. [f] καὶ οὗτος F. [g] Sic M.K.P.F. Paris. Alii ἀπηλλάχθη cum S.

46. [a] ὡς ἐς ἀπόστ. S.V. [b] οἳ ἀπὸ K. οἱ ὑπὸ F. [c] τε τοῦ om. K.P. [d] Sic V. Vulgo μεγάλων cum S. [e] Sic F.a. ἐχρέωντο vulgo. cf. III. 48. VII. 50. [f] ἰσχυρ. ὑψηλὸν περιβ. P. Mox ἐγένετο S. [g] ἐκ Σκαπτῆς Ὕλης P.K.F.a.b.c. Bekker. ἐκ μὲν γὰρ τῶν ἐν Σκαπτησύλῃ μετάλλων τῶν χρυσίων S. μέταλλα σκαπτῆς ὕλης Eustath. Dionys. 517. [h] *Septuaginta* Vall. [i] Sic S.V. προσείῃ P. et mox. προσήει F. et mox. cum Ald. [k] ἐοῦσι om. S.V. qui et καρπόν. [l] τῶν καρπῶν d. τε om. S.

47. [a] Sic K. θαυμασ. S. al.



Θάσου κτίσαντες τὴν νῆσον ταύτην· ἥτις νῦν [b] ἐπὶ τοῦ Θάσου τούτου τοῦ Φοίνικος τὸ οὔνομα [c] ἔσχε. 2 τὰ δὲ μέταλλα τὰ [d] Φοινικικὰ ταῦτα ἔστι τῆς Θάσου μεταξὺ Αἰνύρων τε χώρου καλεομένου καὶ Κοινύρων, ἀντίον δὲ Σαμοθρηΐκης· ὄρος μέγα, ἀνεστραμμένον 3 [e] ἐν τῇ ζητήσει. τοῦτο μέν νυν ἔστι τοιοῦτο. Οἱ δὲ Θάσιοι τῷ βασιλέϊ κελεύσαντι καὶ τὸ τεῖχος τὸ σφέτερον κατεῖλον, καὶ τὰς νέας [f] τὰς πάσας ἐκόμισαν ἐς Ἄβδηρα.

48 Μετὰ δὲ τοῦτο, ἀπεπειρᾶτο ὁ Δαρεῖος τῶν Ἑλλήνων ὅ τι ἐν νόῳ ἔχοιεν, κότερα πολεμέειν ἑωυτῷ, ἢ 459 2 παραδιδόναι σφέας αὐτούς. διέπεμπε ὦν κήρυκας, ἄλλους ἄλλῃ τάξας, ἀνὰ τὴν Ἑλλάδα, κελεύων αἰτέειν 3 βασιλέϊ γῆν τε καὶ ὕδωρ. τούτους μὲν δὴ ἐς τὴν Ἑλλάδα ἔπεμπε· ἄλλους δὲ κήρυκας διέπεμπε ἐς τὰς [a] ἑωυτοῦ δασμοφόρους πόλιας τὰς παραθαλασσίους, κελεύων νέας τε μακρὰς καὶ ἱππαγωγὰ πλοῖα ποιέεσθαι.

et in Græciam dimittit, qui aquam terramque petant, et naves civitatibus maritimis imperat.

49 Οὗτοί τε δὴ παρεσκευάζοντο ταῦτα· καὶ τοῖσι ἥκουσι ἐς τὴν Ἑλλάδα κήρυξι πολλοὶ μὲν ἠπειρωτέων [a] ἐδίδοσαν τὰ προΐσχετο αἰτέων ὁ Πέρσης, πάντες δὲ 2 [b] οἱ νησιῶται, [c] ἐς τοὺς [d] ἀπικοίατο αἰτήσοντες. Οἵ τε δὴ ἄλλοι νησιῶται διδοῦσι γῆν τε καὶ ὕδωρ Δα- 3 ρείῳ, καὶ δὴ καὶ Αἰγινῆται. ποιήσασι δέ [e] σφι ταῦτα ἰθέως Ἀθηναῖοι [f] ἐπεκέατο, δοκέοντες ἐπὶ σφίσι [g] ἔχον-

Græcorum multi Persis dicto audientes: interque insulanos et Æginetæ. Quos cum Athenienses eo nomine apud Spar-

[b] Sic S.V. cf. IV. 45. 107. 184. VII. 58. 61. 74. ἀπὸ τοῦ F. et olim. ἐπὶ τοῦ φοίνικος τούτου θάσου τὸ S. [c] Sic S.V.K.F. Paris. Wessel. ἔσκε al. cf. 36. [d] Sic P.F.a.b.c. Φοινικὰ al. S. [e] Sic P.K. F.b.c. τῇ om. S.a.d. al. Supra κονύρων S. [f] Sic M.P.K.F. τὰς om. S.a. et al.

48. [a] ἑωυτοὺς S. Ald. Supra σφέας ἑωϋτούς Ald.

49. [a] Sic S. ἔδοσαν al. Bekker. [b] Sic K.P.F. οἱ om. Wessel. et Bekker. cum S. [c] ἐς οὓς S.V.P.K.F. [d] Sic Ald. F.a.b.S. ἀπικέατο K. Wess. Schæf. [e] σφισι F. [f] ἀπικοίατο δοκέοντές τε S. [g] Sic

τας τοὺς Αἰγινήτας δεδωκέναι, ὡς ἅμα τῷ Πέρσῃ
ἐπὶ σφέας στρατεύωνται· καὶ ἄσμενοι [h] προφάσιος
[i] ἐπελάβοντο, φοιτέοντές [k] τε ἐς τὴν Σπάρτην κατη-
γόρεον [l] τῶν Αἰγινητέων τὰ πεποιήκοιεν προδόντες
τὴν Ἑλλάδα.

tanos postulavissent,

50 Πρὸς ταύτην δὲ τὴν κατηγορίην
Κλεομένης ὁ Ἀναξανδρίδεω, [a] βασιλεὺς ἐὼν Σπαρ-
τιητέων, διέβη ἐς Αἴγιναν, βουλόμενος συλλαβεῖν
2 Αἰγινητέων [b] τοὺς αἰτιωτάτους. ὡς δὲ ἐπειρᾶτο [c] συλ-
λαμβάνων, ἄλλοι τε δὴ [d] αὐτῷ ἐγίνοντο ἀντίξοοι τῶν
Αἰγινητέων, ἐν δὲ δὴ καὶ Κρῖος ὁ Πολυκρίτου μά-
λιστα· ὃς οὐκ ἔφη αὐτὸν οὐδένα [e] ἄξειν χαίροντα
Αἰγινητέων· ἄνευ γάρ μιν Σπαρτιητέων τοῦ κοινοῦ
ποιέειν ταῦτα, [f] ὑπ᾽ Ἀθηναίων [g] ἀναγνωσθέντα χρή-
μασι· ἅμα γὰρ ἄν μιν τῷ ἑτέρῳ βασιλέϊ ἐλθόντα
3 συλλαμβάνειν. ἔλεγε δὲ ταῦτα ἐξ ἐπιστολῆς τῆς
Δημαρήτου. Κλεομένης δὲ, ἀπελαυνόμενος ἐκ τῆς
Αἰγίνης, εἴρετο τὸν Κρῖον ὅ τι [h] οἱ εἴη τὸ οὔνομα·
4 [i] ὁ δὲ τὸ ἐὸν ἔφρασέ οἱ. ὁ δὲ Κλεομένης πρὸς αὐτὸν 460
ἔφη· "Ἤδη νῦν [k] καταχάλκου, ὦ Κριὲ, τὰ κέρεα,
"ὡς συνοισόμενος μεγάλῳ κακῷ."

Cleomenes Æginam mittitur, qui deditionis auctores comprehendat. Sed Demarati, alterius Spartanorum regis, cui cum collega parum conveniret, machinatione fit, ut ille infecta re abire cogatur.

51 Ἐν δὲ τῇ Σπάρτῃ τοῦτον τὸν χρόνον ὑπομένων
Δημάρητος ὁ Ἀρίστωνος [a] διέβαλλε τὸν Κλεομένεα,
[b] ἐὼν βασιλεὺς καὶ οὗτος Σπαρτιητέων, οἰκίης δὲ τῆς
[c] ὑποδεεστέρης· κατ᾽ ἄλλο μὲν οὐδὲν ὑποδεεστέρης,

vulg. cum Eustath. Od. p. 1856, 16=683, 21. ἐπέχοντας M.P.K.F. Supra δοκέοντές τε F. Mox στρατεύονται S. [h] προσφ. S. [i] ἐλάβοντο b. [k] τε om. S.K. τὴν ante Σπάρτην om. S. qui tum καὶ κατηγόρεον. [l] Sic K.P.F. al. τῶν om. S.a. et vulg.

50. [a] βασιλεύων P.F.b.f. cf. 51. [b] τιμὰς f. [c] Sic M.K.P.F.a.b. cf. I. 77. συλλαμβάνειν P. e corr. c.d.S. al. [d] ἐγίνοντο αὐτῷ F.f. Mox τῶν om. S. [e] ἕξειν K. [f] ἀπὸ Ἀθην. S.V. [g] ἀναπεισθέντα f. cf. I. 128. Mox ἔλεγε δὴ S. [h] οἱ om. f. Mox τὸ om. S. [i] ὁ δέ οἱ τὸ ἐὸν ἔφρασε P.F.f. Bekker. οἱ om. V.S.K. [k] καταχαλκοῦ F.a. Steger. Attigit Eustath. Dionys. 511.

51. [a] Sic a.c. διέβαλε S. vulgo. [b] ἐὼν om. S.V. [c] ὑποδεέστερος d.

(ἀπὸ γὰρ τοῦ αὐτοῦ γεγόνασι·) κατὰ πρεσβυγενείην
52 δέ κως [d] τετίμηται μᾶλλον ἡ Εὐρυσθένεος. Λακε-
δαιμόνιοι γὰρ, ὁμολογέοντες οὐδενὶ ποιητῇ, λέγουσι
αὐτὸν Ἀριστόδημον, τὸν Ἀριστομάχου, τοῦ Κλεο-
δαίου, τοῦ Ὕλλου, [a] βασιλεύοντα ἀγαγεῖν σφέας ἐς
ταύτην τὴν χώρην τὴν νῦν ἐκτέαται, [b] ἀλλ᾽ οὐ τοὺς
2 Ἀριστοδήμου παῖδας. μετὰ δὲ χρόνον οὐ πολλὸν,
[c] Ἀριστοδήμῳ τεκεῖν τὴν γυναῖκα, τῇ οὔνομα εἶναι
[d] Ἀργείην· θυγατέρα δὲ αὐτὴν λέγουσι εἶναι Αὐτε-
σίωνος, τοῦ Τισαμενοῦ, τοῦ Θερσάνδρου, τοῦ Πολυ-
νείκεος· [e] ταύτην δὲ τεκεῖν δίδυμα· ἐπιδόντα δὲ τὸν
3 Ἀριστόδημον τὰ τέκνα, νούσῳ τελευτᾶν. Λακεδαι-
μονίους δὲ, τοὺς τότε ἐόντας, βουλεῦσαι κατὰ νόμον
βασιλέα τῶν παίδων τὸν πρεσβύτερον ποιήσασθαι.
οὔκων δή σφεας ἔχειν ὁκότερον ἕλωνται, ὥστε καὶ
ὁμοίων καὶ [f] ἴσων ἐόντων· οὐ δυναμένους δὲ γνῶναι,
4 ἢ καὶ [g] πρὸ τούτου, [h] ἐπειρωτᾶν τὴν τεκοῦσαν. τὴν
δὲ [i] οὐδὲ αὐτὴν φάναι διαγινώσκειν· εἰδυῖαν μὲν καὶ
τὸ κάρτα λέγειν ταῦτα, βουλομένην δὲ [k] εἴ κως ἀμφό-
τεροι γενοίατο [l] βασιλέες. Τοὺς ὦν δὴ Λακεδαιμονίους
ἀπορέειν· ἀπορέοντας δὲ, πέμπειν ἐς Δελφοὺς, ἐπει-
5 ρησομένους ὅ τι [m] χρήσονται τῷ πρήγματι. τὴν δὲ
Πυθίην κελεύειν σφέας ἀμφότερα τὰ παιδία ἡγή-
σασθαι βασιλέας, τιμᾶν δὲ μᾶλλον τὸν [n] γεραίτερον.
6 τὴν μὲν δὴ Πυθίην ταῦτά σφι ἀνελεῖν· τοῖσι δὲ Λα-

Digressio de regibus Spartanorum. Narratio Lacedæmoniorum de Aristodemo Heraclida, conditore coloniæ Doriensium in agro Laconico, ejusque geminis, Eurysthene et Procle, duarum familiarum regiarum auctoribus.

[d] τετίμητο b.

52. [a] βασιλέως d. [b] ἀλλ᾽—πολλὸν om. S. qui tum τούτῳ δ᾽ Ἀριστοδήμῳ τεκεῖν. [c] Ἀριστοδήμου d. [d] Ἀργίνην S.V. Vall. ἦν pro εἶναι S. [e] ταύτην δὴ F. [f] Sic M.P.K.S.V. Paris. F. Vall. ἴσων ἀμφοτέρων ἐόντων vulgo. [g] προτοῦ d. [h] ἐπηρωτᾶν F. qui mox ἐπηρησομένους. [i] οὐδὲν φάναι S. absque αὐτήν. [k] εἰκὸς ὡς S. [l] βασιλῆες] βασιλέες et mox βασιλέας F.S. [m] χρήσωνται a. [n] πρεσβύτερον M.P.K.F.b.

κεδαιμονίοισι, ἀπορέουσι οὐδὲν [o] ἔσσον ὅκως ἐξεύρωσι
αὐτῶν τὸν πρεσβύτερον, ὑποθέσθαι ἄνδρα Μεσσή-
νιον, τῷ οὔνομα εἶναι Πανίτην· ὑποθέσθαι δὲ τοῦτον
τὸν Πανίτην τάδε τοῖσι Λακεδαιμονίοισι, φυλάξαι
τὴν γειναμένην, ὁκότερον τῶν [p] παιδίων πρότερον 461
λούει καὶ σιτίζει· καὶ ἢν μὲν κατὰ τὰ αὐτὰ [q] φαίνηται
αἰεὶ ποιεῦσα, τοὺς δὲ πᾶν ἕξειν ὅσον τι καὶ δίζηνται
καὶ θέλουσι ἐξευρεῖν· ἢν δὲ πλανᾶται καὶ ἐκείνη,
[r] ἐναλλὰξ ποιεῦσα, δῆλά σφι ἔσεσθαι ὡς οὐδὲ ἐκείνη
πλέον οὐδὲν [s] οἶδε· ἐπ' ἄλλην τέ σφεας τράπεσθαι
7 ὁδόν. Ἐνθαῦτα δὴ τοὺς Σπαρτιήτας, [t] κατὰ τὰς τοῦ
Μεσσηνίου ὑποθήκας, φυλάξαντας τὴν μητέρα τῶν
Ἀριστοδήμου παίδων, λαβεῖν κατὰ τὰ αὐτὰ τιμῶσαν
τὸν πρότερον καὶ σίτοισι καὶ λουτροῖσι, οὐκ [u] εἰδυῖαν
8 τῶν εἵνεκεν ἐφυλάσσετο. [w] λαβόντας δὲ τὸ παιδίον
τὸ τιμώμενον πρὸς τῆς [x] γειναμένης, ὡς ἐὸν πρότερον,
τρέφειν ἐν τῷ δημοσίῳ· καί οἱ οὔνομα [y] τεθῆναι Εὐ-
9 ρυσθένεα, τῷ δὲ [z] νεωτέρῳ, Προκλέα. τούτους ἀνδρω-
θέντας, αὐτούς τε, ἀδελφεοὺς ἐόντας, λέγουσι διαφό-
ρους εἶναι τὸν πάντα χρόνον τῆς [a] ζόης ἀλλήλοισι,
καὶ τοὺς ἀπὸ τούτων γενομένους ὡσαύτως διατελέειν.

53 [a] Ταῦτα μὲν Λακεδαιμόνιοι λέγουσι μοῦνοι Ἑλλήνων. Quæ cæteri
τάδε δὲ, [b] κατὰ ταὐτὰ λεγόμενα [c] ὑπὸ Ἑλλήνων, ἐγὼ Græci de prosapia re-

[o] ἧσσον S.F. qui mox αὐτῶν pro αὐτέων. [p] παίδων] παιδίων S.V. Bekker. [q] φαίνηται αἰεὶ om. S. ubi ποιέουσα. Supra τὰ om. Bekker. et infra. [r] καὶ ἐναλλ. b. [s] Sic Schæfer. οἶδεν F.S. Vulgo εἶδε. [t] φυλάξ. τὴν μητ. τῶν Ἀριστ. παίδων κατὰ τὰς τ. M. ὑ. S. [u] εἰδυῖαν S.V.P.K. εἰδυίην Wessel. et al. [w] Sic K.P.S. λαβόντα Paris. λαβόντες vulgo. [x] γιναμένης F. τὸ πρὸς τῆς γειναμένης τιμώμενον S. [y] τεθεῖναι S. [z] νεωτέρῳ om. M.K.F.d. Fortasse ex scholio irrepsit. SCHWEIGH. [a] Sic M.P.V.K.A.B. ζώης ἀλ. F. ζόης αὐτέων ἀλ. Ald. et al. ζωῆς ἀλ. S.

53. [a] Sic P.F.a. Λακ. μὲν ταῦτα vulgo. ταῦτα δὲ Λακ. S.V. [b] Sic Schweighæuserus ex F. κατὰ τὰ λεγ. M.P.K. Wessel. καταλεγόμενα S. al. καὶ τὰ λ. d. Sed in plurium mss. lectione, κατὰ τὰ λεγ. ὑ. 'E.,

gum Doricorum narrent.

γράφω· [d] τούτους γὰρ δὴ τοὺς Δωριέων βασιλέας μέχρι [e] μὲν Περσέος τοῦ Δανάης, τοῦ θεοῦ ἀπεόντος, [f] καταλεγομένους [g] ὀρθῶς ὑπὸ Ἑλλήνων, καὶ ἀποδεικνυμένους ὥς εἰσι Ἕλληνες· ἤδη γὰρ τηνικαῦτα
2 ἐς Ἕλληνας οὗτοι ἐτέλεον. [h] ἔλεξα δὲ, μέχρι Περσέος, τοῦδε εἵνεκα, ἀλλ' οὐκ ἀνέκαθεν ἔτι ἔλαβον, ὅτι [i] οὐκ ἔπεστι ἐπωνυμίη Περσέϊ οὐδεμία πατρὸς θνητοῦ, ὥσπερ Ἡρακλέϊ Ἀμφιτρύων. ἤδη ὦν ὀρθῷ λόγῳ χρεωμένῳ, μέχρι [k] τοῦ Περσέος ὀρθῶς [l] εἴρηταί μοι.
3 ἀπὸ δὲ Δανάης, τῆς Ἀκρισίου, καταλέγοντι τοὺς ἄνω αἰεὶ πατέρας αὐτῶν, [m] φαινοίατο ἂν ἐόντες οἱ τῶν Δωριέων ἡγεμόνες Αἰγύπτιοι ἰθαγενέες. ταῦτα μέν νυν, κατὰ [n] τὰ Ἕλληνες λέγουσι, γεγενεηλόγηται.

54 Quid Persis eadem de re placeat.

Ὡς δὲ [a] ὁ Περσέων λόγος λέγεται, αὐτὸς ὁ Περσεὺς, ἐὼν Ἀσσύριος, ἐγένετο Ἕλλην, ἀλλ' [b] οὐκ οἱ Περσέος πρόγονοι· [c] τοὺς δὲ Ἀκρισίου γε πατέρας, ὁμολογέοντας [d] κατ' οἰκηϊότητα Περσέϊ οὐδὲν, τούτους δὲ εἶναι, κατάπερ Ἕλληνες λέγουσι, Αἰγυπτίους.

55 Quam partem historiæ illorum regum Hero-

Καὶ 462
ταῦτα μέν [a] νυν περὶ τούτων εἰρήσθω. [b] ὅ τι δὲ, ἐόντες Αἰγύπτιοι, καὶ ὅ τι ἀποδεξάμενοι, ἔλαβον τὰς Δω-

secundum ea quæ a reliquis Græcis dicta sunt, nihil equidem video quod improbem. cf. infra §. 3. [c] ὑπ' ἀλλήλων F. sub qua scriptum ὑπ' ἄλλων Ἑλλήνων latere suspicatur Schweigh. [d] Sic K.P.F. al. γὰρ δὴ om. vulg. cum S. [e] μὲν δὴ F.b. [f] τοὺς καταλ. F. [g] ὀρθῶς om. S. εἴρηται μοι ex infr. temere inserit F. [h] ἔλεξαν F. ἔλεξαν μὴ δὲ b. [i] οὐκ ἔστι marg. Steph. forte ex Eustath. Il. p. 989, 20=982, 12. Mox οὐδεμία pro οὐδεμίη. S. [k] τοῦ om. F. [l] Sic F. Paris. S. Wessel. cf. 55. εἰρέαταί μοι M.P.K. Schæfer. Mox καταλέγονται S. [m] Cf. Plutarch. II. p. 857. [n] τὰ om. Bekker.

54. [a] ὁ παρὰ Περσέων P.K.F. [b] οὐκ οἶδ' οἱ F. [c] τούς γε Ἀκρισίου πατέρας V.S. [d] κατ' οἰκηϊότητα om. S. Mox λέγουσιν Ἕλληνες S.

55. [a] νυν om. V.S. [b] Disjunctim scripsi cum F. valet enim idem ac καθ' ὅ τι vel διὰ τί, sicut I. 111. IV. 127. Integram καθ' ὅ τι habes supra VI. 3. SCHWEIGH. ὅ τι item S.

ριέων βασιληΐας, ἄλλοισι γὰρ περὶ αὐτῶν [c] εἴρηται,
ἐάσομεν [d] αὐτά. τὰ δὲ ἄλλοι οὐ κατελάβοντο, τούτων
μνήμην ποιήσομαι.

dotus sibi tractandam sumserit.

56 [a] Γέρεα δὲ δὴ τάδε τοῖσι βασιλεῦσι Σπαρτιῆται
δεδώκασι· ἱρωσύνας δύο, Διός τε Λακεδαίμονος, καὶ
Διὸς Οὐρανίου· καὶ πόλεμόν [b] γε ἐκφέρειν ἐπ' ἣν [c] ἂν
βούλωνται χώρην· τούτου δὲ μηδένα εἶναι Σπαρτιη-
τέων διακωλυτήν· εἰ δὲ μὴ, αὐτὸν ἐν τῷ ἄγεϊ ἐνέ-
2 χεσθαι. [d] στρατευομένων δὲ, πρώτους ἰέναι τοὺς βα-
σιλέας, ὑστάτους δὲ ἀπιέναι· ἑκατὸν [e] δὲ ἄνδρας λο-
3 γάδας ἐπὶ [f] στρατιῆς φυλάσσειν αὐτούς. προβάτοισι
δὲ [g] χρᾶσθαι ἐν [h] τῇσι ἐξοδίῃσι, ὁκόσοισι [i] ἂν ὦν
ἐθέλωσι· τῶν δὲ θυομένων [k] ἁπάντων τὰ δέρματά τε
καὶ τὰ νῶτα λαμβάνειν σφέας. ταῦτα μὲν τὰ [l] ἐμπο-
57 λέμια. Τὰ δὲ ἄλλα, τὰ [a] εἰρηναῖα, κατὰ τάδε σφι
δέδοται. ἢν θυσίην [b] τις [c] δημοτελῆ ποιέηται, πρώτους
ἐπὶ τὸ δεῖπνον ἵζειν τοὺς βασιλέας· καὶ ἀπὸ τούτων
πρῶτον ἄρχεσθαι, διπλήσια νέμοντας ἑκατέρῳ τὰ
πάντα ἢ τοῖσι ἄλλοισι δαιτυμόνεσι· καὶ σπονδαρχίας
εἶναι τούτων, καὶ τῶν τυθέντων [d] προβάτων τὰ δέρ-
2 ματα. νεομηνίας δὲ [e] ἀνὰ πάσας, [f] καὶ ἑβδόμας ἱστα-
μένου τοῦ μηνὸς, δίδοσθαι ἐκ τοῦ δημοσίου ἱρήϊον τέ-
λειον ἑκατέρῳ ἐς [g] Ἀπόλλωνος, καὶ μέδιμνον ἀλφίτων,

Quæ jura muneraque reges Spartanorum bello, domique habeant.

[c] εἰρέαται P. [d] ταῦτα b. Mox τούτων F. sed τουτέων S.

56. [a] Sic S.V. γέρεα om. K. γέρεά τε δὴ F.a.b.c. Ald. Bekker. Mox ἱερωσύνας S. Ald. [b] γε om. F.b. [c] ἐὰν S.V. [d] στρατευομένους S.V. [e] δὲ ἄνδρας om. S.V. Tum λογχάδας S. [f] στρατιῇ S. [g] χρῆσθαι P.K.F. [h] Sic M.K.P.F. τοῖσιν ἐξοδίοισι S. al. [i] ἂν ὦν P.K.F. Wessel. ὦν om. a.d.S. al. [k] πάντων F. Mox τε om. S. [l] ἐνπολέμια F.S.

57. [a] εἰρημένα S. [b] τε F. [c] δημοτελῆ M.K.a.F.P. δημοτέλης P. e corr. S.V. c. Ald. Seqq. citat Eustath. Od. p. 1576, 4=279, 33. 1482, 20=148, 36. [d] προβάτων om. K.F.a.c.d. Bekker. Supra τιθέντων S. [e] Sic S.V.P.A.B. ἀνὰ om. M.K.F.d. [f] καὶ ἑβδόμας om. S.V. Vall. [g] Ἀπόλλωνα S.V.

καὶ οἴνου τετάρτην Λακωνικήν· καὶ ἐν τοῖσι ἀγῶσι
πᾶσι προεδρίας ἐξαιρέτους· καὶ [h] προξείνους ἀποδει-
κνύναι τούτοισι [i] προσκεῖσθαι τοὺς ἂν [k] ἐθέλωσι τῶν 463
ἀστῶν, καὶ Πυθίους αἱρέεσθαι [l] δύο [m] ἑκάτερον· οἱ δὲ
Πύθιοί εἰσι θεοπρόποι ἐς Δελφοὺς, σιτεόμενοι μετὰ
3 τῶν βασιλέων τὰ δημόσια. μὴ ἐλθοῦσι δὲ τοῖσι
[n] βασιλεῦσι ἐπὶ τὸ δεῖπνον, ἀποπέμπεσθαί σφι ἐς τὰ
οἰκία [o] ἀλφίτων τε δύο χοίνικας ἑκατέρῳ, καὶ οἴνου
κοτύλην· παρεοῦσι δὲ διπλήσια πάντα δίδοσθαι·
[p] τὠυτὸ δὲ τοῦτο καὶ πρὸς ἰδιωτέων κληθέντας ἐπὶ
4 δεῖπνον τιμᾶσθαι. τὰς δὲ μαντηΐας τὰς γινομένας,
τούτους φυλάσσειν· συνειδέναι δὲ καὶ τοὺς Πυθίους.
δικάζειν δὲ μούνους τοὺς βασιλέας τοσάδε μοῦνα·
πατρούχου τε παρθένου πέρι, ἐς τὸν ἱκνέεται ἔχειν,
[q] ἢν μή περ ὁ πατὴρ αὐτὴν ἐγγυήσῃ· καὶ ὁδῶν δημο-
5 σιέων πέρι. καὶ ἤν τις θετὸν παῖδα ποιέεσθαι
[r] ἐθέλῃ, βασιλέων ἐναντίον ποιέεσθαι. καὶ παρίζειν
βουλεύουσι τοῖσι γέρουσι, ἐοῦσι δυῶν δέουσι τριή-
κοντα· ἢν δὲ μὴ ἔλθωσι, τοὺς μάλιστά σφι τῶν
γερόντων προσήκοντας ἔχειν τὰ τῶν βασιλέων γέρεα,
δύο ψήφους τιθεμένους, τρίτην δὲ, τὴν ἑωυτῶν.

Honores defunctis regibus tributi, haud dissimiles moribus Persarum.

58 Ταῦτα μὲν ζῶσι τοῖσι [a] βασιλεῦσι δέδοται ἐκ τοῦ
κοινοῦ τῶν Σπαρτιητέων· ἀποθανοῦσι δὲ, τάδε. ἱππέες
περιαγγέλλουσι τὸ γεγονὸς κατὰ πᾶσαν τὴν Λακω-
νικήν· κατὰ δὲ τὴν πόλιν γυναῖκες περιϊοῦσαι, [b] λέ-

[h] Eustath. Il. p. 405, 21=307, 18. Ἡρόδοτος οὖν γέρας εἶναί φησιν τοῖς βασιλεῦσιν ἐν Σπάρτῃ τὸ καὶ προξένους ἀποδεικνύειν οὓς ἂν θέλωσι τῶν ἀστῶν. [i] προκεῖσθαι M.K.P.b. Vulg. citatis Herod. I. 118. 119. II. 83. defendit Valckenærius. Addit Wesselingius VII. 35. [k] θέλωσι S.V. [l] δύω F. pro v. l. [m] ἑκατέρων S. [n] Sic S.V.K.F. Paris. βασιλῆσι vulgo. [o] ἀλφιτέων K. [p] τωυτέο K. [q] ἢ ἡ μήτηρ ἢ ὁ Eton. Vall. ἢν μὴ ὁ S. [r] θέλῃ S.

58. [a] Sic F. βασιλῆσι edd. vett. Supra ζώουσι Bekker. [b] λέβητα M.P.K.F. λέβητας S.a.c. Ald. Vall.

2 βητα κροτέουσι. ἐπεὰν ὦν τοῦτο [c] γένηται τοιοῦτο,
ἀνάγκη ἐξ οἰκίης ἑκάστης ἐλευθέρους δύο καταμιαί- 464
νεσθαι, ἄνδρα τε καὶ γυναῖκα· μὴ ποιήσασι δὲ τοῦτο,
3 ζημίαι μεγάλαι ἐπικέαται. νόμος δὲ τοῖσι Λακεδαι-
μονίοισι κατὰ τῶν βασιλέων τοὺς θανάτους ἐστὶ
ὡυτὸς καὶ τοῖσι βαρβάροισι τοῖσι ἐν τῇ Ἀσίῃ· τῶν
[d] γὰρ ὦν βαρβάρων οἱ πλεῦνες [e] τῷ αὐτῷ νόμῳ
4 χρέωνται κατὰ τοὺς θανάτους τῶν βασιλέων. ἐπεὰν
γὰρ ἀποθάνῃ βασιλεὺς Λακεδαιμονίων, ἐκ πάσης δεῖ
Λακεδαίμονος, χωρὶς Σπαρτιητέων, ἀριθμῷ τῶν πε-
5 ριοίκων [f] ἀναγκαστοὺς ἐς τὸ κῆδος ἰέναι. τούτων ὦν
καὶ τῶν εἱλωτέων [g] καὶ αὐτῶν Σπαρτιητέων ἐπεὰν
συλλεχθέωσι ἐς τὠυτὸ πολλαὶ χιλιάδες, σύμμιγα
τῇσι γυναιξὶ κόπτονταί τε [h] τὰ μέτωπα προθύμως,
καὶ οἰμωγῇ διαχρέωνται ἀπλέτῳ· φάμενοι τὸν ὕστα-
τον αἰεὶ ἀπογενόμενον τῶν βασιλέων, τοῦτον δὴ
6 γενέσθαι ἄριστον. ὃς δ' ἂν ἐν πολέμῳ τῶν [i] βασι-
λέων ἀποθάνῃ, τούτῳ δὲ εἴδωλον σκευάσαντες, ἐν
7 κλίνῃ εὖ ἐστρωμένῃ ἐκφέρουσι. [k] ἐπεὰν δὲ θάψωσι,
ἀγορὴ δέκα ἡμερέων οὐκ ἵσταταί σφι, οὐδ' [l] ἀρχαι-
ρεσίη συνίζει, ἀλλὰ πενθέουσι ταύτας τὰς ἡμέρας.

59 Συμφέρονται δὲ [a] ἄλλο τόδε τοῖσι Πέρσῃσι. ἐπεὰν [b] ἀποθανόντος τοῦ βασιλέος ἄλλος [c] ἐνίστηται βασι-

Alia instituta Spartanis cum Persis,

[c] Sic S.F. γίνηται vulg. Mox τοιοῦτον S. [d] Sic M.P.K.F. ὦν om. a.S. al. [e] Sic P.K.F. τωῦτῷ vulgo cum S. τὠυτῷ Bekker. [f] Sic P.K.F.S.V. Vall. ἀναμασθοὺς c. Ald. vulg. ἀναμαθοὺς d. Mox εἶναι S. pro ἰέναι. [g] καὶ αὐτῶν Σπαρτιητέων om. S.P. Schæfer. Matth. Mox συλλεχθῶσιν S. [h] τὰ μέτωπα om. S. Vall. Schæfer. Matth. Bekker. improbante Schweigh. cf. II. 61. et Dorvill. Charit. p. 347 =411. [i] βασιλήων] βασιλέων S.V.K.F. alii forte. [k] ἐπεὰν δὲ θάψωσι om. M. [l] Hinc Suidas. cf. viros doctos ad Hesych. in Ἀρχαιρεσιάζειν.

59. [a] ἄλλο τόδε M.P.K. ἄλλο τόγε F. ἄλλο οὗτοι τόδε S. al. [b] ἀποθανών τις βασιλεὺς, οὗτος S. Tum βασιλέως F. [c] ἐνίσταται F. ἀνίσταται b.

λεὺς, οὗτος ὁ ἐσιὼν ἐλευθεροῖ ὅστις [d] τι Σπαρτιητέων τῷ βασιλέϊ ἢ τῷ δημοσίῳ ὤφειλε· ἐν δ' αὖ Πέρσῃσι ὁ κατιστάμενος βασιλεὺς τὸν [e] προσοφειλόμενον φόρον

60 [f] μετίει [g] πάσῃσι τῇσι πόλισι. Συμφέρονται δὲ καὶ τάδε Αἰγυπτίοισι Λακεδαιμόνιοι. οἱ κήρυκες αὐτῶν καὶ αὐληταὶ καὶ μάγειροι ἐκδέκονται τὰς [a] πατρωΐας τέχνας· καὶ αὐλητής τε αὐλητέω γίνεται, καὶ μάγειρος μαγείρου, καὶ κῆρυξ κήρυκος· οὐ κατὰ λαμπροφωνίην [b] ἐπιθέμενοι ἄλλοι σφέας [c] παρακληΐουσι, ἀλλὰ κατὰ τὰ πάτρια ἐπιτελέουσι. ταῦτα μὲν δὴ οὕτω γίνεται.

aut Ægyptiis communia.

61 Τότε δὲ τὸν Κλεομένεα, ἐόντα ἐν τῇ Αἰγίνῃ, καὶ
κοινὰ [a] τῇ Ἑλλάδι ἀγαθὰ προσεργαζόμενον, ὁ Δημά-
ρητος διέβαλε, οὐκ Αἰγινητέων οὕτω κηδόμενος, ὡς
2 [b] φθόνῳ καὶ [c] ἄγῃ χρεώμενος. Κλεομένης δὲ, νοστήσας 465
ἀπ' Αἰγίνης, ἐβούλευε τὸν Δημάρητον παῦσαι τῆς βασι-
ληΐης, διὰ πρῆγμα τοιόνδε ἐπίβασιν ἐς αὐτὸν ποιεύ-
3 μενος. Ἀρίστωνι [d] βασιλεύοντι ἐν Σπάρτῃ, καὶ γή-
μαντι γυναῖκας δύο, παῖδες οὐκ ἐγίνοντο. καὶ [e] οὐ
γὰρ συνεγινώσκετο αὐτὸς [f] τούτων εἶναι αἴτιος, [g] γαμέει
4 τρίτην γυναῖκα· ὧδε δὲ γαμέει. Ἦν οἱ φίλος τῶν
Σπαρτιητέων ἀνὴρ, τῷ [h] προσεκέετο τῶν ἀστῶν μά-
λιστα ὁ Ἀρίστων. τούτῳ τῷ ἀνδρὶ ἐτύγχανε ἐοῦσα

Ariston, rex Spartæ, cum duas deinceps uxores steriles duxisset, tertiam, mulierem longe formosissimam, (quem faciei decorem infanti olim Helenæ a nutrice exoratæ numen impertierat)

[d] τι om. S. qui mox ἔν τε αὖ. [e] Sic P.F.b.S. προοφ. vulg. [f] μετήει F. cf. 37. et I. 180. [g] πάσῃσι om. S.V. τῇσι πόλισι πάσῃσι F.a. Bekker.

60. [a] Cf. Eustath. Il. p. 538, 38=408, 22. 808, 16=729, 9. πατρώας S. πατρῴας Ald. [b] ἐπιτιθέμενοι ἀλλ' ἢ S. [c] παρακληΐουσι M. παρακλείουσι F. παρακλήουσι b. παρακλῄουσι vulg. παρακλύουσι καὶ κατὰ τὰ S.

61. [a] ἐν τῇ Ἑλ. M.P.K.F. Supra τότε δὴ S. [b] φόνῳ S. [c] ἄγει S.P. αὔτη F. ἄττῃ unus ms. ἄτῃ vulg. [d] βασιλεύοντι τότε ἐν Σ. S.V. Vall. ἐς Σπάρτην P.K.F.a.c. βουλεύοντι b. Mox ἐγένοντο S. [e] οὐ om. S. [f] τούτων εἶναι S.V.P.K.F.a.b.c. τούτου εἶναι Bekker. et vulgo. [g] τρίτην γαμέει F. [h] προσεκέατο P.K.S.F.b.

γυνὴ καλλίστη μακρῷ τῶν ἐν Σπάρτῃ γυναικῶν· καὶ
5 ταῦτα μέντοι καλλίστη ἐξ αἰσχίστης γενομένη. Ἐοῦ-
σαν γάρ μιν τὸ εἶδος φλαύρην, ἡ τροφὸς αὐτῆς, οἷα
ἀνθρώπων τε ὀλβίων θυγατέρα, καὶ δυσειδέα ἐοῦσαν,
πρὸς δὲ καὶ [i] ὁρέουσα [k] τοὺς γονέας συμφορὴν τὸ
εἶδος αὐτῆς [l] ποιευμένους, ταῦτα ἕκαστα μαθοῦσα,
6 ἐπιφράζεται τοιάδε. ἐφόρεε αὐτὴν ἀνὰ πᾶσαν ἡμέρην
ἐς τὸ τῆς Ἑλένης ἱρόν· [m] τὸ δ' ἔστι ἐν τῇ Θεράπνῃ
[n] καλευμένῃ, ὕπερθε τοῦ [o] Φοιβηΐου ἱροῦ. [p] ὅκως δὲ
ἐνείκειε ἡ τροφὸς, [q] πρός τε τὤγαλμα ἵστα, καὶ ἐλίσ-
σετο τὴν θεὸν ἀπαλλάξαι τῆς δυσμορφίης τὸ παιδίον.
7 καὶ δή κοτε ἀπιούσῃ ἐκ τοῦ ἱροῦ τῇ τροφῷ γυναῖκα
λέγεται ἐπιφανῆναι· [r] ἐπιφανεῖσαν δὲ, ἐπείρεσθαί
μιν [s] ὅ τι φέρει ἐν τῇ ἀγκάλῃ· καὶ τὴν φράσαι, ὡς
8 παιδίον [t] φορέει. τὴν δὲ κελεῦσαί οἱ [v] δεῖξαι· τὴν δὲ
οὐ φάναι· ἀπειρῆσθαι γάρ οἱ ἐκ τῶν γειναμένων
μηδενὶ ἐπιδεικνύναι· τὴν δὲ πάντως ἑωυτῇ κελεύειν
9 ἐπιδεῖξαι. [w] ὁρῶσαν δὲ τὴν γυναῖκα περὶ πολλοῦ
ποιευμένην ἰδέσθαι, οὕτω δὴ τὴν τροφὸν δεῖξαι τὸ
παιδίον· τὴν δὲ καταψῶσαν τοῦ παιδίου τὴν κεφα-
λὴν, [x] εἶπαι, ὡς [y] καλλιστεύσει πασέων τῶν ἐν
10 Σπάρτῃ γυναικῶν. ἀπὸ μὲν δὴ ταύτης τῆς ἡμέρης
μεταπεσέειν τὸ εἶδος. Γαμέει [z] δὲ δή μιν ἐς γάμου
ὥρην ἀπικομένην Ἄγητος ὁ [a] Ἀλκείδεω, οὗτος δὴ ὁ
62 τοῦ Ἀρίστωνος φίλος. Τὸν δὲ Ἀρίστωνα [a] ἔκνιζε priori marito per do-

[i] ὁρῶσα F. [k] τοὺς γονέας om. K. [l] ποιευμένας K. [m] Sic (vel τόδ') S.P.V.F. δ' om. edd. vett. [n] καλεομένῃ F.S. [o] Φοινικηΐου K. [p] ὅκως τε F. ὅπως δὲ ἐνήκειεν S. [q] πρὸς τὸ ἄ. S.V. [r] ἐπιφανῆσαν P. [s] ὅ τι φέρει καὶ κελεῦσαι omissis mediis S. [t] φορέει V. Paris. Ald. φέρει M.K.P.F. [v] δεῖξαι et mox ἐπιδεῖξαι—δεῖξαι libri omnes. δέξαι et ἐπιδέξαι Schæfer. cf. Koen. ad Gregor. Dial. Ion. 36. [w] ὁρῶσα M.K.F. [x] εἰπεῖν S.b. εἶπεν F. [y] καλλιστεύσοι S. [z] Sic. P.F. δὴ al. om. cum S. [a] Ἀλκίδεω S. Ἀκλείδεω F.

62. [a] Suidas exponit ἔδακνε respiciens VII. 12.

lum abductam matrimonio sibi jungit.

ἄρα τῆς γυναικὸς ταύτης [b] ὁ ἔρως· μηχανᾶται δὴ 466
τοιάδε. αὐτός τε τῷ ἑταίρῳ τοῦ ἦν ἡ γυνὴ αὕτη,
[c] ὑποδέκεται δωτίνην δώσειν τῶν ἑωυτοῦ πάντων [d] ἓν
τὸ ἂν αὐτὸς ἐκεῖνος [e] ἕληται, καὶ τὸν ἑταῖρον [f] ἑωυτῷ
2 ἐκέλευε ὡσαύτως τὴν ὁμοίην διδόναι. ὁ δὲ, οὐδὲν
φοβηθεὶς ἀμφὶ τῇ γυναικὶ, ὁρέων [g] ἐοῦσαν καὶ
Ἀρίστωνι γυναῖκα, καταινέει ταῦτα· ἐπὶ τούτοισι δὲ
3 ὅρκους [h] ἐπήλασαν. μετὰ δὲ, αὐτός τε ὁ Ἀρίστων
ἔδωκε τοῦτο, ὅ τι δὴ ἦν, τὸ εἵλετο τῶν κειμηλίων τῶν
Ἀρίστωνος [i] ὁ Ἄγητος. καὶ αὐτὸς, τὴν ὁμοίην ζη-
τέων φέρεσθαι παρ' ἐκείνου, ἐνθαῦτα δὴ τοῦ ἑταίρου
4 τὴν γυναῖκα ἐπειρᾶτο ἀπάγεσθαι. ὁ δὲ, πλὴν τούτου
[k] μούνου τὰ ἄλλα, ἔφη, καταινέσαι· ἀναγκαζόμενος
μέν τοι τῷ τε ὅρκῳ, καὶ τῆς ἀπάτης τῇ παραγωγῇ,
[l] ἀπίει ἀπάγεσθαι.

63 His parentibus nascitur Demaratus, a patre primum, quod partu nimis cito editus videretur, pro spurio, mox pro genuino habitus.

63 Οὕτω μὲν [a] δὴ τὴν τρίτην ἐση-
γάγετο γυναῖκα ὁ Ἀρίστων, [b] τὴν δευτέρην ἀπο-
πεμψάμενος. ἐν δέ οἱ χρόνῳ ἐλάσσονι, καὶ οὐ πλη-
ρώσασα τοὺς δέκα μῆνας ἡ γυνὴ αὕτη, τίκτει [c] τοῦτον
δὴ τὸν Δημάρητον· καί τις οἱ τῶν οἰκετέων ἐν θώκῳ
κατημένῳ μετὰ τῶν ἐφόρων, ἐξαγγέλλει ὥς οἱ παῖς
2 γέγονε. ὁ δὲ, ἐπιστάμενός τε τὸν χρόνον [d] τῷ ἠγά-
γετο τὴν γυναῖκα, καὶ [e] ἐπὶ δακτύλων [f] συμβαλλό-
μενος τοὺς μῆνας, εἶπε ἀπομόσας, "Οὐκ ἂν ἐμὸς εἴη."

[b] ὁ om. P.K.F. Mox δὲ S. pro δή. [c] Sic M.P.K.F.b.d. ὑπεδέκετο S.a.c. al. [d] ἓν τὸ ἂν S.V.M.P.K.F. Paris. ἕν τι τὸ ἂν al. [e] ἕλοιτο b. [f] ἑωυτοῦ F. [g] καὶ Ἀρίστωνι γυναῖκα ἐοῦσαν F. [h] Sic F. Paris. vulg. Eustath. Il. p. 70, 43=53, 27. ἐπήλασε S.V. Vall. cf. I. 147. [i] ὁ Ἄγητος om. S. Mox ζητῶν S. [k] ἔφη μόνου τἄλλα S. [l] ἀπίησι M.K.P.F.b. Supra τε om. S.

63. [a] δὴ om. S.V. [b] τὴν δευτέρην P.V.F. Paris. τὴν δευτέραν vulgo. καὶ τὴν δ. b. τὴν δὲ δευτέρην S. [c] τοῦτον δὴ P.F. al. δὴ om. S.c.d. vulgo. [d] τῷ ἠγ. S.V.a.c. Ald. ἐξ ὅτου ἠγάγ. M.P.K.F. [e] ἐπὶ δακτύλων S.V.P.M.K.F. Paris. vid. Gronovii Lect. Plautin. p. 222. ἐπὶ δακτύλῳ olim. [f] συμβαλλόμενος S.V.F. συμβαλλεόμενος al.

3 Τοῦτο ἤκουσαν μὲν οἱ ἔφοροι· πρῆγμα μέντοι οὐδὲν
ἐποιήσαντο [g] τὸ παραυτίκα. [h] ὁ δὲ παῖς [i] ηὔξετο, καὶ
τῷ Ἀρίστωνι τὸ εἰρημένον μετέμελε· παῖδα γὰρ τὸν
4 Δημάρητον ἐς τὰ μάλιστά οἱ ἐνόμισε εἶναι. Δημά-
ρητον δὲ [k] αὐτῷ οὔνομα ἔθετο, διὰ τόδε· πρότερον
τούτων, πανδημεὶ Σπαρτιῆται [l] Ἀρίστωνι, ὡς ἀνδρὶ
εὐδοκιμέοντι διὰ πάντων δὴ τῶν [m] βασιλέων τῶν ἐν
[n] τῇ Σπάρτῃ γενομένων, [o] ἀρὴν ἐποιήσαντο παῖδα
γενέσθαι· διὰ τοῦτο μέν οἱ τὸ οὔνομα Δημάρητος
64 ἐτέθη. Χρόνου δὲ προϊόντος, Ἀρίστων μὲν ἀπέθανε,
Δημάρητος δὲ ἔσχε τὴν βασιληΐην. [a] ἔδεε δὲ, ὡς
ἔοικε, [b] ἀνάπυστα γενόμενα ταῦτα [c] καταπαῦσαι Δη-
μάρητον τῆς βασιληΐης, [d] διὰ τὰ Κλεομένεϊ διεβλήθη
μεγάλως πρότερόν τε ὁ Δημάρητος ἀπαγαγὼν τὴν
στρατιὴν ἐξ Ἐλευσῖνος, καὶ δὴ καὶ τότε, ἐπ' Αἰγινη-
65 τέων τοὺς μηδίσαντας διαβάντος Κλεομένεος. Ὁρ-
μηθεὶς ὦν ἀποτίνυσθαι ὁ Κλεομένης, συντίθεται
Λευτυχίδῃ τῷ Μενάρεος τοῦ Ἅγιος, ἐόντι [a] οἰκίης
τῆς αὐτῆς Δημαρήτῳ, ἐπ' ᾧ τε, ἢν αὐτὸν καταστήσῃ
βασιλέα ἀντὶ Δημαρήτου, ἕψεταί οἱ ἐπ' Αἰγινήτας.
2 ὁ δὲ Λευτυχίδης ἦν ἐχθρὸς τῷ [b] Δημαρήτῳ μάλιστα
γεγονὼς διὰ πρῆγμα τοιόνδε. [c] ἁρμοσαμένου Λευτυ-
χίδεω Πέρκαλον τὴν Χίλωνος τοῦ Δημαρμένου θυ-

Quo prætextu utens Cleomenes, avidus vindictæ ob injuriam sibi in expeditione et 467 Attica [5, 75.] et Æginetica [c. 50. 51. 61.] factam, Leotychidem subornat, qui Demaratum, quasi Aristone non genitum, Spartanis legitime imperare jurejurando interposito neget.

g τὸ om. S.V.P. τὸ παράπαν d. h ὅ τε παῖς S. i αὔξετο K. Bekker. ηὔξετο S. vulg. εὔξετο F. Mox ἐνόμισεν οἱ S. k οὔνομα ἔθετο αὐτῷ F. l Ἀρίστωνι om. S. Huc spectat Eustath. Od. p. 1567, 55. Locus deest Bas. Il. p. 1116, 62=1157, 26. m βασιλέων F.S. βασιλήων vulg. n τῇ om. S.P.K.F. o ἀρετὴν F. Citat Thomas M. in Ἀρά.

64. a ἔδεεν ὡς οἱ καὶ ἄπιστα S. οἱ καὶ ex οἶκε corrupta esse monet Schweigh. b ἀνάπτυστα b. c παῦσαι S.V. d διὰ τὸ S. δι' ἃ Bekker.

65. a τῆς αὐτῆς οἰκίης P.K.F. b μάλ. τῷ Δημ. K.F. c ἁρμοσμένου V.S. Mox Πέρμαλον S. et infra.

γατέρα, ὁ Δημάρητος ἐπιβουλεύσας, ἀποστερεῖ [d] Λευτυχίδεα τοῦ γάμου, φθάσας αὐτὸς τὴν Πέρκαλον 3 ἁρπάσας, καὶ σχὼν γυναῖκα. κατὰ τοῦτο μὲν τῷ Λευτυχίδῃ ἡ ἔχθρη [e] ἡ ἐς τὸν Δημάρητον ἐγεγόνεε· τότε δὲ, ἐκ τῆς Κλεομένεος προθυμίης, ὁ Λευτυχίδης [f] κατόμνυται [g] Δημαρήτου, φὰς αὐτὸν [h] οὐκ ἱκνεομένως βασιλεύειν Σπαρτιητέων, οὐκ ἐόντα παῖδα Ἀρίστω-4 νος. [i] μετὰ δὲ τὴν κατωμοσίην ἐδίωκε, ἀνασώζων ἐκεῖνο τὸ ἔπος, τὸ εἶπε Ἀρίστων τότε, ὅτε οἱ ἐξήγγειλε ὁ οἰκέτης παῖδα γεγονέναι, ὁ δὲ, [k] συμβαλλεόμενος τοὺς μῆνας, [l] ἀπώμοσε, φὰς οὐκ ἑωυτοῦ [m] εἶναι. 5 τούτου δὴ ἐπιβατεύων τοῦ ῥήματος ὁ Λευτυχίδης, ἀπέφαινε τὸν Δημάρητον οὔτε ἐξ Ἀρίστωνος γεγονότα, οὔτε ἱκνευμένως βασιλεύοντα Σπάρτης, τοὺς ἐφόρους μάρτυρας παρεχόμενος [n] κείνους, οἳ τότε [o] ἔτυχον πάρεδροί τε ἐόντες καὶ ἀκούσαντες ταῦτα Ἀρίστωνος.

66 Τέλος δὲ, ἐόντων περὶ αὐτῶν νεικέων, ἔδοξε Σπαρτιήτῃσι [a] ἐπείρεσθαι τὸ χρηστήριον τὸ ἐν Δελφοῖσι [b] εἰ Ἀρίστωνος εἴη παῖς ὁ Δημάρητος. 2 Ἀνωΐστου δὲ γενομένου ἐκ προνοίης τῆς Κλεομένεος ἐς τὴν Πυθίην, ἐνθαῦτα προσποιέεται Κλεομένης Κόβωνα τὸν Ἀριστοφάντου, ἄνδρα ἐν Δελφοῖσι 3 δυναστεύοντα μέγιστον. ὁ δὲ Κόβων [c] Περίαλλαν

Re ad oraculum Delphicum rejecta, Pythia, cujus sibi voluntatem Cleomenes astu conciliaverat, Spartanis interrogantibus

[d] Λευτυχίδην S. [e] ἡ om. F. ἔχθρα S. [f] Sic S.F. Par. κατώμνυται vulgo. [g] Δημαρήτῳ P.K.F. [h] Suidas in edd. οὐκ ἐκνεομένως. Sed glossa deest codici optimo. Gregor. Dial. Ion. 156., τὸ οὐκ ἱκνεομένως ἀντὶ τοῦ οὐ προσηκόντως. [i] Citat Eustath. Od. p. 1660, 51 = 400, 24. κατομοσίην S. [k] συμβαλλόμενος S.V. συμβαλόμενος F.a. [l] ἀπόμοσε S. Schæfer. ἀπώμοσε vulgo cum plerisque mss. [m] Sic M.P.K.F. μιν εἶναι S.a.c. et vulgo. [n] Sic S.V.K.P. ἐκείνους F. et vulg. cf. Gregor. Dial. Ion. 48. [o] ἔτυχον S.V. ἐτύγχανον alii.

66. [a] ἐπήρεσθαι F. Supra περὶ αὐτὸν S. περὶ αὐτῶν F. περὶ αὐτέων vulg. [b] Sic S.M.P.K.F. Paris. εἰ ἄρα Ἀρ. vulgo. Mox ὁ om. S. [c] Περίαλλον S. et mox Περίαλλος.

τὴν πρόμαντιν ἀναπείθει, τὰ Κλεομένης [d] ἐβούλετο λέγεσθαι, λέγειν. [e] οὕτω δὴ ἡ Πυθίη, ἐπειρωτώντων τῶν θεοπρόπων, ἔκρινε μὴ Ἀρίστωνος εἶναι Δημά-
4 ρητον παῖδα. Ὑστέρῳ μέντοι χρόνῳ [f] ἀνάπυστα ἐγένετο ταῦτα, καὶ Κόβων τε ἔφυγε ἐκ Δελφῶν, καὶ Περίαλλα ἡ πρόμαντις ἐπαύσθη τῆς τιμῆς.

468 ita respondet, ut Demaratus dignitate regia exuatur.

67 Κατὰ μὲν δὴ [a] Δημαρήτου τὴν κατάπαυσιν τῆς βασιληΐης οὕτω ἐγένετο. [b] Ἔφευγε δὲ Δημάρητος ἐκ Σπάρτης ἐς Μήδους ἐκ τοιοῦδε ὀνείδεος. μετὰ τῆς βασιληΐης τὴν κατάπαυσιν ὁ Δημάρητος ἦρχε αἱρε-
2 θεὶς [c] ἀρχήν. [d] ἦσαν μὲν δὴ γυμνοπαιδίαι· θεωμένου δὲ τοῦ Δημαρήτου, ὁ Λευτυχίδης, γεγονὼς ἤδη [e] αὐτὸς βασιλεὺς ἀντ' ἐκείνου, πέμψας [f] τὸν θεράποντα, ἐπὶ γέλωτί τε καὶ λάσθῃ [g] εἰρώτα τὸν Δημάρητον
3 [h] ὁκοῖόν τι εἴη, τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν. ὁ δὲ, ἀλγήσας τῷ [i] ἐπειρωτήματι, εἶπε φὰς αὐτὸς μὲν ἀμφοτέρων ἤδη πεπειρῆσθαι, [k] κεῖνον δὲ, οὔ· τὴν μέντοι ἐπειρώτησιν ταύτην ἄρξειν Λακεδαιμονίοισι ἢ μυρίης
4 κακότητος, ἢ μυρίης εὐδαιμονίης. Ταῦτα δὲ εἴπας, καὶ κατακαλυψάμενος, ἤϊε ἐκ τοῦ θεήτρου ἐς τὰ ἑωυτοῦ οἰκία· αὐτίκα δὲ παρασκευασάμενος, ἔθυε τῷ Διῒ

Is postea a Leotychide quem Spartani in ejus locum suffecerant, opprobrio affectus,

68 [l] βοῦν· θύσας δὲ, τὴν μητέρα ἐκάλεσε. Ἀπικομένῃ δὲ τῇ μητρὶ ἐσθεὶς [a] ἐς τὰς χεῖράς οἱ τῶν σπλάγχνων,

matrem solemni ritu obtestatur,

[d] Sic M.S.V.P.K.F. Paris. ἐβουλεύετο a. vulg. Supra ἃ Κλεομ. F. [e] τοῦτο ἡ Π. S. [f] ἀνάπειστα c. Ald.

67. [a] Sic F. τὴν Δημ. κατ. vulg. S. [b] ἔφυγε F. [c] Δημάρατον εἰς ἀρχὴν αἱρεθέντα Eustath. Il. p. 235, 14=178, 13. 522, 13=395, 21. Recte autem monet Schweigh. accusativum ἀρχὴν pendere a verbo ἦρχε. [d] ἦσαν δὲ γυμν. S.V. Mox θεομένου S. [e] αὐτὸς om. F.S. βασιλεὺς αὐτὸς f. [f] τινὰ θερ. f. qui mox om. καὶ λάσθῃ. τε om. S. [g] Sic S.V.P.K. Paris. ἠρώτα F. et vulg. [h] Citat Eustath. p. 235, 14=178. [i] Sic V.S. ἐπερωτ. F.f. vulg. [k] ἐκεῖνον F.f. [l] Sic P.K.S.V.F.a. et alii forte. βῶν Ald. et edd. quam Doricam formam esse, non Ionicam monet Schweigh.

68. [a] ἐς om. b.

ut, quo patre natus sit, vere dicat.

κατικέτευε, [b] λέγων τοιάδε· “ Ὦ μῆτερ, θεῶν σε τῶν
“ τε ἄλλων καταπτόμενος ἱκετεύω, καὶ τοῦ Ἑρκείου
“ Διὸς τοῦδε, φράσαι μοι τὴν [c] ἀληθηΐην, τίς μευ ἐστὶ
2 “ πατὴρ ὀρθῷ λόγῳ. Λευτυχίδης μὲν γὰρ ἔφη ἐν
“ τοῖσι νείκεσι λέγων, κυέουσάν σε ἐκ τοῦ προτέρου
“ ἀνδρὸς, οὕτω ἐλθεῖν παρὰ Ἀρίστωνα· οἱ δὲ καὶ
“ τὸν ματαιότερον λόγον λέγοντες, φασί [d] σε ἐλθεῖν
“ παρὰ τῶν οἰκετέων τὸν ὀνοφορβὸν, καὶ ἐμὲ εἶναι
3 “ [e] ἐκείνου παῖδα. [f] Ἐγὼ ὦν σε [g] μετέρχομαι τῶν 469
“ θεῶν εἰπεῖν τὸ ἀληθές. οὔτε γὰρ, [h] εἴ περ πεποίη-
“ κάς τι τῶν λεγομένων, [i] μούνη δὴ πεποίηκας, μετὰ
“ πολλέων δέ· ὅ τε λόγος πολλὸς [k] ἐν Σπάρτῃ, ὡς
“ Ἀρίστωνι σπέρμα παιδοποιὸν οὐκ ἐνῆν· τεκεῖν γὰρ
“ ἄν οἱ καὶ τὰς προτέρας γυναῖκας.” Ὁ μὲν δὴ
69 τοιαῦτα ἔλεγε. Ἡ δὲ [a] ἀμείβετο τοῖσδε· “ Ὦ παῖ,
“ ἐπεί τε με λιτῇσι μετέρχεαι εἰπεῖν τὴν ἀληθηΐην,
2 “ πᾶν ἐς σὲ κατειρήσεται τἀληθές. ὥς [b] με ἠγάγετο
“ Ἀρίστων ἐς ἑωυτοῦ, νυκτὶ τρίτῃ ἀπὸ τῆς πρώτης
“ ἦλθέ μοι φάσμα εἰδόμενον Ἀρίστωνι. συνευνηθὲν
3 “ δὲ, τοὺς στεφάνους, οὓς εἶχε, ἐμοὶ περιετίθει. καὶ
“ τὸ μὲν οἰχώκεε, ἧκε δὲ μετὰ ταῦτα Ἀρίστων. ὡς
“ δέ με εἶδε ἔχουσαν στεφάνους, [c] εἰρώτα τίς [d] εἴη ὅ
4 “ μοι δούς· ἐγὼ δὲ ἐφάμην, ἐκεῖνον. ὁ δὲ οὐκ ὑπε-

Re omni audita, certiorque factus, patrem sibi aut Aristonem aut Astrabacum heroëm esse,

[b] τρία δὲ λέγων F. Mox θεῶν σε ἱκετεύω S. [c] ἀληθείην S.V.F. Mox ἐλθεῖν οὕτω S. [d] Sic K.P.V.S.F. Paris. σε ἐσελθεῖν vulgo. [e] ἐκείνου εἶναι παῖδα F. [f] Sic S.V.P.a.c. Schæf. ἐγὼ δέ σε ὦν vulg. ἐγὼ σε ὦν F. ἐγὼ ὦν b. [g] Sic S.V.P.M.K. Paris. et defendit Wessel. citans Eurip. Hec. 740. ἱκετεύω σε τῶνδε γονάτων. μετ. πρὸς θεῶν vulg. Mox τὸ ἀληθὲς pro τὠληθὲς ex S.V. Infra πολλῶν S. [h] Sic S.V. εἰ tantum F.a. vulg. [i] μούνη δὲ F. et a. pro v. l. [k] ἐν Σπάρτῃ om. S.V.

69. [a] ἠμείβετο F. Mox τὴν ἀληθείην εἰπεῖν S. [b] με om. S. qui supra κατερήσεται τἀληθές. Vulgo τὠληθές. Mox τοὺς Bekker. pro οὕς. [c] Sic S.V.P.K. ἠρώτα F. vulg. Supra ὁ Ἀρίστων S. [d] εἴη μοι ὁ δοὺς F.

" δέκετο· ἐγὼ δὲ κατωμνύμην, φαμένη αὐτὸν οὐ κα-
" λῶς ποιέειν [e] ἀπαρνεύμενον· [f] ὀλίγον γάρ τι πρό-
" τερον ἐλθόντα καὶ συνευνηθέντα, δοῦναί μοι τοὺς
5 " στεφάνους. ὁρέων δέ με κατομνυμένην ὁ Ἀρίστων,
" ἔμαθε ὡς θεῖον εἴη τὸ πρῆγμα. καὶ τοῦτο μὲν, οἱ
" στέφανοι ἐφάνησαν ἐόντες ἐκ τοῦ ἡρωΐου τοῦ παρὰ
6 " τῇσι θύρῃσι τῇσι [g] αὐλείῃσι ἱδρυμένου, (τὸ καλέ-
" ουσι [h] Ἀστραβάκου·) τοῦτο δὲ, οἱ μάντιες τὸν αὐ-
7 " τὸν τοῦτον ἥρωα [i] ἀναίρεον εἶναι. Οὕτω [k] δὴ, ὦ
" παῖ, [l] ἔχεις πᾶν [m] ὅσον τι καὶ βούλεαι πυθέσθαι.
" ἢ γὰρ ἐκ τοῦ ἥρωος τούτου γέγονας, [n] καί τοι
" πατήρ ἐστι Ἀστράβακος ὁ ἥρως, ἢ Ἀρίστων· ἐν
8 " γάρ σε τῇ νυκτὶ ταύτῃ ἀναιρέομαι. Τῇ δέ σευ
" μάλιστα κατάπτονται οἱ ἐχθροὶ, λέγοντες ὡς [o] αὐ-
" τὸς ὁ Ἀρίστων, ὅτε [p] αὐτῷ σὺ ἠγγέλθης γεγεννη-
" μένος, πολλῶν ἀκουόντων οὐ φήσειέ σε ἑωυτοῦ
" εἶναι, (τὸν χρόνον γὰρ, τοὺς δέκα μῆνας, [q] οὐδέ κω 470
" ἐξήκειν,) [r] ἀϊδρηΐῃ τῶν τοιούτων κεῖνος τοῦτο ἀπέρ-
9 " ριψε τὸ ἔπος. τίκτουσι γὰρ γυναῖκες καὶ ἐννεάμηνα
" καὶ ἑπτάμηνα, καὶ οὐ πᾶσαι δέκα μῆνας ἐκτελέ-
10 " σασαι· ἐγὼ δὲ σὲ, ὦ παῖ, ἑπτάμηνον ἔτεκον. ἔγνω
" [s] δὲ καὶ αὐτὸς ὁ Ἀρίστων οὐ μετὰ πολλὸν χρόνον,
" [t] ὡς ἀνοίῃ τὸ ἔπος ἐκβάλοι τοῦτο. λόγους δὲ ἄλ-

[e] Sic Wesseling. ἀπαρνευόμενον S. ἀπαρνεόμενον F. et vulg. [f] ὀλίγῳ M.P.A.B.F. Bekker. cf. VIII. 95. [g] αὐλῆσιν S. [h] Sic S.V. Vall. cf. Pausan. III. 16. Clement. Alex. Protrept. p. 35. Ἀστροβάκου F. Paris. vulg. [i] ἀναιρέατο S. [k] δὴ om. F.b.c.S. [l] Sic S.V.K.P.F. Paris. Vall. ἔχει vulg. [m] ὅσον καὶ ἐβούλεο S.V. [n] Sic S.V.A.B. Ald. καί σοι M.K.F. [o] αὐτὸς ὁ om. V.S. [p] Sic M.K.P.F. σὺ S. al. om. Mox ἠγγέλθῃ M. Tum γενόμενος S. cum Ald. pro γεγεννημένος et infra οὔ φησι σε pro οὐ φήσειέ σε. [q] οὔ κω S. ἐξήειν K. pro ἐξήκειν. [r] ἀϊδρείῃ F.S. [s] δὲ καὶ αὐτὸς ὁ Ἀρ. P.K.F. Wessel. δὲ αὐτὸς Ἀρ. S.V. δὲ καὶ ὁ αὐτὸς Ἀρ. olim. δὲ καὶ αὐτὸς Ἀρ. a. [t] ὡς οὐ καλῶς ἂν τὸ ἔπος ἐκβάλοι S. ὡς ἀνοίηΐν τοῦτο τὸ ἔπος ἐκβάλοι K. ἐκβάλοι P.V.F.a.c. ἐκβάλλοι olim. ἐκβάλλειν d. ἀγνοίῃ e Valcken. em. ed. Bekker.

“ λους περὶ γενέσιος [u] τῆς σεωυτοῦ μὴ [w] δέκεο· τὰ
11 “ γὰρ ἀληθέστατα [x] πάντα ἀκήκοας. ἐκ δὲ ὀνοφορ-
“ βῶν αὐτῷ τε Λευτυχίδῃ καὶ τοῖσι ταῦτα λέγουσι
“ τίκτοιεν [y] αἱ γυναῖκες παῖδας.” Ἡ μὲν δὴ ταῦτα
70 ἔλεγε. Ὁ δὲ, πυθόμενός τε τὰ ἐβούλετο, καὶ ἐπόδια
λαβὼν, ἐπορεύετο ἐς Ἦλιν· τῷ λόγῳ [a] φὰς, ὡς ἐς
Δελφοὺς, χρησόμενος τῷ χρηστηρίῳ, [b] πορεύεται.
Λακεδαιμόνιοι δὲ, ὑποτοπηθέντες Δημάρητον δρησμῷ
2 ἐπιχειρέειν, ἐδίωκον. καί κως ἔφθη ἐς Ζάκυνθον δια-
βὰς ὁ Δημάρητος ἐκ τῆς Ἤλιδος· [c] ἐπιδιαβάντες δὲ
οἱ Λακεδαιμόνιοι, αὐτοῦ τε [d] ἅπτοντο, καὶ τοὺς θερά-
3 ποντας [e] αὐτὸν [f] ἀπαιρέοντο. μετὰ δὲ, [g] οὐ γὰρ ἐξεδί-
δοσαν αὐτὸν οἱ Ζακύνθιοι, ἐνθεῦτεν διαβαίνει ἐς τὴν
Ἀσίην παρὰ βασιλέα Δαρεῖον. ὁ δὲ ὑπεδέξατό [h] τε
αὐτὸν μεγαλωστὶ, καὶ γῆν τε καὶ [i] πόλις ἔδωκε.
4 Οὕτω ἀπίκετο ἐς τὴν Ἀσίην Δημάρητος, καὶ τοιαύτῃ
χρησάμενος τύχῃ· ἄλλα τε Λακεδαιμονίοισι συχνὰ
ἔργοισί τε καὶ [k] γνώμῃσι ἀπολαμπρυνθεὶς, ἐν δὲ δὴ
καὶ [l] Ὀλυμπιάδα σφι ἀνελόμενος τεθρίππῳ [m] προσέ-
βαλε, μοῦνος τοῦτο πάντων δὴ τῶν γενομένων βασι-
λέων ἐν Σπάρτῃ ποιήσας.

primum Elin, post Zacynthum aufugit, unde in Asiam ad Darium transit, a quo honorificentissime excipitur.

71 Λευτυχίδης δὲ ὁ Μενάρεος, Δημαρήτου [a] κατα- 1
παυσθέντος, διεδέξατο τὴν βασιληΐην. καί οἱ γίνεται
πάϊς Ζευξίδημος, τὸν δὴ [b] Κυνίσκον μετεξέτεροι

Quos Leotychides, rex factus, liberos susceperit.

[u] τῆς ἑωυτοῦ S.V. [w] δέκετο F. κήδεο b. [x] πάντα om. M.P.K.F.b. [y] αἱ om. S.V.

70. [a] φήσας S.V. [b] πορεύεσθαι S. [c] Conf. IV. 122. ἐπιβάντες M.K.P.F. [d] Sic M.P.K.F. ἅπτονται S. vulg. [e] Sic S.V. ut Hom. Il. α΄. 275. αὐτοῦ F.a.c. Ald. [f] Sic F.b. ἀπαιρέονται S. vulg. [g] Sic M.S.P.K.F. Paris. οὐδὲ γὰρ vulg. [h] τε om. S.V. qui mox μεγάλως pro μεγαλωστί. [i] Sic S. πόλιας F. al. [k] πράξησι unus ms. apud Wessel. [l] Sic V.P.K.S.F. Paris. Ὀλύμπια olim. Mox σφι om. b. [m] προσέλαβε S.V.d.P. ex em.

71. [a] καταπαυθέντος b. Bekker. cf. I. 130. [b] Sic P.K.S.F.a. Σπαρτ. μετεξ. Κυν. vulg. Κυνικίσκον S.

2 Σπαρτιητέων ἐκάλεον. οὗτος ὁ Ζευξίδημος οὐκ ἐβα-
σίλευσε Σπάρτης· πρὸ Λευτυχίδεω γὰρ τελευτᾷ,
3 [c] λιπὼν παῖδα Ἀρχίδημον. Λευτυχίδης δὲ στερηθεὶς 471
Ζευξιδήμου, γαμέει δευτέρην γυναῖκα Εὐρυδάμην,
[d] ἐοῦσαν Μενίου μὲν ἀδελφεὴν, [e] Διακτορίδεω δὲ
θυγατέρα· ἐκ τῆς οἱ ἔρσεν μὲν γίνεται οὐδὲν, θυγά-
τηρ δὲ Λαμπιτώ· τὴν Ἀρχίδημος ὁ Ζευξιδήμου
72 γαμέει, δόντος αὐτῷ Λευτυχίδεω. Οὐ μὲν οὐδὲ Λευ-
τυχίδης κατεγήρα ἐν Σπάρτῃ, ἀλλὰ τίσιν τοιήνδε
τινὰ [a] Δημαρήτῳ ἐξέτισε. ἐστρατήγησε Λακεδαι-
μονίοισι ἐς Θεσσαλίην· παρεὸν δέ οἱ [b] ὑποχείρια
2 πάντα ποιήσασθαι, ἐδωροδόκησε ἀργύριον πολύ. ἐπ'
αὐτοφώρῳ δὲ ἁλοὺς, αὐτοῦ ἐν τῷ στρατοπέδῳ ἐπι-
κατήμενος χειρίδι πλέῃ ἀργυρίου, ἔφυγε ἐκ Σπάρτης,
ὑπὸ δικαστήριον ὑπαχθείς. καὶ τὰ οἰκία [c] οἱ κατε-
σκάφη· ἔφυγε δὲ [d] ἐς Τεγέην, καὶ ἐτελεύτησε ἐν
ταύτῃ. ταῦτα μὲν δὴ ἐγένετο χρόνῳ ὕστερον.

Postremo in expeditione Thessalica largitione corruptus a Thessalis, suorum vindictam metuens, Tegeam se confert, ibique exsul moritur.

73 Τότε δὲ ὡς τῷ Κλεομένεϊ [a] εὐωδώθη τὸ ἐς τὸν
Δημάρητον πρῆγμα, αὐτίκα παραλαβὼν [b] Λευτυ-
χίδεα, ἤϊε [c] ἐπὶ τοὺς Αἰγινήτας, δεινόν τινά σφι ἔγ-
2 κοτον διὰ τὸν προπηλακισμὸν ἔχων. οὕτω δὴ οὔτε
οἱ Αἰγινῆται, ἀμφοτέρων τῶν βασιλέων ἡκόντων ἐπ'
αὐτοὺς, [d] ἐδικαίευν ἔτι ἀντιβαίνειν· ἐκεῖνοί τε, ἐπι-
λεξάμενοι ἄνδρας δέκα Αἰγινητέων, τοὺς [e] πλείστου
ἀξίους καὶ πλούτῳ καὶ γένεϊ, ἦγον [f] καὶ ἄλλους, καὶ

Cleomenes, dejecto Demarato, una cum novo collega in Æginam revertitur [c. 50.], proceresque Æginetarum comprehensos Atheniensibus in cus-

[c] καταλιπὼν S.V.P. ex em. [d] τὴν ἐοῦσαν F. Mox μὲν om. F.b. [e] Διακτορίεω S. Mox δὲ om. b.

72. [a] Δημαρήτου S. [b] πάντα ὑποχειρ. F. οἱ om. S. qui mox χειρὶ διπλῇ ἀγρυρίου cum vulg. χειρίδι πλέῃ e conj. est Wesselingii. [c] οὐ κατ' S.F. [d] ἐν Τεγέῃ S.V.

73. [a] ὠδώθη M.P.K. Vulgato suprascriptum εὐοδώθη ab ead. m. F. ὠρθώθη S. [b] Λευτυχίδην S. [c] ἐς τοὺς b. Mox οὕτω δὲ S. [d] ἐδίκευν S. [e] πλείστους S. qui om. καὶ ante πλούτῳ. [f] Sic M.K. P.V.S.F. Paris. ἄλλους τε καὶ olim.

todiam tradit.

δὴ καὶ Κριόν τε τὸν Πολυκρίτου, [g] καὶ Κάσαμβον
τὸν Ἀριστοκράτεος, οἵπερ [h] εἶχον μέγιστον κράτος.
3 ἀγαγόντες δέ σφεας ἐς [i] γῆν τὴν Ἀττικὴν, παραθή-
κην [k] παρατίθενται ἐς τοὺς ἐχθίστους Αἰγινήτῃσι
74 Ἀθηναίους. Μετὰ δὲ ταῦτα, Κλεομένεα, ἐπάϊστον
γενόμενον κακοτεχνήσαντα ἐς Δημάρητον, δεῖμα
ἔλαβε Σπαρτιητέων, καὶ [a] ὑπεξέσχε ἐς Θεσσαλίην.
2 [b] ἐνθεῦτεν δὲ ἀπικόμενος ἐς τὴν Ἀρκαδίην, νεώτερα
ἔπρησσε πρήγματα, συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ
Σπάρτῃ, ἄλλους τε ὅρκους προσάγων σφι, [c] ἦ μὲν
ἕψεσθαί σφεας αὐτῷ τῇ ἂν ἐξηγῆται· [d] καὶ δὴ καὶ
ἐς Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς
προεστεῶτας [e] ἀγινέων, ἐξορκοῦν τὸ Στυγὸς ὕδωρ. 472
3 ἐν δὲ ταύτῃ τῇ πόλι λέγεται εἶναι [f] ὑπ' Ἀρκάδων
τὸ Στυγὸς ὕδωρ. καὶ δὴ καὶ ἔστι τοιόνδε τι. ὕδωρ
ὀλίγον φαινόμενον, ἐκ πέτρης στάζει ἐς [g] ἄγκος· τὸ
4 δὲ ἄγκος αἱμασιῆς τις περιθέει κύκλος. ἡ δὲ Νώνα-
κρις, ἐν τῇ ἡ πηγὴ αὕτη τυγχάνει ἐοῦσα, πόλις ἐστὶ
75 τῆς Ἀρκαδίης πρὸς [h] Φενεῷ. Μαθόντες δὲ [a] Λακε-
δαιμόνιοι Κλεομένεα ταῦτα πρήσσοντα, κατῆγον
αὐτὸν [b] δείσαντες ἐπὶ τοῖσι αὐτοῖσι ἐς Σπάρτην τοῖσι

Post detecta fraude, qua Demaratum circumvenerat [c. 66.], primum in Thessaliam, tum in Arcadiam fugit, Arcades ad bellum Spartæ inferendum excitaturus. (Obiter de aqua Stygia ad Nonacrin Arcadiæ.)

Id timentes Spartani, eum depre-

[g] καὶ Σάμβαν d. [h] Sic S.V.P.F.a.b. ἔσχον (vel ἔχον) edd. [i] γῆν om. S.V. et Thom. M. in Παραθήκη. [k] παρατίθενται Thomas cum M.K.P.F.a.b.d. κατατίθενται S.c. et al.

74. [a] ὑπεξέχει S. ὑπέξεχε V. Alii ἐπεξέσχε vel ὑπεξέσχεν. καὶ om. F. Citat Suid. in Ὑπεξέσχε. [b] Citat Porphyrius apud Stobæum Ecl. Phys. p. 130=1014. [c] ἦ μὴν K.F. ἦ μαν b. ἦ μὲν recte edd. cf. Gregor. Dial. Ion. 62. et Koen. [d] καὶ sec. om. F. [e] Emend. Valckenærii receperunt Schæfer. et Schweighæuser. ἀγινέων, ἐξορκῶν vulg. ἀγινεῖν Porphyr. ἐξόρκου M.K. ἐξορκῶν P.S.V. Ald. F. Paris. Porphyr. Mox πόλει S. [f] Sic P.S.V.A.B. Ald. τῶν Ἀρκάδων M.K. ὑπὸ τῶν Ἀρκ. Wessel. et Schæfer. ἐν δὲ ταύτῃ—Στυγὸς ὕδωρ om. F. [g] Sic M.K.P.F. Paris. Eustath. Il. p. 301, 18=228, 3. ἄγγος al. ἄγγος bis S. [h] Cf. Suidas in Φενεὸς, Eustath. Il. p. 985, 11=976, 33.

75. [a] Κλεομεν. Λακεδ. F. [b] δήσαντες Ald. κατῆγ. αὐτὸν ἐν Σπάρτῃ δείσαντες ἐπὶ τ. αὐτ. S.

2 καὶ πρότερον ἦρχε. Κατελθόντα δὲ [c] αὐτὸν, αὐτίκα
ὑπέλαβε [d] μανίη νοῦσος, ἐόντα καὶ πρότερον ὑπομαρ-
γότερον· ὅκως γάρ τεῳ [e] ἐντύχοι Σπαρτιητέων, ἐνέ-
χραυε ἐς τὸ πρόσωπον [f] τὸ σκῆπτρον. ποιεῦντα δὲ
αὐτὸν ταῦτα, καὶ παραφρονήσαντα, ἔδησαν οἱ προσή-
3 κοντες ἐν ξύλῳ. ὁ δὲ δεθεὶς, τὸν φύλακον μουνω-
θέντα ἰδὼν τῶν ἄλλων [g] αἴτεε μάχαιραν· οὐ βουλο-
μένου δὲ [h] τὰ πρῶτα τοῦ φυλάκου διδόναι, ἀπείλεε
τά μιν [i] αὖτις ποιήσειε· ἐς ὃ δείσας τὰς ἀπειλὰς ὁ
φύλακος, ἦν γὰρ τῶν τις εἱλωτέων, διδοῖ [k] οἱ μάχαι-
4 ραν. Κλεομένης δὲ παραλαβὼν τὸν σίδηρον, ἄρχετο
ἐκ τῶν κνημέων [l] ἑωυτὸν λωβώμενος· ἐπιτάμνων γὰρ
κατὰ μῆκος τὰς σάρκας, προὔβαινε ἐκ τῶν κνημέων
ἐς τοὺς μηρούς· ἐκ δὲ τῶν μηρῶν [m] ἔς τε τὰ ἰσχία,
καὶ τὰς λαπάρας· ἐς ὃ ἐς τὴν γαστέρα ἀπίκετο, καὶ
5 ταύτην καταχορδεύων, ἀπέθανε τρόπῳ τοιούτῳ· ὡς 473
μὲν οἱ πολλοὶ λέγουσι Ἑλλήνων, [n] ὅτι τὴν Πυθίην 66
ἀνέγνωσε [o] τὰ περὶ Δημάρητον [p] γενόμενα λέγειν· ὡς
δὲ Ἀθηναῖοι [q] μοῦνοι λέγουσι, διότι ἐς Ἐλευσῖνα
ἐσβαλὼν ἔκειρε τὸ τέμενος τῶν θεῶν· ὡς δὲ Ἀργεῖοι,
ὅτι ἐξ ἱροῦ αὐτῶν τοῦ Ἄργου Ἀργείων τοὺς κατα-
φυγόντας ἐκ τῆς μάχης [r] καταγινέων, κατέκοπτε, καὶ
αὐτὸ [s] τὸ ἄλσος ἐν [t] ἀλογίῃ ἔχων ἐνέπρησε.

cantur, ut redeat regnoque denuo fungatur. Reversus incidit in insaniam, seque ipse fœde trucidat: cujus rei alia vulgo causa, alia Athenis, alia Argis fertur. Argivorum fama uberius exposita.

[c] *αὐτὸν* om. S.V. [d] Sic M.K.P.b. *μανίηι* F. *μανίης* Ald. S.a.c.d. Vall. P. e corr. [e] *ἐντύχῃ* F. [f] *τὸ σκῆπτρον* om. S.V. [g] *αἰτέει* F. [h] *τοῦ φυλ. τὰ πρ.* P.K.F. [i] *αὖθις* F.S. *λυθεὶς* P. quod ex *αὖθις* manifesto depravatum. Recepit tamen Bekker. Tum *ποιήσει* malit Schweighæuser. [k] *οἱ* om. F. [l] *ἑωυτῷ* S. qui *λαβόμενος* in marg. et mox *προέβαινε*. Respexit Longinus c. 31. [m] Sic P.F. *τε* om. vulg. cum S. [n] *διότι* V.S. qui *ἀνέγνω* pro *ἀνέγνωσε* [o] *ἐς τὰ περὶ* S.V. Ald. *ἐς* om. M.K.P.F. *ἐς Δημ.* absque *τὰ περὶ* d. [p] *λεγόμενα* conj. Reiskius. *λέγειν γινόμενα* F. [q] *μοῦνοι* om. M.P.K.F.b. [r] Suid. in v. e Gloss. Herod. prave explicat *καταλύων*. WESSELING. [s] Eustath. Il. p. 907, 31=868, 29. [t] *ἐν ἀπορίῃ σχὼν* S. Valla, *lucum quem in Argia occupasset*. Vulg. ex VII. 126. Procop. Bell. Vand. I. 20. defendit Wesseling.

Nempe Cleomenes Argolidem olim aggressus, cum Argivos,

76 Κλεομένεϊ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι ἐχρήσθη 2 Ἄργος αἱρήσειν. ἐπεί τε δὲ Σπαρτιήτας ἄγων ἀπίκετο ἐπὶ ποταμὸν [a] Ἐρασῖνον, ὃς λέγεται ῥέειν ἐκ τῆς [b] Στυμφηλίης λίμνης· (τὴν γὰρ δὴ λίμνην ταύτην, ἐς χάσμα ἀφανὲς ἐκδιδοῦσαν, ἀναφαίνεσθαι ἐν Ἄργεϊ, τὸ ἐνθεῦτεν δὲ τὸ ὕδωρ ἤδη τοῦτο ὑπ' Ἀργείων Ἐρασῖνον καλέεσθαι·) ἀπικόμενος [c] δ' ὦν ὁ Κλεομένης ἐπὶ τὸν ποταμὸν τοῦτον, ἐσφαγιάζετο αὐτῷ· καὶ οὐ γὰρ [d] οὐδαμῶς ἐκαλλιέρεε διαβαίνειν μιν, ἄγασθαι μὲν ἔφη τοῦ Ἐρασίνου οὐ προδιδόντος τοὺς πολιήτας, Ἀργείους μέντοι οὐδ' ὣς χαιρήσειν. 3 μετὰ δὲ ταῦτα ἐξαναχωρήσας, τὴν στρατιὴν [e] κατήγαγε ἐς Θυρέην· [f] σφαγιασάμενος δὲ τῇ θαλάσσῃ ταῦρον, πλοίοισί σφεας ἤγαγε ἔς [g] τε τὴν Τιρυνθίην χώρην καὶ Ναυπλίην.

quibus oraculum cladem prædixerat,

77 Ἀργεῖοι δ' ἐβοήθεον, πυνθανόμενοι ταῦτα, ἐπὶ θάλασσαν. ὡς δὲ ἀγχοῦ μὲν ἐγίνοντο τῆς Τίρυνθος, χώρῳ δὲ ἐν τούτῳ τῷ κέεται [[a] ἡ] Σήπεια [b] οὔνομα, μεταίχμιον οὐ μέγα ἀπολι- 4 πόντες, ἵζοντο [c] ἀντίοι τοῖσι Λακεδαιμονίοισι. ἐνθαῦτα δὴ οἱ Ἀργεῖοι τὴν μὲν ἐκ τοῦ φανεροῦ μάχην οὐκ ἐφοβέοντο, ἀλλὰ μὴ δόλῳ αἱρεθέωσι. καὶ γὰρ δή σφι ἐς τοῦτο τὸ πρῆγμα εἶχε τὸ χρηστήριον, τὸ [d] ἐπίκοινα ἔχρησε ἡ Πυθίη τούτοισί τε [e] καὶ Μιλησίοισι, λέγον ὧδε·

76. [a] Ἐρασεῖνον P. e corr. [b] Sic S.V. Vall. Στυμφαλίδος F.a.c. Bekker. al. Τρυφαλίδος d. Mox τοῦτο ἤδη S. [c] δὲ om. S.V.a.c. [d] ἐκαλλ. οὐδ. F. et sic S. ubi ἐκαλλιέρρεεν. ἐκαλλίρεε Bekker. [e] Sic S.V.M.P.K. κατῆγε (vel κατῆγεν) F.a.b.c. Ald. Supra μετὰ ταῦτα δὲ S. [f] Attigit Eustath. Il. p. 1227, 35=1311, 27. Idem de victima majore fluviis et mari immolata p. 1233, 57. Wessel. (Perperam ed. Wessel. p. 1236, 57.) [g] τε om. S.

77. [a] ἡ om. S.V.P. Schæfer. Bekker. Σήπεια S.V. Vall. Schæfer. Σίππεια P. Σίπεια F. Paris. vulg. [b] οὔνομα S.V.P.K.F. Paris. τοὔνομα edd. [c] ἀντίον K.P.F. Mox αἱρεθῶσι S. [d] ἐπικοινῇ S.V. cf. 19. et I. 216. [e] Sic M.K.P.V.F. Paris. τούτοισί τε καὶ τοῖσι Μιλη-

3 Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρσενα νικήσασα
ἐξελάσῃ, καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει· 474
ὥς ποτέ τις ἐρέει καὶ ἐπεσσομένων ἀνθρώπων,
δεινὸς ὄφις [f] τριέλικτος ἀπώλετο δουρὶ δαμασθείς.

4 Ταῦτα δὴ πάντα συνελθόντα τοῖσι Ἀργείοισι φόβον παρεῖχε· καὶ δή σφι πρὸς ταῦτα ἔδοξε τῷ κήρυκι τῶν πολεμίων χρᾶσθαι. δόξαν δέ σφι, ἐποίευν τοιόνδε· ὅκως ὁ Σπαρτιήτης κήρυξ προσημαίνοι τι Λακεδαιμονίοισι, ἐποίευν καὶ [g] οἱ Ἀργεῖοι τὠυτὸ τοῦτο.

78 Μαθὼν δὲ ὁ Κλεομένης ποιεῦντας τοὺς Ἀργείους ὁκοῖόν τι ὁ σφέτερος κήρυξ σημήνειε, παραγγέλλει σφι ὅταν σημήνῃ ὁ κήρυξ ποιέεσθαι ἄριστον, τότε ἀναλαβόντας τὰ ὅπλα, χωρέειν ἐς τοὺς Ἀργείους.
2 ταῦτα καὶ [a] ἐγίνετο ἐπιτελέα ἐκ τῶν Λακεδαιμονίων. ἄριστον γὰρ ποιευμένοισι τοῖσι Ἀργείοισι ἐκ τοῦ κηρύγματος ἐπεκέατο· καὶ πολλοὺς μὲν ἐφόνευσαν αὐτῶν, πολλῷ [b] δ' ἔτι πλεῦνας ἐς τὸ ἄλσος τοῦ Ἄργου καταφυγόντας [c] περιϊζόμενοι ἐφύλασσον.

per dolum fudisset,

79 Ἐνθεῦτεν δὲ ὁ Κλεομένης ἐποίεε τοιόνδε. ἔχων αὐτομόλους ἄνδρας, καὶ [a] πυνθανόμενος τούτων, ἐξεκάλεε πέμπων κήρυκα, ὀνομαστὶ λέγων [b] τῶν Ἀργείων τοὺς ἐν τῷ ἱρῷ ἀπεργμένους· [c] ἐξεκάλεε δὲ, φὰς αὐτῶν
2 ἔχειν τὰ ἄποινα. ἄποινα δέ ἐστι Πελοποννησίοισι δύο μνέαι τεταγμέναι κατ' ἄνδρα αἰχμάλωτον ἐκτί-

quotquot eorum ex pugna in lucum Argi herois confugerant, spreta loci religione necat, ipsumque lucum incendit.

σίοισι λέγον ὧδε S. καὶ τοῖσι Μιλ. λέγον οὕτω al. cf. II. 116. Vid. Pausan. II. 20. Suid. v. Τελέσιλλα. [f] Sic a.c.d.V. Ald. τριέληκτος S. ἀέλικτος M.P.K.F.b. [g] οἱ om. F. Supra προσημαίνει S.

78. [a] Sic P.K.S.V. ἐγένετο F. Wessel. Bekker. al. [b] δὲ πλ. F. δέ τι πλ. suspicatur Schweigh. Mox καταφυγόντας τοῦ Ἄργου S. [c] περιεζόμενοι P.F.

79. [a] πυνθανομένους F. In pr. ἐνθεῦτεν δὴ S. [b] Sic S.P.K.F.a. τοὺς ἐν τῷ ἱρῷ ἀπεργ. τῶν Ἀ. Wessel. al. [c] ἐξεκ. δὲ σφέας S.V.

νειν. κατὰ πεντήκοντα [d]δὴ ὦν τῶν Ἀργείων, ὡς
3 ἑκάστους [e]ἐκκαλεύμενος, ὁ Κλεομένης [f]ἔκτεινε. ταῦτα
δέ κως γινόμενα ἐλελήθεε τοὺς λοιποὺς τοὺς ἐν τῷ
τεμένεϊ· ἅτε γὰρ πυκνοῦ ἐόντος τοῦ ἄλσεος, οὐκ
ὥρων οἱ ἐντὸς τοὺς ἐκτὸς, ὅ τι ἔπρησσον· [g]πρίν γε
δὴ αὐτῶν τις ἀναβὰς ἐπὶ [h]δένδρος, κατεῖδε τὸ ποιεύ-
80 μενον. οὔκων δὴ ἔτι καλεόμενοι [i]ἐξῄεσαν. Ἐνθαῦτα
δὴ ὁ Κλεομένης ἐκέλευε πάντα τινὰ [a]τῶν εἱλωτέων
2 περινέειν ὕλῃ τὸ ἄλσος· [b]τῶν δὲ πειθομένων, ἐνέ-
πρησε τὸ ἄλσος. καιομένου δὲ ἤδη, ἐπείρετο [c]τῶν
τινα αὐτομόλων, τίνος εἴη θεῶν τὸ ἄλσος· ὁ δὲ ἔφη
3 Ἄργου εἶναι. ὁ δὲ, ὡς ἤκουσε, ἀναστενάξας μέγα,
εἶπε· "Ὦ Ἄπολλον χρηστήριε, [d]ἦ μεγάλως με
"ἠπάτηκας, φάμενος Ἄργος [e]αἱρήσειν· συμβάλ-
81 "λομαι δ' ἐξήκειν μοι τὸ χρηστήριον." Μετὰ δὲ
ταῦτα, ὁ Κλεομένης τὴν μὲν πλέω στρατιὴν ἀπῆκε
ἀπιέναι ἐς Σπάρτην· χιλίους δὲ [a]αὐτὸς λαβὼν τοὺς 475
2 ἀριστέας, ἤϊε ἐς τὸ Ἡραῖον θύσων. βουλόμενον δὲ
αὐτὸν θύειν ἐπὶ τοῦ βωμοῦ, ὁ ἱρεὺς ἀπηγόρευε, [b]φὰς
οὐκ ὅσιον εἶναι ξείνῳ αὐτόθι θύειν. ὁ δὲ Κλεομένης
τὸν ἱρέα [c]ἐκέλευε τοὺς εἵλωτας ἀπὸ τοῦ βωμοῦ [d]ἀπά-

Postea Heræum Argolicum per vim ingressus, sacerdotem sacris sibi interdicentem verberibus afficit.

[d] *δὴ ὦν* M.K.P.S.V.F.a.d. *δὲ ὦν* vulg. *δ' ὦν* c. Ald. *ὦν* absque *δὴ* (vel *δὲ*) b. [e] *ἐκκαλεύμενος* M.P.K.F. Paris. *ἐκκαλεόμενος* S. al. *ἑκάστου* S. qui tum om. *ὁ Κλεομένης*. [f] *ἔκτεινε* S.V.M.P.K.F. Paris. al. *ἀπέκτεινε*. Mox *λοιποὺς τῶν ἐν* S. [g] *πρὶν δέ γε* S. [h] *δένδρος* M.P.F. forte a.c.d. *δένδρου* S. al. *δένδρον* b. conf. Eustath. Il. *γ'*. p. 396, 22=300, 19. [i] *ἐξῄϊσαν* Bekker.

80. [a] *τῶν* om. S.V. Mox *περινεῖν ὕλην* S. [b] *τῶν δὲ π. ἐ. τ. ἄ.* om. P.b. [c] Sic M.P.K.S.V.F. Paris. *τινα* om. al. Mox *ὡς δὲ* S. pro *ὁ δὲ ὡς*. [d] *ἦ* om. K.F. [e] Sic M.P.K.S.V.F. Paris. *με αἱρ.* vulgo.

81. [a] Sic S.V.K.F.a.c.d. *αὐτέων* Wessel. et al. *αὐτοὺς solos* conjicit Schweigh. Supra *ἐν Σπάρτῃ* S. cf. cap. 1. [b] *φάσκων* S.V. [c] *ἐκέλευσε* V.S. [d] Sic M.S.V.P.K. *ἀπαγαγόντας* F.a.c.d. Bekker. vulg.

γοντας μαστιγῶσαι, καὶ αὐτὸς ἔθυσε· ποιήσας δὲ
82 ταῦτα, ἀπήϊε ἐς τὴν Σπάρτην. Νοστήσαντα δέ μιν
ὑπῆγον οἱ ἐχθροὶ ὑπὸ τοὺς ἐφόρους, φάμενοί μιν
δωροδοκήσαντα οὐκ ἑλέειν τὸ Ἄργος, παρεὸν εὐπε-
2 τέως μιν ἑλεῖν. Ὁ δέ σφι ἔλεξε, οὔτε εἰ ψευδόμενος,
οὔτε εἰ ἀληθέα λέγων, ἔχω [a] σαφηνέως [b] εἶπαι· ἔλεξε
δ' ὦν φάμενος ἐπεί τε δὴ τὸ τοῦ Ἄργου ἱρὸν [c] εἷλε,
δοκέειν οἱ ἐξεληλυθέναι [d] τὸν χρησμὸν τοῦ θεοῦ· πρὸς
ὧν [e] ταῦτα οὐ [f] δικαιοῦν πειρᾶν τῆς πόλιος, πρίν γε
δὴ ἱροῖσι χρήσηται, καὶ μάθῃ, εἴτε [g] οἱ ὁ θεὸς παρα-
3 διδοῖ, εἴτε οἱ ἐμποδὼν ἕστηκε. καλλιερευμένῳ δὲ ἐν
τῷ Ἡραίῳ, [h] ἐκ τοῦ ἀγάλματος τῶν στηθέων φλόγα
πυρὸς ἐκλάμψαι· μαθεῖν δὲ [i] αὐτὸς οὕτω τὴν [k] ἀτρε-
κηΐην, [l] ὅτι οὐκ αἱρέει τὸ Ἄργος· εἰ μὲν γὰρ ἐκ
τῆς κεφαλῆς τοῦ ἀγάλματος ἐξέλαμψε, αἱρέειν ἂν
κατ' ἄκρης τὴν πόλιν· [m] ἐκ τῶν δὲ στηθέων [n] λάμ-
ψαντος, πᾶν οἱ πεποιῆσθαι ὅσον ὁ θεὸς ἐβούλετο
4 γενέσθαι. Ταῦτα [o] δὲ λέγων, πιστά τε καὶ [p] οἰκότα
ἐδόκεε Σπαρτιήτῃσι λέγειν, καὶ [q] ἀπέφυγε πολλὸν
τοὺς διώκοντας.

Reducto Spartam exercitu, ab adversariis accusatur, quod muneribus corruptus, Argos non expugnavisset. Quibus argumentis usus causam vicerit.

83 Ἄργος δὲ ἀνδρῶν [a] ἐχηρώθη οὕτω, ὥστε οἱ δοῦλοι αὐτῶν [b] ἔσχον πάντα τὰ πρήγματα, ἄρχοντές [c] τε καὶ διέποντες, ἐς ὃ [d] ἐπήβησαν οἱ τῶν ἀπολομένων

Argi post illam cladem servorum parent imperio, do-

82. [a] σαφηνίσας Steph. marg. Supra ἑλεῖν S. Tum αὐτὸ ἑλεῖν Ald. [b] εἰπεῖν S.a. εἶπεν F. [c] εἷλε P.S.V. Paris. εἷλον M.K.F. [d] τὸν τοῦ θεοῦ χρησμὸν F.S. [e] τὰ S.V. [f] δικαιοῦν S.V.F.a.d. δικαιεῦν al. [g] οἱ om. P.F. Mox καλλιρευμένῳ Bekker. [h] Citat Eustath. Il. p. 513, 10=388, 22. [i] αὐτοὺς S.V. [k] ἀτρεκείην F.S. [l] Sic M.P.K.F. ὡς οὐκ S.c. Ald. [m] Sic P.K.F. ἐκ τῶν στ. δὲ Wess. S. al. [n] Sic M.P.K.F. ἐκλάμψ. a.d. S. Ald. [o] δὲ om. F. [p] Sic S.F. Wessel. Olim εἰκότα. [q] Sic S.V.a.c. Ald. cf. II. 174. διέφυγε M.P. K.F.b.

83. [a] ἐχηρώθη Paris. V. Vall. ἐχειρώθη S.F. et vulg. [b] ἔχον S.V. [c] τε om. F. [d] Sic V. Vall. probante Valckenærio, et Wesseling. qui citat Æschyl. Theb. 671. ἐπέβησαν S.F. et vulg.

nec occisorum filii ætate adulta eos expellunt.

2 παῖδες. [e] ἔπειτά σφεας οὗτοι, ἀνακτώμενοι ὀπίσω ἐς ἑωυτοὺς τὸ Ἄργος, [f] ἐξέβαλον· ἐξωθεύμενοι δὲ οἱ δοῦλοι, μάχῃ ἔσχον Τίρυνθα. Τέως μὲν δή σφι ἦν ἄρθμια ἐς ἀλλήλους· ἔπειτα δὲ ἐς τοὺς δούλους ἦλθε ἀνὴρ μάντις Κλέανδρος, γένος ἐὼν [g] Φιγαλεὺς ἀπ' Ἀρκαδίης· οὗτος τοὺς δούλους ἀνέγνωσε ἐπιθέσθαι 476 3 τοῖσι δεσπότῃσι. ἐκ τούτου [h] δὲ πόλεμός σφι ἦν ἐπὶ χρόνον συχνὸν, ἐς ὃ δὴ μόγις [i] οἱ Ἀργεῖοι ἐπεκράτησαν.

84

Unde Spartani insaniam Cleomenis repetant. Quid Herodoto hac de re videatur.

Ἀργεῖοι μέν νυν διὰ ταῦτα Κλεομένεά φασι μανέντα ἀπολέσθαι κακῶς. Αὐτοὶ δὲ Σπαρτιῆταί φασι ἐκ δαιμονίου μὲν οὐδενὸς μανῆναι Κλεομένεα, Σκύθῃσι δὲ ὁμιλήσαντά μιν [a] ἀκρητοπότην γενέσθαι, 2 καὶ ἐκ τούτου μανῆναι. Σκύθας γὰρ τοὺς νομάδας, ἐπεί τε σφι Δαρεῖον [b] ἐσβαλεῖν ἐς τὴν χώρην, μετὰ ταῦτα [c] μεμονέναι μιν τίσασθαι· πέμψαντας δὲ ἐς Σπάρτην, συμμαχίην τε ποιέεσθαι, καὶ συντίθεσθαι, ὡς [d] χρεὸν εἴη αὐτοὺς μὲν τοὺς Σκύθας παρὰ Φᾶσιν ποταμὸν πειρᾶν ἐς τὴν Μηδικὴν [e] ἐσβαλεῖν, σφέας δὲ τοὺς Σπαρτιήτας κελεύειν ἐξ Ἐφέσου ὁρμεωμένους 3 ἀναβαίνειν, καὶ ἔπειτα ἐς τὠυτὸ ἀπαντᾶν. Κλεομένεα δὲ λέγουσι, ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα, ὁμιλέειν σφι [f] μεζόνως· ὁμιλέοντα δὲ μᾶλλον τοῦ [g] ἱκνευμένου, μαθεῖν τὴν ἀκρητοποσίην παρ' αὐτῶν·

[e] ἐπεί τε σ. αὐτοὶ S.V. ἔπειτα σ. οὕτω M.P.K.F. Reliqui οὗτοι. [f] ἐξέβαλον ἔξω· θεώμενοι S. ἐξωθεόμενοι V. Mox ἐπείτε δὲ S. [g] Φιγαλεὺς S. (sic diserte) Vall. P. e corr. Φιγασεὺς F. Paris. al. [h] δὴ F.a.b. [i] οἱ om. S.

84. [a] Cf. Pollux VI. 25. Athenæus X. p. 427. b.c. 436. e.f. [b] ἐμβαλεῖν S.P.V.a.c. ἐκβαλεῖν F. [c] Sic diserte S. ut correxit Stephanus. μεμηνέναι K.P. Ald. F.b. [d] Sic S.F. cf. V. 49. χρεὼν vulg. [e] ἐσβάλλειν F.b. Mox ὁρμωμένους S. [f] μειζόνως S.P.V. [g] Sic S.V. ἱκνεομ. F.a. Ald. Mox μανῆναί μιν om. F. Infra καὶ Σπαρτιῆται S.

4 ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται. ἔκ
τε [h] τόσου, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βού-
λωνται [i] πιέειν, "[k] ἐπισκύθισον" λέγουσι. οὕτω δὴ
Σπαρτιῆται τὰ περὶ Κλεομένεα λέγουσι. Ἐμοὶ
δὲ δοκέει τίσιν ταύτην ὁ Κλεομένης Δημαρήτῳ
[l] ἐκτίσαι.

85 Τελευτήσαντος δὲ Κλεομένεος, ὡς ἐπύθοντο Αἰ-
γινῆται, ἔπεμπον ἐς Σπάρτην ἀγγέλους καταβωσο-
μένους Λευτυχίδεω περὶ τῶν [a] ἐν Ἀθήνησι ὁμήρων
2 ἐχομένων. Λακεδαιμόνιοι δὲ δικαστήριον συναγα-
γόντες, ἔγνωσαν [b] περιϋβρίσθαι Αἰγινήτας ὑπὸ Λευ-
τυχίδεω· καί μιν κατέκριναν ἔκδοτον ἄγεσθαι ἐς
Αἴγιναν ἀντὶ τῶν ἐν Ἀθήνῃσι ἐχομένων ἀνδρῶν.
3 Μελλόντων δὲ ἄγειν τῶν Αἰγινητέων τὸν Λευτυχίδεα,
εἶπέ σφι [c] Θεασίδης ὁ Λεωπρέπεος, ἐὼν [d] ἐν Σπάρτῃ
4 δόκιμος ἀνήρ· "Τί [e] βούλεσθε [f] ποιέειν, ἄνδρες Αἰγι-
"νῆται, τὸν βασιλέα τῶν Σπαρτιητέων ἔκδοτον γε- 1
"νόμενον ὑπὸ τῶν πολιητέων ἄγειν; εἰ νῦν ὀργῇ 477
"χρεώμενοι ἔγνωσαν οὕτω Σπαρτιῆται, [g] ὅκως ἐξ
"ὑστέρης μή τι ὑμῖν, ἢν ταῦτα [h] πρήσσητε, πανώ-
5 "λεθρον κακὸν ἐς τὴν χώρην [i] ἐσβάλωσι." Ταῦτα
ἀκούσαντες οἱ Αἰγινῆται, ἔσχοντο τῆς ἀγωγῆς· ὁμο-
λογίῃ δὲ ἐχρήσαντο τοιῇδε, [k] ἐπισπόμενον Λευτυχίδεα

Post Cleomenis mortem Æginetæ Leotychidem, missis Spartam legatis, ob cives suos Athenas abductos [c. 73.] in judicium vocant. Damnatur reus, Athenasque mittitur, ut captivis libertatem ab Atheniensibus impetret.

[h] τοῦ] τόσου P.K.F.a. ἐκ τοσούτου S.V. absque τε. vulg. τοῦ retinet Bekker. Mox ἐπεὰν γὰρ S. [i] Sic K.F. πιεῖν Eustath. Il. p. 746, 40=644, 43. Athen. πίνειν S. vulg. [k] Sic vulg. F. Eustath. ἐπισκυθῆσαι S. ἐπισκυθίσαι Athen. [l] Sic (vel ἐκτῖσαι) M.S. P.K.V.a. ἐκτίσασθαι c.d. al. Supra ὁ om. S.

85. [a] ἐν om. V. [b] περιϋβρίζεσθαι b. περιυβρισθῆναι d. περιύβρίσθαι F. [c] Θεασίης F. [d] Sic V.P.K.S.F.b. ἐν τῇ Σ. Wess. al. Tum ἀνὴρ δόκιμος S. [e] Sic F. et al. βουλεύεσθε S.K.P.b. [f] ὦ ἄ. A. ποιήσειν S.V. Mox πολιτέων S. [g] τὴν ὅκως S. [h] ποιήσητε πανόλεθρον S. [i] ἐμβάλωσι K.P.b. ἐκβάλωσι S.V.F. [k] Sic a. Schæfer. Reisk. Wesselingius confert I. 91. ἐπισπώμενον S. edd. vett. ἐπισπόμενοι F. ἐπισπομένοισι b.

86 ἐς Ἀθήνας, ἀποδοῦναι Αἰγινήτῃσι τοὺς ἄνδρας. Ὡς
δὲ ἀπικόμενος Λευτυχίδης ἐς τὰς Ἀθήνας, ἀπαίτεε
τὴν [a] παραθήκην, [b] οἱ Ἀθηναῖοι προφάσιας εἷλκον, οὐ
βουλόμενοι ἀποδοῦναι· φάντες, δύο σφέας ἐόντας
βασιλέας παραθέσθαι, καὶ οὐ δικαιοῦν τῷ ἑτέρῳ ἄνευ
2 τοῦ ἑτέρου ἀποδιδόναι. Οὐ φαμένων δὲ ἀποδώσειν
τῶν Ἀθηναίων, ἔλεξέ σφι Λευτυχίδης τάδε· “[c] Ὦ
“ Ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί· καὶ
“ γὰρ ἀποδιδόντες, ποιέετε ὅσια· καὶ μὴ ἀποδιδόντες,
3 “ τὰ ἐναντία τούτων. Ὁκοῖον [d] μέντοι τι ἐν τῇ
“ Σπάρτῃ [e] συνηνείχθη γενέσθαι περὶ παραθήκης,
“ βούλομαι ὑμῖν [f] εἶπαι. Λέγομεν ἡμεῖς οἱ Σπαρ-
“ τιῆται, γενέσθαι ἐν τῇ Λακεδαίμονι, κατὰ τρίτην
“ γενεὴν τὴν ἀπ' ἐμέο, Γλαῦκον [g] Ἐπικύδεος παῖδα.
4 “ τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιή-
“ κειν τὰ πρῶτα, καὶ δὴ καὶ [h] ἀκούειν ἄριστα δικαι-
“ οσύνης πέρι πάντων ὅσοι [i] τὴν Λακεδαίμονα τοῦτον
“ τὸν χρόνον οἴκεον. συνενειχθῆναι δέ οἱ ἐν χρόνῳ
5 “ [k] ἱκνευμένῳ τάδε [l] λέγομεν. Ἄνδρα Μιλήσιον,
“ ἀπικόμενον ἐς Σπάρτην, βούλεσθαί [m] οἱ ἐλθεῖν
“ ἐς λόγους, προϊσχόμενον τοιάδε· Εἰμὶ μὲν Μιλή-
“ σιος, ἥκω δὲ τῆς σῆς, Γλαῦκε, [n] βουλόμενος δικαι-
6 “ οσύνης ἀπολαῦσαι. ὡς γὰρ δὴ ἀνὰ πᾶσαν μὲν τὴν
“ ἄλλην Ἑλλάδα, ἐν δὲ [o] καὶ περὶ Ἰωνίην, [p] τῆς σῆς

Quibus tergiversantibus, exemplo Glauci Spartani fraudem in deposito moliti ideoque vindictam divinam experti, ne captivos sibi in custodiam creditos invitis Spartanis retineant, suadet, sed non persuadet.

86. [a] παρακαταθήκην] παραθήκην S.V.P. e corr. cf. Porsoni Adversar. p. 298. Lobeck. Phrynich. p. 313. Supra ὁ Λευτ. S. [b] οἱ δ' Ἀθ. F. Infra δίκαιον S.V. pro δικαιοῦν. [c] Citat Stobæus 27, 14. Mox ποιέετε—ἀποδιδόντες om. S. [d] μέν τι F. μὲν τοῖσιν b. [e] συνηνέχθη S.V. Stob. qui mox παραθήκης cum P.S.V. pro παρακαταθήκης. [f] εἶπε F. [g] Sic S.V.M.K. Vall. F. Paris. Plutarch. II. p. 556. Pausan. II. 18. Ἐπικυδέος Stob. Olim. Ἐπικυδείδεος. [h] Cf. Suid. in v. [i] παρὰ Λακεδαίμονας Stob. qui mox συνενεχθῆναι, et ἐν om. ed. Trinc. [k] ἱκνεομένῳ F. [l] λεγόμενα F.b. [m] οἱ om. F. [n] Sic F. δικαιοσ. βουλόμ. vulgo. [o] καὶ om. F. [p] τῆς σῆς δικαιοσύνης om. S.V. Mox ὅτι S. pro διότι, et οὐδαμῇ, ubi F. rectius οὐδαμά.

“ δικαιοσύνης ἦν λόγος πολλὸς, ἐμεωυτῷ λόγους
“ ἐδίδουν, καὶ ὅτι ἐπικίνδυνός ἐστι αἰεί κοτε ἡ Ἰωνίη,
“ ἡ δὲ Πελοπόννησος ἀσφαλέως ἱδρυμένη· καὶ διότι
“ χρήματα οὐδαμὰ τοὺς αὐτούς ἐστι ὁρᾶν ἔχοντας.
7 “ ταῦτά τε ὦν ἐπιλεγομένῳ καὶ βουλευομένῳ ἔδοξέ
“ μοι, τὰ ἡμίσεα πάσης τῆς οὐσίης ἐξαργυρώσαντα
“ θέσθαι [q] παρὰ σὲ, εὖ [r] ἐξεπισταμένῳ ὥς μοι κείμενα
8 “ ἔσται παρὰ σοὶ [s] σόα. σὺ δή μοι καὶ τὰ χρήματα 478
“ δέξαι, καὶ τάδε τὰ σύμβολα σῶζε λαβών· ὃς δ᾽ ἂν
2 “ ἔχων ταῦτα [t] ἀπαιτέῃ, τούτῳ ἀποδοῦναι. Ὁ μὲν
“ δὴ ἀπὸ Μιλήτου ἥκων ξεῖνος τοσαῦτα ἔλεξε·
“ Γλαῦκος δὲ ἐδέξατο τὴν [v] παραθήκην ἐπὶ τῷ εἰρη-
9 “ μένῳ λόγῳ. Χρόνου δὲ [w] πολλοῦ διελθόντος,
“ ἦλθον ἐς τὴν Σπάρτην [x] τούτου τοῦ παραθεμένου
“ τὰ χρήματα οἱ παῖδες· ἐλθόντες δὲ ἐς λόγους
“ τῷ Γλαύκῳ, καὶ ἀποδεικνύντες τὰ σύμβολα, ἀπαί-
10 “ τεον τὰ χρήματα. ὁ δὲ διωθέετο, [y] ἀντυποκρινό-
“ μενος τοιάδε· Οὔτε μέμνημαι τὸ πρῆγμα, οὔτε
“ με περιφέρει οὐδὲν εἰδέναι τούτων [z] τῶν ὑμεῖς
“ λέγετε· βούλομαί τε ἀναμνησθεὶς ποιέειν πᾶν τὸ
“ δίκαιον· καὶ γὰρ εἰ ἔλαβον, ὀρθῶς ἀποδοῦναι·
“ καὶ εἴ γε ἀρχὴν μὴ ἔλαβον, νόμοισι τοῖσι Ἑλλήνων
11 “ χρήσομαι ἐς ὑμέας. ταῦτα ὦν ὑμῖν ἀναβάλλομαι
3 12 “ κυρώσειν ἐς τέταρτον μῆνα ἀπὸ τοῦδε. Οἱ μὲν δὴ
“ Μιλήσιοι συμφορὴν [a] ποιεύμενοι, ἀπαλλάσσοντο,

[q] παρὰ σὲ Stob. S.V. Wessel. qui confert Abresch. Dil. Thuc. p. 438. παρὰ σοὶ al. probante Valckenærio. [r] ἐπισταμ. S.V. [s] Sic V.K. σῶα S.F.b.c. vulg. Euseb. Stobæi XLIV. p. 310. citante Wessel. quem vid. ad II. 181. Mox σὺ δὲ καὶ absque μοι S., qui τὰ om. ante σύμβολα. [t] ἀπαιτέει V.P.F. ἀπαιτέειν d. [v] παρακαταθήκην] παραθήκην S.V.P. [w] πολλοῦ om. Stob. qui mox om. τὴν ante Σπάρτην cum S.V.P. [x] τούτου om. Stob. Mox ἀποδεικνύοντες S. [y] ἀνταποκρ. S. [z] Sic S.V. ὧν olim. [a] ποιησάμενοι F.b.

" ὡς [b] ἀπεστερημένοι τῶν χρημάτων. Γλαῦκος δὲ
" ἐπορεύετο ἐς Δελφοὺς, χρησόμενος τῷ χρηστηρίῳ.
" ἐπειρωτῶντα δὲ αὐτὸν τὸ χρηστήριον εἰ ὅρκῳ τὰ
" χρήματα ληΐσεται, ἡ Πυθίη μετέρχεται [c] τοῖσδε
" τοῖσι ἔπεσι·

13 " [d] Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτω
" ὅρκῳ νικῆσαι, καὶ χρήματα [e] ληΐσσασθαι.
" [f] Ὄμνυ· ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
14 " Ἀλλ' Ὅρκου πάϊς ἐστὶν [g] ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
" οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
" συμμάρψας [h] ὀλέσει γενεὴν, καὶ οἶκον ἅπαντα.
" Ἀνδρὸς δ' εὐόρκου γενεὴ [i] μετόπισθεν [k] ἀμείνων.

15 " Ταῦτα ἀκούσας ὁ Γλαῦκος συγγνώμην τὸν θεὸν
" [l] παραιτέετο αὐτῷ [m] ἴσχειν τῶν ῥηθέντων. ἡ δὲ
" Πυθίη ἔφη, τὸ πειρηθῆναι τοῦ θεοῦ, καὶ τὸ ποιῆσαι,
" ἶσον [n] δύνασθαι. Γλαῦκος μὲν δὴ μεταπεμψά-
" μενος τοὺς Μιλησίους ξείνους, ἀποδιδοῖ σφι τὰ
4 16 " χρήματα. Τοῦ δὲ εἵνεκα [o] ὁ λόγος ὅδε, ὦ Ἀθη-
" ναῖοι, ὡρμήθη λέγεσθαι ἐς ὑμέας, εἰρήσεται.
" Γλαύκου νῦν [p] οὔτε τι ἀπόγονόν ἐστι οὐδὲν, οὔτ'
" ἱστίη οὐδεμία νομιζομένη εἶναι Γλαύκου· ἐκτέτρι- 479
17 " πταί τε [q] πρόρριζος ἐκ Σπάρτης. Οὕτω ἀγαθὸν,
" μηδὲ [r] διανοέεσθαι περὶ [s] παραθήκης ἄλλο γε, ἢ

[b] ἀπερριμμένοι S. ἀπηρημένοι V. Mox αὐτὸν om. S. [c] τοῖσδε om. S.V. Paullo ante ληΐσηται Bekker. [d] Oraculi partem habet Eustath. Il. γ'. p. 414=314, 39. [e] ληΐσασθαι S.F. Paris. ληΐσσεσθαι Ald. [f] Citat Dio Chrys. LXIV. p. 640. [g] ἀνώμαλος οὐδ' ἐπὶ χεῖρας S., qui mox πόδας, et κραιπνῶς cum V. Stob. [h] Sic S.P.V.F. Paris. Schæfer. ὀλέσῃ Wess. Bekker. et al. cum Stob. [i] κατόπισθεν S.V. Stob. Apostol. III. 29. [k] ἀρείων Pausan. VIII. 7. [l] παρητέετο F. [m] ἴσχειν M.P.K. Stob. F.b. σχεῖν S.a.c.d. Bekker. vulg. Mox τὸ ante ποιῆσαι om. S. [n] Sic S.V.F.a.b.d. δύναται Wessel. et al. γενέσθαι Clem. Alex. Strom. VI. p. 719. [o] Sic S.P.K. Stob. F.a. ὁ λόγος, ὦ Ἀθ. ὅδε Wessel. et al. [p] οὐκέτι Stob. Mox ἱστίη Stob. S.V.F. Paris. ἑστίη prius. οὐδεμία F. οὐδεμίη S. vulg. [q] προρρίζως S.V. [r] διανοεῖσθαι F. [s] παρακαταθήκης] παραθήκης S.V.P. Stob.

“ ἀπαιτεόντων ἀποδιδόναι.” Λευτυχίδης μὲν εἴπας
ταῦτα, ὥς [t] οἱ οὐδὲ οὕτω [u] ἐσήκουον οἱ Ἀθηναῖοι,
ἀπαλλάσσετο.
87 Οἱ δὲ Αἰγινῆται, πρὶν τῶν [a] πρότερον ἀδικημάτων
δοῦναι δίκας τῶν ἐς Ἀθηναίους ὕβρισαν, Θηβαίοισι
2 χαριζόμενοι, ἐποίησαν τοιόνδε. Μεμφόμενοι τοῖσι
Ἀθηναίοισι, καὶ ἀξιοῦντες ἀδικέεσθαι, ὡς τιμωρησό-
μενοι τοὺς Ἀθηναίους παρεσκευάζοντο· [b] καὶ ἦν γὰρ
δὴ τοῖσι Ἀθηναίοισι [c] πεντήρης ἐπὶ [d] Σουνίῳ, λοχή-
σαντες ὦν, τὴν θεωρίδα νῆα εἷλον πλήρεα ἀνδρῶν
τῶν πρώτων Ἀθηναίων· λαβόντες δὲ τοὺς ἄνδρας,
88 ἔδησαν. Ἀθηναῖοι δὲ παθόντες ταῦτα πρὸς Αἰγινη-
τέων, οὐκέτι [a] ἀνεβάλλοντο μὴ οὐ τὸ πᾶν [b] μηχανή-
2 σασθαι ἐπ᾽ Αἰγινήτῃσι. [c] καὶ ἦν γὰρ Νικόδρομος
[d] Κνοίθου καλεόμενος ἐν τῇ Αἰγίνῃ, ἀνὴρ δόκιμος,
οὗτος μεμφόμενος [e] μὲν τοῖσι Αἰγινήτῃσι [f] προτέρην
ἑωυτοῦ ἐξέλασιν ἐκ τῆς νήσου, μαθὼν δὲ τότε τοὺς
Ἀθηναίους [g] ἀναρτημένους ἔρδειν Αἰγινήτας κακῶς,
συντίθεται Ἀθηναίοισι προδοσίην Αἰγίνης, φράσας
[h] ἐν τῇ τε ἡμέρῃ ἐπιχειρήσει, καὶ ἐκείνους ἐς τὴν
3 ἥκειν δεήσει βοηθέοντας. μετὰ ταῦτα, καταλαμβάνει
μὲν κατὰ [i] τὰ συνεθήκατο [k] ὁ Νικόδρομος Ἀθη-
89 ναίοισι τὴν παλαιὴν καλεομένην πόλιν. Ἀθηναῖοι
δὲ οὐ παραγίνονται ἐς δέον. οὐ γὰρ ἔτυχον ἐοῦσαι

Sic Æginetæ pœnas incursionis in agrum Atticum [5, 81.] luunt. Id priusquam paterentur, navem Atheniensium theorida, quæ viros primarios veheret, ex insidiis intercipiunt, vectoresque vinciunt. Qua nova injuria Athenienses irritati, cum Nicodromo Ægineta clam paciscuntur, ut ipsis Æginam prodat. Et Nicodromus quidem pacto die urbem occupat: sed quod Atheniensium classis sero adventaret,

[t] οἱ om. S. [u] ἤκουον K.b. οὕτως ἤκουον F.
87. [a] προτέρων b. [b] καὶ om. F.b. cf. 88. [c] πεντετηρὶς S.V. [d] Σουνίου b. Mox νέα S.
88. [a] ἀνεβάλοντο S.V.a. [b] μηχανᾶσθαι S.V. [c] Sic P.S.V.K.F. Paris. Ald. καὶ om. M. cf. 87. [d] Κνούθου S. Vall. Κουοίθου P. e corr. [e] Sic M.P.K.F. Paris. μὲν om. S. al. [f] Sic K.P.F.a.c.d. Vall. προτέρου ἑωυτοῦ ἐξέλασεν S. προτέρην ἑωυτὸν ἐξέλασε M. Gron. πρότερον ἑωυτὸν ἐξέλασε Ald. προτέρην ἑωυτοῦ ἐπράξατο ἐξέλασιν b. Mox τοὺς om. S. [g] ἀνηρτημένους V.S. [h] Sic K. qui mox ἐς τήν. ἐν ᾗ et ἐς ἣν F.a. Ald. ἐς ἣν εἰ ἥκειν S. [i] τὰ om. b. Bekker. [k] Ἀθην. ὁ Νικοδ. F.S.P.K.

νέες σφι ἀξιόμαχοι [a] τῇσι Αἰγινητέων [b] συμβαλέειν·
ἐν ᾧ ὧν Κορινθίων ἐδέοντο [c] χρῆσαί σφι νέας, ἐν
2 τούτῳ διεφθάρη τὰ πρήγματα. οἱ δὲ Κορίνθιοι, [d] ἦσαν 480
γάρ σφι τοῦτον τὸν χρόνον φίλοι ἐς τὰ μάλιστα,
Ἀθηναίοισι διδοῦσι δεομένοισι εἴκοσι νέας, διδοῦσι
δὲ πενταδράχμους [e] ἀποδόμενοι· [f] δωτίνην γὰρ [g] ἐν
3 τῷ νόμῳ οὐκ ἐξῆν δοῦναι. ταύτας τε δὴ λαβόντες οἱ
Ἀθηναῖοι, καὶ τὰς σφετέρας, πληρώσαντες ἑβδομή-
κοντα [h] νέας τὰς ἁπάσας, ἔπλεον ἐπὶ τὴν Αἴγιναν·
καὶ [i] ὑστέρισαν ἡμέρῃ μιῇ τῆς συγκειμένης.

90 *cum parte suorum Æginam relinquere cogitur: quibus Sunium ab Atheniensibus datum.*

Νικόδρομος δὲ, ὡς οἱ Ἀθηναῖοι ἐς τὸν καιρὸν οὐ [a] παρε-
γίνοντο, ἐς πλοῖον [b] ἐσβὰς, ἐκδιδρήσκει ἐκ τῆς Αἰ-
γίνης· σὺν δέ οἱ καὶ [c] ἄλλοι ἐκ τῶν Αἰγινητέων
ἕσποντο, τοῖσι Ἀθηναῖοι Σούνιον [d] οἰκῆσαι ἔδοσαν.
2 ἐνθεῦτεν δὲ οὗτοι [e] ὁρμεώμενοι ἔφερόν τε καὶ ἦγον
τοὺς ἐν τῇ νήσῳ Αἰγινήτας. ταῦτα μὲν δὴ ὕστερον
ἐγίνετο.

91 *Cæteros hujus factionis Æginetæ necant.*

Αἰγινητέων δὲ οἱ παχέες, ἐπαναστάντος
τοῦ δήμου σφι ἅμα Νικοδρόμῳ, ἐπεκράτησαν· καὶ
[a] ἔπειτά σφεας χειρωσάμενοι, [b] ἐξῆγον ἀπολέοντες.
2 ἀπὸ τούτου δὲ καὶ ἄγος σφι ἐγένετο, τὸ ἐκθύσασθαι
οὐκ οἷοί τε [c] ἐγίνοντο ἐπιμηχανώμενοι, ἀλλ' ἔφθησαν
ἐκπεσόντες πρότερον ἐκ τῆς νήσου, ἤ σφι ἵλεων
3 γενέσθαι [d] τὴν θεόν. ἑπτακοσίους γὰρ [e] δὴ τοῦ δήμου
ζωγρήσαντες, ἐξῆγον [f] ὡς ἀπολέοντες. εἷς δέ τις

89. [a] τοῖσι S. [b] συμβαλεῖν F. [c] Sic S.V.P.F. Paris. Vall. χρῆσθαι olim. [d] ἔσαν] ἦσαν F.S. [e] ἀποδιδόμενοι b. [f] Sic S.V. et forte a.c.d. δωρεὴν F.b. Ald. al. [g] ἐν om. S.V. [h] Sic S.V.P.K.F. τὰς πάσας νέας al. [i] Sic M.P.F. ὑστέρησαν Ald. S. Bekker. al. cf. I. 70.

90. [a] Sic S.P.F.a.b. παρεγένοντο Wess. et al. [b] ἐμβὰς b. [c] Sic M.P.K.F. ἐκ om. al. σὺν δὲ καὶ οἱ ἄλλοι S. qui ἕσποντο pro εἵποντο. [d] οἰκίσαι F. [e] ὁρμώμενοι S.

91. [a] ἐπεί τε K.F.b. Supra σφι τοῦ δήμου S. [b] ἐξείλοντο d. [c] ἐγίνοντο F. et forte al. ἐγένοντο S. Wessel. [d] τὸν θεὸν S.V. ἵλεον item S. [e] Sic M.V.P.K. δὴ om. F.a.b. Ald. [f] ὡς om. V.S.

τούτων ἐκφυγὼν τὰ δεσμὰ, καταφεύγει πρὸς πρό-
θυρα Δήμητρος θεσμοφόρου· [g] ἐπιλαμβανόμενος δὲ
4 τῶν ἐπισπαστήρων, εἴχετο. οἱ δὲ, ἐπεί τε μιν ἀπο- 481
σπάσαι οὐκ οἷοί τε ἀπέλκοντες ἐγίνοντο, ἀποκό-
ψαντες αὐτοῦ τὰς χεῖρας, ἦγον οὕτω· [h] χεῖρες [i] δὲ
κεῖναι ἐμπεφυκυῖαι ἦσαν τοῖσι [k] ἐπισπαστῆρσι.

92 Ταῦτα μέν νυν [a] σφέας αὐτοὺς οἱ Αἰγινῆται ἐργά-
σαντο. Ἀθηναίοισι δὲ ἥκουσι ἐναυμάχησαν νηυσὶ
ἑβδομήκοντα· ἑσσωθέντες δὲ τῇ ναυμαχίῃ, [b] ἐπεκα-
λέοντο τούτους αὐτοὺς [c] τοὺς καὶ πρότερον, Ἀργείους.
2 καὶ δή σφι οὗτοι μὲν οὐκέτι βοηθέουσι, μεμφόμενοι
ὅτι [d] Αἰγιναῖαι νέες, ἀνάγκῃ [e] λαμφθεῖσαι ὑπὸ Κλεο-
μένεος, ἔσχον τε ἐς τὴν Ἀργολίδα χώρην, καὶ συνα-
3 πέβησαν Λακεδαιμονίοισι. συναπέβησαν δὲ καὶ ἀπὸ
[f] Σικυωνίων νεῶν ἄνδρες τῇ αὐτῇ ταύτῃ ἐσβολῇ.
καί σφι ὑπ' Ἀργείων ἐπεβλήθη ζημίη, χίλια τάλαντα
4 ἐκτίσαι, πεντακόσια [g] ἑκατέρους. Σικυώνιοι μέν νυν
συγγνόντες ἀδικῆσαι, ὡμολόγησαν, ἑκατὸν τάλαντα
ἐκτίσαντες, ἀζήμιοι εἶναι· Αἰγινῆται δὲ οὔτε συνε-
5 γινώσκοντο, ἦσάν τε αὐθαδέστεροι. [h] διὰ δὴ ὧν σφι
ταῦτα δεομένοισι ἀπὸ μὲν τοῦ δημοσίου οὐδεὶς Ἀρ-
γείων ἔτι ἐβοήθεε, [i] ἐθελονταὶ δὲ ἐς χιλίους· ἦγε δὲ
αὐτοὺς στρατηγὸς [k] ἀνὴρ ᾧ οὔνομα Εὐρυβάτης,

Prœliis binis navalibus deinceps commissis, primum Athenienses,

[g] Sic M.K.P.F. ἐπιλαβόμενος S.a.c. Ald. Bekker. Eustath. Od. α'. pag. 1429, 2=72, 3. Mox ἀποσπαστήρων S. [h] Sic S.V.P.K.a.c. αἱ χεῖρες F.b. al. [i] δὲ ἐκεῖναι S.F. qui mox ἦσαν. [k] ἐπισπαρτῆσι S. ἐπισπάστροισι P.b. ἐπιπάστροισι F.

92. [a] Sic M.P.K.a.b.c. αὐτοὺς S. vulg. om. [b] ἐπεκάλεον V. ἐπεκαλέοντο τοὺς S. ἐπεκαλέοντο τοὺς αὐτοὺς καὶ πρότερον Bekker. ἐ. τοὺς αὐτοὺς τοὺς κ. π. Dobræus. [c] τοὺς om. S. οὓς καὶ P.F.a. [d] αἱ Αἰγιν. S.V. Αἰγινέαι F. [e] λαφθεῖσαι P. e corr. [f] Sic P.V. K.M. Vall. F. Paris. νεῶν om. S. Ald. Mox ὑπεβλήθη S. [g] δὲ τοὺς ἑτέρους S. [h] Sic M.P.K.F.b.d. ὧν σφι om. S.a.c. Bekker. al. uncinis inclusit Matthiæ. [i] θελονταὶ S.V. [k] ἀνὴρ ᾧ οὔνομα ex M.P.K.F.b.d. om. S.a.c. Bekker. al.

6 [l] πεντάεθλον ἐπασκήσας. τούτων οἱ πλεῦνες οὐκ ἀπενόστησαν ὀπίσω, ἀλλ' ἐτελεύτησαν ὑπ' Ἀθηναίων ἐν Αἰγίνῃ· αὐτὸς δὲ ὁ στρατηγὸς Εὐρυβάτης, μουνομαχίην ἐπασκέων, τρεῖς μὲν ἄνδρας τρόπῳ [m] τοιούτῳ [n] κτείνει, ὑπὸ δὲ τοῦ τετάρτου Σωφάνεος

post Ægинetæ vincunt.

93 τοῦ [o] Δεκελέος ἀποθνήσκει. Αἰγινῆται δὲ, ἐοῦσι ἀτάκτοισι [a] Ἀθηναίοισι συμβαλόντες τῇσι νηυσὶ, ἐνίκησαν· καί σφεων νέας [b] τέσσερας [c] αὐτοῖσι ἀνδράσι εἷλον.

Suffecti in Mardonii locum Datis et Artaphernes ad Eretriam Athenasque expugnandas,

94 Ἀθηναίοισι μὲν δὴ πόλεμος συνῆπτο πρὸς Αἰγινήτας. Ὁ δὲ Πέρσης τὸ ἑωυτοῦ ἐποίεε, ὥστε ἀναμιμνήσκοντός τε αἰεὶ τοῦ θεράποντος, μεμνῆσθαί μιν τῶν Ἀθηναίων, καὶ Πεισιστρατιδέων προσκατημένων, καὶ διαβαλλόντων Ἀθηναίους· ἅμα δὲ βουλόμενος ὁ Δαρεῖος, ταύτης ἐχόμενος τῆς προφάσιος, καταστρέφεσθαι τῆς Ἑλλάδος τοὺς μὴ δόντας αὐτῷ
2 γῆν τε καὶ ὕδωρ. Μαρδόνιον μὲν δὴ, φλαύρως πρήξαντα τῷ στόλῳ, παραλύει τῆς στρατηγίης· ἄλλους δὲ στρατηγοὺς ἀποδέξας, [a] ἀπέστειλε ἐπί τε [b] Ἐρέτριαν καὶ Ἀθήνας, Δᾶτίν τε, ἐόντα [c] Μῆδον γένος, καὶ Ἀρταφέρνεα τὸν Ἀρταφέρνεος παῖδα, [d] ἀδελφιδέον ἑωυτοῦ· ἐντειλάμενος δὲ ἀπέπεμπε, ἐξανδραποδίσαντας Ἀθήνας καὶ Ἐρέτριαν, [e] ἄγειν
95 ἑωυτῷ ἐς ὄψιν τὰ ἀνδράποδα. Ὡς δὲ οἱ στρατηγοὶ

[l] πένταθλον S.V. Eustath. Il. α'. p. 110, 11=83, 5. Mox ἐν Αἰγίνῃ ὑπ' Ἀθην. S. [m] τοιῷδε S.V. [n] Sic S.V.M.P.K.F. Paris. ἀποκτείνει olim. [o] Δεκελέος mss. plerique cum Ald. Δεκελέως Steph. et seqq. Δεκαλέος S.

93. [a] τοῖσι Ἀθην. F. [b] τέσσαρας F.S. [c] αὐτοῖσι τοῖσι ἀνδ. K.P.F.b.

94. [a] ἀπέστελλεν S. ἀπέστελε F. ἀπέστελλε Bekker. [b] Ἐρέτρειαν F. et sic mox. [c] Μήδων S. Tum Ἀρταφρένεα τοῦ Ἀρταφρένεος P.K.V.F. cf. V. 25. [d] ἀδελφιδεὸν vulgo. ἀδελφεὸν S. [e] ἀγαγεῖν V.S.

οὗτοι οἱ [a] ἀποδεχθέντες, πορευόμενοι παρὰ βασιλέος,
ἀπίκοντο τῆς Κιλικίης ἐς τὸ [b] Ἀλήϊον πεδίον, ἅμα
ἀγόμενοι [c] πεζὸν στρατὸν πολλόν τε καὶ εὖ ἐσκευ-
ασμένον, ἐνθαῦτα [d] στρατοπεδευομένοισι ἐπῆλθε [e] μὲν
ὁ ναυτικὸς πᾶς στρατὸς ὁ ἐπιταχθεὶς ἑκάστοισι·
παρεγένοντο δὲ καὶ [f] αἱ ἱππαγωγοὶ νέες, [g] τὰς τῷ
προτέρῳ ἔτεϊ προεῖπε τοῖσι ἑωυτοῦ δασμοφόροισι
2 Δαρεῖος ἑτοιμάζειν. Ἐσβαλόμενοι δὲ τοὺς ἵππους
ἐς ταύτας, καὶ τὸν πεζὸν στρατὸν [h] ἐσβιβάσαντες [i] ἐς
τὰς νέας, ἔπλεον [k] ἑξακοσίῃσι τριήρεσι ἐς τὴν Ἰω-
3 νίην. ἐνθεῦτεν δὲ οὐ παρὰ τὴν ἤπειρον [l] εἶχον τὰς
νέας ἰθὺ τοῦ τε Ἑλλησπόντου καὶ τῆς Θρηΐκης·
ἀλλ' ἐκ Σάμου ὁρμεώμενοι, παρά τε Ἰκάριον καὶ διὰ
νήσων τὸν πλόον ἐποιεῦντο· ὡς μὲν ἐμοὶ [m] δοκέειν,
δείσαντες μάλιστα τὸν περίπλοον τοῦ Ἄθω, ὅτι τῷ
[n] προτέρῳ ἔτεϊ ποιεύμενοι [nn] ταύτῃ τὴν κομιδὴν, με-
γάλως προσέπταισαν· πρὸς δὲ, καὶ ἡ Νάξος σφέας
96 ἠνάγκαζε, πρότερον οὐκ ἁλοῦσα. Ἐπεὶ δὲ, ἐκ τοῦ
Ἰκαρίου πελάγεος προσφερόμενοι, προσέμιξαν τῇ
Νάξῳ, (ἐπὶ ταύτην γὰρ δὴ [a] πρώτην [b] ἐπεῖχον στρα-
τεύεσθαι οἱ Πέρσαι,) μεμνημένοι τῶν [c] πρότερον, οἱ
Νάξιοι πρὸς τὰ οὔρεα οἴχοντο φεύγοντες, οὐδὲ ὑπέ-
2 μειναν. οἱ δὲ Πέρσαι, ἀνδραποδισάμενοι τοὺς κατέ-

cum ingentibus copiis per mare Icarium 482 recta in Græciam tendunt.

Primum Naxus capta et igne vastata: insularumque quotquot in montana non aufugerant, in servitutem

95. [a] ἀπαχθέντες b. [b] Ἀλῶϊον S. Ἀλήνιον P. e corr. [c] Sic P.V. καὶ F.M.K. sine τε. στρατ. πολλὸν πεζὸν εὖ ἐσκ. Ald. [d] στρατευομένοισι c. Eustath. Il. ζ'. p. 636, 54=494, 36. Mox ὁ ante ἐπιταχθεὶς om. S. [e] μὲν om. F.b. [f] αἱ om. S.V. [g] ἃς τῷ F. Mox Δαρεῖος om. S. qui tum ἐσβαλλόμενοι cum Ald. [h] ἐμβιβ. b. [i] ἐς τὰς νέας om. S.V. Vall. Punctis notantur P. [k] Sic M.P.K.F. Paris. ἑξακοσίοισι olim cum S. [l] ἔχον] εἶχον S.V.P.K.F. Mox ὁρμώμενοι S. [m] Sic M.K.P.S.F.a.b. δοκέει Wess. al. Tum μάλιστα om. S.V. [n] τρίτῳ πρότερον Dobræus. [nn] Sic S.V.M.K.P.F. Paris. ταύτην olim.

96. [a] πρῶτον S.V. [b] Cf. Eustath. Od. p. 1856, 16=683, 22. [c] προτέρων S.V. Vall. cf. Plutarch. II. p. 869. B. Mox ὄρεα S.

abducti. Eadem sors cæterarum

λαβον αὐτῶν, [d] ἐνέπρησαν καὶ τὰ ἱρὰ καὶ τὴν πό-
λιν· ταῦτα δὲ ποιήσαντες, [e] ἐπὶ τὰς ἄλλας νήσους
ἀνάγοντο.

97

Cycladum, excepta Delo, cui soli parcitur. Persarum in numina Deliaca pietas.

Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐποίευν, οἱ Δήλιοι, ἐκλιπόν-
τες καὶ αὐτοὶ τὴν Δῆλον, οἴχοντο φεύγοντες ἐς Τῆνον.
2 τῆς δὲ στρατιῆς καταπλεούσης, ὁ Δᾶτις [a] προπλώσας,
οὐκ ἔα τὰς νέας πρὸς [b] τὴν νῆσον προσορμίζεσθαι,
ἀλλὰ πέρην ἐν τῇ [c] Ῥηνέῃ· αὐτὸς δὲ, πυθόμενος ἵνα
ἦσαν οἱ Δήλιοι, πέμπων κήρυκα, ἠγόρευέ σφι τάδε·
3 "Ἄνδρες ἱροὶ, τί φεύγοντες οἴχεσθε, οὐκ ἐπιτηδέα
"καταγνόντες κατ' ἐμεῦ; ἐγὼ γὰρ καὶ αὐτὸς [d] ἐπὶ
"τοσοῦτό γε φρονέω, καί μοι ἐκ βασιλέος ὧδε ἐπέ-
"σταλται· ἐν ᾗ χώρῃ οἱ δύο θεοὶ ἐγένοντο, ταύτην
"μηδὲν σίνεσθαι, μήτε αὐτὴν τὴν χώρην, μήτε τοὺς
4 "οἰκήτορας αὐτῆς. νῦν ὦν καὶ ἄπιτε ἐπὶ τὰ ὑμέτερα
"αὐτῶν, καὶ τὴν νῆσον νέμεσθε." Ταῦτα μὲν ἐπε- 483
κηρυκεύσατο τοῖσι Δηλίοισι· μετὰ δὲ, λιβανωτοῦ
[e] τριηκόσια τάλαντα κατανήσας ἐπὶ τοῦ βωμοῦ ἐθυ-
μίησε.

98

Post eorum abitum Delus terræ motu contremiscit: quod cum nec antea nec post acciderit, pro signo

Δᾶτις μὲν δὴ ταῦτα ποιήσας, ἔπλεε ἅμα τῷ
στρατῷ ἐπὶ τὴν Ἐρέτριαν πρῶτα, ἅμα ἀγόμενος καὶ
Ἴωνας καὶ Αἰολέας. Μετὰ δὲ τοῦτον ἐνθεῦτεν ἐξα-
ναχθέντα, Δῆλος ἐκινήθη, ὡς [a] ἔλεγον [b] οἱ Δήλιοι,
2 καὶ πρῶτα καὶ ὕστατα [c] μέχρι ἐμεῦ σεισθεῖσα. καὶ
τοῦτο μέν κου τέρας ἀνθρώποισι τῶν μελλόντων

[d] ἔπρησαν b. [e] ἐς τὰς F.

97. [a] προσπλώσας S.P.F.b. [b] Sic M.P.K.F.b.d. τὴν Δῆλον S.a.c. al. [c] Sic S.V. Vall. Schæfer. Ῥηναίῃ Wessel. al. Mox ἦσαν δήλιοι S. [d] Sic Ald. a.c.d. P. marg. ἔτι τοσαῦτα φρονέω M.K.P. ἐπὶ τοσοῦτόν γε φ. S. ἐπὶ τοσαῦτά γε φ. Steph. marg. ἔτι γε φρονέω τάδε F. ἔτι γε τοσαῦτα φ. b. ἔτι τοιαῦτα φ. Schæfer. [e] Citat Tzetzes Chil. I. 864. ad Lycophr. 1430. Eustath. Dionys. 525.

98. [a] Sic M.P.K.V.S.a.b.F. λέγουσι vulg. [b] οἱ om. M.P.K.F. a.c. Ald. [c] Sic M.K. μέχρι ἐμέο μὴ δέ ποτε σεισθεῖσα P. τὰ μέχρι (μέχρις S.) ἐμέο οὐ σεισθεῖσα A.B.V.S. Ald. ὕστατα ἐμεῦ σεισθεῖσα F. absque τὰ μέχρι.

3 ἔσεσθαι κακῶν ἔφηνε ὁ θεός. ἐπὶ γὰρ Δαρείου τοῦ
Ὑστάσπεος, καὶ Ξέρξεω τοῦ Δαρείου, καὶ [d] Ἀρτα-
ξέρξεω τοῦ Ξέρξεω, τριῶν τουτέων ἐπεξῆς γενεέων,
ἐγένετο πλέω κακὰ τῇ Ἑλλάδι ἢ ἐπὶ εἴκοσι ἄλλας
γενεὰς τὰς πρὸ Δαρείου γενομένας· τὰ μὲν, ἀπὸ τῶν
Περσέων αὐτῇ γενόμενα, τὰ δὲ ἀπ' αὐτῶν τῶν κορυ-
4 φαίων, περὶ τῆς ἀρχῆς [e] πολεμεόντων. οὕτω οὐδὲν ἦν
ἀεικὲς κινηθῆναι Δῆλον, τὸ πρὶν ἐοῦσαν ἀκίνητον.
[[f] καὶ ἐν χρησμῷ ἦν γεγραμμένον περὶ αὐτῆς ὧδε·
Κινήσω καὶ Δῆλον, ἀκίνητόν περ ἐοῦσαν.]
5 Δύναται δὲ κατὰ Ἑλλάδα γλῶσσαν ταῦτα τὰ οὐνό-
ματα· Δαρεῖος, [g] ἐρξίης· Ξέρξης, ἀρήϊος· Ἀρτα-
ξέρξης, μέγας ἀρήϊος. τούτους [h] μὲν δὴ τοὺς βασι-
λέας ὧδε ἂν ὀρθῶς κατὰ γλῶσσαν τὴν σφετέρην
Ἕλληνες [i] καλέοιεν. 484

malorum Græciæ tunc imminentium Herodotus habet.

99 Οἱ δὲ βάρβαροι, ὡς ἀπῆραν ἐκ [a] τῆς Δήλου, [b] προσ-
ίσχον πρὸς τὰς νήσους· ἐνθεῦτεν δὲ στρατιήν τε
παρελάμβανον, καὶ ὁμήρους τῶν νησιωτέων παῖδας
2 ἐλάμβανον. ὡς δὲ, περιπλέοντες τὰς νήσους, προσ-
έσχον καὶ ἐς Κάρυστον, (οὐ γὰρ [c] δή σφι οἱ Καρύ-
στιοι οὔτε ὁμήρους ἐδίδοσαν, οὔτε ἔφασαν ἐπὶ [d] πόλις
ἀστυγείτονας στρατεύεσθαι, λέγοντες Ἐρετριάν τε
καὶ Ἀθήνας,) ἐνθαῦτα τούτους ἐπολιόρκεόν τε καὶ
τὴν γῆν σφέων [e] ἔκειρον, ἐς ὃ καὶ οἱ Καρύστιοι παρέ-

Classe ad Eubœam appulsa, Persæ primo Carystum expugnant.

[d] Sic S.b. Vall. Ἀρτοξ. Wessel. Bekker. al. cf. VI. 43. quam scripturam recentioribus Græculis tribuit Schweighæuser. [e] Sic V. πολεμιζόντων S. πολεμούντων F. et vulg. Supra γινόμενα S. et κορυφέων. [f] καὶ ἐν χρησμῷ—περ ἐοῦσαν om. M.K.F. et pro suspectis habent Gronovius, Wesselingius, et Matthiæ. Versum habet Eustath. Dionys. 525. Sequentia δύναται etc. grammatici esse alicujus, non historici, nullo ut videtur jure putabat Wesseling. Uncinis inclusit Bekker. [g] ἐρξείης] ἐρξίης S.b. ἐρξήεις F. Mox μέγα conj. Bekkerus. [h] Sic S.V.P.F. Paris. μὲν vulg. om. [i] καλέουσιν S.V.

99. [a] τῆς νήσου M.P.K.F.b. [b] προσίσχοντο M.P.K.V.a.b.F. προΐσχοντο S. [c] δὴ σφέας d. [d] πόλιας F. [e] ἔκειραν S.V.

100

Eretriis Athenienses petentibus auxilio veniunt: sed cum audivissent, parum inter illos convenire, nonnullosque adeo proditionem meditari, continentem repetunt.

στησαν ἐς τῶν Περσέων τὴν γνώμην. Ἐρετριέες δὲ,
πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσικὴν ἐπὶ σφέας
ἐπιπλέουσαν, Ἀθηναίων ἐδεήθησαν σφίσι [a] βοηθοὺς
2 γενέσθαι. Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπικουρίην,
ἀλλὰ τοὺς τετρακισχιλίους κληρουχέοντας τῶν [b] ἱπ-
ποβοτέων Χαλκιδέων [c] τὴν χώρην, τούτους σφι δι-
3 δοῦσι τιμωρούς. τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν
ὑγιὲς βούλευμα· οἳ μετεπέμποντο μὲν Ἀθηναίους,
ἐφρόνεον δὲ διφασίας ἰδέας. οἱ μὲν γὰρ αὐτῶν ἐβου-
λεύοντο ἐκλιπεῖν τὴν πόλιν [d] ἐς τὰ ἄκρα τῆς Εὐβοίης·
ἄλλοι δὲ αὐτῶν, ἴδια κέρδεα προσδεκόμενοι παρὰ τοῦ
4 Πέρσεω [e] οἴσεσθαι, προδοσίην [f] ἐσκευάζοντο. μαθὼν
δὲ τούτων ἑκάτερα ὡς εἶχε Αἰσχίνης [g] ὁ Νόθωνος,
ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, φράζει τοῖσι ἥκουσι
[h] τῶν Ἀθηναίων πάντα τὰ παρεόντα σφι πρήγματα·
προσεδέετό τε ἀπαλλάσσεσθαί σφεας ἐς τὴν σφε-
5 τέρην, ἵνα μὴ προσαπόλωνται. οἱ δὲ Ἀθηναῖοι ταῦτα
Αἰσχίνῃ συμβουλεύσαντι πείθονται· καὶ οὗτοι μὲν
διαβάντες ἐς [i] Ὠρωπὸν, ἔσωζον σφέας αὐτούς.

101

Pugna sex dierum sub Eretriæ muros. Die septimo Persæ in

Οἱ δὲ Πέρσαι πλέοντες κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς
χώρης κατὰ [a] Ταμύνας [b] καὶ Χοιρέας καὶ [c] Αἰγίλια.
καταχόντες [d] δὲ ταῦτα τὰ χωρία, αὐτίκα [e] ἵππους τε 485

100. [a] ἑωυτοὺς d. Mox τοὺς ante τετρακ. om. S. [b] Sic P.F. Paris. ἱπποβότων S. ἱπποβητέων olim cf. V. 77. [c] τούτων σφι τὴν χώρην K. Mox αὐτέων cum vulg. S.F. αὐτῶν tamen mox S. ubi F. retinet αὐτέων. [d] καὶ ἐλθεῖν ἐς τὰ ἄκρα S. teste Galeo, qui tamen cum vulg. consentit. Ea Vallæ deberi, ita de suo orationem explenti, ut mollior incederet, judicavit Wesseling. coll. Hemsterh. ad Aristoph. Plut. 1170. [e] οἴσεσθαι om. S.V. [f] παρεσκευάζ. b. Mox τούτων F. τουτέων S. vulg. [g] ὁ om. P.F. [h] τῶν om. F.S. [i] Ὄρωπον d.

101. [a] Ita Wesseling. citans Strabon. X. p. 687=447. cum Steph. Byz. et Valcken. Libri τέμενος. [b] κεχοιρέας F. [c] Αἰγίλεας P. Αἰγίλεα F. [d] Sic P.K.F. δὲ ἐς ταῦτα S. al. [e] ἵππους τε καὶ πεζοὺς d. al.

[f] ἐξεβάλλοντο, καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι
2 τοῖσι ἐχθροῖσι. οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ
[g] μάχεσθαι οὐκ ἐποιεῦντο βουλήν· εἴ κως δὲ [h] διαφυ-
λάξαιεν τὰ τείχεα, τούτου σφι [i] ἔμελε πέρι, ἐπεί τε
3 ἐνίκα μὴ ἐκλιπεῖν τὴν πόλιν. προσβολῆς δὲ [k] γινο-
μένης καρτερῆς πρὸς τὸ τεῖχος, [l] ἔπιπτον ἐπὶ ἓξ ἡμέ-
ρας πολλοὶ μὲν ἀμφοτέρων· τῇ δὲ ἑβδόμῃ Εὔφορβός
τε [m] ὁ Ἀλκιμάχου, καὶ Φίλαγρος ὁ Κυνέου, ἄνδρες
4 τῶν ἀστῶν δόκιμοι, προδιδοῦσι τοῖσι [n] Πέρσῃσι. οἱ
δὲ, [o] ἐσελθόντες ἐς τὴν πόλιν, τοῦτο μὲν, τὰ ἱρὰ συ-
λήσαντες ἐνέπρησαν, ἀποτιννύμενοι τῶν ἐν Σάρδισι
[p] κατακαυθέντων ἱρῶν· τοῦτο δὲ, τοὺς ἀνθρώπους ἠν-
δραποδίσαντο, κατὰ τὰς Δαρείου ἐντολάς.

urbem per proditionem irrumpunt. Templa spoliata incensaque: incolæ in servitutem abrepti.

102 Χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν, καὶ ἐπισχόντες
ὀλίγας ἡμέρας, ἔπλεον [a] ἐς τὴν Ἀττικὴν, [b] κατέργον-
τές τε πολλὸν, καὶ δοκέοντες [c] ταυτὰ τοὺς Ἀθηναίους
2 ποιήσειν τὰ καὶ τοὺς Ἐρετριέας ἐποίησαν. καὶ ἦν
γὰρ [d] ὁ Μαραθὼν ἐπιτηδεώτατον χωρίον τῆς Ἀττικῆς
ἐνιππεῦσαι, καὶ ἀγχοτάτω τῆς Ἐρετρίης, ἐς τοῦτό
103 σφι [e] κατηγέετο Ἱππίης ὁ [f] Πεισιστράτεω. Ἀθηναῖοι
δὲ, ὡς ἐπύθοντο ταῦτα, ἐβοήθεον καὶ αὐτοὶ ἐς τὸν
Μαραθῶνα. ἦγον δέ σφεας στρατηγοὶ δέκα· τῶν ὁ
δέκατος ἦν Μιλτιάδης, τοῦ τὸν πατέρα Κίμωνα, τὸν

Victis Eretriis, Persæ Hippia duce Marathonem trajiciunt.

Eodem exit Atheniensium exercitus, cui decem prætores præessent: inque

[f] ἐξέβαλον b. ἐξεβάλοντο Ald. [g] Sic M.K.P.F. Paris. μαχέσασθαι S. Ald. Bekker. al. [h] περιφυλάξ. S. [i] τούτου σφι περιέμελλεν S. περιέμελλε F. περὶ ἔμελε P. [k] Sic F. Vulgo γενομ. [l] Sic S.V.M.P.K. ἕ. μὲν ἐπὶ F.a. Ald. qui tenent mox μὲν post πολλοί. [m] ὁ om. S.V. [n] Sic M.P.K.V.S.F. Par. vulgo add. τὴν πόλιν. [o] ἐλθόντες F. [p] κατακαυσθ. a. κατακαφθ. F.

102. [a] ἐς γῆν τὴν Ἀ. P. Supra ἡμέρας ὀλίγας S. [b] κατεργάζοντες S.V.P. κατέργοντες F. [c] Sic S. ταῦτα al. [d] ἡ Μαρ. M.P.F. Articulum om. S.V. Mox ἐπιτηδεότατον S. [e] κατήγετο F. et 107. [f] Sic S. Vulgo Πεισιστράτου. cf. Wessel. ad IV. 147.

eis Miltiades, nuper Chersoneso Athenas profugus [c. 41.], ibique ab adversariis, quod tyrannidem illic occupavisset, accusatus, sed populi liberatus suffragiis. Hujus pater Cimon, ter olympionices, sub Pisistrato olim exsul, post a Pisistratidis interfectus.

Στησαγόρεω, κατέλαβε φυγεῖν ἐξ [a] Ἀθηνέων Πει-
2 σίστρατον τὸν Ἱπποκράτεος. καὶ αὐτῷ φεύγοντι
ὀλυμπιάδα ἀνελέσθαι τεθρίππῳ [b] συνέβη· καὶ ταύτην
μὲν τὴν νίκην [c] ἀνελόμενόν μιν, τὠυτὸ ἐξενείκασθαι
3 τῷ [d] ὁμομητρίῳ ἀδελφεῷ Μιλτιάδῃ. μετὰ δὲ, τῇ
ὑστέρῃ ὀλυμπιάδι τῇσι αὐτῇσι ἵπποισι νικῶν, παρα-
διδοῖ Πεισιστράτῳ ἀνακηρυχθῆναι· καὶ τὴν νίκην
παρεὶς τούτῳ, κατῆλθε ἐπὶ τὰ ἑωυτοῦ ὑπόσπονδος.
4 καί μιν ἀνελόμενον [e] τῇσι αὐτῇσι ἵπποισι ἄλλην
ὀλυμπιάδα κατέλαβε ἀποθανεῖν ὑπὸ τῶν Πεισιστρά-
του παίδων, οὐκέτι [f] περιεόντος αὐτοῦ Πεισιστράτου·
κτείνουσι δὲ οὗτοί μιν κατὰ τὸ πρυτανήϊον, νυκτὸς
5 [g] ὑπείσαντες ἄνδρας. τέθαπται δὲ Κίμων πρὸ τοῦ 486
ἄστεος, πέρην τῆς [h] διὰ Κοίλης καλεομένης ὁδοῦ·
καταντίον δ' αὐτοῦ [i] αἱ ἵπποι [k] τεθάφαται αὗται, αἱ
6 τρεῖς ὀλυμπιάδας ἀνελόμεναι. Ἐποιήσαν δὲ καὶ ἄλ-
λαι ἵπποι ἤδη τὠυτὸ τοῦτο, Εὐαγόρεω Λάκωνος· πλέω
7 δὲ τουτέων, [l] οὐδαμαί. Ὁ μὲν δὴ πρεσβύτερος τῶν
παίδων [m] τῷ Κίμωνι Στησαγόρης ἦν τηνικαῦτα παρὰ
τῷ [n] πάτρῳ Μιλτιάδῃ τρεφόμενος ἐν τῇ [o] Χερσο-
νήσῳ· ὁ δὲ νεώτερος παρ' αὐτῷ Κίμωνι [p] ἐν Ἀθή-
νῃσι, [q] τοὔνομα ἔχων ἀπὸ τοῦ οἰκιστέω τῆς Χερσονή-
104 σου Μιλτιάδεω, Μιλτιάδης. Οὗτος δὴ ὦν τότε
ὁ Μιλτιάδης, ἥκων ἐκ τῆς Χερσονήσου, [a] καὶ ἐκ-

103. [a] Sic M.P.K. Ἀθηναίων F.a.c.S. al. [b] ξυνέβη F. [c] ἀνελομένῳ M.K.F.b. [d] ὁμομήτορι S.V. cf. 38. [e] Sic M.P.K.V.B.F.S. τοῖσι αὐτοῖσι olim. [f] παρεόντος S. [g] πείσαντες S. qui mox κύμων. [h] διακοίλης S.F.a.b.c. al. Correxit Meursius Ceram. Gem. c. 24. [i] οἱ ἵπποι c.d. [k] τετάφαται c. [l] οὐδαιμαὶ S. [m] τῷ om. V.S. [n] πάτρῳ ol S. cf. Eustath. Il. p. 316, 8=239, 16. Thomas M. in Τίθην. [o] Χερονή. F. et sic fere constanter. Χερσοννήσω S. et semper. [p] Sic M.K.P.F. al. ἐν S. vulg. om. [q] οὔνομα V.S. τ. item in F. notatum, ut abundans.

104. [a] Sic S.V.M.K.P. Suid. in Μιλτιάδης. καὶ om. F.a. vulg. Mox διπλοῦν S.

πεφευγὼς διπλόον θάνατον, ἐστρατήγεε Ἀθηναίων.
2 ἅμα μὲν γὰρ οἱ Φοίνικες αὐτὸν οἱ ἐπιδιώξαντες μέχρι
Ἴμβρου περὶ πολλοῦ ἐποιεῦντο λαβεῖν τε καὶ ἀναγα-
γεῖν παρὰ βασιλέα, ἅμα δὲ ἐκφυγόντα τε τούτους,
καὶ ἀπικόμενον ἐς τὴν ἑωυτοῦ, δοκέοντά τε εἶναι ἐν
σωτηρίῃ, ἤδη τὸ ἐνθεῦτέν μιν οἱ ἐχθροὶ ὑποδεξάμενοι,
[b] καὶ ὑπὸ δικαστήριον [c] αὐτὸν ἀγαγόντες, ἐδίωξαν
3 τυραννίδος τῆς ἐν Χερσονήσῳ. ἀποφυγὼν δὲ καὶ
τούτους, στρατηγὸς οὕτω Ἀθηναίων ἀπεδέχθη, αἱρε-
θεὶς ὑπὸ τοῦ δήμου.

105 Καὶ πρῶτα μὲν, ἐόντες [a] ἔτι ἐν τῷ ἄστεϊ οἱ στρα-
τηγοὶ, ἀποπέμπουσι ἐς Σπάρτην κήρυκα [b] Φειδιππί-
δην, Ἀθηναῖον μὲν ἄνδρα, ἄλλως δὲ [c] ἡμεροδρόμον
2 τε καὶ τοῦτο μελετῶντα. [d] τῷ δὴ, ὡς αὐτός τε ἔλεγε
Φειδιππίδης καὶ Ἀθηναίοισι ἀπήγγελλε, περὶ τὸ
Παρθένιον οὖρος, τὸ ὑπὲρ Τεγέης, ὁ Πὰν περιπίπτει.
3 βώσαντα δὲ τὸ οὔνομα τοῦ Φειδιππίδεω τὸν Πᾶνα,
Ἀθηναίοισι κελεῦσαι ἀπαγγεῖλαι, διότι ἑωυτοῦ οὐδε-
μίαν ἐπιμέλειαν ποιεῦνται, ἐόντος [e] εὔνου Ἀθηναίοισι,
καὶ [f] πολλαχῇ γενομένου [g] ἤδη σφίσι χρησίμου, [h] τὰ
4 δ' ἔτι καὶ ἐσομένου. Καὶ ταῦτα μὲν Ἀθηναῖοι,
καταστάντων σφίσι εὖ ἤδη τῶν πρηγμάτων, πιστεύ-
σαντες εἶναι ἀληθέα, ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι

Missus ab Atheniensibus Spartam Phidippides hemerodromus, cui ad Tegeam Pan obviam factus, auxilium Atheniensibus pollicetur. Ob eam causam Pani fanum sacraque 487 Athenis dicata.

[b] Sic S.V. καὶ om. F.b.c.d. edd. vett. ἐπὶ pro ὑπὸ F. [c] αὐτὸν om. S.V. ἀγυγόντες S.V.M.K. Paris. F. ἀναγαγόντες Suid. ἐσαγαγόντες olim. Mox τυραννίδα S.

105. [a] ἔτι om. F. ἔτι ὄντες S. [b] Φιλιππίδην S.V. Vall. Excerpsit hæc Schol. Hermogen. p. 407. [c] ἡμεροδρόμην P.V.F.a.c. Vulg. habet S. [d] τὸ δὴ ὡς αὐτός τε ἕλλησι δουλοσύνην περιπεσοῦσαν (c. 106.) omissis mediis S.V. [e] Sic F.b. Schol. Hermog. et forte P. εὔνου ἤδη Ἀθ. vulg. εὐνόου maluit Koen. Gregor. Dial. Ion. 71. [f] πολλαχῇ Schol. Hermog. K.P.F.a.b.c. cf. I. 42. πολλαχοῦ Wessel. et al. [g] ἤδη σφίσι F.c. edd. vett. σφίσι absque ἤδη P. teste Wess. ἤδη σφι Schæfer. Bekker. b. ἤδη P.h.l. agnoscere putat Schweighæuser. [h] Sic S.P. Wessel. τὰ δέ τι F. Ald.

Πανὸς ἱρὸν, καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι [i] ἐπετείῃσι καὶ λαμπάδι ἱλάσκονται.

106

Spartani a Phidippida ad auxilium Athenis ferendum invitati, ante plenilunium in expeditionem proficisci recusant.

Τότε δὲ
πεμφθεὶς ὑπὸ τῶν στρατηγῶν ὁ Φειδιππίδης οὗτος,
ὅτε πέρ οἱ ἔφη καὶ τὸν Πᾶνα φανῆναι, [a] δευτεραῖος ἐκ
2 τοῦ Ἀθηναίων ἄστεος ἦν ἐν Σπάρτῃ. ἀπικόμενος δὲ
ἐπὶ τοὺς ἄρχοντας ἔλεγε· "Ὦ Λακεδαιμόνιοι, Ἀθη-
"ναῖοι ὑμέων δέονταί σφισι βοηθῆσαι, καὶ μὴ περι-
"ϊδεῖν πόλιν ἀρχαιοτάτην ἐν τοῖσι Ἕλλησι δουλο-
3 "σύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν βαρβάρων. καὶ
"γὰρ [b] νῦν Ἐρέτριά τε ἠνδραπόδισται, καὶ πόλι
4 "[c] λογίμῃ ἡ Ἑλλὰς γέγονε ἀσθενεστέρη." Ὁ μὲν
δή σφι τὰ ἐντεταλμένα [d] ἀπήγγελλε· [e] τοῖσι δὲ ἕαδε
μὲν βοηθέειν Ἀθηναίοισι, ἀδύνατα δέ σφι ἦν τὸ
παραυτίκα ποιέειν ταῦτα, οὐ βουλομένοισι λύειν τὸν
5 νόμον. ἦν γὰρ [f] ἱσταμένου τοῦ μηνὸς εἰνάτη·
εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι [g] ἔφασαν, μὴ οὐ πλή-
ρεος ἐόντος τοῦ κύκλου. οὗτοι μέν νυν τὴν πανσέ-
ληνον ἔμενον.

107

Somnium Hippiæ, antequam Persas in campum Marathonium duceret.

Τοῖσι δὲ βαρβάροισι [a] κατηγέετο Ἱππίης ὁ Πεισι-
στράτου ἐς τὸν Μαραθῶνα, τῆς παροιχομένης νυκτὸς
2 ὄψιν ἰδὼν [b] ἐν τῷ ὕπνῳ τοιήνδε. ἐδόκεε ὁ Ἱππίης
τῇ μητρὶ τῇ ἑωυτοῦ συνευνηθῆναι· [c] συνεβάλετο ὦν 488
ἐκ τοῦ ὀνείρου, κατελθὼν ἐς τὰς Ἀθήνας, καὶ ἀνασω-
σάμενος τὴν ἀρχὴν, τελευτήσειν ἐν τῇ ἑωυτοῦ γη-
ραιός. ἐκ μὲν δὴ τῆς ὄψιος συνεβάλετο ταῦτα.

[i] ἐπετείοισι F. ἐπετέῃσι Bekker.

106. [a] Citat Plutarch. p. 826. A. [b] νῦν Ἐρέτρ. τε S.P. νῦν Ἐρέτρεια τε F. νῦν al. post τε. [c] Sic d. probante Schweighæusero, monente huc spectare Pollucem II. 122. λογίμῳ vulg. [d] ἀπάγγ. S.P.V. ἀπήγγειλε F. ἀπάγγελλε conj. Schweigh. [e] Habet Suid. in Ἑαδότα. [f] ἱσταμένου S.V. Plutarch. p. 861. F. ἱσταμένη F. vulg. Mox εἰνάτην δὲ οὐκ S. [g] ἔφασαν om. S.V.

107. [a] κατήγετο F. [b] ἐν τῷ ὕπνῳ om. M.P.K.F.b. [c] Sic S.K.P. V.F. Paris. συνεβάλλετο olim. Mox τελευτήσει S.

3 [d] Τότε δὲ κατηγεόμενος, τοῦτο μὲν, τὰ ἀνδράποδα τὰ
ἐξ Ἐρετρίης ἀπέβησε ἐς τὴν νῆσον [e] τὴν Στυρέων,
καλεομένην δὲ [f] Αἰγίλειαν· τοῦτο δὲ, καταγομένας ἐς
τὸν Μαραθῶνα τὰς νέας ὥρμιζε [g] οὗτος, [h] ἐκβάντας
4 τε [i] ἐς γῆν τοὺς βαρβάρους διέτασσε. καί οἱ ταῦτα
διέποντι ἐπῆλθε πταρεῖν τε καὶ βῆξαι [k] μεζόνως ἢ ὡς
ἐώθεε. οἷα [l] δέ οἱ πρεσβυτέρῳ ἐόντι, τῶν ὀδόντων οἱ
πλεῦνες ἐσείοντο· τούτων ὦν ἕνα τῶν ὀδόντων ἐκ-
5 βάλλει ὑπὸ βίης βήξας. ἐκπεσόντος δὲ ἐς [m] τὴν
ψάμμον αὐτοῦ, ἐποιέετο πολλὴν σπουδὴν ἐξευρεῖν·
ὡς δὲ οὐκ ἐφαίνετό οἱ [n] ὁ ὀδὼν, ἀναστενάξας, εἶπε
6 πρὸς τοὺς [o] παραστάτας· "Ἡ γῆ ἥδε οὐκ ἡμετέρη
"ἐστὶ, οὐδέ μιν δυνησόμεθα ὑποχειρίην ποιήσασθαι·
"[p] ὁκόσον δέ τι μοι μέρος μετῆν, ὁ ὀδὼν μετέχει."
Ἱππίης μὲν δὴ [q] ταύτῃ τὴν ὄψιν [r] συνεβάλετο ἐξεληλυθέναι.

Soli Platæenses Atheniensibus præsto sunt. Necessitudo utrorumque unde originem traxerit.

108 Ἀθηναίοισι δὲ τεταγμένοισι ἐν τεμένεϊ Ἡρακλέος,
ἐπῆλθον βοηθέοντες Πλαταιέες πανδημεί. καὶ γὰρ
καὶ ἐδεδώκεσάν σφεας αὐτοὺς τοῖσι Ἀθηναίοισι οἱ
Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτῶν οἱ Ἀθηναῖοι
2 συχνοὺς ἤδη [a] ἀναιρέατο· ἔδοσαν δὲ ὧδε. [b] πιεζεύμενοι ὑπὸ Θηβαίων οἱ Πλαταιέες, ἐδίδοσαν πρῶτα

[d] τότε δὴ F. [e] τῶν Στυρ. F. [f] Αἰγλίην Steph. marg. Αἰγλείην K.F.b. Αἰγιάλεια nominatur Steph. Byzant. [g] οὕτως b. ὅρμιζεν S. [h] Sic S.F.a.b.c. ἐκβ. δὲ Wessel. [i] ἐς γῆν V.P.F.f. ἐς τὴν γῆν vulg. S. [k] μέζον S.P.V. μεῖζον Eustath. Od. p. 1831, 39=647, 30. μειζόνως F. [l] Sic K.P. Paris. F. οἱ om. vulg. S. Mox ὦν post τούτων om. S. [m] τὴν γῆν S.V. [n] Sic S.V.P.K.F.a.c.f. Ἰακὸν δέ φασιν ὁ ὀδὼν Eustath. Il. λ'. p. 854, 14=795. conf. Foesii Œcon. Hippocrat. ὁ ὀδοὺς vulgo, et mox. [o] Sic P.K.a.b.f. (F. e corr. ubi pr. παραστάντας) παριστάντας S.V. παραστεῶτας Wess. al. [p] ὅσον S.V. [q] ταύτῃ M.P.K.F. Paris. ταῦτα S.V. ταύτην vulg. [r] συνεβάλετο S.V.P.K. Paris. συνεβάλλετο olim. ξυνεβάλλετο F.

108. [a] Sic S.P.V. e conjectura Valckenærius. ἀναιρέοντο F.a.b. et vulg. ἀναραιρέατο Bekker. Supra οἱ ante Ἀθηναῖοι om. S. [b] Sic M.S.P.K. Paris. πιεζόμενοι F. vulg.

παρατυχοῦσι Κλεομένεΐ τε τῷ Ἀναξανδρίδεω καὶ
3 Λακεδαιμονίοισι σφέας αὐτούς. οἱ δὲ, οὐ δεκόμενοι,
ἔλεγόν σφι τάδε· "Ἡμεῖς μὲν [c] ἑκαστέρω τε οἰκέομεν,
"καὶ ὑμῖν τοιῆδε τις [d] γένοιτ' ἂν ἐπικουρίη ψυχρή·
"φθαίητε γὰρ ἂν πολλάκις ἐξανδραποδισθέντες ἤ
4 "τινα πυθέσθαι ἡμέων. [e] συμβουλεύομεν δὲ ὑμῖν
"δοῦναι ὑμέας αὐτοὺς Ἀθηναίοισι, πλησιοχώροισί τε
5 "ἀνδράσι, καὶ τιμωρέειν ἐοῦσι [f] οὐ κακοῖσι." [g] Ταῦτα
συνεβούλευον οἱ Λακεδαιμόνιοι, οὐ [h] κατὰ εὐνοίην
οὕτω τῶν Πλαταιέων, ὡς βουλόμενοι τοὺς Ἀθηναίους
6 ἔχειν πόνους, συνεστεῶτας Βοιωτοῖσι. Λακεδαιμόνιοι
μέν νυν Πλαταιεῦσι [i] ταῦτα συνεβούλευον· οἱ δὲ οὐκ
ἠπίστησαν, ἀλλ' Ἀθηναίων ἱρὰ [k] ποιεύντων τοῖσι 489
δώδεκα θεοῖσι, ἱκέται ἱζόμενοι ἐπὶ τὸν βωμὸν, ἐδίδο-
7 σαν σφέας αὐτούς. Θηβαῖοι δὲ πυθόμενοι ταῦτα,
[l] ἐστρατεύοντο ἐπὶ τοὺς Πλαταιέας· Ἀθηναῖοι δέ σφι
ἐβοήθεον. μελλόντων [m] δὲ συνάπτειν μάχην, Κορίν-
θιοι οὐ περιεῖδον· παρατυχόντες δὲ, καὶ καταλλάξαν-
τες, ἐπιτρεψάντων ἀμφοτέρων, οὔρισαν τὴν χώρην
ἐπὶ τοῖσδε· ἐὰν Θηβαίους Βοιωτῶν τοὺς μὴ βουλο-
8 μένους ἐς Βοιωτοὺς τελέειν. Κορίνθιοι μὲν δὴ ταῦτα
[n] γνόντες ἀπαλλάσσοντο. Ἀθηναίοισι δὲ ἀπιοῦσι
ἐπεθήκαντο Βοιωτοί· ἐπιθέμενοι δὲ, ἑσσώθησαν τῇ
9 μάχῃ. ὑπερβάντες δὲ οἱ Ἀθηναῖοι τοὺς οἱ Κορίνθιοι
[o] ἔθηκαν Πλαταιεῦσι εἶναι οὔρους, τούτους ὑπερβάν-

[c] ἑκαστέρω tanquam ex S. edidit Wesseling. Is autem codex cum vulg. in ἑκατέρω consentit. [d] Sic F.b. γίνοιτ' ἂν Wessel. al. ἂν γίνοιτ' S. [e] Plutarch. II. p. 861. D. ξυμβουλεύομεν F. qui ὑμέων pro ἡμέων. [f] οὐ om. F. [g] ταῦτα μὲν ξ. F. [h] κατὰ τὴν εὐν. K.F. [i] τοῦτο F. κατὰ ταῦτα συνεβούλευσαν S. [k] ποιούντων F. [l] ἐστράτευον S. cf. I. 77. 204. VI. 7. [m] Sic M.K.P.V.S. Paris. δὲ ξυν. μ. F. δέ σφεων συνάπτειν F. δέ σφεων συνάψειν Ald. Mox ἐπιστρεψάντων S. qui mox τοῖσιδε. [n] ἀναγνόντες suadentes S.V. ἀπαλλάσσονται S. [o] ἐπέθηκαν F.

τες, τὸν Ἀσωπὸν [p] αὐτὸν ἐποιήσαντο οὖρον Θηβαί-
10 οισι πρὸς Πλαταιέας εἶναι καὶ Ὑσιάς. Ἔδοσαν μὲν
δὴ οἱ Πλαταιέες σφέας αὐτοὺς Ἀθηναίοισι τρόπῳ τῷ
εἰρημένῳ· ἦκον δὲ τότε ἐς Μαραθῶνα βοηθέοντες.

109 Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ
γνῶμαι· τῶν μὲν οὐκ ἐώντων [a] συμβάλλειν, (ὀλίγους
γὰρ εἶναι, στρατιῇ τῇ Μήδων [b] συμβαλέειν,) τῶν δὲ 1
2 καὶ Μιλτιάδεω κελευόντων. ὡς δὲ [c] δίχα τε ἐγίνοντο,
καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ
[d] ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθη-
ναίων πολεμαρχέειν· τὸ παλαιὸν γὰρ [e] Ἀθηναῖοι ὁμό-
ψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι·
ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Ἀφιδναῖος· πρὸς
3 τοῦτον ἐλθὼν Μιλτιάδης, ἔλεγε τάδε· "Ἐν σοὶ νῦν,
"Καλλίμαχε, ἔστι ἢ καταδουλῶσαι Ἀθήνας, ἢ ἐλευ-
"θέρας ποιήσαντα, [f] μνημόσυνα λιπέσθαι ἐς τὸν
"ἅπαντα ἀνθρώπων βίον, οἷα οὐδὲ Ἁρμόδιός τε καὶ
4 "Ἀριστογείτων λείπουσι. νῦν γὰρ δὴ, ἐξ οὗ ἐγέ- 490
"νοντο Ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον. καὶ
"ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, [g] δέδοκται τὰ
"πείσονται παραδεδομένοι [h] Ἱππίῃ· ἢν δὲ περιγένη-
"ται αὕτη ἡ πόλις, οἵη τέ [i] ἐστι πρώτη τῶν Ἑλληνί-
5 "δων [k] πολίων γενέσθαι. Κῶς ὦν δὴ ταῦτα οἷά τέ
"ἐστι [l] γενέσθαι, καὶ κῶς [m] ἐς σέ τι τούτων ἀνήκει
"τῶν πρηγμάτων τὸ κῦρος [n] ἔχειν, νῦν ἔρχομαι φρά-

Discordia inter Atheniensium prætores, quorum alii pugnam dissuadent, alii, interque eos Miltiades, suadent. Qui cum Callimachum polemarchum ad suam sententiam traduxisset,

p αὐτῶν S.

109. a ξυμβαλεῖν F. συμβαλέειν Bekker. ἐόντων S. Ald. b συμβάλλειν P.V. Μήδ. ξυμβάλλειν a. Μήδ. ξυμβαλεῖν F. ὀλίγους—συμβαλέειν om. c. c Sic P.F. τε S. vulg. om. Tum ἐγένοντο S. d ἕκαστος F. e οἱ Ἀθην. P. οἱ ceteri om. Mox ἦν τε Bekker. f Sic P. Steph. marg. et mox οἷα. μνημόσυνα F.b. qui mox οἷον. cf. VII. 226. IX. 16. Vulgo μνημόσυνον et οἷον cum S. τε post Ἁρμόδιος om. S. g δέδεκται P. e corr. Reiskius e conj. *palam est* Vall. h Ἱππίῃ om. b. i ἐστιν αὕτη πρώτη F. k πολέων F.b. l γίνεσθαι b. m ἐς σέ τι M.P.K. ἐς (vel εἰς) ἔτι al. ἐστέτι S. n σχεῖν F.

6 " σων. ἡμέων τῶν στρατηγῶν, ἐόντων δέκα, [o] δίχα
" γίνονται αἱ γνῶμαι· τῶν μὲν, κελευόντων [p] συμβα-
7 " λέειν, τῶν δὲ, οὐ [q] συμβαλέειν. ἢν μέν νυν μὴ συμ-
" βάλωμεν, ἔλπομαί [r] τινα στάσιν μεγάλην ἐμπεσοῦ-
" σαν [s] διασείσειν τὰ Ἀθηναίων φρονήματα, [t] ὥστε
" μηδίσαι· ἢν δὲ συμβάλωμεν, πρίν τι καὶ σαθρὸν
" Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἶσα
" νεμόντων, οἷοί τε [v] εἰμὲν περιγενέσθαι τῇ συμβολῇ.
8 " Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει, καὶ ἐκ σέο [w] ἄρ-
" τηται. ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι τοι
" πατρίς τε ἐλευθέρη, καὶ πόλις πρώτη τῶν ἐν τῇ
" Ἑλλάδι· ἢν δὲ τὴν τῶν ἀποσπευδόντων τὴν [x] συμ-
" βολὴν ἕλῃ, ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν
" τὰ ἐναντία."

110 Ταῦτα λέγων ὁ Μιλτιάδης, προσ-
κτᾶται τὸν Καλλίμαχον. [a] προσγενομένης δὲ τοῦ
πολεμάρχου τῆς γνώμης, ἐκεκύρωτο συμβάλλειν.
2 Μετὰ δὲ, οἱ στρατηγοὶ, τῶν ἡ γνώμη [b] ἔφερε συμ-
βάλλειν, ὡς [c] ἑκάστου αὐτῶν ἐγίνετο πρυτανηΐη τῆς
ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ, δεκόμενος, [d] οὔ
τι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυ-
τανηΐη [e] ἐγένετο.

prœliari decernitur. Dilata pugna, donec summa imperii, quæ alio die penes alium prætorem erat, ad Miltiadem devenisset.

111 Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο
ὧδε Ἀθηναῖοι ὡς συμβαλέοντες. τοῦ μὲν δεξιοῦ

Acies Græcorum quo

[o] διχαὶ S. [p] Sic S.V. om. edd. vett. F.b. Bekker. al. [q] Sic S.V. Alii συμβάλλειν aut ξυμβάλλειν. [r] τινα om. S.V. [s] διασείσειν ἐμπεσοῦσαν F.S. [t] ὥς τι V. [v] ἐσμὲν b. [w] ἄρτηται S.V. cf. I. 125. ἤρτηται F.a.b.c. edd. vett. [x] Sic S.F.a.b. Ceteri συμβουλήν. cf. Wessel. ad III. 1. τὴν ante τῶν ἀποσπ. inseruit Schweighæuserus; non improbans tamen τὰ Wesselingii.

110. [a] Καλλίμαχον προσγενόμενον τῷ μέρει τῆς γνώμης, ὑπ' ἧς ἐκε. S. [b] Sic S.V.P.K.F.a.b.d. ἐφέρετο Wessel. al. [c] Sic M.P.F. Paris. Wessel. ἑκάστη αὐτέων (vel αὐτῶν) S.K.V. Ald. Vid. Gronov. ad Arrian. Anab. I. 15. p. 32. [d] Sic M.P.S.V.K.F. Paris. οὔ κω τι olim. cf. Schæfer. ad Gregor. p. 189. [e] ἐγίνετο S.V.

[a] κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ ordine instructa fuerit.
[b] νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέ-
2 μαρχον ἔχειν κέρας τὸ δεξιόν. ἡγεομένου δὲ τούτου,
ἐξεδέκοντο ὡς ἀριθμέοντο αἱ φυλαὶ, ἐχόμεναι [c] ἀλλη-
λέων· τελευταῖοι δὲ ἐτάσσοντο, [d] ἔχοντες τὸ εὐώνυμον
3 κέρας, Πλαταιέες. Ἀπὸ ταύτης γάρ σφι τῆς μάχης,
[e] θυσίας Ἀθηναίων ἀναγόντων [f] καὶ πανηγύριας τὰς 491
ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κῆρυξ ὁ
Ἀθηναῖος ἅμα τε Ἀθηναίοισι, λέγων, γίνεσθαι [g] τὰ
4 ἀγαθὰ καὶ Πλαταιεῦσι. Τότε δὲ, τασσομένων τῶν
5 Ἀθηναίων ἐν τῷ Μαραθῶνι, [h] ἐγίνετο τοιόνδε τι. τὸ
στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ,
τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας, καὶ
ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον· τὸ δὲ κέρας
112 ἑκάτερον ἔρρωτο πλήθεϊ. Ὡς δέ σφι διετέτακτο, καὶ Commisso prœlio,
τὰ σφάγια ἐγίνετο καλὰ, ἐνθαῦτα ὡς [a] ἀπείθησαν οἱ
Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. ἦσαν δὲ
στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτῶν ἢ ὀκτώ.
2 οἱ δὲ Πέρσαι, [b] ὁρέωντες δρόμῳ ἐπιόντας, παρεσκευά-
ζοντο ὡς δεξόμενοι· μανίην τε τοῖσι Ἀθηναίοισι
ἐπέφερον, καὶ πάγχυ ὀλεθρίην, ὁρέωντες αὐτοὺς [c] ὀλί-
γους, καὶ τούτους δρόμῳ ἐπειγομένους, [d] οὔτε ἵππου
3 ὑπαρχούσης σφι, οὔτε τοξευμάτων. ταῦτα μέν νυν οἱ
βάρβαροι [e] κατείκαζον. Ἀθηναῖοι δὲ, ἐπεί τε ἀθρόοι

111. [a] Sic S.V.M.P.K. Paris. κέρως Ald. κέρεως F. [b] Sic P.K.F.b. τότε om. Wessel. S. et al. Mox οὕτω om. F. [c] Sic K.V.F. ἀλλήλων S. olim. [d] ἔχοντες· τὸ δ' εὐώνυμον F. [e] Ἀθηναίων θυσίας ἀναγόντων F. [f] Sic S. ἐς τὰς πανηγύριας P.F. ἐς πανηγύριας Wessel. al. Mox ὁ ante Ἀθηναῖος om. S. [g] Sic P.K.F. τὰ S. al. om. [h] ἐγένετο P.F.b. τότε δὲ τ.—τοιόνδε τι om. c.

112. [a] ἀπίθ. S. [b] ὁρέοντες F. et sic infra cum b. ὁρῶντες S. et mox. [c] ἐόντας ὀλίγους] ἐόντας om. Wessel. Gronov. Bekker. cum M.K.P.A.B. ὁρέοντας αὐτ. ὀλίγ. F. [d] Citat Thomas M. in Τόξευμα. [e] κατήκαζον S.

[f]προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. 4 πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων, τῶν ἡμεῖς [g]ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, [h]πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέωντες, καὶ τοὺς ἄνδρας ταύτην [i]ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα [k]τὸ Μήδων φόβος ἀκοῦσαι.

113 cum diu acriter ancipitique Marte pugnatum esset, postremo Græci vincunt [a. 490.].

Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι, χρόνος [a]ἐγίνετο πολλός. καὶ τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, [b]τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο· [c]κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες, ἐδίωκον ἐς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθη- 2 ναῖοί τε καὶ Πλαταιέες. νικῶντες δὲ, τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτῶν, συναγαγόντες τὰ κέρεα [d]ἀμφότερα, ἐμά- 3 χοντο, καὶ ἐνίκων Ἀθηναῖοι. φεύγουσι δὲ τοῖσι Πέρσῃσι [e]εἵποντο κόπτοντες, ἐς ὃ [f]ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι, πῦρ τε αἴτεον, καὶ [g]ἐπελαμβάνοντο τῶν νεῶν.

114 Cadunt cum multis Atheniensibus claris et Callimachus polemarchus, et Stesilaus præ-

Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ [a]πόνῳ ὁ πολέμαρχος [b]Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· ἀπὸ δ᾽ ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ, [c]Κυναίγειρος ὁ Εὐφορίωνος ἐνθαῦτα, ἐπιλαβόμενος τῶν [d]ἀφλάστων [e]νηὸς, τὴν χεῖρα 492
ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Ἀθη-

[f] προσετάξαντο S. [g] ἴσμεν P.K.F. [h] Sic S.F. πρῶτοί τε vulgo. Mox τε post ἐσθῆτα om. S. [i] ἠσθημ. F. [k] τῶν Μήδων S.

113. [a] Sic P.V.S.F.a. ἐγένετο Wessel. et al. [b] ᾗ F. [c] κατὰ τὸ S. [d] Sic M.K.P.F.b.d. om. Ald. a.c.S. [e] ἕποντο F. Bekker. [f] Sic S.V.A.B. Ald. ἐς τὴν θ. M.P.K.F. [g] ἐπελάμβανον S.V.

114. [a] Sic M.P.K.S.V.F. Paris. πολέμῳ edd. vett. [b] Καλλίμαχος om. M.P.K.F.B. Mox Στησίλεος S. [c] Κυνέγειρος M.A.F. Schæfer. Bekker. cf. Tzetzes Chil. I. 867. Mox Εὐφρονίωνος S. Tum ἐπιλαμβανόμενος P.F. pro ἐπιλαβόμενος. [d] ἀφλαύστων F.b. [e] νεὸς F. νεῶς S.

115 ναίων πολλοί τε καὶ ὀνομαστοί. Ἑπτὰ μὲν δὴ τῶν
νεῶν ἐπεκράτησαν τρόπῳ [a] τοιούτῳ Ἀθηναῖοι. [b] τῇσι
δὲ λοιπῇσι οἱ βάρβαροι [c] ἐξανακρουσάμενοι, καὶ ἀνα-
λαβόντες ἐκ τῆς νήσου [d] ἐν τῇ ἔλιπον τὰ ἐξ Ἐρετρίης
ἀνδράποδα, [e] περιέπλωον Σούνιον, βουλόμενοι φθῆναι
2 τοὺς Ἀθηναίους [f] ἀπικόμενοι ἐς τὸ ἄστυ. [g] αἰτίη δὲ
ἔσχε ἐν Ἀθηναίοισι ἐξ Ἀλκμαιωνιδέων μηχανῆς
[h] αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ συνθεμέ-
νους τοῖσι Πέρσῃσι [i] ἀναδέξαι ἀσπίδα, ἐοῦσι ἤδη [k] ἐν
116 τῇσι νηυσί. Οὗτοι μὲν δὴ [a] περιέπλωον Σούνιον.
Ἀθηναῖοι δὲ ὡς ποδῶν [b] εἶχον τάχιστα ἐβοήθεον ἐς
τὸ ἄστυ. καὶ ἔφθησάν τε ἀπικόμενοι πρὶν ἢ τοὺς
βαρβάρους ἥκειν, καὶ ἐστρατοπεδεύσαντο ἀπιγμένοι
ἐξ [c] Ἡρακληΐου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ἡρα-
2 κληΐῳ τῷ ἐν Κυνοσάργεϊ. οἱ δὲ βάρβαροι τῇσι νηυσὶ
ὑπεραιωρηθέντες [d] Φαλήρου, (τοῦτο γὰρ ἦν [e] ἐπίνειον
τότε τῶν Ἀθηναίων,) [f] ὑπὲρ τούτου ἀνακωχεύσαντες
τὰς [g] νῆας, [h] ἀπέπλωον ὀπίσω ἐς τὴν Ἀσίην.
117 Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν
βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄν-
δρας· Ἀθηναίων δέ, [a] ἑκατὸν ἐννενήκοντα καὶ δύο.
2 ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι. Συνήνεικε δὲ

tor. Cynegiri facinus memorabile. Persæ, navibus raptim conscensis, protinus Phalerum petunt:

sed quod astu diligenter custodiri viderent, in Asiam revertuntur.

Quot utrinque in pugna Marathonia interfecti sint: quidque Epizelo

115. [a] Sic M.P.K.F. Paris. τοιῷδε S.V. Ald. [b] Plutarch. II. p. 862. C. [c] ἀνακρουσ. V.S. [d] ἐν ᾗ F. [e] περιέβλεπον F. [f] ἀπικομένους S. Ald. [g] αἰτίην δὲ ἔσχον Plutarch. αἰτίην δὲ ἔσχεν Ἀθ. F.K.M. αἰτίη Ald. P.S.V.b.c.d. ἔσχε Ἀθ. Ald. S. ἔσχε ἐν Ἀθ. P.a. b.d. Tum Ἀλκμαιονιδαίων S. [h] αὐτοῖσι K.P.F.b. quod ita ferri potest, si verbum ἐπινοηθῆναι passiva notione accipias, ut αὐτοῖσι idem ac ὑπ' αὐτῶν valeat. Schweigh. [i] Sic M.P.K.S.V. Plut. Paris. F. ἀναδέξασθαι olim. [k] ἐν om. F.

116. [a] περιέπλεον F. [b] εἶχον P.F. εἶλον K. ἧκον M. εἴχοντο Ald. S. [c] Ἡρακλείου S.F. et mox Ἡρακλείῳ. [d] Φαλήρων S. [e] ἐπίνεον S. [f] ὑπὲρ τούτου om. c. [g] νέας F.S. [h] ἀπέπλωον V. ἀπέπλεον al.

117. [a] ἑκατὸν καὶ ἐν. F.

Atheniensi in eadem acciderit.

αὐτόθι [b] θῶμα γενέσθαι τοιόνδε· Ἀθηναῖον ἄνδρα 493
Ἐπίζηλον τὸν Κουφαγόρεω ἐν τῇ συστάσει μαχόμενόν τε καὶ ἄνδρα [c] γινόμενον ἀγαθὸν τῶν ὀμμάτων στερηθῆναι, οὔτε πληγέντα οὐδὲν τοῦ σώματος, οὔτε βληθέντα· καὶ τὸ λοιπὸν τῆς [d] ζόης διατελέειν ἀπὸ
3 τούτου τοῦ χρόνου ἐόντα τυφλόν. λέγειν δὲ αὐτὸν [e] περὶ τοῦ πάθεος ἤκουσα τοιόνδε τινὰ λόγον. ἄνδρα οἱ δοκέειν ὁπλίτην ἀντιστῆναι μέγαν, τοῦ τὸ γένειον τὴν ἀσπίδα πᾶσαν σκιάζειν· τὸ δὲ φάσμα τοῦτο ἑωυτὸν μὲν παρεξελθεῖν, τὸν δὲ ἑωυτοῦ παραστάτην ἀποκτεῖναι. ταῦτα μὲν δὴ Ἐπίζηλον ἐπυθόμην λέγειν.

118 Simulacrum Apollinis, Delio Bœotiæ ablatum, Datidis per somnium moniti jussu restituitur.

Δᾶτις δὲ πορευόμενος ἅμα τῷ στρατῷ ἐς τὴν Ἀσίην, ἐπεί τε ἐγένετο [a] ἐν Μυκόνῳ, εἶδε [b] ὄψιν ἐν τῷ ὕπνῳ. καὶ ἥτις μὲν ἦν ἡ ὄψις, οὐ λέγεται· ὁ δὲ, ὡς ἡμέρη τάχιστα [c] ἐπέλαμψε, ζήτησιν ἐποιέετο τῶν
2 νεῶν· εὑρὼν δὲ ἐν [d] Φοινίσσῃ νηῒ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον, ἐπυνθάνετο ὁκόθεν σεσυλημένον εἴη· πυθόμενος δὲ [e] ἐξ οὗ ἦν ἱροῦ, ἔπλεε τῇ
3 ἑωυτοῦ νηῒ ἐς Δῆλον· καὶ [f] ἀπίκατο γὰρ τηνικαῦτα οἱ Δήλιοι ὀπίσω ἐς τὴν νῆσον, [g] κατατίθεταί τε ἐς τὸ ἱρὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλίοισι ἀπαγαγεῖν τὸ ἄγαλμα ἐς Δήλιον τὸ Θηβαίων· τὸ
4 δ' ἔστι ἐπὶ θαλάσσῃ, Χαλκίδος καταντίον. Δᾶτις μὲν δὴ ταῦτα ἐντειλάμενος ἀπέπλεε. τὸν δὲ ἀνδριάντα τοῦτον Δήλιοι οὐκ ἀπήγαγον, ἀλλά μιν δι'

[b] θῶμα S.P.K.F. θώῦμα (aut θῶυμα) al. Mox γενέσθαι τοιόνδε F. τοιόνδε γενέσθαι S. vulg. [c] γενόμενον b. et forte F. [d] ζώης F. ζωῆς S. [e] Sic F. ἤκ. π. τ. π. S. vulg.

118. [a] ἐν τῷ Μυκ. b. [b] ὄψιν ὀνείρου Suid. in Δᾶτις. [c] διέλαμψε F. [d] νηῒ Φοινίσσῃ F. [e] ἐξ οἷου Suid. qui mox ἔπεμπε pro ἔπλεε. [f] ἀπίκατο M.P.K.S.V.F. al. ἀπίκοντο a. Ald. [g] κατατίθεται τὸ ἱρὸν ἄγαλμα ἐς Δήλιον S. omissis mediis.

ἐτέων εἴκοσι Θηβαῖοι αὐτοὶ ἐκ θεοπροπίου ἐκομίσαντο
119 ἐπὶ Δήλιον. Τοὺς δὲ τῶν Ἐρετριέων ἀνδραποδισμένους Δᾶτίς τε καὶ [a] Ἀρταφέρνης, ὡς προσέσχον [b] ἐς τὴν Ἀσίην πλέοντες, [c] ἀνήγαγον ἐς Σοῦσα.
2 βασιλεὺς δὲ Δαρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας, ἐνεῖχέ σφι δεινὸν χόλον, οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπεί τε δὲ εἶδέ σφεας ἀπαχθέντας [d] παρ' ἑωυτὸν, καὶ [e] ὑποχειρίους ἑωυτῷ ἐόντας, ἐποίησε κακὸν ἄλλο οὐδὲν, ἀλλά σφεας τῆς Κισσίης χώρης κατοίκισε ἐν σταθμῷ ἑωυτοῦ, τῷ οὔνομά ἐστι [f] Ἀρδέρικκα· ἀπὸ μὲν Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι, [g] τεσσεράκοντα δὲ ἀπὸ τοῦ φρέατος, τὸ παρέχεται τριφασίας
3 ἰδέας. καὶ γὰρ ἄσφαλτον καὶ ἅλας καὶ ἔλαιον [h] ἀρύσσονται ἐξ αὐτοῦ, τρόπῳ τοιῷδε. ἀντλέεται μὲν κηλωνηΐῳ, ἀντὶ δὲ γαυλοῦ, ἥμισυ [i] ἀσκοῦ οἱ προσδέδεται· ὑποτύψας δὲ τούτῳ, ἀντλέει καὶ ἔπειτα ἐγχέει ἐς δεξαμενήν· ἐκ δὲ ταύτης ἐς ἄλλο διαχεόμενον, τρέ-
4 πεται τριφασίας ὁδούς. καὶ ἡ μὲν ἄσφαλτος καὶ οἱ ἅλες πήγνυνται παραυτίκα, τὸ δὲ ἔλαιον [k] συνάγουσι ἐν ἀγγείοις, τὸ οἱ Πέρσαι [l] καλέουσι ῥαδινάκην· ἔστι 494
5 δὲ μέλαν, καὶ ὀδμὴν παρεχόμενον [m] βαρέαν. Ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος· οἳ καὶ μέχρι [n] ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσ-

Eretrios captos [c. 101.] Darius humaniter tractat, Cissiæque locum, Ardericcam, iis habitandum dat: juxta quem puteus, unde bitumen, sal, oleumque hauriuntur.

119. [a] Ἀρταφρένης K.V.P.F. [b] πρὸς τὴν Ἀσ. M.K.F. [c] ἤγαγον F.b. [d] παρ' ἑωυτῷ b. Supra ἀναχθέντας conj. Bekkerus. [e] ἑωυτῷ ὑποχειρίους F. [f] Ἀρδέρικκα M.P.K.d. Ἀρδερικκὰ V.S. Vall. Ἀνδέρικα Ald. Ἀρδέρικα F.a.c. Ἀρδέρρικα b. [g] τεσσαράκ. F.S. [h] Sic F.S. ἀρύσονται V. Wessel. ἀρρύσονται vulg. ἀρύονται Matthiæ. [i] Sic M.P.K.F.b.d. οἱ om. S.a.c. al. [k] συναγ. ἐν ἀγγείοις τὸ om. M.K. Vall. F.a.b.c. et forte P. nec male pro insitiis habuisse videtur Gronovius. Wesselingius, dubitanter tamen, pro genuinis agnoscit; Schweighæuserus minus dubitanter. [l] καλέουσι τοῦτο ῥαδ. P.K.F.a.d. et forte M. [m] βαρέην b. Mox δαρεῖος βασιλεύς S. [n] ἐμεῖο K. οἳ καὶ—γλῶσσαν om. F.

σοντες τὴν ἀρχαίην γλῶσσαν. τὰ μὲν δὴ περὶ Ἐρετριέας ἔσχε οὕτω.

120 Pugna jam pugnata, Athenas veniunt auxilia Spartanorum.

Λακεδαιμονίων δὲ ἧκον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβεῖν οὕτω, [a] ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο 2 ἐν τῇ Ἀττικῇ. ὕστεροι δὲ ἀπικόμενοι τῆς συμβολῆς, ἱμείροντο ὅμως θεήσασθαι τοὺς Μήδους. ἐλθόντες [b] δὲ ἐς τὸν Μαραθῶνα, ἐθεήσαντο· μετὰ δὲ, [c] αἰνέοντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτῶν, ἀπαλλάσσοντο ὀπίσω.

121 Digressio de Alcmæonidarum familia. Proditionis crimen huic familiæ illo tempore motum [c. 115.] Herodotus diligenter diluit [a. 121. ad 124.]. Alcmæonidæ perinde, ac Callias, tyrannos

[a] Θῶμα δέ μοι, καὶ οὐκ ἐνδέκομαι τὸν λόγον, [b] Ἀλκμαιωνίδας ἄν κοτε ἀναδέξαι Πέρσῃσι ἐκ συνθήματος ἀσπίδα, βουλομένους ὑπὸ βαρβάροισί [c] τε εἶναι Ἀθηναίους καὶ ὑπὸ Ἱππίῃ· [d] οἵτινες μᾶλλον, ἢ ὁμοίως Καλλίῃ τῷ Φαινίππου, Ἱππονίκου δὲ πατρὶ, 2 φαίνονται μισοτύραννοι ἐόντες. Καλλίης τε γὰρ μοῦνος Ἀθηναίων ἁπάντων ἐτόλμα, ὅκως Πεισίστρατος ἐκπέσοι ἐκ τῶν [e] Ἀθηνέων, τὰ χρήματα αὐτοῦ [f] κηρυσσόμενα ὑπὸ τοῦ δημοσίου [g] ὠνέεσθαι, καὶ τὰ ἄλλα τὰ ἔχθιστα ἐς αὐτὸν πάντα ἐμηχανᾶτο.

122 maxime perosi. Calliæ in Pisistratum odii documenta. Alia hominis facinora memorabi-

[[a] Καλλίεω δὲ τούτου ἄξιον πολλαχοῦ μνήμην ἐστὶ πάντα τινὰ ἔχειν. τοῦτο μὲν γὰρ, τὰ προλελεγμένα, 495 ὡς ἀνὴρ ἄκρος ἐλευθερῶν τὴν πατρίδα· τοῦτο δὲ, τὰ ἐν Ὀλυμπίῃ ἐποίησε, ἵππῳ νικήσας, τεθρίππῳ δὲ [b] δεύτερος γενόμενος, Πύθια δὲ πρότερον ἀνελό-

120. [a] Post ὥστε τριταῖοι iterantur μετὰ τὴν πανσέληνον M.P.K.F. Supra πολλὴν σπουδὴν S. [b] δὲ om. F. Supra θεήσεσθαι S. [c] Sic S.V.P.F.a.c. αἰνέσαντες vulg.

121. [a] Sic S.K.F. θῶυμα (aut θώϋμα) al. [b] Ἀλκμέων. F. constanter. Ἀλκμαιονίδας S. [c] τε post βαρβάροισι om. b. [d] Plutarch. II. p. 863. A. [e] Sic M.K. Ἀθηναίων S.F. vulg. ἐκ om. S. [f] κηρυσσομένου S. [g] ὀνέεσθαι καὶ τὰ ἔχθιστα τὰ ἄλλα S.

122. [a] Καλλιέω—τῷ ἀνδρὶ om. M.K.P.F.b. Bekkerus in textu. [b] δεύτερον d. Mox δαπάνησι μεγίστησι S.

μενος, ἐφανερώθη ἐς τοὺς Ἕλληνας πάντας μεγί-
στῃσι δαπάνῃσι· τοῦτο δὲ, κατὰ τὰς ἑωυτοῦ θυγατέ-
2 ρας, ἐούσας τρεῖς, [c] οἷός τις ἀνὴρ [d] ἐγένετο. ἐπειδὴ
γὰρ ἐγένοντο γάμου ὡραῖαι, ἔδωκέ σφι δωρεὴν μεγα-
λοπρεπεστάτην, ἐκείνῃσί τε ἐχαρίσατο· ἐκ γὰρ πάν-
των τῶν Ἀθηναίων, τὸν ἑκάστη ἐθέλοι ἄνδρα ἑωυτῇ
123 ἐκλέξασθαι, ἔδωκε τούτῳ τῷ ἀνδρί.] Καὶ οἱ Ἀλ-
κμαιωνίδαι ὁμοίως, ἢ οὐδὲν [a] ἧσσον [b] τούτου, ἦσαν
μισοτύραννοι. [c] θῶμα ὦν μοι, καὶ οὐ προσίεμαι τὴν
διαβολὴν, τούτους γε [d] ἀναδέξαι ἀσπίδα, οἵτινες
ἔφευγόν τε τὸν πάντα χρόνον τοὺς τυράννους, ἐκ
μηχανῆς τε τῆς τούτων ἐξέλιπον [e] οἱ Πεισιστρατίδαι
2 τὴν τυραννίδα. καὶ οὕτω τὰς Ἀθήνας οὗτοι ἦσαν οἱ
ἐλευθερώσαντες πολλῷ μᾶλλον ἤπερ Ἁρμόδιός τε
3 καὶ Ἀριστογείτων, ὡς ἐγὼ κρίνω. οἱ μὲν γὰρ ἐξη-
γρίωσαν τοὺς [f] ὑπολοίπους Πεισιστρατιδέων, Ἵπ-
παρχον ἀποκτείναντες, οὐδέ τι μᾶλλον ἔπαυσαν τοὺς
λοιποὺς τυραννεύοντας· [g] Ἀλκμαιωνίδαι δὲ ἐμφα-
νέως ἐλευθέρωσαν, εἰ δὴ οὗτοί [h] γε ἀληθέως ἦσαν οἱ
τὴν Πυθίην ἀναπείσαντες προσημαίνειν Λακεδαι-
μονίοισι ἐλευθεροῦν τὰς Ἀθήνας, ὥς μοι πρότερον
124 δεδήλωται. Ἀλλὰ γὰρ [a] ἴσως τι [b] ἐπιμεμφόμενοι
[c] Ἀθηναίων τῷ δήμῳ προεδίδοσαν τὴν πατρίδα. Οὐ

lia. [Pannus turpis, adsutus purpuræ Herodoti.]

Quantum Alcmæonidæ ad Athenas tyrannide Pisistratidarum liberandas contulerint [5, 62. 63.].

Nobilissimi Athenis,

[c] οἷόν τε d. [d] ἐγίνετο V.a. ἐγένετο Wessel. al. S. Mox S. ἐγίνοντο.

123. [a] ἔσσον Schæfer. ὁμοίως S. in marg. [b] τούτου om. S. ἧσσον τούτῳ P. ἧσσον αὐτῶν F. [c] Sic F.S. Vulgo θώϋμα. Mox τούτους τε S. [d] Sic S.V.M.K.P.F. Paris. ἀναδέξασθαι al. cf. 115. Mox τε post ἔφευγον om. S. [e] οἱ om. F.a.S. Mox οἱ ante ἐλευθ. om. b. ῥύσαντες S. pro ἐλευθερώσ. Infra κρίνων S. [f] Sic Ald. a.c.S. λοιποὺς M.K.P.F.b.d. Wessel. Bekker. Mox οὐδ' ἔτι S. Deinde λοιποὺς e præced. irrepsisse censet Wesseling. τοῦ λοιποῦ conj. Reisk. [g] οἱ δὲ Ἀλκμαιονίδαι S. qui mox ἠλευθέρωσαν. [h] γε om. a.

124. [a] Sic M.S.V.P.K.F. Paris. τι al. om. [b] ἐπιμεμφομένῳ S. [c] Sic S.P.F.a. τῶν Ἀθην. vulg.

μὲν ὧν ἦσάν σφεων ἄλλοι δοκιμώτεροι ἔν γε Ἀθη-
2 ναίοισι ἄνδρες, οὐδ' οἱ μᾶλλον ἐτετιμέατο. οὕτω οὐδὲ 1
λόγος αἱρέει, ἀναδεχθῆναι ἔκ γε ἂν τούτων ἀσπίδα
ἐπὶ τοιούτῳ λόγῳ. [d] Ἀνεδέχθη μὲν γὰρ ἀσπίς·
καὶ τοῦτο οὐκ ἔστι ἄλλως εἰπεῖν, ἐγένετο γάρ· ὃς
μέντοι ἦν ὁ ἀναδέξας, οὐκ ἔχω προσωτέρω εἰπεῖν
τούτων.

125 jam inde a priscis temporibus. Auctus familiæ splendor per Alcmæonem Megaclis filium, quem Crœsus Sardes arcessitum magna vi auri donat.

Οἱ δὲ Ἀλκμαιωνίδαι ἦσαν μὲν καὶ τὰ ἀνέκαθεν
λαμπροὶ ἐν τῇσι Ἀθήνῃσι· ἀπὸ δὲ Ἀλκμαίωνος, καὶ
2 αὖτις Μεγακλέος, ἐγένοντο καὶ κάρτα λαμπροί. τοῦτο
μὲν γὰρ, Ἀλκμαίων ὁ Μεγακλέος τοῖσι ἐκ Σαρδίων
Λυδοῖσι παρὰ Κροίσου [a] ἀπικνεομένοισι ἐπὶ τὸ χρη-
στήριον τὸ ἐν Δελφοῖσι συμπρήκτωρ τε [b] ἐγίνετο καὶ
3 συνελάμβανε προθύμως. καί μιν Κροῖσος πυθόμενος
τῶν Λυδῶν, [c] τῶν ἐς τὰ χρηστήρια φοιτεόντων,
ἑωυτὸν εὖ ποιέειν, μεταπέμπεται ἐς Σάρδις· ἀπικό-
μενον δὲ δωρέεται χρυσῷ, τὸν ἂν δύνηται τῷ ἑωυτοῦ
4 σώματι [d] ἐξενείκασθαι [e] ἐσάπαξ. ὁ δὲ Ἀλκμαίων
πρὸς τὴν δωρεὴν, ἐοῦσαν τοιαύτην, τοιάδε ἐπιτηδεύσας 496
[f] προσέφερε. ἐνδὺς κιθῶνα [g] μέγαν καὶ [h] κόλπον
πολὺν καταλιπόμενος [i] τοῦ κιθῶνος, [k] κοθόρνους [l] τοὺς
εὕρισκε εὐρυτάτους ἐόντας ὑποδησάμενος, ἤιε ἐς τὸν
5 θησαυρὸν [m] ἐς τόν οἱ κατηγέοντο. [n] ἐσπεσὼν δὲ
ἐς σωρὸν ψήγματος, [o] πρῶτα μὲν παρέσαξε παρὰ

[d] Sic F.c. ἀνεδείχθη S. edd. cf. Plutarch. II. p. 862. E.

125. [a] Sic P.F.a.b. ἀπικομένοισι Wess. S. al. Supra Ἀλκμαίονος S. [b] ἐγένετο F.S. [c] τῶν om. P.S.V. [d] Sic M.P.K.V.S.F.a.b.d. ἐξενεῖκαι c. Ald. [e] Sic S.P. ἐς ἅπαξ F. εἰσάπαξ olim. [f] προεέφερε F.b. [g] μέγαν om. M.K.F.P. (P. tamen agnoscit in marg.) Habent ceteri cum Eustath. Il. p. 655, 62=521, 5. χιτῶνα S. [h] Sic S.V. Eustath. b.c. βαθὺν a.d. Bekker. al. βαθὺ F. [i] τοῦ κιθῶνος om. S. [k] Sic V.K.F.P. Paris. κοτόρνους S. Ald. Vulgatam scripturam omnes supra I. 155. ubi tamen hiat S. [l] Sic S.V. Paris. οὓς M.K. P.F. τῶν εὖ. vulg. Mox ὑποδυσάμενος S. [m] ἐς ὃν F. [n] ἐμπεσὼν S. ἐκπεσὼν F. [o] Sic S. πρῶτον Wessel. et al. Mox κότορνοι S. Ald.

τὰς κνήμας τοῦ χρυσοῦ ὅσον ἐχώρεον οἱ κόθορνοι·
μετὰ δὲ, τὸν κόλπον πάντα πλησάμενος [p] χρυσοῦ,
καὶ ἐς τὰς τρίχας τῆς κεφαλῆς διαπάσας τοῦ ψήγμα-
τος, [q] καὶ ἄλλο λαβὼν ἐς τὸ στόμα, ἐξήϊε ἐκ τοῦ
θησαυροῦ, ἕλκων μὲν [r] μόγις τοὺς κοθόρνους, παντὶ
δέ τεῳ οἰκὼς μᾶλλον ἢ ἀνθρώπῳ· τοῦ τό τε στόμα
6 ἐβέβυστο, καὶ πάντα [s] ἐξόγκωτο. ἰδόντα δὲ τὸν
Κροῖσον γέλως ἐσῆλθε· καί οἱ [t] πάντα τε ἐκεῖνα
διδοῖ, καὶ πρὸς, [v] ἕτερα δωρέεται οὐκ ἐλάσσω ἐκείνων.
7 [w] Οὕτω μὲν ἐπλούτησε ἡ [x] οἰκίη αὕτη μεγάλως· καὶ
ὁ Ἀλκμαίων οὗτος οὕτω τεθριπποτροφήσας, [y] Ὀλυμ-
126 πιάδα ἀναιρέεται. Μετὰ δὲ, γενεῇ δευτέρῃ ὕστερον,
Κλεισθένης [a] μιν ὁ [b] Σικυῶνος τύραννος [c] ἐξήειρε,
ὥστε πολλῷ ὀνομαστοτέρην γενέσθαι [d] ἐν τοῖσι Ἕλ-
2 λησι ἢ πρότερον [e] ἦν. Κλεισθένεϊ γὰρ τῷ Ἀρι-
στωνύμου, τοῦ Μύρωνος, τοῦ [f] Ἀνδρέω, γίνεται
θυγάτηρ τῇ οὔνομα ἦν Ἀγαρίστη. ταύτην ἠθέλησε,
Ἑλλήνων [g] πάντων ἐξευρὼν τὸν ἄριστον, τούτῳ
3 γυναῖκα προσθεῖναι. Ὀλυμπίων ὦν ἐόντων, καὶ νικῶν
ἐν αὐτοῖσι τεθρίππῳ [h] ὁ Κλεισθένης, κήρυγμα ἐποιή-
σατο ὅστις Ἑλλήνων ἑωυτὸν ἀξιοῖ Κλεισθένεος
γαμβρὸν γενέσθαι, ἥκειν ἐς ἑξηκοστὴν ἡμέρην, ἢ καὶ
πρότερον, ἐς Σικυῶνα· ὡς κυρώσοντος Κλεισθένεος

Post major ei claritas conciliata per Clisthenis, Sicyoniorum tyranni, affinitatem. Qui cum Græcorum nobilissimos Sicyonem invitasset, ut ex iis deligeret, cui filiam Agaristen desponsaret,

[p] τοῦ χρυσοῦ F. [q] Citat Tzetzes Chil. I. 10. [r] μεγίστους K.F. μόγις μὲν τοὺς κοτόρνους S. κοτόρνους Ald. [s] Sic S. ἐξώγκωτο vulg. Supra καὶ om. F. [t] Sic P.K.F. Paris. τε S. al. om. [v] Sic M.K. P.F.b. ἑτέροισί μιν δωρέεται οὐκ ἐλάττοσι a.c.d. (ἐλάσσοσιν S. ἐλάσσοσι Ald.) S.V. Ald. [w] οὕτω μὲν—οὗτος om. S. [x] Sic P.F. Paris. οἰκία olim. [y] Ὀλύμπια S.

126. [a] μὲν S. αὐτὴν K.F. [b] Sic K. Schæfer. Vall. Σικυώνιος S. vulg. Σικυωνίων f. [c] Sic M.P.K. Wessel. ἐξῆρε al. ἐξήγειρε F. ἐξῆρεν S. [d] αὐτοῖσι S. [e] ἦν om. M.P.F. Tum Κλεισθένη S. [f] Ἀνδρέα Steph. marg. [g] ἀπάντων F. [h] ὁ om. S. De Clisthene eadem Diodorus Sic. II. p. 550. Wessel. Mox ἐποιήσατο κήρυγμα S.

τὸν γάμον ἐν ἐνιαυτῷ, ἀπὸ τῆς ἑξηκοστῆς [i] ἀρξα-
4 μένου ἡμέρης. Ἐνθαῦτα Ἑλλήνων ὅσοι σφίσι τε
αὐτοῖσι [k] ἦσαν καὶ πάτρῃ ἐξωγκωμένοι, ἐφοίτεον
[l] μνηστῆρες· τοῖσι Κλεισθένης καὶ δρόμον καὶ πα- 497
127 λαίστρην ποιησάμενος [m] ἐπ' αὐτῷ τούτῳ εἶχε. Ἀπὸ
μὲν δὴ Ἰταλίης ἦλθε Σμινδυρίδης ὁ Ἱπποκράτεος
Συβαρίτης, ὃς ἐπὶ πλεῖστον δὴ χλιδῆς [a] εἷς ἀνὴρ
ἀπίκετο· (ἡ δὲ Σύβαρις ἤκμαζε τοῦτον τὸν χρόνον
μάλιστα·) καὶ Σιρίτης [b] Δάμασος, Ἀμύριος τοῦ
σοφοῦ λεγομένου παῖς. οὗτοι μὲν ἀπὸ Ἰταλίης
2 ἦλθον. Ἐκ δὲ τοῦ κόλπου τοῦ [c] Ἰονίου, [d] Ἀμφί-
μνηστος Ἐπιστρόφου Ἐπιδάμνιος· οὗτος δὲ ἐκ τοῦ
Ἰονίου κόλπου. Αἰτωλὸς δὲ ἦλθε, [e] Τιτόρμου τοῦ
ὑπερφύντος τε Ἕλληνας [f] ἰσχύϊ, καὶ φυγόντος ἀνθρώ-
πους ἐς τὰς ἐσχατιὰς τὴν [g] Αἰτωλίδος χώρης, τούτου
3 τοῦ Τιτόρμου ἀδελφεὸς Μάλης. Ἀπὸ δὲ Πελοπον-
νήσου, Φείδωνος τοῦ Ἀργείων τυράννου [h] παῖς Λεω-
κήδης, Φείδωνος δὲ τοῦ τὰ μέτρα ποιήσαντος Πελο-
ποννησίοισι, καὶ ὑβρίσαντος μέγιστα δὴ Ἑλλήνων
ἁπάντων, ὃς ἐξαναστήσας [i] τοὺς Ἠλείων ἀγωνο-
θέτας, αὐτὸς τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα ἔθηκε· τούτου τε
δὴ παῖς· καὶ Ἀμίαντος Λυκούργου, Ἀρκὰς ἐκ Τρα-
πεζοῦντος· καὶ Ἀζὴν ἐκ [k] Παίου πόλιος Λαφάνης,
Εὐφορίωνος τοῦ δεξαμένου τε, ὡς λόγος ἐν Ἀρκαδίῃ
[l] λέγεται, τοὺς [m] Διοσκούρους οἰκίοισι, καὶ ἀπὸ τούτου

alii aliunde se illuc conferunt: Athenis, præter Hippoclidem, Megacles Alcmæonis a Crœso ditati filius.

[i] ἡμέρ. ἀρξ. F. [k] εἶναι F. Mox ἐξογκώμενοι Bekker. [l] οἱ μνηστ. b. [m] ἐπ' αὐτὸ τοῦτο S.

127. [a] εἷς om. P. [b] Ita Galeus. Δάμασος Ἀνύριος S. Vall. Δάμας ὁ Σαμύριος vulg. [c] Ἰωνίου F. [d] Ἀμφίμνηστρος S. Vall. P. e corr. Mox ἐπιδαμνῖος S. [e] Τιτέρμου K.F.b.P. e corr. [f] ἰσχὺν S.V. [g] Sic M.P.K.S.F. Paris. Αἰολίδος edd. vett. [h] παῖς om. S.V. Λεωκήδης S.V.M.K.P.F.a.c. Λεωκίδης b. al. [i] τοὺς om. V.S. Supra πάντων F. [k] Πάγου πόλ. M.K.F.b.P. qui tamen in marg. παίου. Παιουπόλιος S. [l] φέρεται F. [m] Διοσκόρους S.

ξεινοδοκέοντος πάντας ἀνθρώπους· καὶ Ἠλεῖος Ὀνο-
4 μαστὸς Ἀγαίου. οὗτοι μὲν δὴ ἐξ αὐτῆς Πελοπον-
νήσου ἦλθον. Ἐκ δὲ [n] Ἀθηνέων ἀπίκοντο Μεγα-
κλέης τε ὁ Ἀλκμαίωνος, τούτου τοῦ παρὰ Κροῖσον
ἀπικομένου, καὶ ἄλλος Ἱπποκλείδης Τισάνδρου,
5 [o] πλούτῳ καὶ εἴδεϊ προφέρων Ἀθηναίων. ἀπὸ δὲ
Ἐρετρίης, [p] ἀνθευσης τοῦτον τὸν χρόνον, Λυσανίης·
οὗτος δὲ ἀπ' Εὐβοίης μοῦνος. [q] ἐκ δὲ Θεσσαλίης
[r] ἦλθε τῶν Σκοπαδέων Διακτορίδης [s] Κρανώνιος· ἐκ
δὲ Μολοσσῶν, Ἄλκων· Τοσοῦτοι μὲν ἐγένοντο [t] οἱ
128 μνηστῆρες. Ἀπικομένων δὲ τούτων ἐς τὴν προειρη- 498
μένην ἡμέρην, ὁ Κλεισθένης πρῶτα μὲν τὰς πάτρας τε
αὐτῶν [a] ἀνεπύθετο, καὶ γένος ἑκάστου· μετὰ δὲ,
κατέχων ἐνιαυτὸν, [b] διεπειρᾶτο αὐτῶν τῆς τε ἀνδρα-
γαθίης, καὶ τῆς ὀργῆς, καὶ παιδεύσιός τε καὶ τρόπου·
καὶ ἑνὶ ἑκάστῳ ἰὼν ἐς [c] συνουσίην καὶ συνάπασι, καὶ
ἐς γυμνάσιά τε [d] ἐξαγινέων ὅσοι ἦσαν αὐτῶν νεώτε-
ροι· καὶ [e] τό γε μέγιστον, ἐν τῇ [f] συνεστίῃ διεπειρᾶτο.
2 ὅσον γὰρ κατεῖχε χρόνον αὐτοὺς, τοῦτον πάντα ἐποίεε,
3 καὶ ἅμα [g] ἐξείνιζε μεγαλοπρεπέως. Καὶ δή κου
μάλιστα τῶν μνηστήρων [h] ἠρέσκοντο οἱ ἀπ' Ἀθηνέων
ἀπιγμένοι, καὶ τούτων μᾶλλον Ἱπποκλείδης ὁ Τισάν-
δρου [i] καὶ κατ' ἀνδραγαθίην ἐκρίνετο, καὶ ὅτι [k] τὸ
ἀνέκαθε τοῖσι ἐν Κορίνθῳ [l] Κυψελίδῃσι ἦν προσήκων.

Proci per annuum spatium Sicyone detenti, variisque modis tentati. Maxime probantur Athenienses: magis tamen altero Hippoclides.

[n] Sic a.b.c. Schæfer. Vulgo Ἀθηναίων cum S. [o] τούτῳ F. [p] ἀνθεούσης F. qui infra μόνος. Tum οὗτος δὴ S. [q] Steph. Byz. in Κράνων. [r] ἦρχε M.K.F. Vulg. defendit Steph. Byz. [s] Κραννώνιος S. Vall. Κρανόνιος b. [t] οἱ om. S.

128. [a] ἐπύθετο M.K.b.F. [b] ἐπειρᾶτο V.S. [c] ξυνουσίην et mox ξυνάπασι F. [d] ἐξάγων νέων S. [e] γε om. V.S. [f] συνέσει S. συνεστοῖ P. ex em. Schæfer. ξυνεστίῃ F. qui om. διεπειρᾶτο. [g] ἐξένιζε F. Mox δήπου F.b. [h] ἠρέσκοντό οἱ Matth. Mox Ἀθηνέων a.b.c. Schæfer. Ἀθηναίων vulgo. [i] καὶ om. S.V. [k] τὰ ἀνέκαθεν b. Bekker. [l] Κυψελλίδ. b.c.f. Ald.

129 Ὡς δὲ ἡ κυρίη ἐγένετο τῶν ἡμερέων τῆς τε κατακλί-
σιος τοῦ γάμου καὶ ἐκφάσιος αὐτοῦ Κλεισθένεος, τὸν
[a] κρίνοι ἐκ πάντων, θύσας βοῦς ἑκατὸν ὁ Κλεισθένης,
εὐώχεε αὐτούς τε τοὺς μνηστῆρας καὶ τοὺς Σικυωνίους
2 πάντας. ὡς δὲ ἀπὸ δείπνου [b] ἐγένοντο, οἱ μνηστῆρες
[c] ἔριν εἶχον ἀμφί τε μουσικῇ καὶ τῷ λεγομένῳ ἐς τὸ
μέσον. προϊούσης δὲ τῆς πόσιος, κατέχων πολλὸν
τοὺς ἄλλους ὁ Ἱπποκλείδης, [d] ἐκέλευέ οἱ [e] τὸν αὐ-
λητὴν [f] αὐλῆσαι [g] ἐμμέλειαν· πειθομένου δὲ τοῦ αὐ-
3 λητέω, [h] ὀρχήσατο. καί κως ἑωυτῷ μὲν ἀρεστῶς
ὀρχέετο· ὁ δὲ Κλεισθένης ὁρέων, ὅλον τὸ πρῆγμα
[i] ὑπόπτευε. μετὰ δὲ, ἐπισχὼν ὁ Ἱπποκλείδης χρόνον,
4 [k] ἐκέλευέ τινα τράπεζαν [l] ἐσενεῖκαι. [m] ἐσελθούσης δὲ
τῆς τραπέζης, πρῶτα μὲν ἐπ' αὐτῆς [n] ὀρχήσατο Λα-
κωνικὰ [o] σχημάτια· μετὰ δὲ, ἄλλα Ἀττικά· τὸ τρίτον
δὲ, τὴν κεφαλὴν ἐρείσας ἐπὶ τὴν τράπεζαν, [p] τοῖσι
5 σκέλεσι ἐχειρονόμησε. Κλεισθένης δὲ, τὰ μὲν πρῶτα
καὶ τὰ δεύτερα ὀρχεομένου ἀποστυγέων γαμβρὸν [q] ἄν
οἱ ἔτι γενέσθαι Ἱπποκλείδεα διά τήν τε ὄρχησιν
καὶ τὴν ἀναιδείην, κατεῖχε ἑωυτὸν, οὐ βουλόμενος
ἐκραγῆναι ἐς αὐτόν· ὡς δὲ εἶδε τοῖσι σκέλεσι χειρο-
6 νομήσαντα, οὐκέτι κατέχειν δυνάμενος, εἶπε· "Ὦ παῖ
"Τισάνδρου, [r] ἀπορχήσαό γε μὴν τὸν γάμον." ὁ δὲ

Is dum in eo est, ut cæteris prælatus, Agaristen in matrimonium ducat, sua ipsius culpa, quod Clisthenem frivola saltatione offendisset, uxore excidit.

129. [a] Sic S.V.F. al. κρίνει vulg. κρίνοιεν f. Seqq. attigit Eustath. Il. p. 49, 2=36. Mox τοὺς ante Σικυωνίους om. S. [b] ἐγίνοντο F. [c] Sic F.f.S. εἶχον ἔριν vulg. [d] Sic F. ἐκέλευσεν οἱ f. ἐκέλευσε absque οἱ vulg. S. Bekker. [e] αὐτὸν αὐλητὴν S. [f] Sic F.f.S.V.K. Bekkerus et vulgo αὐλῆσαί οἱ. [g] εὐμέλειαν b. [h] Sic K. Vulgo cum S. ὠρχήσατο. Tum ὀρχέετο V.S. pro ὠρχέετο cf. Koen. Gregor. Dial. Ion. 23. Mox ἀρεστῶς om. F. ὁ Κλεισθένης δὲ S. [i] Sic S. Ald. ὑπώπτευε al. [k] Sic F. ἐκέλευσέν οἱ τινὰ S.V. Wess. Bekker. ἐκέλευσε τινα M.a.b. edd. vett. [l] ἐσενεγκεῖν K.f. [m] ἐλθούσης K. [n] Sic S.K. ὠρχήσατο vulg. [o] σχήματα f. ὀρχήματα σχημάτια S. [p] Pollux II. 153. [q] ἂν om. K.f.F.b. Bekker. γαμπρὸν F. ut supra 126. Tum Ἱπποκλείδην S. Mox τε om. S. Deinde leg. ἀναιδίην. [r] ἀπορχήσαο S.F. Vulg. ἀπωρχ.

Ἱπποκλείδης ὑπολαβὼν [s] εἶπε· “ Οὐ φροντὶς Ἱππο-
130 “ κλείδῃ.” Ἀπὸ τούτου μὲν τοῦτο [t] οὐνομάζεται. 499
Κλεισθένης δὲ σιγὴν ποιησάμενος, ἔλεξε ἐς μέσον
τάδε· “ “Ἄνδρες, παιδὸς τῆς ἐμῆς μνηστῆρες, ἐγὼ
“ καὶ πάντας ὑμέας ἐπαινέω, καὶ πᾶσιν ὑμῖν, εἰ οἷόν
“ τε [a] εἴη, χαριζοίμην ἄν, [b] μήτ' ἕνα ὑμέων ἐξαίρετον
2 “ ἀποκρίνων, μήτε τοὺς λοιποὺς ἀποδοκιμάζων. ἀλλ'
“ οὐ γὰρ οἷά τέ ἐστι, μιῆς πέρι παρθένου βουλεύ-
“ οντα, πᾶσι κατὰ νόον ποιέειν· τοῖσι μὲν ὑμέων
“ ἀπελαυνομένοισι [c] τοῦδε τοῦ γάμου, τάλαντον
“ ἀργυρίου ἑκάστῳ δωρεὴν δίδωμι τῆς [d] ἀξιώσιος
“ εἵνεκα τῆς ἐξ ἐμεῦ γῆμαι, καὶ τῆς ἐξ οἴκου ἀπο-
“ δημίης· [e] τῷ δὲ Ἀλκμαίωνος Μεγακλέϊ ἐγγυῶ
“ παῖδα τὴν ἐμὴν [f] Ἀγαρίστην, νόμοισι τοῖσι Ἀθη-
3 “ ναίων.” φαμένου δὲ ἐγγυᾶσθαι Μεγακλέος, ἐκεκύ-
ρωτο ὁ γάμος Κλεισθένεϊ.

Igitur Agariste Megacli despondetur.

131 Ἀμφὶ μὲν [a] κρίσιος τῶν μνηστήρων τοσαῦτα
[b] ἐγένετο, καὶ οὕτω Ἀλκμαιωνίδαι ἐβώσθησαν ἀνὰ τὴν
2 Ἑλλάδα. Τούτων δὲ συνοικησάντων, γίνεται Κλει-
σθένης τε ὁ τὰς [c] φυλὰς καὶ τὴν δημοκρατίην Ἀθη-
ναίοισι καταστήσας, ἔχων τὸ οὔνομα ἀπὸ τοῦ μητρο-
πάτορος τοῦ Σικυωνίου· οὗτός τε δὴ γίνεται [d] Μεγα-
3 κλέϊ, καὶ Ἱπποκράτης. ἐκ δὲ Ἱπποκράτεος, Μεγα-
κλέης τε ἄλλος, καὶ Ἀγαρίστη ἄλλη, ἀπὸ τῆς Κλει-
σθένεος Ἀγαρίστης ἔχουσα τὸ οὔνομα· ἣ συνοική-
σασά τε Ξανθίππῳ τῷ Ἀρίφρονος, [e] καὶ ἔγκυος
ἐοῦσα, εἶδε ὄψιν ἐν τῷ ὕπνῳ, ἐδόκεε [f] δὲ λέοντα

His nati Clisthenes, novæ Atheniensium decem in tribus divisionis auctor, [5, 66.], et Hippocrates: Hippocrate, Megacles et Agariste. Hæc Xanthippo parit Periclem.

[s] ἔφη S.V. [t] ὀνομάζεται S.

130. [a] ἐστὶ P.K.F.d. [b] μηδένα b. μηθένα F. [c] τούτου S.V. [d] Sic S.K.F. ἀξιώσεως al. [e] Μεγακλέει δὲ ἐγγυῶ M.P.K.F. absque τῷ Ἀλκ. [f] Ἀρίστην F.

131. [a] Sic M.K.F.b. Vulgo κρίσει cum S. [b] Sic S.V.K.P.F. Paris. ἐγίνετο olim. [c] βουλὰς b. [d] Μεγακλέεϊ K. [e] καὶ ἔγκυος ἐοῦσα om. S. conf. Plutarch. Pericl. p. 153. [f] δὲ S.

τεκεῖν· καὶ μετ' ὀλίγας ἡμέρας τίκτει Περικλέα Ξανθίππῳ.

132 Post pugnam Marathoniam Miltiades, jam plurimum Athenis pollens, accepta classe LXX navium,

Μετὰ δὲ τὸ ἐν Μαραθῶνι τρῶμα γενόμενον, Μιλτιάδης καὶ πρότερον εὐδοκιμέων παρὰ Ἀθηναίοισι, 2 τότε μᾶλλον αὔξετο. αἰτήσας δὲ νέας ἑβδομήκοντα καὶ στρατιήν τε καὶ χρήματα [a] τοὺς Ἀθηναίους, οὐ φράσας [b] σφι ἐπ' ἣν [c] ἐπιστρατεύεται χώρην, ἀλλὰ φὰς αὐτοὺς καταπλουτιεῖν, ἤν οἱ ἕπωνται· ἐπὶ γὰρ χώρην τοιαύτην [d] δή τινα ἄξειν, ὅθεν χρυσὸν εὐπετέως ἄφθονον οἴσονται· λέγων τοιαῦτα, αἴτεε τὰς νέας.

133 Parum adoritur. Pariis fortissime resistentibus,

3 Ἀθηναῖοι δὲ τούτοισι ἐπαρθέντες, παρέδοσαν. Παραλαβὼν δὲ ὁ Μιλτιάδης τὴν στρατιὴν, ἔπλεε ἐπὶ Πάρον, πρόφασιν ἔχων ὡς οἱ Πάριοι ὑπῆρξαν πρότεροι στρατευόμενοι [a] τριήρεϊ ἐς Μαραθῶνα ἅμα τῷ 2 Πέρσῃ. τοῦτο μὲν δὴ [b] πρόσχημα λόγου ἦν· ἀτὰρ τινα καὶ ἔγκοτον εἶχε τοῖσι Παρίοισι διὰ [c] Λυσαγόρεα τὸν [d] Τισίεω, ἐόντα γένος Πάριον, [e] διαβαλόντα μιν
3 πρὸς Ὑδάρνεα τὸν Πέρσην. Ἀπικόμενος δὲ [f] ἐς τὴν 500
ἔπλεε ὁ Μιλτιάδης τῇ στρατιῇ, ἐπολιόρκεε Παρίους, [g] κατειλημένους ἐντὸς τείχεος· καὶ ἐσπέμπων [h] κήρυκα, αἴτεε ἑκατὸν τάλαντα, φὰς, [i] ἢν μή οἱ δῶσι, οὐκ [k] ἀπαναστήσειν τὴν στρατιὴν, πρὶν ἢ ἐξέλῃ σφέας.

132. [a] τοὺς om. S.P.F. Bekker. [b] σφι om. P. [c] στρατεύσεται S. ἐπιστρατεύσηται b. ἐπιστρατεύσεται Matthiæ. Mox ἕπονται S. [d] μή τινα F.

133. [a] Sic S.V. Vall. probante Wesselingio, edente tamen τριήρεσι cum al. [b] Sic S. Vall. cf. IV. 167. πρ. λόγων olim. Mox καὶ om. Ald. [c] Sic M.P.K. Paris. F. Λυσαγόρην S. vulg. [d] Τίσεω S.V. Vall. [e] καὶ διαβ. S. διαβάλλοντα b. διαβάλοντα F. [f] ἐπ' ἣν P.K.F.b. [g] Sic V. κατειλημμένους S.P.K.F. ἐγκατειλημμένους olim. [h] Sic S.P.V.K. Vall. F. Paris. κήρυκας olim. [i] Sic a.c.d.P. ἢν μὴ οἱ δώσειν Ald. S.V. ἤν μιν οὐ δῶσιν (vel δῶσι) M.K. F.b. ἢν μή οἱ δώσει al. [k] ἀπαναστήσειν S.V. Schæfer. Valla, *abducturum copias*. ἀπονοστήσειν al. non improbante Valckenærio.

4 Οἱ δὲ Πάριοι, ὅκως [l] μέν τι [m] δώσουσι Μιλτιάδῃ
ἀργυρίον [n] οὐδὲ διενοεῦντο· οἱ δὲ, ὅκως [o] διαφυλάξουσι
τὴν πόλιν, [p] τοῦτο ἐμηχανῶντο· ἄλλα τε ἐπιφραζό-
μενοι, καὶ τῇ μάλιστα [q] ἔσκε ἑκάστοτε ἐπίμαχον τοῦ
τείχεος, τοῦτο ἅμα νυκτὶ [r] ἐξήρετο διπλήσιον τοῦ
134 ἀρχαίου. Ἐς μὲν δὴ τοσοῦτο τοῦ λόγου οἱ πάντες
Ἕλληνες λέγουσι· [a] τὸ ἐνθεῦτεν δὲ αὐτοὶ Πάριοι
2 γενέσθαι ὧδε λέγουσι. [b] Μιλτιάδῃ ἀπορέοντι ἐλθεῖν
ἐς λόγους αἰχμάλωτον γυναῖκα, ἐοῦσαν μὲν Παρίην
γένος, οὔνομα δέ οἱ εἶναι Τιμοῦν· εἶναι δὲ [c] ὑποζά-
3 κορον τῶν χθονίων θεῶν. [d] ταύτην δὲ ἐλθοῦσαν ἐς
ὄψιν Μιλτιάδεω, [e] συμβουλεῦσαί οἱ, εἰ περὶ πολλοῦ
ποιέεται Πάρον ἑλεῖν, τὰ ἂν αὐτὴ ὑποθῆται, ταῦτα
4 ποιέειν. μετὰ δὲ, τὴν μὲν ὑποθέσθαι· τὸν δὲ, [g] ἀπι-
κόμενον ἐπὶ τὸν κολωνὸν τὸν πρὸ τῆς [h] πόλιος ἐόντα,
[i] τὸ ἕρκος θεσμοφόρου Δήμητρος [k] ὑπερθορέειν, οὐ
δυνάμενον τὰς θύρας ἀνοῖξαι· [l] ὑπερθορόντα δὲ, ἰέναι
[m] ἐπὶ τὸ μέγαρον, ὅ τι δὴ ποιήσοντα ἐντὸς, εἴτε κινή-
σοντά τι τῶν ἀκινήτων, εἴτε ὅ τι δήποτε πρήξοντα.
5 πρὸς τῇσι θύρῃσί τε γενέσθαι, καὶ [n] πρόκα τε φρίκης

Miltiades, etsi sacerdotis cujusdam Pariæ opera adjutus, læso femore,

[l] μέν τοι S. simpl. μὲν F. [m] Sic S.V.P.K.F.a.c. Schæfer. δώσωσι al. Mox ἀργύριον F.b. pro ἀργυρίου, probante Matthiæ, qui monet τι ἀργυρίου, *aliquid pecuniæ*, Latinam esse, non Græcam locutionem. Vulg. retinet Bekkerus. [n] οὐδὲ K.F.S. οὐδὲν vulg. [o] Sic S.a.c.d. διαφυλάξωσι al. [p] τοῦτο om. V.S. [q] ἔσχε F. ἔσχεν b. [r] ἐξῆρτο F.b. Mox πλησίον F. Vulg. habet S.

134. [a] τὸ ἐνθεῦτεν—λέγουσι om. F. Supra τοσοῦτον S. [b] τῷ Μιλτιάδῃ S. [c] Suidæ edd. in Ζάκορος. Locus in mss. fere ut in Photio legitur. [d] ταύτην δὲ S. Schæfer. δὲ al. om. [e] συμβουλεῦσαί οἱ om. S. οἱ om. F.b. [g] διερχόμενον K.P.F. [h] Sic S.V.P.F. Paris. πόλεως al. πόλεος Ald. [i] τὸ om. F.S. [k] ὑπερθορεῖν F. cf. Suid. in Ὑπερθορῶν. [l] ὑπερθορόντα M.K.P.V.a.c. ὑπερθορέοντα S. al. ὑπερθορῶντα F.b. θορῶντα Suid. [m] ὑπὲρ τὸ μέγ. S.V. Mox ὅτι δὲ S. [n] Citat Suid. in Πρόκα, ubi ἐπελθούσης. Vulg. citato Soph. El. 1118. ὥς μ' ὑπέρχεται φόβος defendit Wesseling. πρόκατε F. cf. I. 111. πρόβατε S.

αὐτὸν ὑπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἵεσθαι· [o] καταθρώσκοντα δὲ τὴν αἱμασιὴν, τὸν μηρὸν σπασθῆναι· οἱ δὲ αὐτὸν τὸ γόνυ [p] προσπταῖσαι λέγουσι.

135 [a] Μιλτιάδης μέν νυν φλαύρως ἔχων, ἀπέπλεε ὀπίσω,
οὔτε χρήματα Ἀθηναίοισι ἄγων, οὔτε Πάρον προσ-
κτησάμενος, ἀλλὰ [b] πολιορκήσας τε ἓξ καὶ εἴκοσι 501
2 ἡμέρας, καὶ δηϊώσας τὴν νῆσον. Πάριοι δὲ, πυθό-
μενοι ὡς ἡ ὑποζάκορος τῶν θεῶν Τιμὼ Μιλτιάδη
κατηγήσατο, βουλόμενοί μιν ἀντὶ τούτων τιμωρή-
σασθαι, θεοπρόπους [c] πέμπουσι ἐς Δελφοὺς, ὥς
3 σφεας ἡσυχίη τῆς πολιορκίης ἔσχε. ἔπεμπον δὲ ἐπει-
ρησομένους εἰ καταχρήσονται τὴν ὑποζάκορον τῶν
θεῶν, [d] ὡς ἐξηγησαμένην τοῖσι ἐχθροῖσι [e] τῆς πατρί-
δος ἅλωσιν, καὶ τὰ ἐς ἔρσενα γόνον ἄρρητα ἱρὰ [f] ἐκ-
4 φήνασαν Μιλτιάδη. ἡ δὲ Πυθίη οὐκ ἔα, φᾶσα, οὐ
Τιμοῦν εἶναι τὴν αἰτίην τούτων, ἀλλὰ δεῖν γὰρ Μιλ-
τιάδεα τελευτᾶν μὴ εὖ, φανῆναί οἱ τῶν κακῶν κατη-
γεμόνα. Παρίοισι μὲν δὴ ταῦτα [g] ἡ Πυθίη ἔχρησε.

infectisque rebus abit. Quid Pythia Pariis oraculum de pœna sacerdoti irroganda consulentibus responderit.

136 Ἀθηναῖοι δὲ ἐκ Πάρου Μιλτιάδεα ἀπονοστήσαντα
ἔσχον ἐν [a] στόμασι, οἵ τε ἄλλοι, καὶ μάλιστα Ξάν-
θιππος, ὁ Ἀρίφρονος· ὃς θανάτου [b] ὑπαγαγὼν ὑπὸ 1
τὸν δῆμον Μιλτιάδεα, ἐδίωκε τῆς Ἀθηναίων ἀπάτης
2 [c] εἵνεκεν. Μιλτιάδης δὲ, αὐτὸς μὲν παρεὼν, οὐκ ἀπε-
λογέετο· (ἦν γὰρ ἀδύνατος, ὥστε σηπομένου τοῦ

Miltiades Athenas reversus ob expeditionem Pariam accusatur. Ibi quoniam ipse, quippe femore æ-

[o] Suid. in v. [p] προσπαῖσαι F.

135. [a] Μιλτ. δὲ μὲν νῦν F. [b] Sic S.P.K.F. Paris. τε vulg. om. Mox ἡ ante ὑποζάκορος om. S. qui infra κατηγήσαιτο. [c] ἐς Δελφ. πέμπ. F. Mox καταχρήσωνται S. Vide Dobræi Adv. ad V. 67. [d] τὴν ἐξηγ. P.K.F. [e] Sic P.K.S.V.F. Paris. τῆς om. Ald. [f] ἐκφήσασαν S. [g] ἔχρησεν ἡ Πυθίη S.

136. [a] στόματι S.V. Vall. Schæfer. Nostrum III. 157. confert Schweighæuser. Supra Μιλτιάδην ἐκ Πάρου S. [b] Sic a.c. Ald. Schæfer. ἀγαγὼν M.P.K.F.b.d. Difficilis electio. cf. 82. et 104. θανάτω S. et mox Μιλτιάδην. [c] Sic S.V.F. Schæfer. εἵνεκα Wessel. al. Mox αὐτοῦ δὲ προκειμένου S.

μηροῦ·) προκειμένου δὲ αὐτοῦ ἐν κλίνῃ, [d] ὑπεραπολο-
γέοντο οἱ φίλοι, τῆς μάχης τε τῆς ἐν Μαραθῶνι [e] γε-
νομένης πολλὰ ἐπιμεμνημένοι, καὶ τὴν Λήμνου αἵρε-
σιν· ὡς ἑλὼν Λῆμνόν τε καὶ τισάμενος τοὺς Πε-
3 λασγοὺς, παρέδωκε Ἀθηναίοισι. [f] Προσγενομένου δὲ
τοῦ δήμου αὐτῷ κατὰ τὴν ἀπόλυσιν τοῦ θανάτου,
ζημιώσαντος δὲ κατὰ τὴν ἀδικίην πεντήκοντα [g] τα-
λάντοισι, Μιλτιάδης μὲν μετὰ ταῦτα, [h] σφακελίσαν-
τός τε τοῦ μηροῦ καὶ σαπέντος, τελευτᾷ· τὰ δὲ πεν-
τήκοντα τάλαντα ἐξέτισε ὁ παῖς αὐτοῦ Κίμων.

137 Λῆμνον δὲ Μιλτιάδης ὁ Κίμωνος [a] ὧδε ἔσχε.
Πελασγοὶ, ἐπεί τε [aa] ἐκ τῆς Ἀττικῆς ὑπὸ Ἀθηναίων
[b] ἐξεβλήθησαν, εἴτε ὦν δὴ δικαίως, εἴτε ἀδίκως· (τοῦτο
γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα· ὅτι Ἑκα-
ταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι
2 λέγων ἀδίκως. ἐπεί τε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν
χώρην, [c] τήν σφισι αὐτοῖσι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦ-
σαν ἔδοσαν οἰκῆσαι, μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν
ἀκρόπολίν [d] κοτε ἐληλαμένου· ταύτην ὡς ἰδεῖν τοὺς
Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι
κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε
καὶ ἵμερον τῆς γῆς, καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδε-
μίαν ἄλλην πρόφασιν προϊσχομένους τοὺς Ἀθη-

ger, pro se dicere non posset, verba pro eo amici faciunt, et victoriam Marathoniam et Lemni expugnationem commemorantes. Sic capitis absolutus, pecunia multatur: quam multam, cum ex morbo postmodum decessisset, filius ejus Cimon exsolvit.

Digressio de Lemno ejusque incolis Pelasgis. Pelasgi olim Hymetti accolæ, sedibus suis ab Atheniensi- 502 bus ejecti, (cujus expulsionis variæ traduntur causæ,) cum alia loca,

[d] ὑπεραπελογ. S.V.F. Bekker. [e] γενομένης ex S.V.P.K.F.b. om. Wess. a.c. Bekker. al. Supra μάχης τε τῶν ἐν S. [f] προσγινομ. S.V. Mox ζημιώσαντες Ald. [g] τάλαντα S. Schæfer. [h] Sic P.K.F. Paris. Sic et S.V. qui τε tamen om. σφακελ. αὐτῷ τοῦ μ. καὶ σ. αὐτοῦ τ. Ald. Conf. III. 66.

137. [a] ὧδε M.S.P.K. Olim οὕτω. [aa] Sic V.K.F.b.d. ἐκτὸς Ἀττικῆς Wess. et al. [b] Sic S.V.K.F.a.b.c. ἐξελάθησαν Ald. Wess. ἐξελάσθησαν Gronov. [c] τὴν σφίσιν αὐτοῖς ὑπὸ F. τὴν σφίσιν αὐτοῖσιν ὑπὸ S. Vulgatum αὐτοῖσι cum Schæfero delevit Schweighæuserus, sed in annot. in αὐτοὶ (sc. οἱ Ἀθηναῖοι) mutandum statuit. Delet item Bekker. [d] ποτὲ F.S.

tum Lemnum occupant.

3 ναίους. Ὡς δὲ [e] αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως
ἐξελάσαι. κατοικημένους [f] γὰρ τοὺς Πελασγοὺς ὑπὸ
τῷ Ὑμησσῷ, ἐνθεῦτεν ὁρμεωμένους, ἀδικέειν τάδε.
4 φοιτᾶν γὰρ αἰεὶ τὰς [g] σφετέρας [h] θυγατέρας [τε καὶ
τοὺς παῖδας] ἐπ' ὕδωρ ἐπὶ τὴν Ἐννεάκρουνον· (οὐ
γὰρ εἶναι τοῦτον τὸν χρόνον σφίσι κω οὐδὲ τοῖσι
5 ἄλλοισι [i] Ἕλλησι οἰκέτας.) ὅκως δὲ ἔλθοιεν αὗται,
τοὺς Πελασγοὺς ὑπὸ ὕβριός τε καὶ ὀλιγωρίης βιᾶσθαί
σφεας. καὶ ταῦτα μέντοι σφίσι οὐκ ἀποχρᾶν ποιέειν,
ἀλλὰ τέλος καὶ ἐπιβουλεύοντας ἐπιχειρήσειν [k] φανῆ-
6 ναι ἐπ' αὐτοφώρῳ. ἑωυτοὺς δὲ γενέσθαι [l] τοσούτῳ
ἐκείνων ἄνδρας ἀμείνονας, [m] ὅσῳ παρεὸν αὐτοῖσι
ἀποκτεῖναι τοὺς Πελασγοὺς, ἐπεί σφεας ἔλαβον ἐπι-
βουλεύοντας, οὐκ ἐθελῆσαι, ἀλλά [n] σφι προειπεῖν ἐκ
7 τῆς γῆς [o] ἐξιέναι. τοὺς δὲ, οὕτω δὴ ἐκχωρήσαντας,
[p] ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον. Ἐκεῖνα
μὲν δὴ Ἑκαταῖος [q] ἔλεξε, ταῦτα δὲ Ἀθηναῖοι λέγουσι.)

138 Οἱ δὲ Πελασγοὶ οὗτοι Λῆμνον τότε νεμόμενοι, [a] καὶ βουλόμενοι τοὺς Ἀθηναίους τιμωρήσασθαι, εὖ τε ἐξεπιστάμενοι τὰς Ἀθηναίων [b] ὁρτὰς, [c] πεντηκοντέρους [d] στησάμενοι, ἐλόχησαν Ἀρτέμιδι ἐν [e] Βραυρῶνι

Inde ad pœnas petendas Brauronem navibus appulsis ma-

[e] αὐτοὶ om. S.V. [f] γὰρ δὴ τὰς S.V. Infra ὁρμωμένους S. [g] φρένας F. [h] Sic V.P.K.F. θ. τε καὶ π. Ald. Wess. θυγατέρας τε absque καὶ τοὺς παῖδας S. θυγατέρας ἐπ' ὕδωρ omissis mediis Schæfer. Bekker. τε καὶ τοὺς παῖδας uncinis secludi debere monet Schweighæuser. et pro suspectis habuit Wesselingius, cum ob seq. αὗται, tum quod veteri more puellæ erant ὑδροφόροι. cf. Arrian. Ἀναβ. II. 3. Homer. Od. κ'. 105. [i] Ἕλλησι om. b. [k] Sic F. ἐπ' αὐτ. φ. vulg. φανῆναι ἐπαυτοφόρῳ S. [l] Sic F.a.b. τοσοῦτο Wess. et al. [m] ὅσῳ M.K.P.V. S.F. Par. ὅσον al. [n] σφίσι F. [o] προϊέναι d. [p] Sic P.K.V.S. a.b.d. ἄλλα τε δὴ σχεῖν χ. κ. Λ. c. edd. vett. σχεῖν—ταῦτα δὲ om. F. [q] ἔδοξε S.V.

138. [a] καὶ βουλόμενοι om. S. qui mox τιμωρήσασθαι ἐθέλοντες. [b] Sic M.S.K.V.P.A.B.F. ὁρτὰς αὐτῶν Ald. et al. [c] πεντηκοντόρους F.b.S. [d] Sic S.V. Schæfer. κτησάμενοι F. vulg. Bekker. [e] Βαβρῶνι b.

2 ἀγούσας ὁρτὴν τὰς τῶν Ἀθηναίων γυναῖκας. ἐνθεῦ-
τεν δὲ ἁρπάσαντες τουτέων πολλὰς, οἴχοντο ἀπο-
πλέοντες· καί σφεας ἐς Λῆμνον ἀγαγόντες, [f] παλ-
3 λακὰς εἶχον. Ὡς δὲ τέκνων αὗται αἱ γυναῖκες
[g] ὑπεπλήσθησαν, γλῶσσάν τε τὴν Ἀττικὴν καὶ τρό-
4 πους [h] τῶν Ἀθηναίων ἐδίδασκον τοὺς παῖδας. οἱ δὲ
οὔτε [i] συμμίσγεσθαι τοῖσι ἐκ τῶν Πελασγίδων γυναι-
κῶν παισὶ ἤθελον, [k] εἴ τε τύπτοιτό τις αὐτῶν ὑπ'
ἐκείνων τινὸς, ἐβοήθεόν τε πάντες, καὶ ἐτιμώρεον
ἀλλήλοισι· καὶ δὴ καὶ ἄρχειν [l] τε τῶν παίδων οἱ
5 παῖδες ἐδικαίευν, καὶ [m] πολλὸν ἐπεκράτεον. Μαθόν-
τες δὲ ταῦτα οἱ Πελασγοὶ, ἑωυτοῖσι λόγους [n] ἐδί-
δοσαν· καί σφισι [o] βουλευομένοισι δεινόν τι ἐσέδυνε,
[p] εἰ δὴ διαγινώσκοιεν σφίσι τε βοηθέειν οἱ παῖδες
πρὸς τῶν [q] κουριδιέων γυναικῶν τοὺς παῖδας, καὶ
τούτων αὐτίκα ἄρχειν πειρῴατο, τί δὴ ἀνδρωθέντες
6 δῆθεν ποιήσουσι. ἐνθαῦτα ἔδοξέ σφι κτείνειν τοὺς 503
παῖδας τοὺς ἐκ τῶν Ἀττικέων γυναικῶν. [r] ποιεῦσι
δὴ ταῦτα· προσαπολλύουσι [s] δέ σφεων καὶ τὰς μη-
7 τέρας. Ἀπὸ τούτου δὲ τοῦ ἔργου, καὶ τοῦ προτέρου
[t] τούτων [u] τὸ ἐργάσαντο αἱ γυναῖκες, τοὺς ἅμα Θόαντι
ἄνδρας σφετέρους ἀποκτείνασαι, νενόμισται ἀνὰ τὴν
Ἑλλάδα τὰ σχέτλια ἔργα πάντα [w] Λήμνια καλέεσθαι.

[...]gnum numerum feminarum Atticarum per insidias rapiunt, cum iisque consuescunt. Post et filios his feminis in Lemno genitos, quod soboli Pelasgicarum mulierum infesti viderentur, et ipsas matres necant.

[f] παλακὰς F.S. [g] ὑπεβλήθησαν b. αἱ γυναῖκες αὗται S. [h] τοὺς Ἀθην. F. Bekker. [i] Sic M.P.F. al. συμμίγεσθαι K. συμμίγνυσθαι S.a. et vulg. [k] εἴ τε S.P.K.F. Paris. εἴ τι Ald. [l] τε om. S.V. [m] Sic S.V. Schæfer. πολλῷ vulg. [n] ἐδίδοσαν M.K.P.F.b.d. ἔδοσαν a.c. al. [o] βουλομένοισι K. [p] Sic S.V.P.F.a. εἰ δὲ δὴ Wessel. al. [q] Sic P.K.F. κουριδίων S.a. et al. Mox Ἀττικῶν S. [r] ποιέουσί τε F. ποιεῦσι ταῦτα δὲ S. [s] Sic M.P.K.F.d. σφι καὶ τὰς μ. S.V. δὲ καὶ τὰς μητέρας αὐτέων (vel αὐτῶν) a.b.c. et al. Mox ἀπὸ δὲ τούτου S. [t] Sic S.V. Vall. F. Paris. τούτου olim. [u] ὅ ἐργάσ. K. M.P. ὅ εἰργ. F. [w] Cf. Eustath. Il. p. 158, 11=119, 27. Dionys. 347.

139 Ob hanc cædem calamitates iis gravissimæ divinitus importatæ. Quam deorum iram ut averruncarent, a Pythia Atheniensibus pœnas, quas illi poposcissent, dare jubentur. His ipsam Lemnum petentibus, quo artificio oraculum tunc eluserint.

[a] Ἀποκτείνασι δὲ τοῖσι Πελασγοῖσι τοὺς σφετέρους
παῖδάς τε καὶ γυναῖκας, οὔτε γῆ καρπὸν ἔφερε, οὔτε
γυναῖκές τε καὶ ποῖμναι ὁμοίως ἔτικτον [b] καὶ πρὸ
2 τοῦ. πιεζόμενοι δὲ [c] λιμῷ τε καὶ ἀπαιδίῃ, ἐς Δελ-
φοὺς ἔπεμπον, λύσιν τινὰ αἰτησόμενοι τῶν παρεόν-
των κακῶν. Ἡ δὲ Πυθίη σφέας ἐκέλευε Ἀθη-
ναίοισι δίκας διδόναι ταύτας [d] τὰς ἂν [e] αὐτοὶ Ἀθηναῖοι
3 δικάσωσι. ἦλθόν [f] τε δὴ ἐς τὰς Ἀθήνας οἱ Πελασγοὶ,
καὶ δίκας [g] ἐπαγγέλλοντο βουλόμενοι διδόναι παντὸς
4 [h] τοῦ ἀδικήματος. Ἀθηναῖοι δὲ ἐν τῷ πρυτανηΐῳ
κλίνην [i] στρώσαντες ὡς εἶχον κάλλιστα, καὶ τράπε-
ζαν [k] ἐπιπλέην ἀγαθῶν πάντων παραθέντες, ἐκέλευον
τοὺς Πελασγοὺς τὴν χώρην σφίσι παραδιδόναι οὕτω
5 ἔχουσαν. οἱ δὲ Πελασγοὶ ὑπολαβόντες, [l] εἶπαν·
“ Ἐπεὰν βορέῃ ἀνέμῳ αὐτημερὸν [m] νηῦς ἐξανύσῃ ἐκ
“ τῆς ὑμετέρης ἐς τὴν ἡμετέρην, τότε παραδώσομεν.”
6 [n] τοῦτο εἶπαν, ἐπιστάμενοι τοῦτο εἶναι [o] ἀδύνατον
γενέσθαι· ἡ γὰρ Ἀττικὴ πρὸς νότον κέεται πολλὸν
τῆς [p] Λήμνου. Τότε μὲν [a] τοσαῦτα.

140 Multis post annis Miltiades e Chersoneso Lemnum profectus oraculo illo utens, Pe-

140 ἔτεσι δὲ κάρτα
πολλοῖσι ὕστερον τούτων, ὡς ἡ [b] Χερσόνησος ἡ [c] ἐν
Ἑλλησπόντῳ ἐγένετο ὑπ᾽ Ἀθηναίοισι, Μιλτιάδης
ὁ Κίμωνος, ἐτησιέων ἀνέμων κατεστηκότων, νηῒ [d] κα-
τανύσας ἐξ [e] Ἐλαιοῦντος τοῦ ἐν Χερσονήσῳ [f] ἐς

139. [a] ἀποκτείνουσι S.V. [b] Sic F. καὶ προτοῦ M.K.P.S. Par. ὡς καὶ πρ. al. cf. III. 62. 65. [c] τε om. F.a. ἀπαιδίῃ καὶ λοιμῷ f. δὴ pro δὲ S. [d] ἃς ἃ F.f. [e] οἱ Ἀθ. f. [f] τε om. F. [g] ἐπήγγ. F.f. mox βουλόμενοι om. F. [h] τοῦ om. F. [i] στορέσαντες V.S. [k] ἐπιπλέαν et mox παντοίων Suidæ edd. in Ἐπιπλέα, ubi mss. ἐπιπλέην. [l] εἶπον f.S. [m] ἐξανύσῃ νηῦς f. [n] τοῦτο εἶπαν om. M.P.K.F.f. εἶπον V. [o] δυνατὸν F. Mox γενέσθαι om. f. [p] νήσου F.

140. [a] τοιαῦτα P.b. Schæfer. [b] Χερόνησος F. Χερρόνησος f. Hic χερσόνησος S. [c] Sic S.V. Vall. f. e corr. erasa π. cf. VII. 33. ἡ ἐπ᾽ Ἑλλ. Wessel. al. [d] καταστήσας S. καταλύσας Eton. [e] Sic M.K.P.F.f. Ἐλεοῦντος S. al. cf. Wessel. Diodor. XIII. 39. [f] Sic S.V.P.K.F.a.f. ἐς τὴν Λ. Wessel. et al.

Λῆμνον, προηγόρευε ἐξιέναι ἐκ τῆς νήσου τοῖσι Πελασγοῖσι, ἀναμιμνήσκων σφέας τὸ χρηστήριον τὸ οὐδαμὰ ἤλπισαν σφίσι οἱ Πελασγοὶ ἐπιτελέεσθαι.
2 Ἡφαιστιέες μέν νυν [g] ἐπείθοντο· [h] Μυριναῖοι δὲ, οὐ συγγινωσκόμενοι εἶναι τὴν Χερσόνησον Ἀττικὴν, ἐπολιορκέοντο, ἐς ὃ [i] καὶ αὐτοὶ παρέστησαν. οὕτω δὴ [k] τὴν Λῆμνον ἔσχον Ἀθηναῖοί [l] τε καὶ Μιλτιάδης.

lasgis, ut insulam Atheniensibus cedant, imperat. Hephestiæ 504 **incolæ dicto audientes: Myrinæi vi expulsi. Itaque Lemnus Athenarum ditioni subjecta.**

[g] ἐπύθοντο S. Supra οἱ ante Πελασγοὶ om. S. [h] Μυριαῖοι F. [i] Sic Ald. a.c.d.S. καὶ οὗτοι M.P.K.F.b.f. Wessel. Paris. τὴν S. al. om. [k] Sic K.P.F. [l] τε om. S.

ἩΡΟΔΟΤΟΥ ἹΣΤΟΡΙΩΝ ἙΚΤΗ.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΒΔΟΜΗ.

ΠΟΛΥΜΝΙΑ.

Novus Persarum contra Græcos apparatus trium annorum [ab a. 489. ad 487.]. Quarto anno Ægyptus a Persis deficit [a. 486.].

I ʼΕΠΕΙ δὲ [a] ἡ ἀγγελίη ἀπίκετο περὶ τῆς μάχης τῆς 505
ἐν Μαραθῶνι γενομένης παρὰ [b] βασιλέα Δαρεῖον τὸν
Ὑστάσπεος, καὶ πρὶν μεγάλως κεχαραγμένον τοῖσι
ʼΑθηναίοισι διὰ τὴν ἐς Σάρδις ἐσβολὴν, καὶ δὴ καὶ
τότε πολλῷ τε δεινότερα [c] ἐποίεε, καὶ μᾶλλον ὥρμητο
2 στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. Καὶ αὐτίκα μὲν
ἐπηγγέλλετο, πέμπων ἀγγέλους κατὰ [d] πόλις, ἑτοι-
μάζειν στρατιὴν, [e] πολλῷ πλέω [f] ἐπιτάσσων ἑκάστοισι
ἢ πρότερον [g] παρεῖχον, καὶ νέας τε, [h] καὶ ἵππους, καὶ
3 σῖτον, καὶ πλοῖα. τούτων δὲ περιαγγελλομένων, ἡ
ʼΑσίη [i] ἐδονέετο ἐπὶ τρία [k] ἔτεα, καταλεγομένων τε 506
τῶν ἀρίστων, ὡς ἐπὶ τὴν Ἑλλάδα [l] στρατευσομένων,
4 καὶ [m] παρασκευαζομένων. Τετάρτῳ δὲ ἔτεϊ Αἰγύπτιοι,
ὑπὸ Καμβύσεω δουλωθέντες, ἀπέστησαν ἀπὸ Περ-
σέων. ἐνθαῦτα δὴ καὶ μᾶλλον ὥρμητο [n] καὶ ἐπʼ ἀμ-

LIB. VII. 1. [a] ἡ om. S.F.c.d. [b] βασιλῆα] βασιλέα S.V.K.F. Paris. [c] In hac phrasi ἐποιέετο usurpare solere Herodotum monet Schweighæuserus. cf. IX. 33. Mox ὅρμητο Bekker, et infra. [d] πόλεις S.V. περὶ pro κατὰ d. [e] πολλῷ πλέω K.S.V. πολλῷ πλείω F.P. πολλῷ τε πλεῖον olim. πολλῷ τε πλέω b. [f] ἑτοιμάζων F. cum ἐπιτάσσων marg. ab eadem m. [g] Sic S. παρέχειν F.a.d. et olim. [h] καὶ σῖτον καὶ ἵππους P.K.F. qui cum M. om. καὶ πλοῖα. Sed vide Valcken. ad I. 48. καὶ πλοῖα om. Bekker. Wesselingius citat ex Arriani Indicis c. 19. Νῆες δὲ αἱ σύμπασαι—αἵτε μακραὶ καὶ ὅσα στρογγύλα πλοῖα, καὶ ἄλλα ἱππαγωγά. [i] Sic mss. ἐδονέετο πᾶσα Ald. [k] Sic F.b. vulgo. ἔτεα, κατ. δέ. Tum ὡς om. S. [l] Sic S.V. Al. στρατευομένων. [m] Sic M.P.K.F. vulgo παρασκευαζομένων, τετάρτῳ absque δέ. [n] Sic M.P.K. καὶ om. F.a. al.

2 φοτέρους στρατεύεσθαι. Στελλομένου δὲ Δαρείου ἐπ'
Αἴγυπτον καὶ Ἀθήνας, τῶν παίδων αὐτοῦ στάσις
ἐγένετο μεγάλη περὶ τῆς ἡγεμονίης· ὡς δεῖ μιν, ἀπο-
δέξαντα βασιλέα, κατὰ τὸν Περσέων νόμον, οὕτω
2 στρατεύεσθαι. [a]Ἦσαν γὰρ Δαρείῳ, καὶ πρότερον ἢ
βασιλεῦσαι, [b] γεγονότες τρεῖς παῖδες ἐκ τῆς προτέρης
γυναικὸς, Γωβρύεω θυγατρός· καὶ βασιλεύσαντι, ἐξ
3 Ἀτόσσης τῆς Κύρου ἕτεροι [c] τέσσερες. τῶν μὲν δὴ
προτέρων [d] ἐπρέσβευε [e] Ἀρταβαζάνης· τῶν δὲ ἐπι-
4 γενομένων, Ξέρξης. ἐόντες δὲ μητρὸς οὐ τῆς αὐτῆς,
[f] ἐστασίαζον· [g] ὁ μὲν Ἀρταβαζάνης, [h] κατότι πρεσβύ-
τατός [i] τε εἴη παντὸς τοῦ γόνου, καὶ ὅτι [k] νομιζόμενα
εἴη πρὸς πάντων ἀνθρώπων τὸν πρεσβύτατον τὴν
ἀρχὴν ἔχειν· Ξέρξης δὲ, ὡς Ἀτόσσης τε παῖς εἴη,
τῆς Κύρου θυγατρὸς, καὶ ὅτι Κῦρος εἴη ὁ κτησάμενος
3 τοῖσι Πέρσῃσι τὴν ἐλευθερίην. Δαρείου δὲ οὐκ ἀπο-
δεικνυμένου κω γνώμην, ἐτύγχανε κατὰ τὠυτὸ τού-
τοισι καὶ Δημάρητος, ὁ Ἀρίστωνος, ἀναβεβηκὼς ἐς
Σοῦσα, ἐστερημένος τε τῆς ἐν Σπάρτῃ βασιληΐης,
2 καὶ φυγὴν [a] ἐπιβαλὼν ἑωυτῷ ἐκ Λακεδαίμονος. οὗτος
[b] ὡνὴρ πυθόμενος τῶν Δαρείου παίδων τὴν διαφορὴν,
ἐλθὼν, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ [c] συνεβούλευε
λέγειν πρὸς τοῖσι ἔλεγε ἔπεσι, ὡς αὐτὸς μὲν γένοιτο
Δαρείῳ ἤδη βασιλεύοντι, καὶ ἔχοντι τὸ Περσέων
κράτος· Ἀρταβαζάνης δὲ, [d] ἔτι ἰδιώτῃ [e] ἐόντι Δαρείῳ.

Darius Ægyptum Græciamque invasurus dum in eo est, ut more Persarum ex filiis successorem sibi deligat, magna inter hos de successione contentio oritur.

Demaratus illo temporis articulo Susa delatus [6,70.] quid Xerxi, Dario ex Atossa genito, suaserit. Cujus consilium secutus Xerxes, a patre obtinet, ut, cæteris posthabitis, regni successor nominetur.

2. [a] ἔσαν] ἦσαν F. Supra ἔδει S. [b] γεγονότες om. S. Mox βασιλεύσαντος Ald. [c] τέσσαρες F.S. [d] ἐπρέσβευσε Thom. Mag. [e] Sic S. Vall. Ἀρτοβαζ. al. cf. VI. 43. [f] ἐστασίασαν P.K.F.b. [g] ὁ μὲν γὰρ Ἀρτ. M.K.F.P. pr. γὰρ om. al. et P. corr. [h] καὶ ὅτι b. [i] ἦν S. [k] Sic plerique cum Eustath. Il. p. 28, 41=22, 6. 59, 30 =44, 51. probante Valckenærio et ad H. Stephanum provocante App. Thes. p. 46, 150. νομιζόμενον S.F.b. Ald. νομιζόμενον (α superscr.) P.

3. [a] ἐπιβάλλων P.F.b. [b] ἀνὴρ S.V. ὠνὴρ F. ὡνὴρ Schæfer. [c] συνεβούλευσε S.V. Schæfer. [d] ἐπὶ S. [e] ὄντι F.

3 οὔκων οὔτ' [f] οἰκὸς εἴη, οὔτε δίκαιον, ἄλλον τινὰ τὸ
γέρας ἔχειν πρὸ ἑωυτοῦ· ἐπεί γε καὶ ἐν Σπάρτῃ, ἔφη
ὁ Δημάρητος ὑποτιθέμενος, οὕτω νομίζεσθαι, ἢν οἱ
μὲν προγεγονότες ἔωσι πρὶν ἢ τὸν πατέρα σφέων
βασιλεῦσαι, ὁ δὲ βασιλεύοντι ὀψίγονος ἐπιγένηται,
τοῦ [g] ἐπιγενομένου τὴν ἔκδεξιν τῆς βασιληΐης [h] γίνε-
4 σθαι. Χρησαμένου δὲ Ξέρξεω τῇ Δημαρήτου ὑπο- 507
θήκῃ, γνοὺς ὁ Δαρεῖος ὡς [i] λέγοι δίκαια, [k] βασιλέα
5 μιν ἀπέδεξε. [l] δοκέει δέ μοι καὶ ἄνευ ταύτης τῆς ὑπο-
θήκης βασιλεῦσαι ἂν Ξέρξης· ἡ γὰρ Ἄτοσσα εἶχε
τὸ πᾶν κράτος.

4 Altero post anno Darius, omni jam belli apparatu instructo, diem supremum obit [a. 485.].

Ἀποδέξας δέ βασιλέα Πέρσῃσι Δαρεῖος Ξέρξεα,
2 [a] ὅρμητο στρατεύεσθαι. ἀλλὰ γὰρ, μετὰ ταῦτά τε
καὶ Αἰγύπτου ἀπόστασιν τῷ ὑστέρῳ ἔτεϊ, παρασκευα-
ζόμενον συνήνεικε αὐτὸν Δαρεῖον, βασιλεύσαντα [b] τὰ
πάντα ἕξ τε καὶ τριήκοντα ἔτεα, ἀποθανεῖν· οὐδέ οἱ
ἐξεγένετο οὔτε τοὺς ἀπεστεῶτας Αἰγυπτίους οὔτε
3 Ἀθηναίους τιμωρήσασθαι. Ἀποθανόντος δὲ Δα-
ρείου, ἡ βασιληΐη [c] ἀνεχώρησε ἐς τὸν παῖδα τὸν ἐκεί-
νου [d] Ξέρξεα.

5 Xerxes regnum adeptus, cum initio ab armis Græciæ inferen-

Ὁ τοίνυν Ξέρξης ἐπὶ μὲν τὴν Ἑλλάδα οὐδαμῶς
πρόθυμος ἦν κατ' ἀρχὰς στρατεύεσθαι, ἐπὶ δὲ Αἴ-
2 γυπτον ἐποιέετο [a] στρατιῆς [b] ἄγερσιν. παρεὼν δὲ καὶ
δυνάμενος παρ' [c] αὐτῷ μέγιστον Περσέων Μαρδόνιος

[f] Sic F. οὔτε εἶκος vulg. cf. 5. [g] ἐπιγινομένου F. [h] γενέσθαι S.b. [i] Sic F.a. λέγει vulg. cum S. [k] βασιλῆα] βασιλέα F.S. [l] Sic cum Wessel. F. Paris. δοκέειν—ἐβασίλευσεν S.V. Bekker. δοκέειν δ' ἐμοὶ—βασιλεῦσαι Schæfer.

4. [a] Sic Wessel. ex uno ms. ὡρμᾶτο olim cum F.b.c.S. ὁρμᾶτο a. Supra Δαρεῖος Ξερξέα S. [b] Sic K.F. τὰ πάντα ἔτεα ἕξ τε καὶ τρ. S. vulgo. Bekker. [c] ἀνεχώρεεν S.V. probante Wessel. [d] Ξέρξην F.S.

5. [a] τὴν στρατιῆς] τὴν om. S.F.b. στρατηΐης b. [b] Sic Paris. ut conj. Portus. ἔγερσιν ceteri. cf. 48. [c] Sic S.P.V.F. Paris. ἑωυτῷ olim.

ὁ Γωβρύεω, ὃς ἦν [d] Ξέρξῃ μὲν ἀνεψιὸς, Δαρείου δὲ
3 ἀδελφεῆς πάϊς, τοιούτου λόγου εἴχετο, λέγων· "Δέ-
"σποτα, οὐκ [e] οἰκός ἐστι Ἀθηναίους, ἐργασαμένους
"πολλὰ [f] ἤδη κακὰ Πέρσας, μὴ οὐ δοῦναι [g] δίκας
4 "τῶν ἐποίησαν. [h] ἀλλὰ τὸ μὲν νῦν ταῦτα πρήσσοις
"τάπερ ἐν χερσὶ ἔχεις· ἡμερώσας δὲ Αἴγυπτον τὴν
"ἐξυβρίσασαν, στρατηλάτεε ἐπὶ τὰς Ἀθήνας, ἵνα
"λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώπων ἀγαθὸς, καί τις
"ὕστερον φυλάσσηται ἐπὶ γῆν τὴν σὴν στρατεύ-
5 "εσθαι." Οὗτος μέν οἱ [i] ὁ λόγος ἦν τιμωρός· [k] τοῦδε
τοῦ λόγου παρενθήκην [l] ποιεέσκετο τήνδε, ὡς ἡ Εὐ-
ρώπη [m] περικαλλὴς χώρη, καὶ δένδρεα παντοῖα φέρει
τὰ [n] ἥμερα, ἀρετήν τε ἄκρη, βασιλέϊ τε μούνῳ θνη-
6 τῶν ἀξίη ἐκτῆσθαι. Ταῦτα [a] δὲ [b] ἔλεγε, [c] οἷα νεωτέρων
ἔργων ἐπιθυμητὴς ἐὼν, καὶ θέλων αὐτὸς τῆς Ἑλλάδος
2 ὕπαρχος εἶναι. χρόνῳ δὲ κατεργάσατό τε καὶ [d] ἀνέ-
πεισε Ξέρξεα, ὥστε ποιέειν ταῦτα· συνέλαβε γὰρ
καὶ ἄλλα οἱ σύμμαχα γενόμενα [e] ἐς τὸ πείθεσθαι
3 Ξέρξεα. τοῦτο μὲν, ἀπὸ [f] τῆς Θεσσαλίης παρὰ τῶν
[g] Ἀλευαδέων ἀπιγμένοι ἄγγελοι ἐπεκαλέοντο βασι- 508
λέα, πᾶσαν προθυμίην παρεχόμενοι, ἐπὶ τὴν Ἑλλάδα·
(οἱ δὲ Ἀλευάδαι οὗτοι ἦσαν Θεσσαλίης βασιλέες.)
4 τοῦτο δὲ, Πεισιστρατιδέων οἱ ἀναβεβηκότες [h] ἐς

dis abhorreret, et a Mardonio,

et ab Aleuadis, Pisistratidis Onomacritoque vate ad Græcos subigendos incitatur.

[d] Ξέρξεω S. Ξέρξου V. cf. 82. [e] Sic F.a.c. Vulgo εἰκός cum S. [f] δὴ P.K.F.a. neutram particulam habet c. [g] Sic S.V. Schæfer. δίκην Wessel. al. [h] ἀλλ' εἰ M.K.P.F.b. Mox ταῦτα πρήσσοις ταῦτα ἐν S. [i] ὁ om. S.V. [k] τοῦδε δὲ τοῦ λ. M.K.P.F. Wessel. τούτου δὲ τοῦ λ. S.a. Ald. Bekker. al. τοῦ δὲ λ. b. [l] Sic b.c.d. Wessel. cf. I. 36. IV. 78. VII. 119. ποιέσκετο M.P.K.F. ἐποιέετο S.a. edd. vett. [m] Sic S.V. Paris. Ald. περικ. εἴη χ. M.K.P.F. [n] ἡμέτερα F. Mox βασιλείων Ald.

6. [a] δὲ om. K.P.F.b. [b] ἔλεξε b. [c] οἷα νεώτερος καὶ νεωτέρων b. [d] ἀνέπ. ὥστε ποιέειν ταῦτα Ξέρξην K.P.F. [e] Sic M.P.K.F. Paris. πρὸς τὸ S. al. [f] τῆς om. S. [g] Ἀλεβαδέων codex nescio quis apud Wessel. cum vulg. enim consentit S. *Alebadeis* Vall. et in seqq. [h] ἐς Σοῦσα om. S.

Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ [i] οἱ
᾿Αλευάδαι, καὶ δή τι πρὸς τούτοισι [k] ἔτι πλέον [l] προσ-
ορέγοντό οἱ, ἔχοντες ᾿Ονομάκριτον, ἄνδρα ᾿Αθηναῖον,
χρησμολόγον τε καὶ [m] διαθέτην χρησμῶν τῶν Μου-
5 σαίου. ἀναβεβήκεσαν [n] γὰρ τὴν ἔχθρην [o] προκαταλυ-
σάμενοι· [p] ἐξηλάσθη γὰρ ὑπὸ ῾Ιππάρχου τοῦ [q] Πει-
σιστράτου [r] ὁ ᾿Ονομάκριτος [s] ἐξ ᾿Αθηνέων, ἐπ᾽ αὐτο-
φώρῳ ἁλοὺς ὑπὸ [t] Λάσου τοῦ [u] ῾Ερμιονέος ἐμποιέων
ἐς τὰ Μουσαίου χρησμὸν, ὡς [w] αἱ ἐπὶ Λήμνου ἐπι-
κείμεναι νῆσοι ἀφανιζοίατο [x] κατὰ τῆς θαλάσσης.
6 διὸ [y] ἐξήλασέ μιν ὁ ῞Ιππαρχος, πρότερον χρεώμενος
7 [z] τὰ μάλιστα. Τότε δὲ συναναβὰς, ὅκως ἀπίκοιτο
ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατι-
δέων περὶ αὐτοῦ σεμνοὺς λόγους, κατέλεγε τῶν
χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρ-
βάρῳ, τῶν μὲν ἔλεγε οὐδέν· ὁ δὲ τὰ εὐτυχέστατα
ἐκλεγόμενος, ἔλεγε τόν τε ῾Ελλήσποντον ὡς ζευχθῆ-
ναι [a] χρεὸν εἴη ὑπ᾽ ἀνδρὸς Πέρσεω, τήν τε ἔλασιν
8 ἐξηγεόμενος. οὗτός τε δὴ χρησμῳδέων [b] προσεφέρετο,
καὶ οἵ τε Πεισιστρατίδαι [c] καὶ οἱ ᾿Αλευάδαι γνώμας
ἀποδεικνύμενοι.

7 ῾Ως δὲ ἀνεγνώσθη Ξέρξης στρατεύεσθαι ἐπὶ τὴν

[i] οἱ om. a.S. [k] Sic S.V.A.B. Ald. ὅτι M.P.K.F.b. [l] Sic F. προσωρ. vulgo. πρόσω λέγοντες οἱ b. [m] Thomas M. in Διατίθεμαι. [n] γὰρ om. P.S. [o] Sic Ald. S.V.a.c.d. προκαταλυσόμενοι F.d.M. al. [p] ἐξηλάθη a.b.c.S. Ald. Bekker. [q] Sic Ald. S.a.c. Πεισιστρατίδεω P.K.F.b.d. quam lectionem injuria ex S. enotavit Galeus, receptæ prætulerunt Valckenærius, et Wesseling. [r] ὁ om. F. [s] ἐξ ᾿Αθηνέων om. S. ubi ἐπαυτοφόρῳ. ᾿Αθηναίων omnes ante Wessel. [t] Λώσου V.S. [u] ῾Ερμήνεος S. ῾Ερμιόνεος F.a.c. Ald. [w] αἱ om. V.S. [x] Sic S.P.V.K.F. Paris. ἐκ τῆς olim. [y] ἐξ. μὲν P.K. [z] κατὰ μαλ. F. [a] Sic F.S. Vulg. χρεών. Supra ζευθῆναι F. [b] προεφέρετο F. [c] καὶ οἱ ᾿Αλευάδαι] Sic a.b.c.S.V. Ald. καὶ ἄλλοι οἱ ᾿Αλευάδαι d. Desunt M.K.P.F. Hæc verba propter homœoteleuton excidisse putat Wesseling.

Ἑλλάδα, ἐνθαῦτα [a] δευτέρῳ μὲν ἔτεϊ μετὰ τὸν θάνατον [b] τὸν Δαρείου, πρῶτα στρατηΐην ποιέεται ἐπὶ
2 τοὺς ἀπεστεῶτας. τούτους μέν νυν καταστρεψάμενος, καὶ Αἴγυπτον πᾶσαν [c] πολλὸν δουλοτέρην ποιήσας ἢ ἐπὶ Δαρείου ἦν, ἐπιτρέπει Ἀχαιμένεϊ, ἀδελ-
3 φεῷ μὲν ἑωυτοῦ, Δαρείου δὲ παιδί. [d] Ἀχαιμένεα μέν νυν [e] ἐπιτροπεύοντα Αἰγύπτου [f] χρόνῳ μετέπειτα ἐφόνευσε [g] Ἰνάρως ὁ [h] Ψαμμιτίχου, ἀνὴρ Λίβυς.

Primum Ægyptus recepta [a. 484.]. Ægyptiis præficitur Achæmenes Darii 509 filius, quem post Inarus obtruncat [3, 12.].

8 Ξέρξης δὲ μετὰ Αἰγύπτου ἅλωσιν, ὡς ἔμελλε ἐς χεῖρας ἄξεσθαι τὸ στράτευμα [a] τὸ ἐπὶ τὰς Ἀθήνας, [b] σύλλογον ἐπίκλητον Περσέων τῶν ἀρίστων ἐποιέετο, ἵνα γνώμας τε πύθηται σφέων, καὶ αὐτὸς ἐν πᾶσι
1 2 [c] εἴπῃ τὰ θέλει. Ὡς δὲ συνελέχθησαν, ἔλεξε Ξέρξης τάδε· [f] "Ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς κατηγήσομαι νόμον "τόνδε ἐν ὑμῖν τιθεὶς, παραδεξάμενός τε αὐτῷ χρή-
3 "σομαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, "οὐδαμά κω ἠτρεμήσαμεν, ἐπεί τε παρελάβομεν τὴν "ἡγεμονίην τήνδε [d] παρὰ Μήδων Κύρου κατελόντος "Ἀστυάγεα· ἀλλὰ θεός τε [e] οὕτω ἄγει, καὶ αὐτοῖσι "ἡμῖν πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον.
4 " [f] Τὰ μέν νυν Κῦρός τε καὶ Καμβύσης πατήρ τε "ἐμὸς Δαρεῖος κατεργάσαντο καὶ προσεκτήσαντο
5 "ἔθνεα, ἐπισταμένοισι εὖ οὐκ ἂν τις λέγοι. Ἐγὼ

Xerxis ad Persarum proceres de Græcia invadenda oratio.

7. [a] δ. μιν S. [b] Sic F. τὸν vulgo om. Mox στρατιὴν S. et vulg. ante Wesseling. conf. I. 71. 171. 205. V. 77. VII. 38. 174. [c] Sic S.P.K.V.F. Paris. cf. I. 77. III. 103. πολλῷ olim. πᾶσαν om. a.c.S. [d] τὸν δὲ Ἀχαιμ. ἐπιτ. S.V. [e] ἐπιστρατεύοντα b. [f] χρόνῳ μετέπειτα om. S. χρόνῳ τε μετ. b. [g] Ἴναρος S. cf. III. 12. [h] Sic edd. et mss. præter S.b. qui Ψαμμητ. Mox Λιβύης F.

8. [a] τὸ om. F.b. [b] Citat Eustath. Il. p. 172, 11=130, 33. [c] Sic S.V. εἴποι al. εἴη F. [d] Sic P.S.V.F. Paris. Dionys. de Vi dicendi in Demosth. p. 189=1084. παρὰ τῶν M. al. [e] οὗτος S. θεός τε θεοῦ τὸ ἄγειν b. Supra Ἀστυάγην F.S. Mox ἐφέπουσι S. [f] Sic S.M.P.K.V.F. Paris. τὰ μέντοι olim. Mox ὁ ἐμὸς Bekker.

“ δὲ, ἐπεί τε παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντι-
“ ζον, ὅκως μὴ [g] λείψομαι τῶν πρότερον γενομένων
“ ἐν τιμῇ τῇδε, μηδὲ ἐλάσσω προσκτήσομαι δύναμιν
6 “ Πέρσῃσι. φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος
“ ἡμῖν [h] τε προσγινόμενον, [i] χώρην τε τῆς νῦν ἐκτή-
“ μεθα οὐκ ἐλάσσονα οὐδὲ [k] φλαυροτέρην, [l] παμφο-
“ ρωτέρην τε· [m] ἅμα δὲ [n] τιμωρίην τε καὶ τίσιν γινο-
7 “ μένην. διὸ ὑμέας [o] νῦν ἐγὼ συνέλεξα, ἵνα τὸ νοέω
2 8 “ πρήσσειν [p] ὑπερθέωμαι ὑμῖν. Μέλλω, ζεύξας τὸν
“ Ἑλλήσποντον, ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης
“ ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθηναίους τιμωρήσομαι,
“ ὅσα δὴ [q] πεποιήκασι Πέρσας τε καὶ πατέρα τὸν
9 “ ἐμόν. [r] Ὡρᾶτε μέν νυν [s] καὶ Δαρεῖον [t] ἰθύοντα
“ στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους. ἀλλ᾽ ὁ
“ μὲν τετελεύτηκε, καὶ οὐκ [u] ἐξεγένετό οἱ τιμωρή-
“ σασθαι· ἐγὼ δὲ ὑπέρ τε ἐκείνου καὶ τῶν ἄλλων
“ Περσέων οὐ πρότερον παύσομαι, [w] πρὶν ἢ ἕλω τε
“ καὶ [x] πυρώσω τὰς Ἀθήνας· οἵ γε ἐμὲ καὶ πατέρα
10 “ τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιεῦντες. πρῶτα μὲν,
“ ἐς Σάρδις ἐλθόντες ἅμα Ἀρισταγόρῃ τῷ Μιλησίῳ,
“ δούλῳ δὲ ἡμετέρῳ, ἀπικόμενοι ἐνέπρησαν τά τε
“ ἄλσεα καὶ τὰ ἱρά· δεύτερα δὲ, [y] ἡμέας οἷα ἔρξαν ἐς
“ τὴν σφετέρην ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ [z] Ἀρτα-

[g] Sic a.c. Schæfer. λείψωμαι—προσκτήσωμαι S. al. Supra τὸν θρόνον τοῦτον, ἐφ. S. [h] τε om. S. Schæfer. Bekker. [i] χώρης τε P.F.b. Schæfer. [k] Sic K.M.P.F. Paris. φαυλοτέρην S. al. [l] Sic S.P.K.a.c. Dionys. παμ. δέ al. Bekker. [m] ἅμα τε F. [n] καὶ τιμωρίην τισὶ S. [o] Sic M.K.P. Dionys. F. νῦν om. S.a. et olim. [p] ὑποθέωμαι Steph. marg. [q] πεποιήκεσαν F. Supra τιμωρήσωμαι S. Ald. Bekker. [r] ὁρᾶτε d. [s] Sic S.V. Dionys. Vall. b.d. καὶ πατέρα τὸν ἐμὸν Δ. M.F.a.c. Ald. [t] ἰθὺ ὄντα S. [u] Sic S.b.d. Schæfer. ἐξεγ. αὐτῷ F.a.c. al. [w] πρὶν ἂν ἢ V.S. [x] Eustath. Il. p. 706, 22=594, 5. Mox ὑπῆρξαν S. post ἐμέ. [y] Sic P. Vall. Dionys. in ms. F.a.c. Schæfer. ὑμέας S. al. [z] Sic P.S. Ἀρταφρένης K.V.F.

" φέρνης ἐστρατήγεον, τὰ ἐπίστασθέ κου πάντες.
11 " Τούτων [a] μέντοι εἵνεκα ἀνάρτημαι ἐπ' [aa] αὐτοὺς 3
" στρατεύεσθαι. ἀγαθὰ δὲ [b] ἐν αὐτοῖσι τοσάδε [c] ἀνευ-
" ρίσκω λογιζόμενος, εἰ τούτους τε καὶ τοὺς τού-
" τοισι πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος
12 " τοῦ Φρυγὸς νέμονται χώρην. [d] γῆν τὴν Περ-
" σίδα [e] ἀποδέξομεν τῷ Διὸς αἰθέρι [f] ὁμουρέουσαν·
" [g] οὐ γὰρ δὴ χώρην γε οὐδεμίαν κατόψεται [h] ὁ ἥλιος
" [i] ὅμουρον ἐοῦσαν τῇ ἡμετέρῃ, ἀλλά σφεας πάσας
" ἐγὼ ἅμα ὑμῖν μίαν χώρην θήσω, διὰ πάσης διεξελ-
13 " θὼν τῆς Εὐρώπης. πυνθάνομαι γὰρ ὧδε ἔχειν·
" οὔτε τινὰ πόλιν ἀνδρῶν οὐδεμίαν, οὔτε ἔθνος οὐδὲν
" ἀνθρώπων [k] ὑπολείπεσθαι, τὸ ἡμῖν οἷόν τε ἔσται
" ἐλθεῖν ἐς μάχην, τούτων τῶν κατέλεξα ὑπεξαραι-
" ρημένων. οὕτω οἵ τε ἡμῖν [l] αἴτιοι ἕξουσι δού-
14 " λιον ζυγὸν, οἵ τε ἀναίτιοι. Ὑμεῖς δ' ἄν μοι, 4
" τάδε ποιέοντες, [m] χαρίζοισθε. ἐπεάν ὑμῖν σημήνω
" τὸν χρόνον, ἐς τὸν ἥκειν δεῖ, προθύμως πάντα
" τινὰ ὑμέων [n] χρήσει παρεῖναι· ὃς ἂν δὲ ἔχων [o] ἥκῃ
" παρεσκευασμένον στρατὸν κάλλιστα, δώσω οἱ
" δῶρα τὰ τιμιώτατα νομίζεται εἶναι [p] ἐν ἡμετέρου.

[a] μὲν δὴ conj. Bekker. [aa] αὐτέους M.P.K. Wessel. [b] ἐν om. S. [c] Sic M.K.P.F. Paris. εὑρίσκω λογιζόμενος S.V. Dionys. εὑρίσκω ἀναλογιζ. olim. [d] Sic K.P.S.F.a.b. Schæfer. γῆν τε τὴν Π. al. [e] ἀποδέξωμεν b. [f] ὁμορέουσαν S.V. Eustath. Il. p. 707=592, 10. ὁμουρέουσαν Bekker. [g] οὐδὲ γὰρ χώρην γε P.K. οὐδὲ γὰρ ἄλλην χ. F.b. qui οὐδεμίαν. [h] ὁ om. S.P.K.F.a. [i] ὁμουρέουσαν M.K.P.F. ὅμορον ἐοῦσαν S. [k] ὑπολιπέσθαι S. [l] αἴτιοι—οἵ τε ἀναίτιοι] ἀντίοι—οἵ τε Ἀθηναῖοι Dionys. Post ἀναίτιοι Eton. teste Galeo, ἡμεῖς μὲν τοσαῦτα ἀγαθὰ ἕξομεν. [m] χαρίζεσθε Dionys. [n] χρὴ συμπαρεῖναι S. δεῖ παρεῖναι Dionys. [o] ἥκοι παρασκευασάμενος S. qui mox οἱ δώσω. Dionysius, δώσω αὐτῷ δωρεὰν ἤδη τιμιωτάτην ἣ νομίζεται ἐν ἡμετέρᾳ, (ἡμετέρου) ita Valckenærio judice refingendus, δωρεὰν, ἣ δὴ τιμιωτάτη νομίζεται ἐν ἡμετέρᾳ (ἡμετέρου.) [p] Sic M.P.K.S.A.B. Dionys. ἡμετέρᾳ marg. Steph. ἡμετέρῃ b.d. ἡμετέρῳ V. Ald. cf. I. 35. Mox de v. ἰδιοβουλεύειν cf. Lobeck. ad Phryn. p. 624. ἰδιοβουλέειν S.

" ποιητέα μέν νυν ταῦτά ἐστι οὕτω. Ἵνα δὲ μὴ
" ἰδιοβουλεύειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς
" μέσον, γνώμην κελεύων ὑμέων τὸν βουλόμενον
" ἀποφαίνεσθαι." Ταῦτα εἴπας ἐπαύετο. 511

Consilium regis Mardonius vehementer collaudat, Græcorum vires multum elevans.

9 Μετ' αὐτὸν δὲ Μαρδόνιος ἔλεγε· "Ὦ δέσποτα,
" οὐ μόνον εἶς τῶν γενομένων Περσέων ἄριστος,
" ἀλλὰ καὶ τῶν ἐσομένων· ὃς τά τε ἄλλα λέγων
" ἐπίκεο ἄριστα καὶ ἀληθέστατα, καὶ Ἴωνας τοὺς ἐν
" τῇ Εὐρώπῃ κατοικημένους οὐκ ἐάσεις καταγελάσαι
2 " [a] ἡμῖν, ἐόντας [b] ἀναξίους. καὶ γὰρ δεινὸν ἂν εἴη
" πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς καὶ Αἰθίοπάς
" [c] τε καὶ Ἀσσυρίους, ἄλλα τε ἔθνεα πολλὰ καὶ
" μεγάλα, ἀδικήσαντα Πέρσας οὐδὲν, ἀλλὰ δύναμιν
" [d] προσκτᾶσθαι βουλόμενοι, καταστρεψάμενοι δού-
" λους ἔχομεν· Ἕλληνας δὲ, ὑπάρξαντας [e] ἀδικίης,
3 " οὐ τιμωρησόμεθα. τί δείσαντες; κοίην πλήθεος
1 " συστροφήν; κοίην δὲ χρημάτων δύναμιν; Τῶν
" ἐπιστάμεθα [f] μὲν τὴν μάχην, ἐπιστάμεθα δὲ τὴν
" δύναμιν, ἐοῦσαν ἀσθενέα· ἔχομεν δὲ αὐτῶν παῖδας
" καταστρεψάμενοι τούτους, οἳ ἐν τῇ ἡμετέρῃ κατοι-
" κημένοι, Ἴωνές τε καὶ Αἰολέες καὶ Δωριέες καλέ-
4 " ονται. Ἐπειρήθην δὲ καὶ αὐτὸς ἤδη ἐπελαύνων
" ἐπὶ τοὺς ἄνδρας τούτους, ὑπὸ πατρὸς τοῦ σοῦ
" κελευσθείς· καί μοι μέχρι Μακεδονίης ἐλάσαντι,
" καὶ ὀλίγον ἀπολιπόντι ἐς αὐτὰς Ἀθήνας ἀπι-
2 5 " κέσθαι, οὐδεὶς [g] ἀντιώθη ἐς μάχην. Καίτοι [h] γε
" ἐώθασι Ἕλληνες, ὡς πυνθάνομαι, [i] ἀβουλότατα

9. [a] ἡμῶν V. ὑμέων S. Supra ἐπίκεο λέγειν ἄριστα S. [b] ἀξίους F. [c] Sic P.K.F.a.S. τε om. Wessel. et al. [d] προσκτήσασθαι V.S. [e] ἀληθεῖς S. [f] μὲν om. S. Mox ὑπὸ τοῦ πρς τοῦ S. [g] Sic P.F. ἠντιώθη S. Wess. et al. [h] Sic S. γε om. F.b.c. et vulg. [i] ἀβουλήματι πολέμου S.

“ πολέμους ἵστασθαι, ὑπό τε ἀγνωμοσύνης καὶ
6 “ σκαιότητος. ἐπεὰν [k] γὰρ ἀλλήλοισι πόλεμον [l] προ-
“ είπωσι, ἐξευρόντες τὸ κάλλιστον χωρίον καὶ [m] λειό-
“ τατον, ἐς τοῦτο κατιόντες μάχονται· ὥστε σὺν
“ κακῷ μεγάλῳ οἱ νικῶντες ἀπαλλάσσονται· περὶ
“ δὲ τῶν ἑσσωμένων οὐδὲ [n] λέγω ἀρχὴν, ἐξώλεες
7 “ γὰρ δὴ γίνονται. [o] τοὺς χρῆν, ἐόντας ὁμογλώσ-
“ σους, κήρυξί τε [p] διαχρεωμένους καὶ ἀγγέλοισι,
“ καταλαμβάνειν τὰς διαφορὰς, καὶ παντὶ μᾶλλον ἢ
“ μάχῃσι· εἰ δὲ πάντως ἔδεε πολεμέειν πρὸς ἀλλή-
“ λους, ἐξευρίσκειν [q] χρῆν τῇ ἑκάτεροί εἰσι δυσχει-
8 “ ρωτότατοι, καὶ ταύτῃ πειρᾶν. τρόπῳ τοίνυν οὐ
“ χρηστῷ Ἕλληνες διαχρεώμενοι, ἐμέο ἐλάσαντος
“ μέχρι Μακεδονίης [r] γῆς, οὐκ ἦλθον ἐς [s] τούτου
9 “ λόγον ὥστε μάχεσθαι. Σοὶ δὲ δὴ μέλλει τίς, ὦ 3
“ βασιλεῦ, ἀντιώσεσθαι πόλεμον [t] προσφέρων, ἄγοντι
“ καὶ πλῆθος [u] τὸ ἐκ τῆς Ἀσίης καὶ νέας τὰς ἁπά-
“ σας; ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο [w] θράσεος
10 “ ἀνήκει τὰ Ἑλλήνων πρήγματα. εἰ δὲ ἄρα [x] ἐγώ 512
“ γε ψευσθείην γνώμῃ, καὶ [y] ἐκεῖνοι ἐπαρθέντες ἀβου-
“ λίῃ ἔλθοιεν ἡμῖν ἐς μάχην, μάθοιεν ἂν ὥς εἰμεν
11 “ ἀνθρώπων ἄριστοι τὰ [z] πολεμήϊα. [a] Ἔστω δ᾽ ὦν
“ μηδὲν [b] ἀπείρητον· αὐτόματον γὰρ οὐδὲν, ἀλλ᾽ ἀπὸ
“ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι.” Μαρ-

[k] γὰρ om. S.V. [l] προσεἰπ. S. [m] λεότατον F. [n] λέγειν S. Supra ἐσομένων S. [o] τούτους χρ. S.V. [p] διαχρεωμένοισι S. [q] χρὴ S.V.F. Ald. Mox ἑκατέροισι V. εἰσι om. S. qui δυσχειρότατοι. [r] γῆς om. S. Bekker. [s] Sic S.P.F.a c. τοῦτον b. Ald. Mox ἀντιώσασθαι S. [t] Sic S. Schæfer. προφέρων al. [u] τὸ ἐκ τῆς Ἀσίης πολὺ d. [w] θάρσεος S.V. [x] Sic M.K.P.F.b.d. γε om. S.a.c. al. Mox γνώμης malit Schweighæuser. coll. VIII. 40. IX. 61. [y] ἐκεῖνοι παρεπαρθ. S. [z] πολεμήϊα S.V. cf. V. 3. πολέμια vulg. et Bekker. [a] Eustath. Il. α΄. p. 107, 24=80, 47. [b] ἄπειρον d.

δόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην, [c] ἐπέπαυτο.

Dissuadet expeditionem Artabanus Hystaspis filius gravi argumentis ponderosissimis disertaque oratione:

10 Σιωπώντων δὲ τῶν ἄλλων Περσέων, καὶ οὐ τολ-
μώντων γνώμην [a] ἀποδείκνυσθαι ἀντίην τῇ προκει-
μένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος, [b] πάτρως ἐὼν Ξέρξῃ,
1 2 τῷ δὴ καὶ [c] πίσυνος ἐὼν, ἔλεγε τάδε· "Ὦ βασιλεῦ,
" μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων [d] ἀλλήλῃσι,
" οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ
" τῇ εἰρημένῃ χρῆσθαι· λεχθεισέων δὲ, ἔστι· ὥσπερ
" τὸν χρυσὸν τὸν ἀκήρατον, αὐτὸν μὲν [e] ἐπ' ἑωυτοῦ
" [f] οὐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψωμεν ἄλλῳ
3 " χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. Ἐγὼ δὲ καὶ
" πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ, ἠγόρευον
" μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας οὐδαμόθι γῆς
" ἄστυ νέμοντας· ὁ δὲ, ἐλπίζων Σκύθας [g] τοὺς νομά-
" δας [h] καταστρέψεσθαι, ἐμοί τε οὐκ ἐπείθετο, στρα-
" τευσάμενός τε, πολλούς [i] τε καὶ ἀγαθοὺς τῆς στρα-
4 " τιῆς ἀποβαλὼν ἀπῆλθε. σὺ δὲ, ὦ βασιλεῦ, μέλ-
" λεις ἐπ' ἄνδρας στρατεύεσθαι [k] πολλὸν ἀμείνονας
" ἢ Σκύθας· οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ
" γῆν λέγονται εἶναι. τὸ δὲ [l] αὐτοῖσι ἔνεστι δεινὸν,
2 5 " ἐμέ σοι δίκαιόν ἐστι φράζειν. Ζεύξας φῂς τὸν
" Ἑλλήσποντον, ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς

[c] ἐπαύετο S.

10. [a] ἀποδέξασθαι d. [b] Thomas M. in Τίθην. [c] πίσσυνος S. [d] ἀλλήλοισι S.f. Mox χρᾶσθαι S. Mox δὴ Ald. pro δεῖ. [e] ἐπ' om. b. ἐπαυτοῦ F. [f] οὐ διαγινώσκομεν τὸν ἀμείνω· ἐπεὰν δὲ συγκρίνηται, τότε ῥᾷστα γινώσκομεν S. Vall. Quam scripturam, Larchero unice probatam, mihi non dubium est ex scholio fuisse adscitam. Ut χρυσὸν παρατρίβειν ἄλλῳ χρυσῷ dixit Herodotus, sic apud Theognidem 585 (417) [cf. 1101] est χρυσὸς παρατριβόμενος μολίβδῳ, scil. εἰς βάσανον vel ἐν βασάνῳ. SCHWEIGH. [g] τοὺς om. F. [h] καταστρέψασθαι K.F. sed in F. altera lectione suprascripta. Mox στρατευσάμενος δὲ S. [i] τε om. S.V.P.K.F. Bekker. [k] πολλὸν ἔτι ἀ. S.V. Schæfer. [l] ἂν τοῖσι S.

" τὴν Ἑλλάδα. [m] καὶ δὴ καὶ συνήνεικε [n] ἤτοι κατὰ
" γῆν ἢ καὶ κατὰ θάλασσαν ἑσσωθῆναι, ἢ καὶ κατ'
6 " ἀμφότερα. οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι·
" πάρεστι δὲ καὶ [o] σταθμώσασθαι, εἰ στρατιήν γε
" τοσαύτην σὺν Δάτι καὶ Ἀρταφέρνεϊ ἐλθοῦσαν ἐς
" τὴν Ἀττικὴν χώρην μοῦνοι Ἀθηναῖοι διέφθειραν.
7 " οὐκ ὦν [p] ἀμφοτέρῃ σφι ἐχώρησε· ἀλλ' ἢν τῇσι 513
" νηυσὶ ἐμβάλωσι, καὶ νικήσαντες ναυμαχίῃ πλέωσι
" ἐς τὸν Ἑλλήσποντον, καὶ ἔπειτα λύσωσι τὴν γέ-
8 " φυραν, τοῦτο δὴ, βασιλεῦ, [q] γίνεται δεινόν. Ἐγὼ 3
" δὲ οὐδεμιῇ σοφίῃ [r] οἰκηΐῃ αὐτὸς [s] ταῦτα συμβάλ-
" λομαι, ἀλλ' οἷόν κοτε [t] ἡμέας ὀλίγου ἐδέησε κατα-
" λαβεῖν πάθος, ὅτε πατὴρ σὸς ζεύξας Βόσπορον
" [u] τὸν Θρηΐκιον, γεφυρώσας δὲ ποταμὸν Ἴστρον
" διέβη ἐπὶ Σκύθας, τότε παντοῖοι ἐγένοντο Σκύθαι
" δεόμενοι Ἰώνων λῦσαι τὸν πόρον, τοῖσι [v] ἐπιτέ-
9 " τραπτο ἡ φυλακὴ τῶν γεφυρέων τοῦ Ἴστρου. καὶ
" τότε [w] γε [x] Ἱστιαῖος ὁ Μιλήτου τύραννος εἰ ἐπ-
" έσπετο τῶν ἄλλων τυράννων τῇ γνώμῃ, μηδὲ [y] ἠν-
10 " τιώθη, [z] διέργαστο ἂν τὰ Περσέων πρήγματα. καί-
" τοι καὶ λόγῳ ἀκοῦσαι δεινὸν, ἐπ' ἀνδρί γε ἑνὶ πάντα
" τὰ βασιλέος πρήγματα [a] γεγενῆσθαι. Σὺ ὦν μὴ 4

[m] Sic M.V.S.K.P. Paris. F. καὶ om. vulg. et Schæfer. [n] Sic P.V.K.S.M.F. ἢ καὶ κατὰ Ald. c.d. [o] Citat Eustath. Il. α'. p. 70, 25=53, 13. Mox F. Ἀρταφρένεϊ et μοῦνοι Ἀθηναίων. Deest Ἀθηναῖοι S. [p] Sic M.K.P.a.F. ἀμφοτέρῃσι ἐχώρησε V.c. ἀμφοτέρῃσιν ἐχώρησαν S. ἀμφοτέρῃσι ἐχώρησαν Ald. [q] γίγνεται S. [r] οἰκηΐῃ om. S. [s] Sic S.K.P.F. συμβ. ταῦτα al. [t] ἡμέας om. S. qui ὀλίγον. Mox πατὴρ ὁ σὸς Bekker. [u] τὸν Θρήκιον S.K.V. τὸν om. F. Mox ἐγίνοντο S. [v] Sic P.F. Schæf. ἐπετέτ. S. vulg. [w] γε om. S.K.P. [x] εἰ Ἰστ. K.P.F. qui mox om. εἰ post τύραννος. [y] Sic V.S.A.B. Ald. ἠναντιώθη P.K.M.F. Wessel. ἠναντιώθη ortum putat Schweighæuser. ex mixtis inter se duabus lectionibus ἀντιώθη et ἠντιώθη. cf. 9. ἀντιώθη Bekker. [z] διείργαστο S. [a] Sic M.K.P.A.F. γενέσθαι S.c.d. Ald.

“ [b] βούλευ ἐς κίνδυνον μηδένα τοιοῦτον ἀπικέσθαι,
11 “ μηδεμιῆς ἀνάγκης ἐούσης· ἀλλ' ἐμοὶ [c] πείθευ. νῦν
“ μὲν τὸν σύλλογον [d] τόνδε διάλυσον· [e] αὖτίς τε,
“ ὅταν τοι [f] δοκέῃ, προσκεψάμενος ἐπὶ σεωυτοῦ, προ-
12 “ αγόρευε τά τοι δοκέει εἶναι ἄριστα. [g] τὸ γὰρ εὖ
“ βουλεύεσθαι, κέρδος μέγιστον εὑρίσκω ἐόν. εἰ γὰρ
“ καὶ [h] ἐναντιωθῆναί τι θέλει, βεβούλευται μὲν οὐδὲν
“ [i] ἧσσον εὖ, ἕσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα·
“ ὁ δὲ βουλευσάμενος αἰσχρῶς, εἴ οἱ [k] ἡ τύχη ἐπί-
“ σποιτο, εὕρημα εὕρηκε, ἧσσον δὲ οὐδέν οἱ κακῶς
5 13 “ βεβούλευται. [l] Ὁρᾷς τὰ ὑπερέχοντα [m] ζῶα ὡς κε-
“ ραυνοῖ ὁ θεὸς, οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ
“ [n] οὐδέν μιν κνίζει; ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέ-
“ γιστα [o] αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτα [p] ἀποσκήπτει
“ τὰ βέλεα; φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα
14 “ κολούειν. οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου
“ διαφθείρεται κατὰ [q] τοιόνδε. ἐπεάν σφι ὁ θεὸς φθο-
“ νήσας φόβον ἐμβάλῃ, ἢ βροντὴν, [r] δι' ὧν ἐφθάρη-
“ σαν [s] ἀναξίως ἑωυτῶν· οὐ γὰρ ἐᾷ [t] φρονέειν μέγα ὁ
6 15 “ θεὸς ἄλλον ἢ ἑωυτόν. Ἐπειχθῆναι μέν νυν πᾶν
“ πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι 514

[b] Sic Paris. βούλευε S. βουλεύου Ald. βουλευέο M.K.P.F. Wessel. βούλεο Schæfer. ex Wessel. emend. [c] Sic M.P.K.F. πείθεο A.B. S.V. Ald. [d] τῶν δὲ S.V. Schæfer. [e] αὖτις δὲ K. Schæfer. Bekker. [f] δοκέῃ S.V. Paris. Wessel. δοκῇ M.P.K.F. δοκέει Ald. [g] τῇ γὰρ P. Mox σὸν S. pro ἐόν. [h] Sic S.V. Vall. F. Paris. Eustath. Il. p. 173, 35=131, 39. Olim τοι. [i] Sic libri. ἕσσον Schæfer. Bekker. [k] ἡ om. S.V. Mox ἕσσον τε Bekker. [l] Sic S.V.K.P.F. Paris. Stobæus 22, 46. ubi ms. πῶς κεραυνοῖ. Ald. om. ὡς. [m] τῶν ζώων d. [n] Sic Stob. Vall. F.b. et forte alii. οὐδέ μιν S. vulgo. Tum κνίζειν S. [o] αἰεὶ om. d. καὶ om. S. τὰ ἀεὶ μέγιστα Ald. [p] Sic M.P.K.F. Stob. ἐπισκήπτει Ald. al. τὰ om. Stob. S. et vulgo. Habent M.P.K.F. [q] τὸ τοιόνδε S.V. cf. IV. 48. et 50. [r] Sic F. ut Reiskius. δι' ὧν vulgo cum S. ἐφθάρησαν M.P.K.F.b. Stob. ἐσφάλησαν Ald. a.c.d.S. [s] ἀξίως Stob. qui in ms. ἀξίας ὑπ' αὐτῶν. [t] Sic S.F.a. Stobæi ms. φρ. ὁ θ. μέγα P. Stobæi edd. φρ. ἄλλον μ. ὁ θ. ἢ Wessel. al.

" φιλέουσι γίνεσθαι· ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθὰ,
" εἰ μὴ παραυτίκα δοκέοντα εἶναι, ἀλλ' ἀνὰ χρόνον
16 " [u] ἐξεύροι τις ἄν. Σοὶ μὲν δὴ ταῦτα, ὦ βασιλεῦ, 7
" συμβουλεύω. Σὺ δὲ, ὦ παῖ Γωβρύεω Μαρδόνιε,
" παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλλήνων,
17 " οὐκ ἐόντων ἀξίων φλαύρως ἀκούειν. Ἕλληνας γὰρ
" διαβάλλων, ἐπαίρεις αὐτὸν βασιλέα στρατεύεσθαι·
" αὐτοῦ δὲ τούτου εἵνεκα δοκέεις μοι πᾶσαν προθυ-
" μίην [w] ἐκτείνειν. μή νυν οὕτω γένηται. διαβολὴ
" γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν εἰσι οἱ ἀδικέ-
18 " οντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων
" ἀδικέει, οὐ [x] παρεόντος κατηγορέων· ὁ δὲ ἀδικέει,
19 " ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως [y] ἐκμάθῃ. ὁ δὲ δὴ
" ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, δια-
" βληθείς τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ
20 " ἑτέρου κακὸς εἶναι. Ἀλλ' [z] εἰ δὴ δεῖ γε πάντως ἐπὶ 8
" τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς
" μὲν αὐτὸς ἐν ἤθεσι τοῖσι Περσέων μενέτω· ἡμέων
" δὲ ἀμφοτέρων παραβαλλομένων τὰ τέκνα, [a] στρα-
" τηλάτεε αὐτὸς σὺ, ἐπιλεξάμενός τε ἄνδρας τοὺς
" [b] ἐθέλεις, καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ [c] βού-
21 " λεαι. καὶ ἢν μὲν τῇ σὺ λέγεις [d] ἀναβαίνῃ βασιλέϊ
" τὰ πρήγματα, κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ

[u] ἐξεύροι M.K.P.F.b. εὕροι a.b.c. vulg. εὕροι τι S. [w] ἐκτίνειν F. Supra βασιλῆα ut vulg. Deinde εἵνεκεν S. [x] Sic Paris. Vall. Stobæi ms. 42, 16. e corr. Schæfer. παρεόντι F.M.K.P. Stob. probante Schweighæusero. παρεόντων V. Ald. παρεόντα S. qui mox ἀδικεῖ. [y] Sic S. Stob. Ald. F. Paris. ἐκμάθοι Steph. 2. et seqq. Post h. v. ita pergit codex Palatinus, cujus lectiones subjecit Creuzerus Commentationibus Herodoteis: ὁ δὲ διαβαλλόμενος αὖ διπλῶς ἀδικεῖται· διαβληθεὶς—καὶ ἅμα νομισθεὶς πρὸς τοῦ ἑτέρου ἀκούσαντος καὶ πεισθέντος εἶναι κακός. Haud dubie e scholio. [z] εἰ δεῖ δὴ F.a. εἰ δή γε δεῖ S. Mox στρατεύσασθαι S. [a] στρατηλατέεται F. [b] θέλεις F. [c] βούλεται F. [d] ἀναβαίνει S.V.F. pr.

" αὐτοῖσι καὶ ἐγώ· ἢν δὲ τῇ [e] ἐγὼ προλέγω, οἱ σοὶ
" ταῦτα πασχόντων, σὺν δέ σφι καὶ σὺ, ἢν ἀπονο-
22 " στήσῃς. Εἰ δὲ ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις,
" σὺ δὲ πάντως στράτευμα [f] ἀνάξεις ἐπὶ τὴν Ἑλ-
" λάδα, ἀκούσεσθαί τινά φημι τῶν αὐτοῦ τῇδε ὑπο-
" λειπομένων, Μαρδόνιον μέγα τι κακὸν [g] ἐξεργα-
" σμένον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων [h] διαφο-
" ρεύμενον, ἤ κου ἐν γῇ τῇ Ἀθηναίων, ἤ σέ γε ἐν τῇ
" Λακεδαιμονίων, εἰ μὴ [i] ἄρα καὶ πρότερον κατ' ὁδὸν,
" γνόντα ἐπ' οἵους ἄνδρας [k] ἀναγινώσκεις στρατεύ-
" εσθαι βασιλέα."

11 Ἀρτάβανος [l] μὲν ταῦτα ἔλεξε. [a] Ξέρξης δὲ θυ-
μωθεὶς ἀμείβεται τοῖσδε· " Ἀρτάβανε, πατρὸς εἶς
" τοῦ ἐμοῦ ἀδελφεός· [b] τοῦτό σε ῥύσεται μηδένα
2 " ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων. καί τοι ταύ-
" την τὴν ἀτιμίην [c] προστίθημι, ἐόντι κακῷ τε καὶ
" ἀθύμῳ, μήτε [d] συστρατεύεσθαι ἐμοί γε ἐπὶ τὴν 515
" Ἑλλάδα, αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί. ἐγὼ
" δὲ καὶ ἄνευ σέο, ὅσαπερ εἶπα, ἐπιτελέα ποιήσω.
3 " μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος, τοῦ [e] Ἀρ-
" σάμεος, τοῦ [f] Ἀριαράμνεω, τοῦ [g] Τεΐσπεος, τοῦ
" Κύρου, τοῦ [h] Καμβύσεω, τοῦ Τεΐσπεος, τοῦ Ἀχαι-
" μένεος γεγονὼς, μὴ τιμωρησάμενος Ἀθηναίους· εὖ
" ἐπιστάμενος, ὅτι εἰ ἡμεῖς ἡσυχίην [i] ἄξομεν, ἀλλ'

qua primum quidem rex ad iram provocatur,

[e] ἐγὼ om. S. Mox ὑποδαύειν S. pro ὑποδύνειν. [f] ἂν ἔξῃς S. Mox ἀκούσασθαι S. [g] Sic M.P.K.F. ἐξεργασάμενον S.V.b.c. Ald. [h] διαφορευόμενον S. διαφθ. Ald. [i] Sic mss. καὶ ἄρα Ald. [k] Citat Eustath. Il. p. 957, 56=938, 19. et ἀναπείθεις interpretatur. [l] δὲ S.

11. [a] Ξέρξης—Ἀρτάβανε om. F. [b] Sic P.S.K.F. Paris. τοῦτο δέ σε olim. [c] προτίθημι F.b. Mox τε post κακῷ om. F.a. [d] στρατεύεσθαι Eustath. Il. p. 733, 31=626, 30. [e] Ἀράμνεω S. Vall. cf. I. 209. [f] Sic S.V. Vall. a.c.d. Ald. Ἄρμνεω M.P.K.F.b. Wessel. Ἀριαράμεω Steph. marg. [g] Τίσπεος S.V. Vall. [h] Sic M.K.P.F.b.c. τοῦ T. om. S.a.d. al. [i] Sic S.V.K.P.F. Paris. ἕξομεν al. cf. 161.

“ οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ [k] μάλα στρατεύσονται ἐπὶ
“ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαρ-
“ γμένοισι ἐξ ἐκείνων· οἳ Σάρδις τε ἐνέπρησαν, καὶ
4 “ ἤλασαν ἐς τὴν Ἀσίην. οὔκων ἐξαναχωρέειν οὐδε-
“ τέροισι [l] δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθέειν
“ [m] προκέεται ἀγών· ἵνα ἢ τάδε πάντα ὑπὸ Ἕλλησι,
“ ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέ-
5 “ σον οὐδὲν τῆς ἔχθρης ἐστί. Καλὸν ὦν προπεπον-
“ θότας ἡμέας τιμωρέειν [n] ἤδη γίνεται, ἵνα καὶ τὸ
“ δεινὸν, τὸ πείσομαι, τοῦτο μάθω, ἐλάσας ἐπ' ἄνδρας
“ τούτους, τούς γε καὶ Πέλοψ [o] ὁ Φρὺξ, ἐὼν [p] πατέ-
“ ρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω, ὡς καὶ
“ ἐς τόδε αὐτοί τε [q] ὤνθρωποι καὶ ἡ γῆ αὐτῶν ἐπώ-
“ νυμοι τοῦ καταστρεψαμένου καλέονται.”

12 Ταῦτα μὲν ἐπὶ [a] τοσοῦτο [b] ἐλέγετο. μετὰ δὲ εὐ-
φρόνη τε [c] ἐγίνετο, καὶ [d] Ξέρξεα ἔκνιζε ἡ Ἀρταβάνου
[e] γνώμη. νυκτὶ δὲ βουλὴν διδοὺς, πάγχυ εὕρισκέ οἱ
οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα·
2 δεδογμένων δέ οἱ αὖτις τούτων, κατύπνωσε. καὶ δή
κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν [f] τοιήνδε, ὡς λέγεται ὑπὸ
Περσέων. ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα
μέγαν τε καὶ εὐειδέα εἰπεῖν· “ Μετὰ δὴ [g] βουλεύεαι,
“ ὦ Πέρσα, στράτευμα [h] μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα,

mox tamen, nocte insequente patrui ponderans argumenta, ita movetur, ut bello abstinendum censeat. Eadem nocte somnio, ne prius consilium mutet, commonetur.

[k] μάλιστα b. [l] οὐδετέροις ἱκανῶς S.V. δυνατὰ unus ms. apud Wessel. [m] προσκεῖται V.P. πρόκειται S. [n] Sic S.V.P.M.F.a.b. ἤδη γίνεσθαι d. ἔτι γίνεται c. et olim. Monet Schweighæuserus γίνεται ad καλὸν referri. [o] ὁ om. S.V. [p] πατέρων τῶν ἐμῶν P.K.F. ἐμῶν πατέρων S.a. et al. [q] ἄνθρωποι F. ὤνθρωποι S. οἱ ἄνθρωποι Zonaras Lex. v. Ἐπώνυμοι.

12. [a] τοσούτῳ S. [b] ἐγένετο F.a. [c] ἐγένετο S.V. τε om. S. [d] Ξέρξην F.S. [e] γνώμη om. S. [f] τοιήνδε om. S.V. [g] βουλεύεσαι V.S. βουλεύεται F. [h] Sic M.V.S.K.P.F. Paris. Vulgo om. μή.

“ προείπας ἀλίζειν [i] Πέρσας [k] στρατόν; οὔτε ὦν
“ μεταβουλευόμενος ποιέεις εὖ, οὔτε ὁ συγγνωσό-
3 “ μενός τοι πάρα. Ἀλλ', ὥσπερ τῆς ἡμέρης [l] ἐβου-
“ λεύσαο ποιέειν, ταύτην ἴθι τῶν ὁδῶν.” Τὸν μὲν,
ταῦτα [m] εἴπαντα, ἐδόκεε ὁ Ξέρξης ἀποπτάσθαι.

13 Ἡμέρης δὲ ἐπιλαμψάσης, ὀνείρου μὲν τούτου λόγον 516
οὐδένα ἐποιέετο, ὁ δὲ Περσέων συναλίσας [a] τοὺς καὶ
πρότερον συνέλεξε, [b] ἔλεγέ σφι τάδε· “ Ἄνδρες Πέρ-
“ σαι, συγγνώμην μοι ἔχετε, ὅτι ἀγχίστροφα βου-
2 “ λεύομαι. φρενῶν τε γὰρ ἐς τὰ ἐμεωυτοῦ πρῶτα
“ [c] οὔ κω ἀνήκω, καὶ οἱ [d] παρηγορεύμενοι κεῖνα ποιέ-
“ ειν, οὐδένα χρόνον μευ ἀπέχονται. ἀκούσαντι
“ [dd] μέντοι μοι τῆς Ἀρταβάνου γνώμης, παραυτίκα
“ μὲν ἡ νεότης [e] ἐπέζεσε, ὥστε ἀεικέστερα ἀπορρίψαι
3 “ ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ [f] χρεόν. νῦν μέντοι
“ συγγνοὺς, χρήσομαι τῇ ἐκείνου γνώμῃ. ὡς ὦν
“ [g] μεταδεδογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν
“ Ἑλλάδα, ἥσυχοί ἐστε.” Πέρσαι μὲν, ὡς ἤκουσαν
ταῦτα, κεχαρηκότες προσεκύνεον.

Nihilo secius die post, proceribus iterum convocatis, Artabani sententiam sibi jam probari significat.

14 Νυκτὸς δὲ γενο-
μένης, αὖτις [a] τὠυτὸ ὄνειρον [b] τῷ Ξέρξῃ κατυπνωμένῳ
ἔλεγε ἐπιστάν· “ Ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν
“ Πέρσῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην, καὶ

Nocte altera idem somnium dormienti oblatum, multa mi-

[i] Sic P.K.M.F.a.b. Πέρσῃσι S.c.d. al. probantibus Valckenærio et Wesselingio; et sic ed. Schæfer. Πέρσῃσι (superscr. as) sic ed. Bekker. [k] στρατιὴν F.b. [l] Sic S.V.M.P.K.F.a.b.c. ἐβουλεύσαs Ald. c. [m] εἰπόντα F.a.

13. [a] Sic M.P.K.F. Paris. τοὺς αὐτοὺς τοὺς καὶ πρ. Ald. Schæfer. [b] ἔλεξε F. [c] οὔτω d. [d] παρηγορεύμενοι S.V. παρηγορευόμενοι P. παρηγορεόμενοι F. Paris. al. Tum ἐκεῖνα S. Mox μευ̃ ἀπέρχονται P. [dd] μὲν δὴ malit Bekkerus. [e] ἐπέξεσε M. [f] Sic K.F. χρεών S. vulg. [g] Sic V.a.b. Schæfer. μεταδεδογμένου S. μεταδεδογμένων μοι F. μεταδεδογμένῳ μοι Ald. Wessel.

14. [a] Respexit Eustath. Il. β'. p. 166, 7=125, 41. Supra προσεκίνεον S. [b] Sic P.K.F. ἔλεξε τῷ Ξ. κ. Wessel. al. ἔλεγε item a. ἔλεγε τῷ Ξ. κ. S. Bekker.

"τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ [c]ποιεύμενος λόγῳ, ὡς παρ' natur mala,
2 "οὐδενὸς ἀκούσας. εὖ νυν τόδ' ἴσθι, ἤνπερ μὴ nisi arma
"αὐτίκα στρατηλατέῃς, [d]τάδε τοι ἐξ αὐτῶν [e]ἀνα- capessat.
"σχήσειν· ὡς καὶ μέγας καὶ [f]πολλὸς ἐγένεο ἐν
"ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος
15 "ἔσεαι." Ξέρξης μὲν, περιδεὴς [a]γενόμενος τῇ ὄψει, Artabanus
ἀνά τε ἔδραμε ἐκ τῆς κοίτης, [b]καὶ πέμπει ἄγγελον protinus ar-
[c]ἐπὶ Ἀρτάβανον καλέοντα. [d]ἀπικομένῳ [e]δέ οἱ ἔλεγε cessitus,
2 Ξέρξης τάδε· "Ἀρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν
"οὐκ [f]ἐσωφρόνεον, [g]εἴπας ἐς σὲ μάταια ἔπεα χρη-
"στῆς εἵνεκα [h]συμβουλίης· μετὰ μέντοι οὐ πολλὸν
"χρόνον μετέγνων, ἔγνων δὲ ταῦτά μοι ποιητέα
3 "ἐόντα τὰ σὺ [i]ὑπεθήκαο. οὔκων δυνατός [k]τοι εἰμὶ
"ταῦτα [l]ποιέειν βουλόμενος· τετραμμένῳ γὰρ [m]δὴ
"καὶ μετεγνωκότι [n]ἐπιφοιτῶν ὄνειρον φαντάζεταί
"μοι, οὐδαμῶς [o]συνέπαινον ἐὸν ποιέειν με ταῦτα·
4 "νῦν δὲ καὶ [p]διαπειλῆσαν οἴχεται. Εἰ ὦν [q]θεός
"ἐστι ὁ ἐπιπέμπων, καί οἱ πάντως ἐν ἡδονῇ ἐστι
"γενέσθαι [r]στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτή-
"σεται καὶ [s]σοὶ τὠυτὸ τοῦτο ὄνειρον, ὁμοίως καὶ
5 "ἐμοὶ ἐντελλόμενον. εὑρίσκω δὲ [t]ὧδε ἂν γινόμενα
"ταῦτα, εἰ [v]λάβοις τὴν ἐμὴν σκευὴν πᾶσαν, καὶ 517

[c] Sic S.V. ποιησάμενος F.a.c. al. [d] τάδε οἱ F. [e] Sic F. ἀνασχήσει P.K.V.S. Wessel. προσδόκα ἀνασχήσειν Ald. [f] πολὺς S.V.a.
15. [a] Sic S.A.B.V. Ald. ἐγένετο M.P.K.F. [b] καὶ om. F. [c] Sic M.P.K.F.d. ἐπὶ S. al. om. [d] Sic S.V.M.P.K.F.b.d. ἀπιγμένῳ Ald. a.c. [e] Sic M.P.K.F.a.b.d. οἱ om. S.c. et al. Tum ἔλεξε S. [f] ἐφρόνεον M.P.K.F.b. Bekker. [g] εἶπας σε K.P.F.b. [h] Sic M.P.K.F. Paris. συμβουλῆς al. εἵνεκε συμβουλῆς S. [i] ὑπέθηκας S.V. [k] τοι om. b. [l] βουλόμενος ποιέειν F. [m] δὴ om. F. [n] ἐπίφοιτον S. ἐπιφοιτὸν d. [o] συνεπαινέον] ξυνεπαινέον F. συνέπαινον ἐὸν S.V. cf. III. 119. V. 20. 31. 32. Vulg. habet Bekker. [p] δὴ ἀπειλῆσαν S. [q] θεός τις ἐστὶ S. teste Galeo, sed τις in eo non exstat. [r] στρατηλατέειν M.K.P.F. [s] σὺ F. Mox ὁμοίως ὡς S. Bekker. [t] ὧδε ἀναγιν. S. [v] λάβεις Ald.

" ἐνδὺς, μετὰ τοῦτο ἵζοιο ἐς τὸν ἐμὸν θρόνον, καὶ
16 " ἔπειτα ἐν κοίτῃ τῇ ἐμῇ κατυπνώσειας." Ξέρξης
μὲν ταῦτά οἱ ἔλεγε· Ἀρτάβανος δὲ [a] οὐ τῷ πρώτῳ
οἱ κελεύσματι πειθόμενος, οἷα οὐκ ἀξιεύμενος ἐς τὸν
βασιλήϊον θρόνον ἵζεσθαι, τέλος ὡς ἠναγκάζετο,
1 2 εἴπας τάδε, ἐποίεε τὸ [b] κελευόμενον. " [c] Ἴσον ἐκεῖνο,
" ὦ βασιλεῦ, παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ, καὶ
" τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι· [d] τὰ σὲ καὶ
" ἀμφότερα περιήκοντα, ἀνθρώπων κακῶν [e] ὁμιλίαι
" σφάλλουσι· κατά περ τὴν πάντων χρησιμωτάτην
" ἀνθρώποισι θάλασσαν πνεύματά φασι ἀνέμων ἐμ-
" πίπτοντα, οὐ περιορᾶν φύσει τῇ ἑωυτῆς χρῆσθαι.
3 " Ἐμὲ δὲ, ἀκούσαντα πρὸς σεῦ κακῶς, οὐ [f] τοσοῦτο
" ἔδακε λύπη, ὅσον, γνωμέων [g] δύο προκειμενέων
" Πέρσῃσι, τῆς μὲν, ὕβριν [h] αὐξανούσης, τῆς δὲ,
" καταπαυούσης, καὶ λεγούσης ὡς κακὸν εἴη δι-
" δάσκειν τὴν ψυχὴν πλέον τι [i] δίζησθαι αἰεὶ ἔχειν
" τοῦ παρεόντος· [k] τοιουτέων προκειμενέων γνωμέων,
" ὅτι τὴν [l] σφαλερωτέρην σεωυτῷ τε καὶ Πέρσῃσι
2 4 " ἀναίρεο. Νῦν [m] ὦν, ἐπειδὴ [n] τέτραψαι ἐπὶ τὴν
" ἀμείνω, φῄς τοι, μετιέντι τὸν ἐπ' Ἕλληνας στό-
" λον, ἐπιφοιτᾶν ὄνειρον, θεοῦ τινος πομπῇ, οὐκ
5 " [o] ἐῶντά σε καταλύειν τὸν στόλον. ἀλλ' οὐδὲ ταῦτά

16. [a] Sic S.V. Wessel. *οὐ πρώτῳ κ.* edd. vett. *οὐ πρώτῳ κελεύματι* K.P.F.b. *οἱ* om. a. [b] *κελεόμενον* F. [c] Citat Stobæus 3, 68. Eustath. Il. p. 238, 19=180, 34. [d] *τά σε* M.P.K.f.F. *τάδε* S. al. [e] Sic M.S.P.V.K.f.F. Paris. *ὁμιλίῃ* vulgo. [f] Sic F. *τοσοῦτον* S. vulg. Supra *χρᾶσθαι* S. [g] *δύω* F. Tum *προκειμενέων* M.K.P. *προκειμένων* S.F. al. [h] Sic M.P.K.F.b.d. *αὐξούσης* S.a.c. vulgo. Mox *τὴν ψυχὴν διδάσκειν* S. [i] *δίζησθαι* S.F. pr. Wessel. *δίζεσθαι* vulg. cum Stobæo 10, 41. ubi *καὶ ἔχειν*. [k] Sic F. *τουτέων προκειμένων γνωμέων* edd. vett. *τουτέων προκειμενέων τῶν γνωμέων* Wessel. monens *τουτέων προκειμένων τῶν* dare S. tum *προκειμενέων τῶν* P. *τῶν* om. a.b. [l] *σφαλερωτάτην* S.V.K. [m] *ὦν* om. a. [n] *τέτραφθαι* S. [o] Sic S.V.P.F. Paris. cf. 15. *ἐῶντος* vulg. *ὄνειρον* tam in masc. quam in neutro adhibitum observarunt viri docti, more Homerico.

" ἐστι, [p] ὦ παῖ, θεῖα. ἐνύπνια γὰρ τὰ [q] ἐς ἀνθρώ-
" πους πεπλανημένα, τοιαῦτά ἐστι οἷά σε ἐγὼ δι-
6 " δάξω, ἔτεσι σεῦ πολλοῖσι πρεσβύτερος ἐών. πε-
" πλανῆσθαι [r] αὗται μάλιστα ἐώθασι [s] αἱ ὄψιες τῶν 518
" ὀνειράτων, τά τις ἡμέρης φροντίζει· ἡμεῖς δὲ τὰς
" πρὸ τοῦ ἡμέρας ταύτην τὴν στρατηλασίην καὶ τὸ
7 " κάρτα εἴχομεν μετὰ χεῖρας. Εἰ δὲ [t] ἄρα μὴ ἔστι 3
" τοῦτο [v] τοιοῦτο οἷον ἐγὼ [w] διαιρέω, ἀλλά τι τοῦ θεοῦ
" μετέχον, σὺ πᾶν αὐτὸ συλλαβὼν εἴρηκας· [x] φανήτω
8 " γὰρ [y] δὴ καὶ ἐμοὶ ὡς [z] καὶ σοὶ διακελευόμενον. φα-
" νῆναι δὲ [a] οὐδὲν μᾶλλόν μοι ὀφείλει ἔχοντι τὴν σὴν
" ἐσθῆτα, [b] ἢ οὐ καὶ τὴν ἐμήν· οὐδέ τι μᾶλλον ἐν
" κοίτῃ τῇ σῇ ἀναπαυομένῳ, ἢ οὐ καὶ ἐν τῇ ἐμῇ·
9 " εἴπερ γε καὶ [c] ἄλλως ἐθέλει φανῆναι. οὐ γὰρ δὴ
" ἐς [d] τοσοῦτό γε εὐηθείης ἀνήκει τοῦτο, ὅ τι δή
" [e] κοτέ ἐστι τὸ ἐπιφαινόμενόν τοι ἐν τῷ ὕπνῳ, ὥστε
" δόξει ἐμὲ ὁρῶν σὲ εἶναι, τῇ σῇ ἐσθῆτι τεκμαιρό-
10 " μενον. εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται,
" οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἢν τὴν ἐμὴν ἐσθῆτα
" ἔχω, [f] οὔτε ἢν τὴν σήν, σὲ δὲ ἐπιφοιτήσει, τοῦτο

p Sic F. θεῖα ὦ παῖ S. vulg. q Respexit Eustath. Il. p. 48, 28=36, 33. r Ita Reiskius. Vulg. αὐταί. Mox Reiskius περὶ τά τις. Contra Valckenærius scribit περιπλανᾶσθαι pro πεπλανῆσθαι. Nihil mutandum videtur; repetatur tantum cogitatione ἐς ἀνθρώπους e præcedentibus. s αἱ—τῶν om. S.V. t ὅραμα S. v Sic M.P.K. V.S.F. τοιόνδε a. vulg. w Sic M.P.K.V.S.F. Paris. διαιρῶ Ald. Mox αὐτὸς S. pro αὐτό. Pro θεοῦ Schweigh. malebat θείου. x Sic P.F.a.c. φανεῖται S.V. φανείτω d. φανήσεται Wessel. et al. y δὴ om. S.V. z καὶ σὺ P. a οὐ μᾶλλον b. b Ita Schweighæuser. ex Schæferi emendatione, citans Schæferum ad Gregor. p. 102. Herodotum IV. 118. V. 94. ἢ οὐκὶ vulg. ἢ οὐκ ἐν τῇ F. ἢ οὐχὶ τὴν S. c ἄλλοις corr. Werfer. in Act. Philol. Monac. I. p. 236. speciose: sed si ex ipsa orationis consecutione intellexeris ἐμοὶ φανῆναι, nihil amplius desiderabis. SCHWEIGH. d τοσοῦτον S.V. Tum εὐηθείας S. Malim εὐηθίης. e κοτε om. S.V. Mox σοὶ pro τοι S. f οὔτε ἢν τὴν σήν, οὐδὲ ἐπιφοιτήσει, τοῦτο μαθητέον ἤδη ἐστί. Sic edd. vett. Pro οὐδὲ Eton. S. Vall. dant σὲ δέ. οὐδὲ καὶ F. tum ἤδη μαθητέον S.P.K.F.

“ ἤδη μαθητέον ἐστί. εἰ γὰρ [g] δὴ [h] ἐπιφοιτήσειέ γε
11 “ συνεχέως, φαίην ἂν καὶ αὐτὸς θεῖον εἶναι. Εἰ δέ
“ τοι οὕτω [i] δεδόκηται γίνεσθαι, καὶ οὐκ οἷά τε αὐτὸ
“ παρατρέψαι, [k] ἀλλ' ἤδη δεῖ ἐμὲ ἐν κοίτῃ τῇ σῇ
“ κατυπνῶσαι, φέρε, τούτων ἐξ ἐμεῦ [l] ἐπιτελευμένων,
“ [m] φανήτω καὶ ἐμοί. μέχρι δὲ τούτου, τῇ [n] παρεούσῃ
17 “ γνώμῃ [o] χρήσομαι.” Τοσαῦτα εἴπας Ἀρτάβανος,
[a] ἐλπίζων [b] Ξέρξεα ἀποδέξειν λέγοντα οὐδὲν, ἐποίεε
2 τὸ κελευόμενον. ἐνδὺς δὲ τὴν Ξέρξεω ἐσθῆτα, καὶ
[c] ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον, ὡς μετὰ ταῦτα
[d] κοῖτον ἐποιέετο, ἦλθέ οἱ κατυπνωμένῳ τὠυτὸ ὄνειρον
τὸ καὶ παρὰ Ξέρξεα ἐφοίτα· [e] ὑπερστὰν δὲ τοῦ Ἀρ-
3 ταβάνου, [f] εἶπε τάδε· “ [g] Ἆρα σὺ δὴ κεῖνος εἷς ὁ ἀπο-
“ σπεύδων Ξέρξεα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ὡς
“ δὴ κηδόμενος αὐτοῦ; ἀλλ' οὔτε ἐς τὸ μετέπειτα, οὔτε
“ ἐς τὸ παραυτίκα νῦν καταπροΐξεαι ἀποτρέπων τὸ
“ [h] χρεὸν γενέσθαι. [i] Ξέρξεα δὲ τὰ δεῖ ἀνηκουστέοντα
18 “ παθέειν, αὐτῷ ἐκείνῳ δεδήλωται.” Ταῦτά [a] τε δὴ
ἐδόκεε [b] Ἀρτάβανος [c] τὸ ὄνειρον ἀπειλέειν, καὶ θερ-

Inque lecto regio collocatus, eodem illo phantasmate terretur.

Igitur quod Dii expe-

ἔσται M.P.K.F. οὔτε ἣν τὴν σὴν, σὲ δὲ ἐπιφοιτήσει· τοῦτο μαθητέον ἤδη ἔσται Wessel. οὔτε ἣν τὴν σὴν, σὲ δὲ ἐπιφοιτήσει τοῦτο, μετετέον ἤδη ἔσται Schæfer. οὔτε ἣν τὴν σήν. εἰ δὲ καὶ ἐπιφοιτήσει, τ. ἤ. μ. ἐστί Schweigh. [g] ἐμοὶ b. [h] ἐπιφοιτήσειέ γε P.K. Wessel. ἐπιφοιτήσει γε F.S. γε al. om. [i] Sic M.S.P.K.F.b. δέδοκται a.c.d. Ald. [k] Ita Schæferus. ἀλλ' ἤδη ἢ ἐμὲ P.K.M.F.b. ἀλλ' ἤδη ἵημι S. edd. ἀλλ' εἰ δεῖ primum, deinde ἀλλ' ἢ δεῖ mavult Schweighæuser. ἀλλ' ἢ δεῖ ed. Bekker. [l] ἐπιτελλομένων S. [m] φανεῖται S. ut supra. [n] παρούσῃ F. [o] μὴ χρήσομαι V.

17. [a] Sic M.S.V.K.P.F. νομίζων Paris. et vulg. Supra ὁ Ἀρτάβανος S. [b] Ξέρξην F.S. et plerique. [c] Sic P.F.a.b. Schæfer. ἑζόμενος S. Wessel. al. [d] κοίτην d. [e] ὑπερστὰν Eustath. Il. p. 167, 15=126, 33. qui Ἀρταβάζου. [f] Sic Ald. A.B.S.V. τάδε om. M.K. P.F. Wessel. [g] σὺ δὴ ἐκεῖνος absque ἆρα S.V. σὺ δὴ κ. Schæfer. Bekker. ἆρα σὺ δ' ἐκ. F. Mox εἷς S.V.K.F.b. ubi al. ἧς. [h] Sic S.P.F. cf. Eustath. Il. p. 166. 8=125, 42. χρεὼν vulg. [i] τὸν μὲν δὴ Ξέρξην S.

18. [a] τε δὴ] τε om. F.b. δὴ om. S.V.P. [b] ὁ Ἀρτάβ. S. [c] Sic P.F. Schæfer. τὸν ὄνειρον S. al. cf. 15. et 17.

519 ditionem viderentur imperare, Xerxes, Artabano jam assentiente, ut bellum apparetur, suis edicit.

μοῖσι [d] σιδηρίοισι ἐκκαίειν αὐτοῦ μέλλειν τοὺς ὀφθαλ-
2 μούς. καὶ ὃς, ἀμβώσας μέγα, [e] ἀναθρώσκει· καὶ
παριζόμενος Ξέρξῃ, ὡς τὴν ὄψιν οἱ τοῦ ἐνυπνίου
3 [f] διεξῆλθε ἀπηγεόμενος, δεύτερά οἱ λέγει τάδε· "Ἐγὼ
"μὲν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος [g] ἰδὼν ἤδη πολλά
"τε καὶ μεγάλα [h] πεσόντα πρήγματα ὑπὸ ἡσσόνων,
4 "οὐκ [i] ἔων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστά-
"μενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν, [k] μεμνη-
"μένος μὲν τὸν ἐπὶ Μασσαγέτας Κύρου στόλον ὡς
"ἔπρηξε, μεμνημένος δὲ καὶ τὸν ἐπ᾽ Αἰθίοπας [l] τὸν
"Καμβύσεω, συστρατευόμενος δὲ καὶ Δαρείῳ ἐπὶ
"Σκύθας· [m] ἐπιστάμενος ταῦτα, γνώμην εἶχον, [n] ἀτρε-
"μίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώ-
5 "πων. Ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμὴ, καὶ
"Ἕλληνας, ὡς ἔοικε, [o] φθορή τις καταλαμβάνει θεή-
"λατος, ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι, καὶ τὴν γνώ-
6 "μην μετατίθεμαι. [p] Σὺ δὲ σήμηνον μὲν Πέρσῃσι
"τὰ ἐκ τοῦ θεοῦ [q] πεμπόμενα, [r] χρῆσθαι δὲ κέλευε
"τοῖσι [s] ἐκ σέο πρώτοισι προειρημένοισι ἐς τὴν
"παρασκευήν· ποίεε δὲ οὕτω, ὅκως, τοῦ θεοῦ παρα-
7 "διδόντος, τῶν σῶν [t] ἐνδεήσει μηδέν." Τούτων
[v] λεχθέντων, ἐνθαῦτα ἐπαρθέντες τῇ ὄψει, ὡς ἡμέρη
ἐγένετο τάχιστα, Ξέρξης τε [w] ὑπερετίθετο ταῦτα

[d] Sic S. σιδηρείοισι F. et vulg. [e] θρώσκει S. cum ἀνα in marg. ἀνθρώσκει P.F. Schæfer. [f] διῆλθεν F.b. [g] Sic M.S.P.V.K.F. Paris. Stob. 10, 35. ἰδών τε πολλὰ καὶ vulg. [h] ὑπὸ ἡσσόνων πεσόντα πρήγματα F. ἑσσόνων Schæfer. sequutus Valckenærium. [i] ἐῶ Stob. ἐῶν S. [k] μιμνησκόμενος P.F.b. μεμνησκόμενος K. μεμνησμένος M. [l] Sic S.P. F.a.c. τοῦ Καμβ. vulg. [m] Sic S.P.K.F.a.c. ἐπιστάμενος ὢν Wessel. Bekker. et al. [n] Attigit Eustath. Il. p. 201, 16=152, 31. [o] καταλ. τις φθορὴ F. [p] σὺ μὲν σ. F. Mox τὰ ἐκ τοῦ θεοῦ Πέρσῃσι S. [q] πεποιημένα F. [r] χρᾶσθαι F. [s] ἐκ σεῦ S.V. Schæfer. Bekker. [t] Sic S.a.c. Schæfer. conf. Valcken. ad Eurip. Phœn. 93. ἐνδεήσῃ vulg. [v] δὲ λεχθ. P.F. Schæfer. [w] ὑπετίθεε S.V.

Πέρσῃσι· καὶ Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύ-
δων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.

19 Tertium Xerxis somnium. Ejus interpretatio a magis facta, indeque nata Persarum spes.

Ὡρμημένῳ δὲ Ξέρξῃ [a] στρατηλατέειν, μετὰ ταῦτα
τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ μάγοι ἔκριναν
ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν, [b] δουλεύσειν
2 τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ ὄψις ἦν ἥδε. ἐδόκεε
ὁ Ξέρξης ἐστεφανῶσθαι ἐλαίης [c] θαλλῷ· ἀπὸ δὲ τῆς
ἐλαίης τοὺς κλάδους γῆν [d] πᾶσαν ἐπισχεῖν· μετὰ δὲ,
ἀφανισθῆναι [e] περὶ τῇ κεφαλῇ κείμενον τὸν στέ-
3 φανον. Κρινάντων δὲ [f] ταύτῃ τῶν μάγων, Περσέων
τε τῶν συλλεχθέντων αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν
τὴν ἑωυτοῦ [g] ἀπελάσας, εἶχε προθυμίην πᾶσαν ἐπὶ
τοῖσι [h] εἰρημένοισι, θέλων αὐτὸς ἕκαστος τὰ προκεί-
μενα δῶρα λαβεῖν· καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω
[i] ἐπάγερσιν ποιέεται, χῶρον πάντα ἐρευνῶν τῆς ἠπεί-
ρου.

20 Ingenti bellico apparatu per quadriennium instructo, Xerxes Susis proficiscitur [a. 481.]. Majoribus copiis bellum nunquam antea esse gestum.

Ἀπὸ γὰρ Αἰγύπτου ἁλώσιος, ἐπὶ μὲν τέσσερα
ἔτεα πλήρεα παραρτέετο στρατιήν τε καὶ τὰ πρόσ-
φορα τῇ στρατιῇ· πέμπτῳ δὲ ἔτεϊ [a] ἀνομένῳ ἐστρα-
2 τηλάτεε χειρὶ μεγάλῃ πλήθεος. Στόλων γὰρ, τῶν
ἡμεῖς ἴδμεν, πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο·
ὥστε μήτε τὸν Δαρείου τὸν ἐπὶ Σκύθας παρὰ τοῦτον
[b] μηδὲν φαίνεσθαι, μήτε τὸν Σκυθικὸν, ὅτε Σκύθαι
Κιμμερίους διώκοντες, ἐς τὴν Μηδικὴν χώρην ἐμβα-
λόντες, σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης καταστρε-
ψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτι-
3 μωρέετο· μήτε κατὰ τὰ λεγόμενα [c] τὸν Ἀτρειδέων

19. [a] στρατεύειν S.V. Supra ὁρμημένω S. [b] δουλεύειν F. [c] θαλῷ F. et S. pr. [d] πᾶσαν om. S.V. [e] περὶ om. d. [f] ταῦτα P.F. [g] πελάσας F. [h] Sic M.K.P.S.V.F.a.b.d. ἀνειρη. c. Ald. [i] ἐπέργερσιν b.

20. [a] ἀναισιμομένω S. ἀνυμένῳ b. Supra παρηρτέετο S. [b] μηδένα S.P.V.F.b. Infra εἵνεκα S. et μὴ δὲ κατά. [c] Sic in F. suprasc. a pr. m. Vulgo τῶν Ἀ.

ἐς Ἴλιον· μήτε [d] τὸν Μυσῶν τε καὶ Τευκρῶν, [e] τὸν
πρὸ τῶν Τρωϊκῶν [f] γενόμενον, οἱ [g] διαβάντες ἐς τὴν
Εὐρώπην κατὰ Βόσπορον, τούς τε Θρήϊκας κατεστρέ-
ψαντο πάντας, καὶ ἐπὶ τὸν [h] Ἰόνιον πόντον κατέ-
βησαν, μέχρι τε Πηνειοῦ ποταμοῦ τοῦ [i] πρὸς μεσαμ-
21 βρίης [k] ἤλασαν. Αὗται [a] αἱ πᾶσαι, [b] καὶ οὐδ᾽ εἰ
ἕτεραι πρὸς ταύτῃσι [c] γενόμεναι [d] στρατηλασίαι, μιῆς
2 τῆσδε οὐκ ἄξιαι. τί γὰρ οὐκ ἤγαγε ἐκ τῆς Ἀσίης
ἔθνος ἐπὶ τὴν Ἑλλάδα Ξέρξης; κοῖον δὲ πινόμενόν
[e] μιν ὕδωρ οὐκ ἐπέλιπε, πλὴν τῶν μεγάλων ποτα-
3 μῶν; οἱ μὲν γὰρ νέας παρείχοντο, οἱ δὲ ἐς πεζὸν
ἐτετάχατο, τοῖσι δὲ ἵππος προσετέτακτο, τοῖσι δὲ
ἱππαγωγὰ πλοῖα, [f] ἅμα στρατευομένοισι· τοῖσι δὲ ἐς
τὰς γεφύρας μακρὰς νέας παρέχειν· [g] τοῖσι δὲ σῖτά
τε καὶ νέας.

Mons Athos, jubente Xerxe, perfossus.

22 Καὶ τοῦτο μέν, ὡς [a] προσπταισάντων τῶν πρώτων
περιπλεόντων [b] περὶ τὸν Ἄθων, προετοιμάζετο [c] ἐκ
2 τριῶν ἐτέων [d] κου μάλιστα ἐς τὸν Ἄθων. ἐν γὰρ
[e] Ἐλαιοῦντι τῆς Χερσονήσου ὅρμεον τριήρεες· ἐν-
θεῦτεν δὲ ὁρμεώμενοι, ὤρυσσον [f] ὑπὸ μαστίγων παν-

521
Natura hujus montis: oppida in eo sita.

[d] τῶν Μυ. S. [e] τόν τε πρὸ P.K.F.b. τῶν πρὸ S. [f] γενομένων S. [g] ἐς S. addidit etiam Steph. Deest M.P.K.F.b. Ald. [h] Ἰόνιον S.F. Ald. et forte al. Ἰώνιον edd. rec. [i] πρὸς μεσαμβρίης M.K.P.V.S. Paris. πρὸς μεσημβρίης F. πρὸς μεσαμβρίην olim. τὸ πρὸς μεσαμβρίης Bekker. [k] ἤλασαν F.S. ἔλασαν vulgo.

21. [a] οὐ πᾶσαι S.V. Vall. [b] καὶ οὐδ᾽ εἰ ἕτεραι] Sic K.P.F.b. οὐδ᾽ εἰ ἕτεραι M. οὐδ᾽ ἕτεραι S. Bekker. vulg. [c] προσγενόμεναι P.K.F. [d] Sic S.V.K.F. Paris. Vulgo αἱ στρατ. [e] Sic M.P.K.c.b.F. μιν om. S.a.d. vulg. neque requiri videtur Valckenærio, qui citat Demosth. c. Polycl. p. 674, 87. τὸ ὕδωρ ἐκ τῶν φρεάτων ἐπέλιπεν, necnon Aristid. I. p. 223. Diodor. XI. 5. [f] ἅμα om. M.P.K.F.b. [g] τοῖσι δ᾽ ἐς σῖτα M. τ. δ. σῖτα γε S.

22. [a] πταισάντων P.F. [b] περὶ om. K. ut VI. 116. Ἄθω V.d. et mox. [c] Sic M.P.K.F.a.b.d. πρὸ τ. ἐ. S.c. Ald. [d] κου μάλιστα M. P.K.F.c.b.d. καὶ μάλιστα S.a. Ald. Mox τὰ ἐς τὸν Ἄθων Schweighæuser. e conjectura. [e] Sic M.K.P.F. Ἐλεοῦντι Ald. S. al. [f] ὑπομάστιγα S. qui supra Χερσοννήσου—τριήρεις—ὁρμώμενοι.

τοδαποὶ τῆς στρατιῆς· διάδοχοι δ' ἐφοίτων. ὤρυσ-
3 σον δὲ καὶ οἱ περὶ τὸν Ἄθων κατοικημένοι. [g] Βου-
βάρης δὲ ὁ [h] Μεγαβάζου, καὶ [i] Ἀρταχαίης ὁ Ἀρταίου,
ἄνδρες Πέρσαι, [k] ἐπεστάτεον τοῦ ἔργου. Ὁ γὰρ
Ἄθως [l] ἐστὶ ὄρος μέγα τε καὶ οὐνομαστὸν, ἐς θάλασ-
4 σαν κατῆκον, οἰκημένον ὑπὸ ἀνθρώπων. τῇ δὲ τελευτᾷ
ἐς τὴν ἤπειρον τὸ ὄρος, χερσονησοειδές τέ ἐστι, καὶ
ἰσθμὸς ὡς [m] δώδεκα σταδίων· πεδίον δὲ τοῦτο, καὶ
κολωνοὶ οὐ μεγάλοι, ἐκ θαλάσσης τῆς Ἀκανθίων
5 ἐπὶ θάλασσαν τὴν ἀντίον Τορώνης. ἐν δὲ τῷ ἰσθμῷ
τούτῳ, [n] ἐς τὸν τελευτᾷ ὁ Ἄθως, Σάνη πόλις Ἑλλὰς
6 οἴκηται. αἱ δὲ [o] ἐντὸς Σάνης, ἔσω δὲ τοῦ Ἄθω οἰκη-
μέναι, τὰς τότε ὁ Πέρσης νησιώτιδας ἀντὶ ἠπειρω-
τίδων ὥρμητο ποιέειν, [p] εἰσὶ αἵδε, Δῖον, Ὀλόφυξος,
[q] Ἀκρόθωον, [r] Θύσσος, [s] Κλεωναί. πόλις μὲν αὗται,
23 αἳ τὸν Ἄθων νέμονται. Ὤρυσσον δὲ ὧδε· δασά-
μενοι τὸν χῶρον οἱ βάρβαροι κατὰ ἔθνεα, κατὰ
Σάνην πόλιν σχοινοτενὲς ποιησάμενοι· ἐπεὶ δὲ [a] ἐγέ-
νετο βαθεῖα ἡ διώρυξ, οἱ μὲν, κατώτατα ἑστεῶτες,
ὤρυσσον· ἕτεροι δὲ παρεδίδοσαν τὸν αἰεὶ ἐξορυσσό-
μενον χοῦν ἄλλοισι κατύπερθε ἑστεῶσι ἐπὶ βάθρων·
οἱ δ' αὖ ἐκδεκόμενοι, ἑτέροισι, ἕως ἀπίκοντο ἐς τοὺς
[b] ἀνωτάτω· οὗτοι δὲ ἐξεφόρεόν τε καὶ ἐξέβαλλον.

Ratio perfodiendi: Phœnicum hoc in labore solertia. Operarii unde commeatus acceperint.

[g] Βουβάρης S.V.K.P.F. Paris. cf. V. 21. VIII. 136. Βούβαρις olim. [h] Μεγαβύζου c. [i] Ἀρταχαίης ὁ Ἀρταχαίου V.S. Ἀρταχέης ὁ Ἀρταίου P. *Artache Artachis filio* Vall. [k] ἐπέστασαν P.F. ἐπέστησαν b. [l] ἐς τὸ F. Mox οὖρος bis Bekker. Mox ὀνομαστὸν S. et χερσοννησοειδές. [m] δυώδεκα F.b. Mox οὐ κολωνοὶ οὐ S. [n] Sic K.S.V.P.F. Paris. ἐς ὃν al. [o] *extra* Vall. [p] εἰσὶ δὲ S.P.F.a.b. [q] Sic S.P.K.F. forte Paris. vid. Holsten. ad Steph. Byz. Ἀκρόθοον al. [r] Θύσσος S. Vall. cf. Thucydid. IV. 109. Plin. H. N. IV. 10. Θύσος Ald. Θύσσον M.K.P.F.c. [s] Hinc Eustath. Il. p. 291, 7=210, 17. Κλεοναὶ S. Tum πόλεις Bekker.

23. [a] ἐγένετο P.b.S. Ald. Schæfer. ἐγίνετο F. et al. ἐπειδὴ ἐγένετο βαθέα ἡ διῶρυξ Bekker. [b] ἀνωτάτους b. inter lineas.

2 τοῖσι μέν νυν ἄλλοισι, πλὴν Φοινίκων, καταρρηγνύμενοι οἱ κρημνοὶ τοῦ ὀρύγματος πόνον διπλήσιον παρεῖχον· [c] ἅτε γὰρ τοῦ τε ἄνω στόματος καὶ τοῦ κάτω [d] τὰ αὐτὰ μέτρα ποιευμένων, ἔμελλέ σφι
3 [e] τοιοῦτο ἀποβήσεσθαι. οἱ δὲ Φοίνικες σοφίην ἔν τε τοῖσι ἄλλοισι ἔργοισι ἀποδείκνυνται, καὶ δὴ καὶ ἐν ἐκείνῳ. ἀπολαχόντες [f] γὰρ μόριον ὅσον αὐτοῖσι [g] ἐπέ- 522
βαλλε, [h] ὄρυσσον, τὸ μὲν ἄνω στόμα τῆς διώρυχος ποιεῦντες διπλήσιον ἢ ὅσον ἔδει αὐτὴν τὴν διώρυχα γενέσθαι· προβαίνοντος δὲ τοῦ ἔργου, συνῆγον αἰεί· [i] κάτω τε δὴ ἐγίνετο, καὶ ἐξισοῦτο τοῖσι ἄλλοισι
4 τὸ ἔργον. [k] Ἐνθαῦτα δὲ [l] λειμών ἐστι, ἵνα σφι ἀγορή τε ἐγίνετο καὶ [m] πρητήριον· σῖτος δέ σφισι [n] πολλὸς ἐφοίτα ἐκ τῆς Ἀσίης ἀληλεσμένος.

24 Ὡς μὲν ἐμὲ [a] συμβαλλεόμενον [b] εὑρίσκειν, μεγαλοφροσύνης εἵνεκα αὐτὸ Ξέρξης ὀρύσσειν ἐκέλευε, [c] ἐθέλων τε δύναμιν ἀποδείκνυσθαι, καὶ μνημόσυνα λιπέσθαι.
2 παρεὸν γὰρ, μηδένα πόνον λαβόντας, τὸν ἰσθμὸν τὰς νέας [d] διειρύσαι, ὀρύσσειν ἐκέλευε διώρυχα τῇ θαλάσσῃ, εὖρος ὡς [e] δύο τριήρεας πλέειν ὁμοῦ [f] ἐλα-
3 στρευμένας. Τοῖσι δὲ αὐτοῖσι τούτοισι, τοῖσί περ καὶ τὸ ὄρυγμα, προσετέτακτο καὶ τὸν [g] Στρυμόνα ποταμὸν ζεύξαντας γεφυρῶσαι.

Qua re motus Xerxes fossam per Athon fieri imperaverit. Alvei latitudo. Strymon ab iisdem operariis ponte junctus.

[c] αὗται F. [d] Sic edd. et mss. plerique. κατ' αὐτὰ S., ubi κάτω in marg. Librarium voluisse suspicor καὶ τοῦ κάτω ταὐτὰ μ. Schweighæuser. κατὰ τὰ αὐτὰ e conj. Mox μέτρα om. b. [e] Sic F. τοιοῦτον vulg. S. [f] γὰρ om. F. [g] ἐπέβαλλε (vel ἐπέβαλλεν) F.b.S.V. ἐπέβαλε al. [h] Sic V. Schæfer. ὤρυσσον S. al. [i] κατότε S. Mox ἐγένετο Ald. [k] Sic c. ἐνθαῦτα δὴ vulg. Bekker. δὴ et δὲ om. P.F. [l] χειμὼν S. [m] πρατήριον hinc Pollux III. 126. VII. 11. [n] πολὺς S.

24. [a] συμβαλλόμενον S.V. Bekker. [b] εὑρίσκω b. Mox εἵνεκεν S. [c] θέλων S.V. [d] Sic M.P.K.V.F.b.d. διειρῆσαι S. διαρύσαι Ald. c. [e] δύω suprasc. in F.m. pr. [f] Sic Eustath. Il. p. 1161, 27=1219, 24. cf. II. 158. ἐλαστρεομ. S.b. edd. vett. ἐλαστρευομένας F. Mox τοῖσιν αὐτοῖσι δὲ S. [g] Στρυμῶνα b.

25 Arma pontibus faciundis. Commeatus exercitui in loca maxime idonea per Thraciam ac Macedoniam congesti.

Ταῦτα μέν νυν οὕτω [a] ἐποίεε· [b] παρασκευάζετο δὲ
καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου,
2 ἐπιτάξας Φοίνιξί τε καὶ Αἰγυπτίοισι καὶ σιτία τῇ
στρατιῇ καταβάλλειν, ἵνα μὴ [c] λιμήνειε ἡ στρατιὴ,
μηδὲ τὰ ὑποζύγια ἐλαυνόμενα ἐπὶ τὴν Ἑλλάδα·
ἀναπυθόμενος δὲ τοὺς χώρους, καταβάλλειν ἐκέλευε
ἵνα ἐπιτηδεώτατον [d] εἴη, [e] ἄλλον ἄλλῃ ἀγινέοντας
ὁλκάσι τε καὶ [f] πορθμηΐοισι ἐκ τῆς Ἀσίης πανταχό-
3 θεν. [g] τὸν δὲ ὦν πλεῖστον ἐς Λευκὴν Ἀκτὴν [h] καλεο-
μένην τῆς [i] Θρηΐκης ἀγίνεον, οἱ δὲ ἐς [k] Τυρόδιζαν
τὴν Περινθίων, οἱ δὲ ἐς Δορίσκον, οἱ δὲ ἐς Ἠϊόνα
τὴν ἐπὶ Στρυμόνι, οἱ δὲ ἐς Μακεδονίην διατετα-
γμένοι.

26 Pedestres copiæ in Cappadociam, ad oppidum Critala, coactæ. Unde cum Xerxes in Phrygiam movisset, Celænas Mæandri fontibus ac Marsyæ Sileni pelle celebres delatus,

[a] Ἐν τῷ δὲ οὗτοι τὸν προκείμενον [b] πόνον [c] ἐργά-
ζοντο, ἐν τούτῳ ὁ πεζὸς ἅπας [d] συλλελεγμένος ἅμα 523
Ξέρξῃ ἐπορεύετο ἐς Σάρδις, ἐκ [e] Κριτάλλων ὁρμηθεὶς
τῶν ἐν Καππαδοκίῃ· ἐνθαῦτα γὰρ εἴρητο συλλέ-
γεσθαι πάντα τὸν κατ' ἤπειρον μέλλοντα ἅμα αὐτῷ
2 Ξέρξῃ πορεύεσθαι στρατόν. Ὃς μέν νυν τῶν
[f] ὑπάρχων στρατὸν κάλλιστα ἐσταλμένον ἀγαγὼν
τὰ προκείμενα παρὰ βασιλέος ἔλαβε δῶρα, οὐκ ἔχω
φράσαι· [g] οὐδὲ γὰρ ἀρχὴν ἐς κρίσιν τούτου [h] πέρι
3 ἐλθόντας οἶδα. Οἱ δὲ, ἐπεί τε διαβάντες τὸν Ἅλυν

25. [a] Sic M.P.K.S.V.F. Par. ἐποιέετο edd. vett. Supra νῦν om. S. [b] Sic Wessel. παρεσκευάζετο edd. vett. παρεσχευάζοντο M.F.b. Thomas Mag. in Ὅπλα. παρασκευάζοντο P. Bene monet Schweighæuserus ὅπλα accusativum esse. [c] λυμήνειε Ald. Mox δὲ ἐπὶ τοὺς χώρους S. [d] εἴη om. F. ἐπιτηδεοτάτως εἴη S. [e] ἄλλον S.V. hoc est σῖτον ἀληλεσμένον, ut c. 23. docente Wessel. ἄλλα F.b.c. edd. vett. [f] πορθμηΐσιν S. [g] Sic F. Paris. Wessel. τὴν δὴ ὦν πλείστην S.V. τὸν δὲ ὦν πλείστων P.K. τὸν δὲ τῶν πλείστων Ald. [h] καλεόμενον S. [i] Θρηϊκίης F. Θρήκης S. [k] Vid. Steph. Byz. in Τυρέδιζα, hinc corrigendus.

26. [a] ἐν ᾧ F.S. Bekker. [b] πόρον V.S. marg. d. Vall. χῶρον alii teste Galeo. [c] εἰργάζοντο S.V. [d] συλλεγμένος S.V. [e] Sic S.V. Vall. F. Κριτάλων Wessel. al. [f] ὑπαρχόντων b. [g] Sic S.V.A.B. Ald. οὐδὲ ἀρχὴν M.K.P.F. [h] περιελθόντος S.

ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι' αὐτῆς πορευόμενοι, [i]παρεγένοντο ἐς Κελαινάς· ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ, καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῷ οὔνομα τυγχάνει ἐὸν [k]Καταρρήκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων, ἐς τὸν Μαίανδρον ἐκδιδοῖ· [l]ἐν τῇ καὶ [m]ὁ τοῦ Σιληνοῦ [n]Μαρσύεω ἀσκὸς ἐν τῇ πόλι ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπὸ Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι.

27 Ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ὁ [a]Ἄτυος, ἀνὴρ Λυδὸς, ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν ξεινίοισι μεγίστοισι, καὶ αὐτὸν Ξέρξεα· χρήματά τε ἐπαγγέλλετο, βουλόμενος ἐς τὸν πόλεμον παρέχειν. 2 ἐπαγγελλομένου δὲ χρήματα Πυθίου, εἴρετο Ξέρξης Περσέων τοὺς παρεόντας, τίς τε ἐὼν ἀνδρῶν Πύθιος, καὶ κόσα χρήματα κεκτημένος, ἐπαγγέλλοιτο ταῦτα. 3 οἱ δὲ εἶπαν· "Ὦ βασιλεῦ, οὗτός ἐστι, ὅς τοι τὸν πατέρα Δαρεῖον ἐδωρήσατο τῇ "πλατανίστῳ τῇ χρυσέῃ, καὶ τῇ ἀμπέλῳ· ὃς καὶ νῦν "ἐστι πρῶτος ἀνθρώπων πλούτῳ, τῶν ἡμεῖς ἴδμεν, "μετὰ σέ."

a Pythio Lydo, homine suæ ætatis longe ditissimo, una cum toto exercitu magnifice excipitur. Platanus vitisque aureæ Dario olim ab eodem donatæ.

28 [a]Θωμάσας δὲ τῶν ἐπέων τὸ τελευταῖον Ξέρξης, [b]αὐτὸς δεύτερα [c]εἴρετο Πύθιον ὁκόσα οἱ εἴη χρήματα. ὁ δὲ εἶπε· "Ὦ βασιλεῦ, οὔτε σε ἀπο- "κρύψω, οὔτε σκήψομαι τὸ μὴ εἰδέναι τὴν [d]ἐμεωυ- "τοῦ [e]οὐσίην, ἀλλ' ἐπιστάμενός τοι ἀτρεκέως κατα- 2 "λέξω. ἐπεί τε γὰρ τάχιστά σε ἐπυθόμην ἐπὶ θά- "λασσαν καταβαίνοντα τὴν Ἑλληνίδα, βουλόμενός

524 Xerxis cum eo colloquium.

[i] ἀπίκοντο K.P.F.b. [k] Καταρήκτης F. [l] ἐν ᾧ καὶ b. [m] τοῦ Σειλ. absque ὁ S.V. [n] Μαρσύου P.K.F.

27. [a] Ἀτρέος P.K.F.b. cf. Eustath. Il. β'. p. 366, 22=277, 30. ὁ om. F.b. Mox ἐξείνεσε S.

28. [a] θωμάσας S.K.F. θωϋμάσας vulg. Mox τὸ τελευταῖον τῶν ἐπέων S. [b] αὐτὸν malebat Schweighæuser. [c] ἤρετο F. [d] ἑωυτοῦ K. cf. III. 52. IV. 97. [e] οὐσίαν F. Mox ἐπυθόμην τάχιστά σε S.

" τοι δοῦναι ἐς τὸν πόλεμον χρήματα, ἐξέμαθον, [f] καὶ
" εὗρον λογιζόμενος, ἀργυρίου μὲν [g] δύο χιλιάδας
" ἐούσας μοι ταλάντων, [h] χρυσίου δὲ τετρακοσίας
" μυριάδας στατήρων Δαρεικῶν, ἐπιδεούσας ἑπτὰ
3 " [i] χιλιαδέων. καὶ [k] τούτοισί σε ἐγὼ δωρέομαι· αὐτῷ
" δ' ἐμοὶ ἀπὸ ἀνδραπόδων τε καὶ [l] γεωπεδίων [m] ἀρ-
29 " κέων ἐστὶ βίος." Ὁ μὲν ταῦτα ἔλεγε· Ξέρξης δὲ
ἡσθεὶς τοῖσι εἰρημένοισι, εἶπε· " Ξεῖνε Λυδὲ, ἐγὼ
" ἐπεί τε ἐξῆλθον τὴν Περσίδα χώρην, οὐδενὶ ἀνδρὶ
" συνέμιξα ἐς τόδε, ὅστις ἠθέλησε ξείνια [a] προθεῖναι
" στρατῷ τῷ ἐμῷ, οὐδὲ ὅστις ἐς ὄψιν τὴν ἐμὴν κα-
" ταστὰς, αὐτεπάγγελτος ἐς τὸν πόλεμον ἐμοὶ ἠθέ-
2 " λησε συμβαλέσθαι χρήματα, ἔξω σεῦ. σὺ δὲ καὶ
" [b] ἐξείνισας μεγάλως στρατὸν τὸν ἐμὸν, καὶ χρή-
" ματα [c] μεγάλα [d] ἐπαγγέλλεαι. σοὶ ὦν ἐγὼ ἀντὶ αὐ-
" τῶν γέρεα τοιάδε δίδωμι· ξεῖνόν τε σε ποιεῦμαι
" ἐμὸν, καὶ τὰς τετρακοσίας μυριάδας [e] τοι τῶν στα-
" τήρων ἀποπλήσω παρ' ἐμεωυτοῦ, δοὺς τὰς ἑπτὰ
" χιλιάδας· ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι
" μυριάδες ἑπτὰ χιλιαδέων, ἀλλ' ᾖ τοι [f] ἀπαρτιλογίη
3 " ὑπ' ἐμέο πεπληρωμένη. κέκτησό τε αὐτὸς τά περ
" [g] αὐτὸς ἐκτήσαο, ἐπίστασό τε εἶναι αἰεὶ τοιοῦτος· οὐ
" γάρ [h] τοι ταῦτα ποιεῦντι, οὔτε ἐς τὸ παρεὸν, οὔτε
" [i] ἐς χρόνον μεταμελήσει."

[f] καὶ om. S. [g] Vid. Tzetzes ad Lycophr. p. 142. δύω suprasc. in F. Mox μοι ἐούσας S. [h] χρυσοῦ P.F. Eustath. l. c. et p. 339, 3=256, 32. [i] χιλιάδων S.V. Bekker. et infra. [k] τούτοισί γε S.P. [l] Sic V.P.K.a.b.F. γεωπέδων S. Wess. γεοπόδων edd. vett. [m] Sic S.V.P.K.F. Paris. om. edd. ante Wessel.

29. [a] προσθεῖναι S. [b] ξείνισας S. Schæfer. [c] μεγάλα om. M.P.K.F.b. [d] ἐπαγγέλλεται F. [e] τοι om. S.V. Tum τὰ ἑπτὰ S. Mox τοι post μὴ om. S.V. ubi μή τι Suidas in Ἀπαρτίαν. [f] Citant Pollux II. 120. Harpocrat. Suid. ἀλλ' ᾖ τοι ἀπ. S. [g] Sic M.K.P.F. αὐτὸς S. al. om. [h] τοιαῦτα ποιεῦντι S.V. ποιέοντι vulgo. [i] Sic M.P.K.S.B.F. εἰς (vel ἐς) τὸ μέλλον Ald. c.d.

30 Ταῦτα δὲ εἴπας, καὶ ἐπιτελέα ποιήσας, ἐπορεύετο
[a] αἰεὶ τὸ πρόσω. [b] Ἄνανα δὲ καλεομένην Φρυγῶν
πόλιν παραμειβόμενος, καὶ λίμνην ἐκ τῆς ἅλες γίνον-
ται, ἀπίκετο ἐς [c] Κολοσσὰς, πόλιν [d] μεγάλην Φρυγίης,
ἐν τῇ Λύκος ποταμὸς ἐς χάσμα γῆς [e] ἐσβάλλων ἀφα-
νίζεται· ἔπειτα διὰ σταδίων ὡς [f] πέντε μάλιστά κη
ἀναφαινόμενος, ἐκδιδοῖ καὶ οὗτος ἐς τὸν Μαίανδρον.
2 ἐκ δὲ Κολοσσέων [g] ὁρμεώμενος ὁ στρατὸς ἐπὶ τοὺς
οὔρους [h] τῶν Φρυγῶν καὶ τῶν Λυδῶν, ἀπίκετο ἐς
[i] Κύδραρα πόλιν· ἔνθα στήλη καταπεπηγυῖα, στα-
θεῖσα δὲ ὑπὸ Κροίσου, καταμηνύει διὰ γραμμάτων
31 τοὺς [k] οὔρους. Ὡς δὲ ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν
Λυδίην, σχιζομένης τῆς ὁδοῦ, καὶ τῆς [a] μὲν [b] ἐς ἀρι-
στερὴν [c] ἐπὶ Καρίης φερούσης, τῆς δὲ ἐς δεξιὴν, ἐς
Σάρδις, τῇ καὶ πορευομένῳ διαβῆναι τὸν Μαίανδρον
ποταμὸν πᾶσα ἀνάγκη γίνεται, [d] καὶ ἰέναι παρὰ
[e] Καλλάτηβον πόλιν, ἐν τῇ ἄνδρες δημιοεργοὶ [f] μέλι
2 ἐκ μυρίκης τε καὶ πυροῦ [g] ποιεῦσι· ταύτην ἰὼν ὁ
Ξέρξης τὴν ὁδὸν, εὗρε πλατάνιστον, τὴν κάλλεος
εἵνεκα δωρησάμενος κόσμῳ χρυσέῳ, καὶ μελεδωνῷ
ἀθανάτῳ ἀνδρὶ ἐπιτρέψας, δευτέρῃ ἡμέρῃ ἀπίκετο ἐς
32 τῶν Λυδῶν τὸ ἄστυ. Ἀπικόμενος δὲ ἐς Σάρδις,

Ulterius iter exercitus per Phrygiam ac Lydiam. Anaua: 525 propter lacus salis ferax. Colossæ: ubi terræ hiatus, Lycum fluvium hauriens. Cydrara: juxtaque confinium Phrygiæ Lydiæque.

Callatebus, mellis confectione celebris. Platanus speciosissima, a Xerxe ornata.

Sardes cum venisset ex-

30. [a] τὸ πρόσω αἰεὶ F. [b] Ἄνανα hinc Steph. Byz. [c] Κολοσσοὺς S. [d] μεγάλην om. S.V. Vall. Sed bene tuetur Wesseling. citato Xenoph. Anab. I. 2, 6. et de Lyco Strabon. XII. p. 867 B.= 578 C. [e] ἐμβαλὼν S.V. [f] Sic S.P.K.F.a. μάλιστά κη πέντε Wessel. et al. [g] ὁ στρατὸς ὁρμ. F.S. ὁρμώμενος S. [h] τῶν Λυδῶν καὶ Φρυγῶν S.V. τῶν Φ. καὶ Λ. F.a. Bekker. [i] Sic M.K.P.F.b. Κύδρα a.c.d. al. Κυδραπόλιν S. qui tum ἔνθα ἡ στήλη. [k] ὅρους F.

31. [a] μὲν om. S.V. [b] ἐς ἀριστερὴν M.P.K.F. Paris. ἐπ' ἀρ. olim cum S. [c] ἐπὶ Καρίης S.V.P.M.K.b. ἐπὶ Καρίην a.c.d. et vulg. ἀριστερὴν ἐπιβῆναι τῆς Μαί. F. mediis omissis. Mox πορευόμενος S. [d] καὶ om. F. [e] Καλλάτιον S.V. Καλλάτιβος Steph. Byz. ubi v. Holsten. [f] Sic S.V.P.K.F. ἐκ μυρ. τ. κ. πυροῦ μέλι Wessel. et al. [g] Sic P.K.F. Wessel. ποιέουσι olim cum S.

ercitus, in Græciam mittuntur, qui aquam et terram petant: non tamen Athenas, neque Spartam [c. 133.].

πρῶτα μὲν ἀπέπεμπε κήρυκας ἐς τὴν Ἑλλάδα, αἰτήσοντας γῆν τε καὶ ὕδωρ, καὶ προερέοντας δεῖπνα βασιλέϊ παρασκευάζειν· πλὴν οὔτε ἐς Ἀθήνας, οὔτε ἐς Λακεδαίμονα ἀπέπεμπε ἐπὶ γῆς αἴτησιν, τῇ δὲ ἄλλῃ
2 πάντῃ. [a] τῶνδε δὲ εἵνεκα [b] τὸ δεύτερον ἀπέπεμπε ἐπὶ γῆν τε καὶ ὕδωρ· ὅσοι πρότερον [c] οὐκ ἔδοσαν Δαρείῳ πέμψαντι, τούτους πάγχυ ἐδόκεε τότε δείσαντας δώσειν· [d] βουλόμενος ὦν αὐτὸ τοῦτο ἐκμαθεῖν ἀκριβῶς, ἔπεμπε. Μετὰ δὲ ταῦτα, παρεσκευάζετο ὡς [e] ἐλῶν ἐς Ἄβυδον.

33

Pontes injecti Hellesponto inter Abydum Sestique oram eam, in qua post Artayctes pœnas luit impietatis [9, 120.].

Οἱ δὲ ἐν τούτῳ τὸν Ἑλλήσποντον ἐζεύγνυσαν ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην. ἔστι δὲ τῆς Χερσονήσου τῆς ἐν Ἑλλησπόντῳ, Σηστοῦ [a] τε πόλιος [b] μεταξὺ καὶ [c] Μαδύτου, ἀκτὴ [d] τραχέα ἐς θάλασσαν κατή-
2 κουσα, Ἀβύδῳ καταντίον· ἔνθα μετὰ ταῦτα χρόνῳ ὕστερον οὐ πολλῷ, ἐπὶ Ξανθίππου τοῦ Ἀρίφρονος στρατηγοῦ Ἀθηναίων, Ἀρταΰκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρχον, ζῶντα πρὸς σανίδα [e] προσδιεπασσάλευσαν· ὃς [f] καὶ ἐς τοῦ Πρωτεσίλεω 526
τὸ ἱρὸν [g] ἐς Ἐλαιοῦντα ἀγινεόμενος γυναῖκας, [h] ἀθέ-
34 μιτα ἔρδεσκε. Ἐς ταύτην ὦν τὴν ἀκτὴν ἐξ Ἀβύδου

32. [a] Sic S.V. Wessel. τῶν δὲ al. et Schæfer. εἵνεκεν S. Supra ἀπέπεμπε—τὸ δεύτερον om. Ald. [b] τὸ δεύτερον om. S.V. [c] Sic P.K.F.b. Schæfer. nec improbat Wesselingius, monens δοῦναι et πέμπειν hoc in genere variari, coll. IV. 127. 131. ἔπεμψαν al. [d] βουλόμενος—ἔπεμπε om. S. ἀκριβῶς om. V. [e] ἐλῶν Ἄβυδον S.

33. [a] τε om. S.V. [b] Sic S.V.F. μεταξύ τε καὶ alii. [c] Ἀβύδου S. Vall. cf. IX. 119. Tzetzes Lycophr. 1432. p. 143. a. [d] Sic V. Vall. Tzetzes. παχέα F.a.b.d. Ald. ἀκτή τε τραχέα S. τρηχέα Bekker. [e] διεπασσάλ. F.P. Eustath. Od. pag. 1923, 43=780, 28. Schæfer. Bekker. nec improbat Wesseling. cf. IX. 120. Supra ζώοντα Bekker. [f] καὶ abesse malebat Schweighæuser. [g] Sic F.P.V.S. τὸ ἐς Ἐλ. alii probante Schæfero ad Demosth. Or. c. Aristocr. p. 119. et sic Bekker. Ἐλεοῦντα Ald. b.S. al. [h] ἀθέμιστα M.P.K.F.b.d. ἀθέμιτα ἔργα S.V.A.B. Ald.

ὁρμεώμενοι, ἐγεφύρουν τοῖσι [a] προσεκέετο, [b] τὴν μὲν
λευκολίνου Φοίνικες, [c] τὴν δ' ἑτέρην τὴν βυβλίνην
2 Αἰγύπτιοι. [d] ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ Ἀβύδου ἐς τὴν
ἀπαντίον. [e] Καὶ δὴ ἐζευγμένου τοῦ πόρου, ἐπιγενό-
μενος χειμὼν μέγας, συνέκοψέ τε ἐκεῖνα πάντα καὶ
35 διέλυσε. Ὡς δ' ἐπύθετο Ξέρξης, δεινὰ ποιεύμενος,
τὸν Ἑλλήσποντον [a] ἐκέλευε τριηκοσίας ἐπικέσθαι
μάστιγι πληγὰς, καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων
2 ζεῦγος. ἤδη δὲ ἤκουσα ὡς καὶ [b] στιγέας ἅμα τούτοισι
ἀπέπεμψε [c] στίξοντας τὸν Ἑλλήσποντον. ἐνετέλλετο
δὴ ὦν ῥαπίζοντας, λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα·
3 "Ὦ [d] πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτιθεῖ
" τήνδε, ὅτι μιν ἠδίκησας, οὐδὲν πρὸς ἐκείνου ἄδικον
4 " [e] παθόν. καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε,
" ἤν τε σύ [f] γε βούλῃ, ἤν τε μή. σοὶ δὲ κατὰ δίκην
" [g] ἄρα οὐδεὶς ἀνθρώπων θύει, ὡς ἐόντι [h] δολερῷ τε
5 " καὶ [i] ἁλμυρῷ ποταμῷ." [k] Τήν τε δὴ θάλασσαν
ἐνετέλλετο τούτοισι ζημιοῦν, καὶ τῶν ἐπεστεώτων τῇ
ζεύξι τοῦ Ἑλλησπόντου ἀποταμεῖν τὰς κεφαλάς.
36 Καὶ οἱ μὲν ταῦτα ἐποίεον τοῖσι [a] προσεκέετο αὕτη ἡ

His per tempestatem ruptis,

Xerxes [si fides habenda Græciæ mendaci] in Hellespontum stolide, in præfectos fabrûm crudeliter sævit.

Refecti pontes. Eorum constructio.

34. [a] Sic V. προσέκειτο S.F. et vulg. Supra ὁρμημένοι S. [b] Attigit Eustath. Dionys. 912. [c] τὴν δὲ β. S.V. [d] Sic M.P.K.F. cf. I. 26. IV. 85. Wesseling. ad Antonini Itin. p. 344. εἰσὶ δὲ ἑπτὰ στάδιοι S.V. ἔστι δὲ ἑπτὰ στάδια edd. Mox ἐπαντίον S. [e] καὶ διεζευγ. S.

35. [a] Sic F.b. ἐκέλευσε S. vulg. Mox πεδῶν S. [b] Sic M.P. K.S.F. Paris. μαστιγέας Ald. et vulg. [c] ζεύξαντας S. Mox τὰ βάρβαρα S. [d] Sic mss. καὶ ἁλμυρὸν addunt edd. vett. cum schol. Hermogen. p. 403. Mox σοι S. pro τοι. [e] παθὼν S. Ald. [f] γε om. S. mox βούλει f. Tum σὺ δὲ κατὰ S. [g] Sic M.P.K.V. Paris. f.F. ἄρα ὡς οὐδεὶς vulg. ἀρεῖ. οὐδεὶς S. [h] καὶ δολερῷ καὶ F.S. Pro δολερῷ Boeckius Comm. de Platon. Min. p. 173. reponit θολερῷ, actum agens; sic enim Markland. ad Eurip. Suppl. 222. [i] Cf. Eustath. Hom. p. 359, 9=271, ult. [k] τὴν δὲ F.

36. [a] Sic S.V. προσέκειτο al. οἷσι F. pro τοῖσι. Tum πεντηκοντόρους S.

2 ἄχαρις τιμή. τὰς δὲ ἄλλοι ἀρχιτέκτονες ἐζεύγνυσαν· 527
ἐζεύγνυσαν δὲ ὧδε. Πεντηκοντέρους καὶ τριήρεας
συνθέντες, ὑπὸ μὲν τὴν πρὸς τοῦ Εὐξείνου Πόντου
ἑξήκοντά τε καὶ τριηκοσίας, [b] ὑπὸ δὲ τὴν ἑτέρην τεσ-
σερεσκαίδεκα καὶ τριηκοσίας, τοῦ μὲν Πόντου ἐπι-
καρσίας, τοῦ δὲ Ἑλλησπόντου κατὰ ῥόον, ἵνα [c] ἀνα-
3 κωχεύῃ τὸν τόνον τῶν [d] ὅπλων. συνθέντες δέ, ἀγκύ-
ρας [e] κατῆκαν [f] περιμήκεας, τὰς μὲν πρὸς τοῦ Πόντου
τῆς ἑτέρης, τῶν ἀνέμων [g] εἵνεκεν τῶν ἔσωθεν ἐκπνε-
όντων, τῆς δὲ ἑτέρης [h] τῆς πρὸς ἑσπέρης τε καὶ τοῦ
4 Αἰγαίου, εὔρου τε καὶ νότου εἵνεκα. διέκπλοον δὲ
[i] ὑπόφαυσιν κατέλιπον τῶν πεντηκοντέρων καὶ [k] τρι-
χοῦ, ἵνα καὶ ἐς τὸν Πόντον ἔχῃ ὁ βουλόμενος πλέειν
5 πλοίοισι λεπτοῖσι, καὶ ἐκ τοῦ Πόντου ἔξω. ταῦτα δὲ
ποιήσαντες, κατέτεινον ἐκ γῆς στρεβλοῦντες [l] ὄνοισι
ξυλίνοισι τὰ ὅπλα· οὐκέτι χωρὶς ἑκάτερα τάξαντες,
ἀλλὰ δύο μὲν λευκολίνου δασάμενοι ἐς ἑκατέρην,
6 τέσσερα δὲ τῶν βυβλίνων. παχύτης μὲν [m] ἡ αὐτὴ καὶ
καλλονή, κατὰ λόγον δὲ ἦν ἐμβριθέστερα τὰ λίνεα·
7 τοῦ τάλαντον ὁ πῆχυς εἷλκε. [n] Ἐπειδὴ δὲ ἐγεφυρώθη
ὁ πόρος, κορμοὺς ξύλων καταπρίσαντες, καὶ ποιή-
σαντες ἴσους τῆς σχεδίης τῷ εὖρεϊ, κόσμῳ [o] ἐπετί-

[b] ὑπὸ—τριηκοσίας] Sic M.P.K. Vall. F. Al. om. cum S. [c] Schol. in P. μετεπορίζει (μετεωρίζει) ἀναβαστάζει. Spectavit hæc Arrian. Anab. V. 7. [d] πόνων F. cum ὅπλων in marg. pro v. l. [e] κατῆκαν P.K.F. κατήκασι S. κατῆκον olim. [f] ἐπιμήκεας F. [g] εἵνεκεν τῶν ἔσωθεν] Sic P.K.S.V.F. εἵνεκα et εἴσωθεν vulg. *extrinsecus* Vall. [h] τῆς om. S.P.F. [i] Sic Ald. V.S. ὑπὸ φαῦσιν al. ὑπόφασιν F. [k] τριχῆ S. καὶ τριηρέων τριχοῦ Bekkerus cum Petavio. [l] Sic S.M.P.K.F.a.b.d. ὄνυξι c. Ald. [m] Sic Schweighæuser. ex Reiskii emend. ἦν αὕτη F.b.c.S. et forte reliqui codd. Ald. ἦν αὐτὴ Wessel. ἦν ἡ αὐτὴ Schæfer. Bekker. Mox ἐμβριθέστερα ἦν F. [n] Sic M.P.K.F. Paris. ἐπεὶ δὲ S. al. [o] ἐτίθεσαν καὶ ὕπερθε M.K.P.F.b. καὶ ὕπερθε Thomas M. in Ὅπλα.

θεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου· θέντες δὲ
8 ἐπεξῆς, ἐνθαῦτα αὖτις ἐπεζεύγνυον. ποιήσαντες δὲ
ταῦτα, ὕλην ἐπεφόρησαν· κόσμῳ δὲ θέντες καὶ τὴν
ὕλην, γῆν ἐπεφόρησαν· κατανάξαντες δὲ καὶ τὴν
γῆν, φραγμὸν παρείρυσαν ἔνθεν καὶ ἔνθεν, ἵνα μὴ
φοβέηται τὰ ὑποζύγια τὴν θάλασσαν [p] ὑπερορῶντα,
καὶ [q] οἱ ἵπποι.

37 Ὡς δὲ τά [a] τε τῶν γεφυρέων κατεσκεύαστο, καὶ
[b] τὰ περὶ τὸν Ἄθων, οἵ τε χυτοὶ [c] περὶ τὰ στόματα
τῆς διώρυχος, οἳ τῆς ῥηχίης εἵνεκεν ἐποιήθησαν, ἵνα
μὴ [d] πίμπληται τὰ στόματα τοῦ ὀρύγματος, καὶ αὐτὴ
ἡ διῶρυξ παντελέως πεποιημένη [e] ἄγγελτο· ἐνθαῦτα
χειμερίσας, ἅμα τῷ ἔαρι παρεσκευασμένος ὁ στρατὸς
2 ἐκ τῶν Σαρδίων ὡρμᾶτο ἐλῶν ἐς Ἄβυδον. Ὡρμη-
μένῳ δέ οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην,
ἀφανὴς ἦν, οὔτ᾽ [f] ἐπινεφέλων ἐόντων, αἰθρίης τε τὰ
3 μάλιστα· ἀντὶ ἡμέρης τε νὺξ ἐγένετο. Ἰδόντι δὲ καὶ
μαθόντι τοῦτο τῷ Ξέρξῃ ἐπιμελὲς ἐγένετο· καὶ εἴρετο
4 τοὺς μάγους τὸ [g] θέλοι προφαίνειν τὸ φάσμα. οἱ δὲ
[h] ἔφραζον ὡς Ἕλλησι προδεικνύει ὁ θεὸς ἔκλειψιν
τῶν πολίων· λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέ-
κτορα, σελήνην δὲ, σφέων. [i] πυθόμενος δὲ ταῦτα ὁ
38 Ξέρξης, περιχαρὴς ἐὼν ἐποιέετο τὴν [k] ἔλασιν. Ὡς δ᾽
ἐξήλαυνε τὴν στρατιὴν, Πύθιος ὁ Λυδὸς, καταρρω-

528 Proximo vere Xerxes Sardibus ex hibernaculis movet [a. 480.]. Solis defectio: quid, interpretibus Magis, portenderit.

Pythium Lydum [c. 27.],

[p] ὁρῶντα S.V. Supra φοβῆται S. [q] οἱ om. F.

37. [a] τε om. S.V. [b] τὰ om. F.b. [c] παρὰ b. [d] πίμπληται M.P.K.F.b.d. ἐμπίπληται S.a.c. vulg. ut IV. 72. Mox στόματα S. [e] Sic V.S. Schæfer. ἀγγέλλετο F. Bekker. et al. Mox ὁρμᾶτο ἐλὼν S. Illud Bekker. et sic mox. [f] Sic M.P.K. ἐπινεφελέων S. ἐπὶ νεφελῶν F.b. ἐπινεφέων c. ἐπὶ νεφέων vulg. [g] Sic F. θέλει S. vulg. [h] Sic M.P.K.F.b. ἔφασαν S. Wessel. al. Confert Gronovius VII. 219. Mox εἶναι ἥλιον S. [i] ταῦτα πυθ. ὁ Ξ. F. [k] Sic P.S.V.K.F. Paris. cf. III. 4. VII. 6. 106. Xenoph. Cyrop. VIII. iii. 34. ἐξέλασιν Ald.

filiorum maximo natu vacationem militiæ petentem,

δήσας τὸ ἐκ τοῦ οὐρανοῦ φάσμα, ἐπαρθείς τε τοῖσι
2 δωρήμασι, ἐλθὼν παρὰ Ξέρξεα, ἔλεγε τάδε· “Ὦ
“ δέσποτα, [a] χρήσας ἄν τι τεῦ βουλοίμην τυχεῖν, τὸ
“ σοὶ μὲν ἐλαφρὸν τυγχάνει ἐὸν [b] ὑπουργῆσαι, ἐμοὶ
“ δὲ μέγα γενόμενον;” Ξέρξης δὲ πᾶν μᾶλλον δο-
κέων μιν [c] χρηΐσειν ἢ τὸ ἐδεήθη, ἔφη τε ὑπουργήσειν,
3 καὶ [d] διαγορεύειν ἐκέλευε ὅτευ δέοιτο. ὁ δὲ, ἐπεί τε
ταῦτα ἤκουσε, ἔλεγε θαρσήσας τάδε· “Ὦ δέσποτα,
“ τυγχάνουσί μοι παῖδες ἐόντες πέντε, καί σφεας κα-
“ ταλαμβάνει πάντας ἅμα [e] σοὶ στρατεύεσθαι ἐπὶ τὴν
4 “ Ἑλλάδα. σὺ δὲ, ὦ βασιλεῦ, ἐμὲ ἐς τόδε ἡλικίης
“ ἥκοντα οἰκτείρας, τῶν μοι παίδων ἕνα παράλυσον
“ τῆς [f] στρατηΐης, τὸν πρεσβύτατον, ἵνα αὐτοῦ τε 529
“ ἐμεῦ καὶ τῶν χρημάτων ᾖ μελεδωνός· τοὺς δὲ τέσ-
“ σερας [g] ἄγευ ἅμα σεωυτῷ· καὶ πρήξας τὰ νοέεις,
39 “ νοστήσειας ὀπίσω.” Κάρτα τε ἐθυμώθη ὁ Ξέρξης,
“ καὶ [a] ἀμείβετο τοῖσδε· “Ὦ κακὲ ἄνθρωπε, σὺ ἐτόλ-
“ μησας, ἐμεῦ στρατευομένου αὐτοῦ ἐπὶ τὴν Ἑλλάδα,
“ καὶ ἄγοντος παῖδας ἐμοὺς καὶ ἀδελφεοὺς [b] καὶ οἰ-
“ κηΐους καὶ φίλους, μνήσασθαι περὶ σέο παιδός·
“ ἐὼν ἐμὸς δοῦλος, τὸν [c] χρῆν πανοικίῃ [d] αὐτῇ γυναικὶ
2 “ συνέπεσθαι; εὖ νῦν τόδ' [e] ἐξεπίστασο, ὡς ἐν τοῖσι
“ ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός· ὃς χρηστὰ μὲν
“ ἀκούσας, τέρψιος [f] ἐμπιπλέει τὸ σῶμα· ὑπεναντία

quam immani crudelitate Xerxes tractaverit.

38. [a] χρήσαις] χρήσας S. χρῄσας Stegerus. Mox σεῦ S. pro τεῦ. τι om. Bekkerus cum Süvernio. [b] ὑπορ. P. et mox. [c] Sic Schæfer. Vulgo χρήσειν. Bekker. χρῄσειν. [d] Sic b. Vulgo δὴ ἀγορεύειν cum S. et sic Bekker. Tum ὅτου S. [e] συστρατ. S. [f] Ita Wessel. et Valcken. στρατιῆς F. et vulgo. [g] ἄγευ P.F. Vulgo ἄγε cum S. et Bekker.

39. [a] Sic Ald. F.a.c.S. ἀμείβεται M.P.K. Wessel. [b] καὶ om. F. καὶ οἰκείους S. [c] χρὴ P.F.S. [d] αὐτῇ τῇ γ. F. [e] ἐπίστασο F. [f] ἐμπιπλεῖ F. ἐπιπλεῖ b. ἐμπιπλᾷ f. ἐμπίπλη Stobæus 20, 46. ubi ms. ἐμπίπλα. conf. Porson. ad Aristoph. Av. 1310.

3 "δὲ [g] τούτοισι [h] ἀκούσας, [i] ἀνοιδέει. ὅτε μέν νυν χρηστὰ ποιήσας, ἕτερα τοιαῦτα [k] ἐπηγγέλλεο, εὐεργεσίῃσι βασιλέα [l] οὐ καυχήσεαι ὑπερβαλέσθαι· ἐπεί τε δὲ ἐς τὸ ἀναιδέστερον [m] ἐτράπευ, τὴν μὲν ἀξίην
4 "οὐ λάμψεαι, ἐλάσσω δὲ τῆς ἀξίης. σὲ μὲν γὰρ καὶ τοὺς τέσσερας τῶν παίδων ῥύεται τὰ ξείνια· τοῦ δὲ ἑνὸς, τοῦ περιέχεαι μάλιστα, [n] τῇ ψυχῇ
5 "ζημιώσεαι." Ὡς δὲ ταῦτα ὑπεκρίνατο, αὐτίκα ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον, μέσον [o] διαταμεῖν· διαταμόντας δὲ, τὰ ἡμίτομα διαθεῖναι, τὸ μὲν [p] ἐπὶ δεξιὰ τῆς ὁδοῦ, τὸ δὲ ἐπ' ἀριστερά· καὶ ταύτῃ διεξιέναι τὸν στρατόν.

Ordo agminis. Campus Nisæus, equorum generosorum fetura nobilitatus. Currus Jovi sacer.

40 Ποιησάντων δὲ τούτων [a] τοῦτο, μετὰ ταῦτα διεξήϊε ὁ στρατός. Ἡγέοντο [b] δὲ πρῶτοι μὲν οἱ σκευοφόροι τε καὶ τὰ ὑποζύγια· μετὰ δὲ τούτους, [c] στρατὸς παν-
2 τοίων ἐθνέων ἀναμὶξ, οὐ διακεκριμένοι. τῇ δὲ ὑπερημίσεες ἦσαν, ἐνθαῦτα διελέλειπτο· καὶ οὐ [d] συνέμισγον
3 οὗτοι βασιλέϊ. Προηγεῦντο [e] μὲν δὴ [f] ἱππόται χίλιοι, ἐκ Περσέων πάντων ἀπολελεγμένοι· [g] μετὰ δὲ, αἰχμοφόροι χίλιοι, καὶ οὗτοι ἐκ πάντων ἀπολελεγμένοι, τὰς λόγχας κάτω ἐς τὴν γῆν τρέψαντες· μετὰ δὲ, 530

g τουτέοισι Stob. probantibus Wessel. et Valcken. et sic ed. Bekker. τούτοισι libri Herodotei. h ἀκούσας habent mss. et Stob. vulgo om. i ἀνοιδαίνει Stob. cf. III. 127. k ἐπηγγέλλετο S.F. l οὐκ αὐχήσεαι S. m ἐτράπευ P.F. Schæfer. ἐτράπεσο S. ἐτράπεο vulg. n τῇ ψυχῇ S.P.V.F.b.c.d. cf. VI. 136. o διατεμεῖν et διατεμόντας S.V. p Sic S.V.P.F.a. Schæfer. ἐπὶ τὰ δεξιὰ Wessel. et al. ἐπιδεξιὰ et mox ἐπαριστερὰ b.

40. a τοῦτο om. M.P.K.F. τοῦτο τούτων S. b δὲ πρῶτοι om. unus ms. Mox τε post σκευοφόροι om. F. c Sic M.P.K.F.b.d. σύμμικτος στρατὸς παντ. Ald. a. στρατὸς σύμμικτος c. d συνέσμιγον M.V. e μὲν δὴ P.K.M.b.d.F. μὲν γὰρ S.a.c. al. Ante προηγεῦντο intercidisse βασιλεῖ suspicatur Schweighæuserus, quod bis poni debuerat. f οἱ ἵπποται S.V. g μετὰ δὲ—ἀπολελεγμένοι om. c. Ald.

ἱροὶ [h] Νισαῖοι καλεύμενοι ἵπποι δέκα, κεκοσμημένοι ὡς 96
4 κάλλιστα. Νισαῖοι δὲ καλέονται ἵπποι ἐπὶ τοῦδε.
ἔστι πεδίον [i] μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι
Νίσαιον· τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ
5 πεδίον τοῦτο. ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων,
ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον
λευκοὶ ὀκτώ· ὄπισθε [k] δὲ τῶν ἵππων εἵπετο πεζῇ
ἡνίοχος, ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ [l] δὴ ἐπὶ
6 τοῦτον τὸν θρόνον ἀνθρώπων [m] ἀναβαίνει. τούτου δὲ
ὄπισθεν αὐτὸς Ξέρξης ἐπ᾽ ἅρματος ἵππων Νισαίων·
[n] παραβέβηκε δέ οἱ ἡνίοχος, τῷ οὔνομα ἦν Πατιράμ-
41 φης, Ὀτάνεω [o] παῖς, ἀνδρὸς Πέρσεω. Ἐξήλασε
μὲν [[a] δὴ] οὕτω ἐκ Σαρδίων Ξέρξης· [b] μετεκβαίνεσκε
δὲ, ὅκως μιν [c] λόγος αἱρέοι, ἐκ τοῦ ἅρματος ἐς ἁρμά-
2 μαξαν. αὐτοῦ δὲ ὄπισθεν αἰχμοφόροι, Περσέων οἱ
ἄριστοί τε καὶ γενναιότατοι, χίλιοι, κατὰ νόμον τὰς
λόγχας ἔχοντες. μετὰ δὲ, ἵππος ἄλλη χιλίη ἐκ Περ-
σέων ἀπολελεγμένη· μετὰ δὲ τὴν ἵππον, ἐκ τῶν
3 λοιπῶν Περσέων ἀπολελεγμένοι μύριοι. οὗτος πεζὸς
ἦν· καὶ τούτων χίλιοι μὲν ἐπὶ τοῖσι δόρασι [d] ἀντὶ
τῶν σαυρωτήρων ῥοιὰς εἶχον χρυσέας, καὶ πέριξ
[e] συνεκλήϊον τοὺς ἄλλους· οἱ δὲ εἰνακισχίλιοι ἐντὸς

[h] Νησαῖοι V.F.a.c. Ald. et sic mox. cf. Arrian. Anab. VII. 13. Suid. in Νίσαιον et Ἵππος Νισαῖος. In S. οἱ Νησαῖοι non ἱροὶ Ν. Multa viri docti ad Ammian. Marcellin. XXIII. vi. 30. Tum καλεύμενοι S.V. καλεόμενοι vulg. [i] μέγα om. F. [k] δὲ αὖ τῶν ἵ. K.F. δὲ αὐτῶν ἵπ. P. δὲ τούτων τῶν δέκα ἵ. a. [l] δὴ om. S.V. [m] ἐπιβαίνει P.F. [n] Sic S.V.K.P.F. παραβεβήκεε vulg. et revocavit Matthiæ. [o] ἀνδρ. Πέρσ. παῖς F.

41. [a] δὴ om. S.K.P.F.a.c. Bekker. [b] μετεβαίνεσκε b. [c] Sic P. K.F.a. λόγος ἐξαιρέοι S.V. cf. III. 45. IV. 127. VI. 124. ὁ λόγος vulg. cf. I. 132. ἐξαιρέοι d. [d] Sic mss. plerique. Vulgo οἱ ἀντί. Mox σαυροτήρων S. qui infra om. εἶχον δέ. [e] συνεκλήῒον Schæferus post Koen. ad Gregor. Dial. Ion. §. 3. συνέκληον vulgo. συνέκλειον F.S.

4 τούτων [f] ἐόντες, ἀργυρέας ῥοιὰς εἶχον. εἶχον δὲ χρυσέας ῥοιὰς καὶ οἱ εἰς [g] τὴν γῆν τρέποντες τὰς λόγχας, καὶ μῆλα οἱ ἄγχιστα ἑπόμενοι Ξέρξῃ. τοῖσι δὲ
5 μυρίοισι ἐπετέτακτο ἵππος Περσέων μυρίη. μετὰ δὲ τὴν ἵππον [h] διέλειπε καὶ δύο σταδίους, καὶ ἔπειτα ὁ λοιπὸς ὅμιλος ἤϊε ἀναμίξ.

42 Ἐποιέετο δὲ τὴν ὁδὸν ἐκ τῆς Λυδίης ὁ στρατὸς ἐπί τε ποταμὸν Κάϊκον καὶ γῆν τὴν Μυσίην· ἀπὸ δὲ Καΐκου ὁρμεώμενος, Κάνης ὄρος ἔχων ἐν ἀριστερῇ,
2 διὰ τοῦ [a] Ἀταρνέος ἐς [b] Καρίνην πόλιν. ἀπὸ δὲ ταύτης διὰ [c] Θήβης πεδίου ἐπορεύετο, [d] Ἀτραμύττειόν τε πόλιν καὶ Ἄντανδρον τὴν Πελασγίδα παραμειβόμενος. τὴν Ἴδην δὲ λαβὼν [e] ἐς ἀριστερὴν [f] χέρα,
3 ἤϊε ἐς τὴν Ἰλιάδα γῆν. καὶ πρῶτα μέν οἱ ὑπὸ τῇ Ἴδῃ νύκτα ἀναμείναντι βρονταί τε [g] καὶ πρηστῆρες ἐπεισπίπτουσι, καί τινα αὐτοῦ ταύτῃ συχνὸν ὅμιλον
43 διέφθειραν. Ἀπικομένου δὲ τοῦ στρατοῦ [a] ἐπὶ τὸν Σκάμανδρον· ὃς πρῶτος ποταμῶν, ἐπεί τε ἐκ Σαρδίων ὁρμηθέντες ἐπεχείρησαν τῇ ὁδῷ, [b] ἐπέλιπε τὸ ῥέεθρον, οὐδ᾽ ἀπέχρησε τῇ στρατιῇ [c] τε καὶ τοῖσι κτήνεσι πινόμενος· ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς ἀπίκετο Ξέρξης, ἐς τὸ Πριάμου Πέργαμον ἀνέβη,

Iter Sardibus Abydum versus. Ad Idam orta tempestate, multi militum fulmine tacti.

Scamander, ob immanem bibentium multitudinem, aquis defectus. Xerxes Pergamum invisit. Sacra facta

[f] ἐόντες om. S.V. [g] τὴν om. F. [h] διελέλειπτο Schweighæuserus e conjectura ut supra 40. Et sic ed. Bekker. διέλειπέ τε P.K. διελείπτετε (sic) F. διελείπετο Schæfer. διέλειπε S. Wessel. et al. Mox κατὰ δύο σταδίους malebat Schweighæuser.

42. [a] Ἀρτάνεος b. Supra ὁρμώμενος S. [b] Κάρνην M.P.K.F. corr. sed a. p. m. Καρήνην Steph. Byz. *Carene* Plinius Hist. Nat. V. 30. ubi Harduinus p. 281. hic Καρήνην reposuerit. [c] Θήκης F. [d] Sic Vall. a.c. Eustath. Il. p. 649, 44=512, 20. ἀτραμύτειον S. Ἀδραμ. F.b.d. al. cf. Steph. Byz. Thucyd. V. 1. [e] ἐπ᾽ ἀρ. b. [f] χεῖρα P.K.V.S.F. [g] καὶ πρηστῆρες om. b. Mox ἐπεσπίπτουσι Bekker.

43. [a] Sic S.V. Vall. ἐπὶ ποταμὸν Σ. M.F. al. [b] Sic M.P.K.V.F. Paris. ἐπελίπετο ῥ. S. ἀπέλιπε edd. vett. [c] τε καὶ om. a. τε om. S. Mox δὲ pro δὴ S.

Minervæ Iliacæ heroibusque. Terror panicus.

2 ἵμερον ἔχων θεήσασθαι. θεησάμενος δὲ, καὶ πυθό- 531
μενος [d]κείνων ἕκαστα, τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε
βοῦς χιλίας· χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι ἐχέαντο.
ταῦτα δὲ ποιησαμένοισι, νυκτὸς φόβος ἐς τὸ στρα-
3 τόπεδον [e]ἐνέπεσε. ἅμα ἡμέρῃ δὲ ἐπορεύετο ἐνθεῦτεν,
ἐν ἀριστερῇ μὲν ἀπέργων [f]Ῥοίτειον πόλιν καὶ Ὀφρύ-
νειον, καὶ Δάρδανον, ἥπερ δὴ Ἀβύδῳ ὅμουρός ἐστι·
ἐν δεξιῇ δὲ, [g]Γέργιθας Τευκρούς.

Abydum delatus Xerxes, copias pedestres navalesque spectat. Naumachiæ spectaculum editum.

44 Ἐπεὶ δ' [a]ἐγένοντο ἐν [b]Ἀβύδῳ, ἠθέλησε Ξέρξης
ἰδέσθαι πάντα τὸν στρατόν. καὶ προεπεποίητο γὰρ
ἐπὶ κολωνοῦ ἐπίτηδες [c]αὐτῷ ταύτῃ προεξέδρη λίθου
λευκοῦ· ἐποίησαν [d]δὲ Ἀβυδηνοὶ, ἐντειλαμένου πρό-
2 τερον βασιλέος. ἐνθαῦτα ὡς ἵζετο, κατορῶν ἐπὶ τῆς
ἠϊόνος, ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας· θηεύμενος
δὲ, ἱμέρθη τῶν νεῶν ἅμιλλαν [e]γινομένην ἰδέσθαι.
ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη

Xerxes illacrymatur.

45 τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ. Ὡς δὲ [a]ὥρα πάντα
μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμ-
μένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία
ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα [b]Ξέρξης ἑωυτὸν ἐμακά-

Hinc natum Artabani cum eo colloqui-

46 ρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε. Μαθὼν δέ μιν Ἀρ-
τάβανος ὁ [a]πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο
[b]ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι

[d] ἐκείνων F. [e] Sic vulg. cf. IV. 203. VIII. 37. Miscell. Obs. III. p. 144. ἐσέπεσε P.M.F. Mox ἅμα δὲ ἡ. ἐνθεῦτεν ἐπ. S. [f] Ῥοίτιον F. [g] Sic M.K.F.a.b.c. cf. V. 122. Γεργ. τε καὶ Τευκ. S. vulg. Supra ἐν δὲ δεξιῇ S.

44. [a] ἐγένετο F.a.b. Bekker. [b] Sic S.V. Vall. Stobæus 98, 73. Ἀβύδῳ μέσῃ F. Paris. vulg. [c] αὐτοῦ dedit Bekker. Tum ἐξέδρῃ S.V. Mox λευκοῦ om. Stobæus. [d] δὲ καὶ Ἀβ. S. [e] Sic Ald. et mss. quidam. γενομένην S. Jungerman. et recentiores edd.

45. [a] ἑώρα Stob. qui mox ὑποκεκρυμμένον. [b] ὁ Ξέρξης F.a.S.

46. [a] πατρῶος Stobæus Trincavelli. [b] ἐλευθερίως S.V. Mox οὐ om. Matth.

ἐπὶ τὴν Ἑλλάδα· οὗτος [c] ὡνὴρ φρασθεὶς Ξέρξεα
2 δακρύσαντα, εἴρετο τάδε· “Ὦ βασιλεῦ, ὡς πολὺ
“ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ [d] ὀλίγῳ
“πρότερον; μακαρίσας γὰρ [e] σεωυτὸν, δακρύεις.”
3 Ὁ δὲ εἶπε· “[f] Ἐσῆλθε γάρ με λογισάμενον κατοι-
“κτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ
“τούτων γε, ἐόντων τοσούτων, οὐδεὶς ἐς [g] ἑκατοστὸν
4 “ἔτος περιέσται.” Ὁ δὲ ἀμείβετο λέγων· “Ἕτερα
“τούτου παρὰ τὴν [h] ζόην πεπόνθαμεν [i] οἰκτρότερα.
“ἐν γὰρ οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν
“εὐδαίμων πέφυκε, οὔτε τούτων, οὔτε τῶν ἄλλων,
“τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ
5 “τεθνάναι βούλεσθαι μᾶλλον ἢ [k] ζόειν. αἵ τε γὰρ
“συμφοραὶ [l] προσπίπτουσαι, καὶ αἱ νοῦσοι [m] συν-
“ταράσσουσαι, καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν
6 “εἶναι ποιεῦσι τὸν βίον. οὕτω [n] ὁ μὲν θάνατος,
“μοχθηρῆς ἐούσης τῆς ζόης, καταφυγὴ αἱρετωτάτη
“τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ θεὸς, γλυκὺν [o] γεύσας
“τὸν αἰῶνα, [p] φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών.”
47 Ξέρξης δὲ ἀμείβετο λέγων· “Ἀρτάβανε, βιοτῆς μέν
“νυν ἀνθρωπηΐης πέρι, ἐούσης τοιαύτης [a] οἵηνπερ σὺ

um de vitæ humanæ conditione, expeditionis periculis, fide Ionum, arguens il- 532 lud Artabani prudentiam et gravitatem, Xerxis stultitiam et temeritatem.

[c] ἀνὴρ S.V. ὠνὴρ F. οὗτος οὖν ἀνὴρ Stob. οὗτος ὦν ὡνὴρ Schæfer. præeunte Valckenærio. [d] ὀλίγον S. Quum in Gesneriana Stobæi editione p. 612, 26. non ἐργάσαο, sed ἔργα σὰ, τὸ reperisset Valckenærius, hanc lectionem minime contemnendam statuit. Atqui vulgatæ unice patrocinatur Stobæi ms. [e] ἑωυτὸν Stobæus. cf. III. 36. Utraque scriptura indicatur in F. ead. m. [f] ἐσῆλθε S.V.P.a.c.d. Stob. Trinc. εἰσῆλθε F.b. Stob. vulg. ἐπῆλθε al. [g] ἑκατὸν Stob. Trinc. ἕκαστον ms. [h] ζωὴν S.V. Stob. [i] Sic M.P.K.F. Paris. Stob. οἰκτότερα S. al. [k] Sic F. ζώειν M.P.K. ζῆν S.a. Stob. al. Supra οὐκ ἅπαξ S. [l] συμπίπτουσαι Stob. qui vulg. habet 121, 40. [m] συνταράσσουσι V. συνταράττουσι Stob. συνταράττουσαι F. Mox δοκέειν μακρὸν S. [n] Citat Eustath. Il. p. 411, 7=311, 34. Tum ζωῆς S. [o] Sic Stobæus 121, 40. Plutarch. II. p. 1106 F. τάξας (vel τεύξας) Stobæus 98, 73. πλέξας Trinc. 98, 62. [p] δυσξύνετος Stob. 98, 62. qui alibi cum vulg. consentit.

47. [a] Sic M.P.K.V.S.F. Paris. οἵην σὺ vulg.

" [b] διαιρέαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν [c] μεμνεώ-
2 " μεθα, χρηστὰ ἔχοντες [d] πρήγματα ἐν χερσί. Φρά-
" σον δέ μοι τόδε. εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ
" ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώ-
" μην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ
" μετέστης ἄν; [e] φέρε μοι τοῦτο ἀτρεκέως εἰπέ."
3 Ὁ δὲ ἀμείβετο λέγων· "Ὦ βασιλεῦ, ὄψις μὲν ἡ
" ἐπιφανεῖσα τοῦ ὀνείρου, ὡς βουλόμεθα ἀμφότεροι,
4 " τελευτήσειε. ἐγὼ [f] δ' ἔτι καὶ ἐς τόδε δείματός εἰμι
" [g] ὑπόπλεος, οὐδ' ἐντὸς ἐμεωυτοῦ· ἄλλα τε πολλὰ
" ἐπιλεγόμενος, καὶ δὴ καὶ [h] ὁρέων τοι δύο τὰ μέ-
48 " γιστα πάντων ἐόντα πολεμιώτατα." [a] Ξέρξης δὲ
πρὸς ταῦτα ἀμείβετο τοῖσδε· "Δαιμόνιε ἀνδρῶν,
" κοῖα ταῦτα [b] λέγεις εἶναι δύο μοι πολεμιώτατα;
" κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ [c] τὸ πλῆθός ἐστι,
" καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλα-
" πλήσιον ἔσεσθαι τοῦ ἡμετέρου; ἢ τὸ ναυτικὸν
" [d] τὸ ἡμέτερον [e] λείψεσθαι τοῦ ἐκείνων; ἢ καὶ συν- 533
2 " αμφότερα ταῦτα; εἰ γάρ τοι ταύτῃ [f] ἐνδεέστερα
" φαίνεται εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν
49 " ἄλλου τις τὴν ταχίστην ἄγερσιν ποιοῖτο." Ὁ δ' 1
ἀμείβετο λέγων· "Ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον
" ὅστις γε σύνεσιν [a] ἔχει μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν

[b] διαιρέεαι] Poterat διαιρέαι scribi. cf. I. 180. SCHWEIGH. Reposui διαιρέαι ex S. [c] Sic S.V.P.F. Schæfer. μεμνώμεθα vulg. et Eustath. Il. p. 767, 36=674, 1. [d] τὰ πρ. b. [e] φέρε τοῦτό μοι F. qui mox ὦ βασιλεύς. Supra ἢ om. S. [f] δὲ καὶ P.K.F. [g] ὑπόπλεως S. Mox πολλὰ om. S. [h] Sic M.K.P.F. τοὶ al. post ἐόντα. om. S.

48. [a] Ξέρξης—πολεμιώτατα] ἀμείβεται Ξέρξης κότερά S. [b] Sic F. et forte K.P. λ. δύο εἶναί μ. π. λε. μ. εἶ. δ. vulg. [c] τὸ om. S.P.V. [d] τὸ ἡμέτερον om. S.V. [e] λήψεσθαι nonnulli post Steph. [f] φαίνεται ἐνδεέστερα F. Mox ἄγερσιν τηνταχίστην (sic) S.

49. [a] Sic vulgo cum Stobæi ms. 54, 31. ἔχοι V.F. pr. Bekker. et Stobæi edd. vett. Supra τὸν στρατὸν S. qui γε om. post ὅστις.

1 “τὸ πλῆθος· [b] ἤν τε πλεῦνας συλλέξῃς, τὰ [c] δύο
“τοι, τὰ λέγω, πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ
2 “δὲ δύο ταῦτα, ἔστι γῆ τε καὶ θάλασσα. οὔτε γὰρ
“τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος [d] οὐδαμόθι, ὡς
“ἐγὼ εἰκάζω, ὅστις ἐγειρομένου χειμῶνος, δεξάμενός
“σευ τοῦτο τὸ ναυτικὸν, φερέγγυος ἔσται διασῶσαι
3 “τὰς νέας. καί τοι [e] οὐκὶ ἕνα αὐτὸν [f] δεῖ εἶναι τὸν
“λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν
4 “[g] δὴ κομίεαι. [h] οὐκ ὦν δὴ ἐόντων [i] τοι λιμένων
“[k] ὑποδεξίων, μάθε ὅτι αἱ [l] συμφοραὶ τῶν ἀνθρώπων
2 5 “ἄρχουσι, καὶ οὐκὶ ὤνθρωποι τῶν συμφορέων. Καὶ
“δὴ, τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου, τὸ ἕτερον
“ἔρχομαι ἐρέων. [m] γῆ δὲ πολεμίη τῇδέ τοι κατί-
“σταται· εἰ [n] ἐθέλοι τοι μηδὲν ἀντίξοον καταστῆναι,
“τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν [o] προ-
“βαίνῃς [p] ἑκαστέρω, τὸ πρόσω αἰεὶ [q] κλεπτόμενος·
“εὐπρηξίης [r] γὰρ οὐκ ἔστι ἀνθρώποισι οὐδεμία πλη-
6 “θώρη. καὶ δή τοι, ὡς οὐδενὸς ἐναντιευμένου, λέγω
“τὴν χώρην, πλεῦνα ἐν [s] πλεῦνι χρόνῳ γινομένην,
7 “λιμὸν τέξεσθαι. Ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ

[b] Sic S.V. Stob. ἢν δὲ al. [c] δύο τοι ταῦτα Stobæi ms. δύο ταῦτα Trinc. [d] οὐδαμόθι—εἰκάζω om. Stob. τοιοῦτος pro τοσοῦτος S. [e] οὐχὶ ἐνάκη S. qui nempe ἕνα κη debuerat, *unum alicubi*. SCHWEIGH. Atqui hoc ipsum ἕνά κη præbet S. [f] δεῖ γενέσθαι S.V. Mox παρὰ om. S. [g] Ita Stob. ed. probantibus Valckenærio et Porsono Advers. p. 39. διήκωμι Stob. ms. δεῖ κομίσαι V.S. κομίζεαι Wessel. et al. κομίζεται F.b. [h] οὐκ ὦν (vel οὔκων) δὴ V.S.K.F. Stob. οὔκων δὲ vulg. [i] Sic S.V.P.F.a.b.d.M. Wessel. τῶν λ. Ald. τοι τῶν λ. Gronov. [k] Huc forte spectat Suidas in Ὑποδέξιος. Valckenærii ὑποδεξίμων amplectitur Schæferus ad Bosium v. ΣΚΕΥΗ. [l] συμφοραί τοι Stobæi ms. Mox ἄνθρωποι Stob. [m] γῆ δὴ conj. Wesseling. et sic S. γῆ γὰρ Schweigh. [n] Sic S.V. θέλοι P. Stobæi ms. θέλει F. Stobæi ed. ἐθέλει Wessel. al. [o] προβαίνῃς S.V. Stob. a.F. corr. προβαίνεις F. pr. προβαίνοις vulg. ὅσον ἂν S. [p] ἑκατέρω S.F. Stob. [q] Sic vulgo, et Stobæi ms. βλεπόμενος Stobæi ed. [r] δὲ οὐκ S.V. Stobæi ms. Mox ἐναντιουμένου S. [s] Sic Stob. πλεόνι vulg.

“ βουλευόμενος μὲν, ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πεί-
50 “ σεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη.” Ἀμεί-
βεται Ξέρξης τοῖσδε· “ Ἀρτάβανε, [a] οἰκότως μὲν σύ
“ γε τούτων ἕκαστα διαιρέαι· ἀτὰρ μήτε πάντα φο-
1 2 “ βέο, μήτε πᾶν [b] ὁμοίως ἐπιλέγεο. Εἰ γὰρ δὴ βού-
“ λοιο ἐπὶ τῷ αἰεὶ ἐπεσφερομένῳ πρήγματι τὸ πᾶν
“ ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας ἂν οὐδαμὰ οὐδέν·
“ κρέσσον δὲ, πάντα θαρσέοντα, ἥμισυ τῶν δεινῶν
“ πάσχειν μᾶλλον, ἢ πᾶν χρῆμα προδειμαίνοντα,
3 “ [c] μηδαμὰ μηδὲν παθεῖν. εἰ δὲ ἐρίζων πρὸς [d] πᾶν 534
“ τὸ λεγόμενον, [e] μὴ τὸ βέβαιον [f] ἀποδέξεις, σφάλ-
“ λεσθαι ὀφείλεις ἐν αὐτοῖσι ὁμοίως καὶ ὁ ὑπεναντία
4 “ τούτοισι λέξας. τοῦτο μέν νυν ἐπίσης ἔχει. εἰδέναι
“ δὲ ἄνθρωπον ἐόντα, [g] κῶς χρὴ, τὸ βέβαιον, δοκέω
5 “ μὲν οὐδαμῶς. τοῖσι τοίνυν βουλομένοισι ποιέειν,
“ ὡς τὸ ἐπίπαν φιλέει [h] γίνεσθαι τὰ κέρδεα· τοῖσι
“ δὲ ἐπιλεγομένοισί τε [i] πάντα καὶ [k] ὀκνεῦσι, οὐ μάλα
2 6 “ ἐθέλει. Ὁρᾷς τὰ Περσέων πρήγματα ἐς ὃ δυνά-
“ μιος προκεχώρηκε, εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ
“ [l] γενόμενοι βασιλέες γνώμῃσι [m] ἐχρέοντο [n] ὁμοίῃσι
“ καὶ σὺ, ἢ μὴ χρεόμενοι γνώμῃσι τοιαύτῃσι, ἄλλους

50. [a] Sic F. Vulgo εἰκότως. Dedi mox διαιρέαι pro διαιρέεαι ex S. [b] ὁμοίως om. S. Mox ἐπεισφερομένω S. [c] μηδαμοῦ Eustath. Il. p. 511, 34=187, 20. qui mox σχῆμα pro χρῆμα. [d] τὸ πᾶν τὸ λεγ. F. [e] μὴ τὸ β. S.V.A.B. Ald. μή τε βεβ. M.P.K.F.b. Optime habet τὸ βέβαιον. In qualibet quæstione, quæ agitatur, multæ esse possunt opiniones σφαλεραὶ, fallaces, et incertæ, una tantum vera et certa; atque hoc est τὸ βέβαιον, quod dicentem Xerxem facit Herodotus, idque ipsum paulo infra repetitur. Schweigh. [f] ἀποδέξῃς F.S. Ald. Mox ὀφείλει S. [g] Schweighæuserus et Schæferus ὅκως χρὴ, *sicut oportebat*. Matthiæ sic interpungit: εἰδέναι δὲ ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον; δοκέω μὲν οὐδαμῶς. [h] γίγνεσθαι F. [i] πάντη S. [k] Sic S.V. ὀκνέουσι olim. [l] γινόμενοι F. qui mox βασιλέες. In hoc concordat S. [m] ἐχρέοντο et mox χρεόμενοι n. cf. Gregor. Dial. Ion. 15. Vulgo ἐχρέωντο et χρεώμενοι. [n] ὁμοίῃσι καὶ σὺ M.P.K.V.F. Paris. τῇσι καὶ σὺ Ald. Steph. ὁμ. καὶ σοὶ c.S.

" συμβούλους εἶχον τοιούτους, οὐκ ἄν [o] κοτε εἶδες
" αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ κινδύνους ἀναρ-
7 " ριπτέοντες, ἐς τοῦτό [p] σφεα προηγάγοντο. μεγάλα
" γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει [q] καται-
" ρέεσθαι. Ἡμεῖς τοίνυν, ὁμοιεύμενοι κείνοισι, ὥρην
" τε τοῦ ἔτεος καλλίστην πορευόμεθα, [r] καὶ κατα-
" στρεψάμενοι πᾶσαν τὴν Εὐρώπην, νοστήσομεν
" ὀπίσω, οὔτε λιμῷ ἐντυχόντες οὐδαμόθι, οὔτε ἄλλο
8 " ἄχαρι [s] παθόντες οὐδέν. τοῦτο μὲν γὰρ, αὐτοὶ
" πολλὴν φορβὴν [t] φερόμενοι πορευόμεθα· τοῦτο δὲ,
" τῶν ἄν κου ἐπιβέωμεν γῆν καὶ ἔθνος, [u] τούτων τὸν
" σῖτον ἕξομεν· ἐπ' ἀροτῆρας δὲ, καὶ οὐ νομάδας,
51 1 " στρατευόμεθα ἄνδρας." [a] Λέγει Ἀρτάβανος μετὰ
ταῦτα· " Ὦ βασιλεῦ, ἐπεί τε ἀρρωδέειν οὐδὲν ἐᾷς
" πρῆγμα, σὺ [b] δέ μεν συμβουλίην ἔνδεξαι· ἀναγ-
" καίως γὰρ ἔχει περὶ πολλῶν πρηγμάτων πλεῦνα
2 " λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμβύσεω Ἰωνίην πᾶ-
" σαν, πλὴν [c] Ἀθηναίων, κατεστρέψατο δασμο-
3 " φόρον εἶναι Πέρσῃσι. τούτους ὦν τοὺς ἄνδρας
" συμβουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς
" πατέρας· καὶ γὰρ ἄνευ τούτων οἷοί τε εἰμὲν τῶν
4 " ἐχθρῶν κατυπέρτεροι [d] γίνεσθαι. ἢ γάρ σφεας, ἢν
" ἕπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι, καταδουλουμέ-
" νους τὴν μητρόπολιν, ἢ δικαιοτάτους, συνελευθε-
" ροῦντας. ἀδικώτατοι μέν νυν γινόμενοι, [e] οὐδὲν

[o] Sic mss. ποτε edd. vett. [p] σφέας M.P.K.F. [q] καὶ αἱρέεσθαι Stobæus 7, 33. [r] καὶ om. S. [s] Sic F. Vulg. οὐδὲν παθόντες. [t] Sic S.V.P.K.F. Schæfer. φερόμεθα πορευόμενοι Wessel. et al. [u] Sic A.B.F. Wessel. Schæfer. *Ejus* Valla. τοῦτον S. edd. vett.

51. [a] λέγει γὰρ F. [b] δέ μοι unus ms. apud Wessel. Mox ἔχει post πρηγμάτων ponit S. [c] Ἀθηνέων Schæfer. Bekker. [d] γενέσθαι S.V. et sic mox S. ἢ γὰρ—γίνεσθαι om. F. [e] οὐδὲν κέρδος—γινόμενοι om. S.

“ κέρδος μέγα ἡμῖν [f] προσβάλλουσι· δικαιότατοι δὲ
“ γινόμενοι, οἷοί τε [g] δηλήσασθαι μεγάλως τὴν σὴν
5 “ στρατιὴν γίνονται. Ἐς θυμὸν [h] ὦν βαλεῦ καὶ τὸ
“ παλαιὸν ἔπος, ὡς εὖ εἴρηται, τὸ μὴ ἅμα ἀρχῇ [i] πᾶν
52 “ τέλος καταφαίνεσθαι.” Ἀμείβεται [a] πρὸς ταῦτα
Ξέρξης· “ Ἀρτάβανε, τῶν ἀπεφήναο γνωμέων
“ σφάλλεαι [b] κατὰ ταύτην δὴ μάλιστα, ὃς Ἴωνας
“ [c] φοβέαι μὴ [d] μεταβάλωσι· [e] τῶν ἔχομεν γνῶμα
“ μέγιστον, τῶν σύ τε μάρτυς γίνεαι, καὶ οἱ [f] συστρα-
“ τευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι ἐπὶ τού-
“ τοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο, διαφθεῖραι
“ καὶ περιποιῆσαι, οἱ δὲ δικαιοσύνην καὶ πιστότητα
2 “ ἐνέδωκαν, [g] ἄχαρι δὲ οὐδέν. πάρεξ δὲ τούτου, ἐν
“ τῇ ἡμετέρῃ καταλιπόντας [h] τέκνα τε καὶ γυναῖκας
“ καὶ χρήματα, οὐδ' ἐπιλέγεσθαι χρὴ νεώτερόν τι
3 “ ποιήσειν. [i] Οὕτω μηδὲ τοῦτο [k] φοβέο, ἀλλὰ θυμὸν
“ [l] ἔχων ἀγαθὸν, σῶζε οἶκόν τε [m] τὸν ἐμὸν, καὶ τυραν-
“ νίδα τὴν ἐμήν· σοὶ γὰρ ἐγὼ μούνῳ [n] ἐκ πάντων
“ σκῆπτρα τὰ ἐμὰ [o] ἐπιτράπω.”

53 Ταῦτα εἴπας, καὶ Ἀρτάβανον [a] ἀποστείλας ἐς
Σοῦσα, δεύτερα μετεπέμψατο Ξέρξης Περσέων τοὺς
2 δοκιμωτάτους. ἐπεὶ δέ οἱ παρῆσαν, ἔλεγέ σφι τάδε·

Artabano Susa ablegato, ut per expeditionis

[f] προβάλλουσι S.P.F. [g] δηλῆσαι V. τὴν σὴν στρατιὴν μεγάλως δηλῆσαι S. [h] ὦν βαλεῦ] ὦ βασιλεῦ S.F. pr. ὦν βασιλεῦ Ald. [i] παντελῶς S.

52. [a] καὶ ταῦτα M.P.K.F.a. Mox γνώμην pro γνωμέων S. [b] κατ' αὐτὴν F.b. [c] Sic F.S. Vulgo φοβέεαι. [d] Sic F.b. Vulgo μεταβάλλωσι cum S. [e] τῶν ἔχομεν γνῶμα μέγιστον] γνώμας τὰς ἔχουσι S. [f] συστρατευόμενοι S. [g] Sic M.S.P.K.F. ἄχαρι οὐδὲν ποιήσαντες olim. [h] Sic K. Wessel. τε καὶ om. S.V. τε om. al. [i] Sic F.b. alii, Schæfer. οὕτω δὲ μηδὲ Wessel. et al. [k] φοβέεω F. [l] ἔχε M.P.K.F. [m] τὸν S. habet cum aliis. [n] ἐκ πάντων om. S.V. Vall. [o] ἐπιτρέπω F.b.

53. [a] ἀπολύσας S.V. quod scholio h. l. deberi, licet recte Diodorus XIII. 96. Δέξιππον ἀπέλυσεν εἰς τὴν Ἑλλάδα, putat Wesseling.

" [f]Ὦ Πέρσαι, τῶνδ' ἐγὼ [b]ὑμέων χρήζων, συνέλεξα,
" ἄνδρας τε [c]γίνεσθαι ἀγαθοὺς, καὶ μὴ καταισχύνειν
" τὰ πρόσθεν ἐργασμένα Πέρσῃσι, ἐόντα μεγάλα τε
3 " καὶ πολλοῦ ἄξια. ἀλλ' [d]εἷς τε ἕκαστος καὶ οἱ
" σύμπαντες προθυμίην ἔχωμεν· ξυνὸν γὰρ τοῦτο
4 " πᾶσι ἀγαθὸν [e]σπεύδεται. [f]Τῶνδε δὲ εἵνεκα προα-
" γορεύω ἀντέχεσθαι τοῦ πολέμου [g]ἐντεταμένως· ὡς
" γὰρ ἐγὼ πυνθάνομαι, ἐπ' ἄνδρας στρατευόμεθα
" ἀγαθούς· τῶν ἢν κρατήσωμεν, οὐ μή τις ἡμῖν ἄλλος
5 " στρατὸς ἀντιστῇ κοτε ἀνθρώπων. νῦν δὲ διαβαί-
" νωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι, [h]τοὶ Περσίδα γῆν
" λελόγχασι."

tempus summæ imperii præesset [c. 52.], Xerxes proceres Persarum ad rem fortiter gerendam cohortatus, Hellespontum transiri imperat.

54 Ταύτην μὲν τὴν ἡμέρην [a]παρασκευάζοντο ἐς τὴν
διάβασιν. τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον, ἐθέ- 1
λοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά [b]τε παντοῖα 536
ἐπὶ τῶν γεφυρέων καταγίζοντες, καὶ [c]μυρσίνῃσι στορ-
2 νύντες τὴν ὁδόν. ὡς δ' [d]ἐπανέτελλε ὁ ἥλιος, σπέν-
δων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν,
εὔχετο πρὸς τὸν ἥλιον, μηδεμίαν [e]οἱ συντυχίην
τοιαύτην γενέσθαι, [f]ἥ μιν παύσει καταστρέψασθαι
τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι [g]ἐκείνης
3 γένηται. εὐξάμενος δὲ, ἐσέβαλε τὴν φιάλην ἐς τὸν
Ἑλλήσποντον, καὶ χρύσεον κρητῆρα, καὶ Περσικὸν
4 ξίφος, [h]τὸν ἀκινάκην καλέουσι. ταῦτα οὐκ ἔχω ἀτρε-

Solennia transitum auspicantia.

[b] Sic S.M.P.K.F. Paris. ὑμέων χρ. ὑμέας συν. alii. χρηΐζων Schæfer. Bekker. [c] γενέσθαι F. [d] εἵ τε F. Infra ἔχομεν S. [e] σπευδέτω M.P.F. σπεύδετο b. [f] Sic M.P.K.S.V.F. Paris. τῶν δὲ edd. vett. et Schæfer. [g] ἐντετασμένως S. Mox ἡμῖν post στρατὸς S. [h] οἳ Πέρσας P.K.F.a.b.c. οἳ pro τοὶ S. Bekker.

54. [a] παρασκευάζετο M.P.K.F.b. παρεσκευάζοντο Ald. [b] τε post θυμιήμ. om. F. [c] μυρσίνῃ S.V. Vall. cf. VIII. 99. [d] ἐπανετέλλετο ἥλ. K. [e] οἱ om. a. [f] εἴ μιν πάσῃν S. παύσῃ V. [g] ἐκείνοις P. [h] Sic S.K.F. τὸ ἀκιν. Wessel. al.

κέως [i] διακρῖναι, οὔτε εἰ τῷ ἡλίῳ [k] ἀνατιθεὶς κατῆκε [l] ἐς τὸ πέλαγος, οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι, καὶ ἀντὶ τούτων τὴν θάλασσαν ἐδωρέετο.

55 Quo ordine

Ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, διέβαινον κατὰ μὲν τὴν ἑτέρην τῶν γεφυρέων τὴν πρὸς τοῦ Πόντου ὁ πεζός τε καὶ ἡ ἵππος ἅπασα· κατὰ δὲ τὴν πρὸς [a] τὸ Αἰγαῖον, τὰ ὑποζύγια καὶ ἡ θεραπηΐη. 2 ἡγέοντο δὲ πρῶτα μὲν οἱ μύριοι Πέρσαι, ἐστεφανωμένοι πάντες· μετὰ δὲ τούτους, ὁ σύμμικτος στρατὸς παντοίων ἐθνέων. ταύτην μὲν τὴν ἡμέρην οὗτοι. 3 τῇ δὲ ὑστεραίῃ, [b] πρῶτοι μὲν οἵ τε ἱππόται, καὶ οἱ τὰς λόγχας κάτω τρέποντες· ἐστεφάνωντο δὲ καὶ οὗτοι· μετὰ δὲ, οἵ τε ἵπποι οἱ ἱροὶ, καὶ τὸ ἅρμα τὸ ἱρόν· ἐπὶ δὲ, αὐτός τε Ξέρξης καὶ οἱ αἰχμοφόροι, 4 [c] καὶ οἱ ἱππόται οἱ χίλιοι. ἐπὶ δὲ τούτοισι, ὁ ἄλλος στρατός· καὶ αἱ [d] νῆες ἅμα ἀνήγοντο ἐς τὴν ἀπεναντίον. ἤδη δὲ ἤκουσα καὶ ὕστατον διαβῆναι βασιλέα πάντων.

56 quotque diebus exercitus in Europam trajecerit. Vox Hellespontii de ingenti Persarum apparatu.

Ξέρξης δὲ, ἐπεί [a] τε διέβη ἐς τὴν Εὐρώπην, ἐθηεῖτο τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα. διέβη δὲ ὁ στρατὸς αὐτοῦ ἐν ἑπτὰ ἡμέρῃσι καὶ ἐν ἑπτὰ 2 εὐφρόνῃσι, [b] ἐλινύσας οὐδένα χρόνον. Ἐνθαῦτα λέγεται, Ξέρξεω ἤδη διαβεβηκότος τὸν Ἑλλήσποντον, ἄνδρα εἰπεῖν Ἑλλησπόντιον· "[3] Ὦ Ζεῦ, τί δὴ "ἀνδρὶ εἰδόμενος Πέρσῃ, καὶ οὔνομα ἀντὶ Διὸς [c] Ξέρ-"ξεα θέμενος, ἀνάστατον τὴν Ἑλλάδα ἐθέλεις ποιῆ- 53

[i] Sic M.P.S.V. Paris. Ald. διακρῆναι Genev. διαχρῆναι Steph. [k] ἀνατεθεὶς d. [l] Sic M.P.K.S.a.b.d.F. ἐς τὴν θάλασσαν c. vulg.

55. [a] τὸν Αἰγαῖον F. [b] πρῶτοι μὲν om. S.V. [c] καὶ ἱππόται χίλιοι S. [d] νέες F.

56. [a] τε om. F.b. [b] Sic S.V.K.F. Wessel. ἐλιννύσας c. et al. cf. I. 67. [c] Ξέρξην F.f. qui mox θέλεις.

" σαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ [d]τού- 537
" των ἐξῆν τοι ποιέειν ταῦτα."

Ostenta Xerxi oblata, sinistra illa quidem, sed ab eo neglecta.

57 Ὡς δὲ διέβησαν πάντες, ἐς ὁδὸν ὡρμημένοισι τέρας
σφι ἐφάνη μέγα, τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιή-
σατο, [a]καί περ εὐσύμβλητον ἐόν· ἵππος γὰρ ἔτεκε
2 [b]λαγόν. εὐσύμβλητον ὦν [c]τῆδε τοῦτο ἐγένετο, ὅτι
ἔμελλε μὲν ἐλᾶν στρατιὴν ἐπὶ τὴν Ἑλλάδα Ξέρξης
ἀγαυρότατα καὶ μεγαλοπρεπέστατα, ὀπίσω δὲ [d]περὶ
3 ἑωυτοῦ τρέχων ἥξειν ἐς τὸν αὐτὸν χῶρον. Ἐγένετο
δὲ καὶ ἕτερον [e]αὐτῷ τέρας, [f]ἐόντι ἐν Σάρδισι· ἡμίονος
γὰρ ἔτεκε ἡμίονον [g]διξὰ ἔχουσαν αἰδοῖα, τὰ μὲν,
ἔρσενος, τὰ δὲ, θηλέης· κατύπερθε δὲ ἦν τὰ τοῦ
58 ἔρσενος. Τῶν ἀμφοτέρων λόγον οὐδένα ποιησάμενος,
τὸ πρόσω ἐπορεύετο· σὺν δέ οἱ [a]ὁ πεζὸς στρατός.
2 ὁ δὲ ναυτικὸς ἔξω [b]τὸν Ἑλλήσποντον πλέων, παρὰ
3 γῆν ἐκομίζετο, τὰ ἔμπαλιν πρήσσων τοῦ πεζοῦ. ὁ
μὲν γὰρ [c]πρὸς ἑσπέρην ἔπλεε, ἐπὶ Σαρπηδονίης
ἄκρης [d]ποιεύμενος τὴν ἄπιξιν, ἐς τὴν αὐτῷ προείρητο
ἀπικομένῳ περιμένειν· ὁ δὲ κατ' ἤπειρον στρατὸς
πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐποιέετο τὴν ὁδὸν διὰ
τῆς [e]Χερσονήσου, ἐν δεξιῇ μὲν ἔχων [f]τὸν Ἕλλης
τάφον τῆς Ἀθάμαντος, ἐν ἀριστερῇ δὲ Καρδίην πό-
4 λιν. διὰ μέσης δὲ πορευόμενος πόλιος, τῇ οὔνομα
τυγχάνει ἐὸν [g]Ἀγορὴ, ἐνθεῦτεν δὲ κάμπτων τὸν
5 κόλπον τὸν Μέλανα καλεόμενον· καὶ [h]Μέλανα πο-

Iter copiarum et navalium et pedestrium ad Doriscum usque. Melas fluvius epotus.

[d] τούτου S. qui mox σοι pro τοι.

57. [a] καίπερ συμβλητὸν S.V. Vall. [b] Sic S. λαγὼν F. Paris. al. cf. I. 123. [c] τῇδε τοῦτο ἐγέν. P.K.F.b. Schæfer. Bekker. τοῦτο al. om. [d] περὶ ἑωυτῷ S. Schæfer. cf. VIII. 26. παρὰ ἑωυτοῦ b. τρέχων om. F. [e] αὐτῷ om. b. [f] ἔναντι F. [g] διχᾶ S.

58. [a] ὁ om. V.P.F. Paris. [b] τοῦ Ἑλλησπόντου d. cf. V. 103 et 104. [c] ἐς ἑσπ. S.V. πρὸς ἑσπέρης d. [d] ποιεύμ. τὴν ἄπιξιν S.P.K.F. τ. ἀ. π. vulg. [e] χερονήσου F. [f] Eustath. Dionys. 513. [g] Eustath. Il. p. 45, 10=34, 10. [h] Eustath. Dionys. 538.

ταμὸν, οὐκ ἀντισχόντα τότε τῇ στρατιῇ τὸ ῥέεθρον
ἀλλ' ἐπιλιπόντα, τοῦτον τὸν ποταμὸν διαβὰς, [i] ἐπ' οὗ
καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει, ἤϊε πρὸς
ἑσπέρην, Αἶνόν τε πόλιν [k] Αἰολίδα καὶ Στεντορίδα
59 λίμνην παρεξιὼν, ἐς ὃ ἀπίκετο ἐς Δορίσκον. Ὁ δὲ
Δορίσκος [a] ἔστι τῆς Θρηΐκης [b] αἰγιαλός τε καὶ πεδίον
μέγα· διὰ δὲ αὐτοῦ ῥέει ποταμὸς μέγας [c] Ἕβρος. ἐν 538
τῷ τεῖχός τε [d] ἐδέδμητο βασιλήϊον, τοῦτο [e] τὸ δὴ
Δορίσκος κέκληται, καὶ Περσέων φρουρὴ ἐν αὐτῷ
κατεστήκεε ὑπὸ Δαρείου ἐξ ἐκείνου τοῦ χρόνου ἐπεί
2 τε ἐπὶ Σκύθας ἐστρατεύετο. Ἔδοξε ὦν τῷ Ξέρξῃ ὁ
χῶρος εἶναι ἐπιτήδεος ἐνδιατάξαι τε καὶ [f] ἐξαριθμῆσαι
3 τὸν στρατόν· καὶ ἐποίεε [g] ταῦτα. τὰς μὲν δὴ νέας τὰς
πάσας ἀπικομένας ἐς Δορίσκον, οἱ ναύαρχοι, κελεύ-
σαντος Ξέρξεω, ἐς τὸν αἰγιαλὸν τὸν προσεχέα Δο-
ρίσκῳ [h] ἐκόμισαν· ἐν τῷ Σάλη τε [i] Σαμοθρηϊκίη πε-
πόλισται πόλις καὶ Ζώνη· τελευταία δὲ αὐτοῦ, [k] Σέρ-
ρειον, ἄκρη ὀνομαστή· ὁ δὲ χῶρος οὗτος τὸ παλαιὸν
4 [l] ἦν Κικόνων. ἐς [m] τοῦτον τὸν αἰγιαλὸν κατασχόντες,
τὰς νέας ἀνέψυχον ἀνελκύσαντες. ὁ δὲ ἐν τῷ Δο-
ρίσκῳ τοῦτον τὸν χρόνον τῆς στρατιῆς ἀριθμὸν ἐποι-
60 έετο. Ὅσον μέν νυν ἕκαστοι παρεῖχον [a] πλῆθος ἐς

Situs Dorisci: oppida littoris continentis. Ibi naves subductæ exercitusque recensus.

[i] Sic M.P.S.V.F. Paris. ἀπ' οὗ al. [k] Αἰολίδα om. K.

59. [a] ἐπὶ F. [b] ἀγχίαλός b. τε om. S. [c] Εὖρος F. [d] ἐδεδόμητο K. ἐδομήατο S. [e] τὸ om. F. [f] Sic vulg. cf. 60. ἐναριθμῆσαι S.V. Schæfer. [g] τάδε S.V. ταῦτα refertur ad ea quæ modo dixerat, ἐνδιατάξαι καὶ ἐξαριθμῆσαι. Contra τάδε referri deberet ad modum quo hæc facta sunt; qui modus, post interjecta alia, exponitur demum c. 60. ubi recte legitur τόνδε τὸν τρόπον. SCHWEIGH. [h] ἐκομίσαντο S.V. cf. V. 83. [i] Σαμοθρηϊκίη M.P.V.F. Paris. Σαμοθρακίη K. Σαμοθρηΐκη olim. Σαμοθρηκίη S. [k] Σέρειον F. qui mox ὀνομαστί. Hoc item S. [l] Citat Eustath. Il. p. 359, 19=272, 9. ἦν om. S. [m] τούτῳ b.

60. [a] πλῆθος ἐς ἀριθμὸν M.P.K.b.F. πλήθεος ἀριθμὸν Ald. S.V.a.c. probante Valckenærio. πλῆθος ἀριθμὸν d. Comma insereret post πλῆθος et deleret post ἀριθμὸν Schweighæuser.

ἀριθμὸν, οὐκ ἔχω [b] εἶπαι τὸ ἀτρεκές· οὐ γὰρ λέγεται
πρὸς οὐδαμῶν ἀνθρώπων· σύμπαντος δὲ [c] τοῦ στρα-
τοῦ τοῦ πεζοῦ τὸ πλῆθος [d] ἐφάνη ἑβδομήκοντα καὶ
2 ἑκατὸν μυριάδες. [e] Ἐξηρίθμησαν δὲ τόνδε τὸν τρό-
πον. [f] συναγαγόντες ἐς ἕνα χῶρον μυριάδα ἀνθρώ-
πων, καὶ [g] συνάξαντες ταύτην ὡς μάλιστα εἶχον,
περιέγραψαν [h] ἔξωθεν κύκλον· περιγράψαντες δὲ, καὶ
ἀπέντες τοὺς μυρίους, αἱμασιὴν περιέβαλον κατὰ τὸν
3 κύκλον, ὕψος ἀνήκουσαν ἀνδρὶ ἐς τὸν ὀμφαλόν. ταύ-
την δὲ ποιήσαντες, ἄλλους [i] ἐσεβίβαζον ἐς τὸ περιοι-
κοδομημένον· μέχρις οὗ πάντας τούτῳ τῷ τρόπῳ ἐξ-
ηρίθμησαν. ἀριθμήσαντες δὲ, [k] κατὰ ἔθνεα [l] διέ-
τασσον.

Numerus copiarum pedestrium. Modus numerandi.

61 Οἱ δὲ στρατευόμενοι, οἵδε [a] ἦσαν. Πέρσαι μὲν,
ὧδε ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι εἶχον
τιάρας [b] καλεομένους, πίλους ἀπαγέας· περὶ δὲ τὸ
σῶμα, [c] κιθῶνας χειριδωτοὺς ποικίλους, λεπίδος σι-
δηρέης ὄψιν ἰχθυοειδέος· περὶ δὲ τὰ σκέλεα, ἀναξυρί-
2 δας· ἀντὶ δὲ ἀσπίδων, γέρρα. ὑπὸ δὲ, φαρετρεῶνες
ἐκρέμαντο· αἰχμὰς δὲ βραχέας [d] εἶχον, τόξα δὲ με-
γάλα, ὀϊστοὺς δὲ καλαμίνους· πρὸς δὲ, [e] ἐγχειρίδια
παρὰ τὸν δεξιὸν μηρὸν παραιωρεύμενα ἐκ τῆς ζώνης. 1

Jam singulas nationes, quibus constitit exercitus, earumque ornatum, arma ac duces 539 Herodotus accurate recensere orditur. Persæ. Olim dicti a Græcis Cephe-

[b] εἰπεῖν S.V.P.F. cf. Abresch. addend. animadv. Æschyl. p. 574. [c] τοῦ στρατοῦ om. S. [d] ἐφάνη M.P.S.V.K. om. c. et al. [e] ἐξηρίθμησαν S.M.P.K. Paris. ἐξηριθμήθησαν al. [f] Sic S.a.c. Wessel. συνήγαγόν τε M. συνέγαγόντε P. συναγάγοντο V. συνηγάγοντο d. edd. vett. ξυνηγάγοντο F. [g] συνάξαντες S.V.M.K.P. Paris. συνάψαντες c. edd. vett. ξυνάψαντες F. συννάξαντες a νάσσειν *comprimere, constipare*, coll. Hesychio in Νάσσε, cum Reiskio malit Schweighæuser. et sic ed. Bekker. Ita κατανάξαντες supra 36. συντάξαντες Matthiæ. [h] Sic S.F. Paris. Al. ἔσωθεν. Mox ἀφέντες S. [i] ἐσεβίαζον F. [k] καὶ τὰ ἔ. P. [l] Sic M.S.V.K.F. Paris. διετάσσοντο edd. vett.

61. [a] ἔσαν] ἦσαν F.S. [b] καλεομένας F. [c] χειτῶνας F. χιτῶνας a.S. [d] ἔχον] εἶχον F.S. [e] Citat Eustath. Il. p. 413, 35 =313, 38. Paullo ante πρὸς δὲ καὶ ἐγχειρ. F.

nes: ab Asianis, Artæi. Unde iis Persarum nomen venerit.

3 καὶ ἄρχοντα παρείχοντο [f]Ὀτάνεα, τὸν Ἀμήστριος
πατέρα, τῆς Ξέρξεω γυναικός. Ἐκαλέοντο δὲ [g]πάλαι
ὑπὸ μὲν Ἑλλήνων Κηφῆνες, ὑπὸ μέντοι σφέων αὐ-
4 τῶν καὶ τῶν περιοίκων, Ἀρταῖοι. [h]ἐπεὶ δὲ Περσεὺς
ὁ Δανάης τε καὶ Διὸς ἀπίκετο παρὰ Κηφέα τὸν Βή-
λου, καὶ ἔσχε αὐτοῦ τὴν θυγατέρα Ἀνδρομέδην, γί-
5 νεται αὐτῷ παῖς τῷ οὔνομα ἔθετο Πέρσην. τοῦτον δὲ
αὐτοῦ καταλείπει· ἐτύγχανε γὰρ ἄπαις ἐὼν ὁ Κηφεὺς
ἔρσενος γόνου. ἐπὶ τούτου δὲ τὴν ἐπωνυμίην ἔσχον.

Medi. Dicti olim Arii: quod nomen mutatum, cum Medea Athenis illuc venisset. Cissii. Hyrcani.

62 Μῆδοι δὲ τὴν αὐτὴν ταύτην ἐσταλμένοι ἐστρατεύ-
οντο· Μηδικὴ γὰρ αὕτη ἡ σκευή ἐστι, καὶ οὐ Περ-
σική. οἱ δὲ Μῆδοι ἄρχοντα μὲν [a]παρείχοντο Τιγρά-
2 νην, [b]ἄνδρα Ἀχαιμενίδην. ἐκαλέοντο δὲ πάλαι πρὸς
πάντων Ἄριοι· ἀπικομένης δὲ [c]Μηδείης τῆς Κολχί-
δος ἐξ Ἀθηνέων ἐς τοὺς Ἀρίους τούτους, μετέβαλον
καὶ οὗτοι τὸ οὔνομα. [d]αὐτοὶ δὲ περὶ σφέων ὧδε λέ-
3 γουσι Μῆδοι. Κίσσιοι δὲ στρατευόμενοι, τὰ μὲν ἄλλα
κατάπερ Πέρσαι ἐσκευάδατο· ἀντὶ δὲ τῶν πίλων,
[e]μιτρηφόροι [f]ἦσαν. Κισσίων δὲ ἦρχε [g]Ἀνάφης ὁ
4 Ὀτάνεω. Ὑρκάνιοι δὲ κατάπερ Πέρσαι [h]ἐσεσάχα-
το, ἡγεμόνα παρεχόμενοι Μεγάπανον, τὸν Βαβυλῶνος
ὕστερον τούτων ἐπιτροπεύσαντα.

Assyrii, a Græcis Syrii vocati. Chaldæi.

63 Ἀσσύριοι δὲ στρα-
τευόμενοι, περὶ μὲν τῇσι κεφαλῇσι εἶχον χάλκεά τε
[a]κράνεα καὶ πεπλεγμένα τρόπον τινὰ βάρβαρον οὐκ
εὐαπήγητον· ἀσπίδας δὲ καὶ αἰχμὰς καὶ ἐγχειρίδια

[f] Ὀτάνην τὸν Ἀμάστριος S.V. [g] πάλαι om. P. [h] Hinc Eustath. Dionys. 1056.

62. [a] παρεῖχον K. [b] ἄνδρα om. S.V. [c] Μηδέης P.F. cf. I. 2. Cum vulg. hic consentit S. Citat Eustath. Dionys. 1097. Mox Ἀθηναίων F.S. edd. Vid. Pausan. II. 3. [d] Sic S.V. Schæfer. δὲ vulg. om. [e] Sic S.P.V.F. Paris. Olim. μιτροφόροι. [f] ἔσαν] ἦσαν F.S. [g] Ἀναφάνης S.V. Vall. [h] ἐτετάχατο S.

63. [a] Sic S.V. Paris. Ald. Vall. om. M.P.K.F. Mox τινὰ τρόπον S.

παραπλήσια [b] τῇσι Αἰγυπτίῃσι εἶχον· πρὸς δὲ, ῥό-
παλα ξύλων τετυλωμένα σιδήρῳ, καὶ λινέους θώ-
2 ρηκας. οὗτοι δὲ ὑπὸ μὲν Ἑλλήνων [c] ἐκαλέοντο Σύ-
ριοι, ὑπὸ δὲ τῶν βαρβάρων Ἀσσύριοι ἐκλήθησαν.
τούτων δὲ μεταξὺ, Χαλδαῖοι. ἦρχε δέ σφεων
64 [d] Ὀτάσπης ὁ Ἀρταχαίου. Βάκτριοι δὲ περὶ μὲν
τῇσι κεφαλῇσι [a] ἀγχότατα τῶν Μηδικῶν ἔχοντες
ἐστρατεύοντο, τόξα δὲ [b] καλάμινα ἐπιχώρια, καὶ
2 αἰχμὰς βραχέας. Σάκαι δὲ οἱ Σκύθαι περὶ [c] μὲν
τῇσι κεφαλῇσι κυρβασίας ἐς ὀξὺ [d] ἀπιγμένας ὀρθὰς 540
εἶχον πεπηγυίας, ἀναξυρίδας δὲ ἐνδεδύκεσαν· τόξα
δὲ ἐπιχώρια, καὶ ἐγχειρίδια, πρὸς δὲ καὶ [e] ἀξίνας σα-
3 γάρις εἶχον. τούτους δὲ ἐόντας Σκύθας [f] Ἀμυργίους,
Σάκας ἐκάλεον· [g] οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας
καλέουσι Σάκας. Βακτρίων δὲ καὶ Σακέων ἦρχε
Ὑστάσπης, ὁ Δαρείου τε καὶ Ἀτόσσης τῆς Κύρου.
65 Ἰνδοὶ δὲ εἵματα μὲν ἐνδεδυκότες ἀπὸ ξύλων πεποιη-
μένα, τόξα δὴ καλάμινα εἶχον, καὶ ὀϊστοὺς καλα-
μίνους· ἐπὶ δὲ, [a] σίδηρον ἦν. ἐσταλμένοι μὲν δὴ
ἦσαν οὕτω Ἰνδοί· προσετετάχατο δὲ συστρατευό-

Bactriani.
Sacæ, populus Scythicus. Scythas omnes Persæ Sacas dicunt.
Indi.

[b] Sic M.P.S.F.a.b.c. τοῖσι Αἰγυπτίοισι d. Ald. Bekker. cf. 91. ubi adjicitur μαχαίρῃσι. Mox τετηλωμένα S. [c] καλέονται P.F. [d] Ὀτάσπις F.

64. [a] Sic M.P.K. Paris. ἀγχοτάτω S. Ald. al. ut 73. 74. 79. etc. [b] καλάμιν F. et infra 65. [c] μὲν om. F. [d] ἀπηγμένας P.F. Schæfer. Hoc (vel ἀνηγμένας) conjecerat Valckenærius. Mox ἐνεδεδύκεσαν M.P.K. Vulg. ἐνδεδ. cum S. [e] Sic F. ut I. 215. ἀξίνας σαγάρεις P.M.K. ἀξίνας σαγγάρεις absque καὶ S. ἀ. καὶ σ. Ald. ἀξίνας e scholio irrepsisse suspicatus erat Wesseling. et prorsus abjecit Schæfer. Non video equidem, cur Græcum nomen extraneo jungere h. l. non potuerit Herodotus, quemadmodum III. 12. ait πίλους τιάρας φορέοντες. cf. VIII. 61. SCHWEIGH. [f] Sic vulg. F. Steph. Byz. Αἰμυργίους M.K. Εὐμυργίους S.V. [g] Sic M.K.P.F.a.b.c. οἱ δὲ S.V.d. Ald. Tum καλοῦσι S. Conf. Eustath. Dionys. 749.

65. [a] σίδηρον M.P.K.F.b. σίδηρος S. al. Supra τόξα δὲ Bekker.

66 μενοι [b] Φαρναζάθρῃ τῷ Ἀρταβάτεω. [a] Ἄριοι δὲ
Arii. Parthi. Chorasmii. Sogdiani. Gandarii. Dadicæ.
τόξοισι μὲν ἐσκευασμένοι ἦσαν Μηδικοῖσι, τὰ δὲ
2 ἄλλα κατά περ Βάκτριοι. Ἀρίων δὲ ἦρχε Σισάμνης
ὁ Ὑδάρνεος. Πάρθοι δὲ, καὶ Χοράσμιοι, καὶ [b] Σογ-
δοί τε καὶ Γανδάριοι καὶ [c] Δαδίκαι, τὴν αὐτὴν σκευὴν
ἔχοντες τὴν καὶ Βάκτριοι, ἐστρατεύοντο. τούτων δὲ
3 ἦρχον οἵδε. Πάρθων μὲν καὶ Χορασμίων, Ἀρτά-
βαζος ὁ [d] Φαρνάκεω· Σογδῶν δὲ, [e] Ἀζάνης ὁ [f] Ἀρ-
ταίου· Γανδαρίων δὲ καὶ Δαδικέων, [g] Ἀρτύφιος ὁ
67 Ἀρταβάνου. Κάσπιοι δὲ [a] σισύρνας τε ἐνδεδυκότες,
Caspii. Sarangæ. Pactyes.
καὶ τόξα ἐπιχώρια καλάμινα ἔχοντες καὶ [b] ἀκινάκεας,
ἐστρατεύοντο. οὗτοι μὲν οὕτω ἐσκευάδατο, ἡγεμόνα
παρεχόμενοι [c] Ἀριόμαρδον τὸν Ἀρτυφίου ἀδελφεόν.
2 Σαράγγαι δὲ εἵματα μὲν βεβαμμένα [d] ἐνέπρεπον ἔχον-
τες· πέδιλα δὲ ἐς γόνυ ἀνατείνοντα εἶχον, τόξα δὲ καὶ
3 αἰχμὰς Μηδικάς. [e] Σαραγγέων δὲ ἦρχε Φερενδάτης
ὁ Μεγαβάζου. Πάκτυες δὲ, [f] σισυρνοφόροι τε ἦσαν,
καὶ τόξα ἐπιχώρια εἶχον καὶ ἐγχειρίδια. Πάκτυες
δὲ ἄρχοντα παρείχοντο [g] Ἀρτύντην τὸν Ἰθαμάτρεω.
68 Οὔτιοι δὲ καὶ Μύκοι τε καὶ Παρικάνιοι ἐσκευασμένοι
Utii. Myci. Paricanii.
ἦσαν κατάπερ Πάκτυες. τούτων δὲ ἦρχον οἵδε.
2 Οὐτίων μὲν καὶ Μύκων, Ἀρσαμένης ὁ Δαρείου·

[b] Φαρναζάθῃ M.P.K.F.b.

66. [a] Ἄρειοι III. 93. cf. 62. [b] Σογδόται F. [c] Δανδίκαι Steph. marg. cf. III. 91. Mox πάρθων δὲ καὶ S. [d] Φαρνάκεος P.S.F.a. [e] Ἀρτάνης V.S. Vall. d. marg. [f] Ἀργαίου S.V. [g] Ἀρτύβιος S.V.d. Vall. et sic cap. seq.

67. [a] σισύρνας M.P.K.S. Paris. F. Vall. σισύρας Ald. et al. [b] ἀκινάκας P.K.F.a. [c] Ἀριόμανδρον d. Mox ἀρτυβίου S. [d] Sic F. Vulgo ἔχ. ἐνέπ. [e] Σαραγκαίων d. Σαραγγαίων (ε supra ι) F. [f] σισυρνοφόροι M.S.P.K.F.A.B. Vall. σισυροφόροι. Al. [g] Sic M.P.K.F. Ἀρταύντην a.c. Ἀτραύντην τὸν Ἰθαμίτεω al. τὸν Θαμάτρεω F. ἀτραῦτην τὸν ἰτραμίτεω S. Ἰθαμίτρεω probabiliter Schweighæuser, coll. VIII. 130.

69 Παρικανίων δὲ, [a] Σιρομίτρης ὁ [b] Οἰοβάζου. [a] Ἀράβιοι
δὲ [b] ζειρὰς [c] ὑπεζωσμένοι ἦσαν· τόξα δὲ [d] παλίντονα
εἶχον [e] πρὸς δεξιὰ, μακρά. Αἰθίοπες δὲ παρδαλέας
τε καὶ λεοντέας [f] ἐναμμένοι, τόξα δὲ εἶχον ἐκ [g] φοί-
νικος σπάθης πεποιημένα μακρὰ, τετραπήχεων οὐκ
ἐλάσσω· ἐπὶ δὲ, καλαμίνους ὀϊστοὺς [h] μικρούς· ἀντὶ
δὲ σιδήρου ἐπῆν λίθος, ὀξὺς πεποιημένος, τῷ καὶ τὰς
2 σφρηγῖδας γλύφουσι. πρὸς δὲ, αἰχμὰς εἶχον· ἐπὶ
δὲ, κέρας δορκάδος ἐπῆν ὀξὺ πεποιημένον, [i] τρόπον
λόγχης· εἶχον δὲ καὶ ῥόπαλα τυλωτά. τοῦ δὲ σώ-
ματος τὸ μὲν ἥμισυ ἐξηλείφοντο [k] γύψῳ ἰόντες ἐς
3 μάχην, [l] τὸ δ' ἕτερον ἥμισυ μίλτῳ. Ἀραβίων δὲ καὶ
Αἰθιόπων τῶν ὑπὲρ Αἰγύπτου οἰκημένων ἦρχε [m] Ἀρ-
σάμης, ὁ Δαρείου καὶ Ἀρτυστώνης τῆς Κύρου θυγα-
τρός· τὴν μάλιστα στέρξας τῶν γυναικῶν Δαρεῖος,
εἰκὼ χρυσέην σφυρήλατον ἐποιήσατο. τῶν μὲν δὴ
ὑπὲρ Αἰγύπτου Αἰθιόπων καὶ Ἀραβίων ἦρχε Ἀρσά-
70 μης. Οἱ δὲ ἀπὸ ἡλίου ἀνατολέων Αἰθίοπες, (διξοὶ
γὰρ δὴ ἐστρατεύοντο,) προσετετάχατο τοῖσι Ἰνδοῖσι,
διαλλάσσοντες εἶδος μὲν οὐδὲν τοῖσι ἑτέροισι, φωνὴν
2 δὲ καὶ τρίχωμα μοῦνον. οἱ μὲν γὰρ ἀπ' ἡλίου Αἰ-
θίοπες, [a] ἰθύτριχές εἰσι· οἱ δὲ ἐκ τῆς Λιβύης, οὐλό-

Arabes. Æthiopes Afri. 541

Æthiopes Asiani. Quibus notis ab Æthiopibus Afris differant.

68. [a] Σιρομήτρης S. [b] Οἰοβάζου M.P.K.F. Οἰβάζου S. al. Οἰβάτρου c.
69. [a] Ἀρτάβιοι F. [b] σειρὰς F. Conf. Hesych. in Voc. et Timæus p. 93=129. [c] ὑπεζωμένοι K.P.F. [d] παλίντονα tangit Eustath. Il. p. 375, 9=283, extr. et 712, 20=598, 20. [e] προσδέξια F.a.b.c. Vall. πρὸς δεξιὰ—εἶχον om. S. [f] Sic M.P.K.a.b.d.F. vid. Wessel. ad Diodor. I. 11. ἀναμμένοι c. et al. [g] φοίνικος S.V. P.K.F. Paris. Pollux I. 138. 144. φοινίκης Ald. [h] μικροὺς M.S. P.K. μακροὺς Ald. F.a.b. teste Larchero, et sic forte c. σμικροὺς Schæfer. cf. 72. Mox λίθος ἐπῆν S. Tum σφραγίδας S. [i] τρόπῳ b. Mox εἶδον S. pro εἶχον. [k] Sic P.K.F.a. Eodem ordine S. qui γύψον præbet. ἰόντες ἐς μ. γ. vulgo. [l] τὸ δὲ ἄλλο P.K.F. [m] Sic F. Paris. edd. vett. Ἀρσάνης M.P. Vall. Wessel.
70. [a] εὐθύτριχες Eustath. Odyss. α'. p. 1386, 17=13, 24.

3 τατον τρίχωμα ἔχουσι πάντων ἀνθρώπων. οὗτοι δὲ οἱ ἐκ τῆς Ἀσίης Αἰθίοπες, τὰ μὲν πλέω κατάπερ Ἰνδοὶ ἐσεσάχατο, [b] προμετωπίδια δὲ ἵππων εἶχον ἐπὶ τῇσι κεφαλῇσι, σύν τε τοῖσι ὠσὶ ἐκδεδαρμένα καὶ [c] τῇ λοφιῇ· καὶ ἀντὶ μὲν λόφου, ἡ λοφιὴ κατέχρα· τὰ δὲ ὦτα τῶν ἵππων, ὀρθὰ πεπηγότα εἶχον· προβλήματα δὲ [d] ἀντ' ἀσπίδων ἐποιεῦντο γεράνων δοράς.

Libyes.

71 Λίβυες δὲ σκευὴν μὲν σκυτίνην [a] ἤϊσαν ἔχοντες, ἀκον-
2 τίοισι δὲ ἐπικαύτοισι χρεώμενοι. ἄρχοντα δὲ [b] παρείχοντο [c] Μασσάγην τὸν [d] Ὀαρίζου.

Paphlagones. Ligyes. Matieni. Mariandyni. Syri, a Persis dicti Cappadoces.

72 Παφλαγόνες δὲ 542
[a] ἐστρατεύοντο, ἐπὶ μὲν τῇσι κεφαλῇσι [b] ἔχοντες κράνεα πεπλεγμένα, [c] ἀσπίδας δὲ [d] σμικρὰς, [e] αἰχμὰς δὲ οὐ μεγάλας· πρὸς δὲ, ἀκόντια καὶ ἐγχειρίδια· περὶ δὲ τοὺς πόδας, πέδιλα ἐπιχώρια ἐς μέσην
2 κνήμην ἀνατείνοντα. [f] Λίγυες δὲ καὶ Ματιηνοὶ, καὶ [g] Μαριανδυνοί τε καὶ [h] Σύροι, τὴν αὐτὴν ἔχοντες Παφλαγόσι, ἐστρατεύοντο. οἱ δὲ Σύροι [i] οὗτοι
3 ὑπὸ Περσέων Καππαδόκαι καλέονται. Παφλαγόνων μέν νυν καὶ Ματιηνῶν [k] Δῶτος ὁ [l] Μεγασίδρου ἦρχε· Μαριανδυνῶν δὲ καὶ Λιγύων, καὶ Σύρων, [m] Γωβρύης ὁ Δαρείου τε καὶ Ἀρτυστώνης.

73 Φρύγες δὲ ἀγχο-

[b] προμετώπια K.F. προμετωπίδα c. [c] Sic M.P.K.F. τῇσι λοφιῇσι Ald. S.a.c.d. [d] ἀντ' ἀσπίδων—Λίβυες δὲ om. S.

71. [a] Sic S.V. Vall. Schæfer. ἤσαν F. vulg. [b] εἶχον S.V. [c] Μασσάγην M.P.K. Μασάγγην S.a.c. Ald. Μασάγην F. [d] Ὀαρίζου M.P.K. Ἀορίζου S. al. Ἀρίζου F.

72. [a] ἐστρατεύοντο om. S.V. [b] κράνεα πεπλεγμένα ἔχοντες F. [c] ἀσπίδας τε F.b. [d] μικρὰς S.a.c. Ald. μακρὰς F. [e] αἰχμάς τε F. [f] Sic omnes, etiam S. in marg. qui Λίγνες in textu. cf. III. 92. [g] Μαριανδυνοὶ P.K. Vall. Paris. Μαριανδηνοὶ F. al. [h] Sic Ald. M.S.P.V. Vall. F. Paris. Σύριοι edd. Steph. 2. et seqq. cf. I. 72. II. 104. [i] οὗτοι om. P.K.F.b. [k] Δάτος b. [l] Μεγασίδρου M.P.K.F.a.b.c. Μεγασίδου S.d. et al. Mox λιγνέων S. [m] Sic S. Ald. al. Schæfer. Γοβρύης a c. Βρύης M.P.K.F. Wessel. Tum Ἀρτιστώνης Ald.

τάτω τῆς Παφλαγονικῆς σκευὴν εἶχον, [a] ὀλίγον
παραλλάσσοντες. οἱ δὲ Φρύγες, ὡς Μακεδόνες λέ-
γουσι, ἐκαλέοντο [b] Βρίγες χρόνον ὅσον, [c] Εὐρωπήϊοι
ἐόντες, [d] σύνοικοι ἦσαν Μακεδόσι· μεταβάντες δὲ
ἐς τὴν Ἀσίην, ἅμα τῇ χώρῃ καὶ τὸ οὔνομα μετέ-
2 βαλον ἐς Φρύγας. Ἀρμένιοι δὲ κατάπερ Φρύγες
ἐσεσάχατο, [e] ἐόντες Φρυγῶν ἄποικοι. τούτων συναμ-
φοτέρων ἦρχε Ἀρτόχμης, Δαρείου ἔχων θυγατέρα.

Phryges, Macedonibus olim finitimi, tuncque Briges dicti. Armenii, Phrygum colonia.

74 Λυδοὶ δὲ ἀγχοτάτω τῶν Ἑλληνικῶν εἶχον ὅπλα. οἱ
δὲ Λυδοὶ [a] Μηΐονες [b] ἐκαλεῦντο [c] τὸ πάλαι· ἐπὶ δὲ
[d] Λυδοῦ τοῦ Ἄτυος ἔσχον τὴν ἐπωνυμίην, μεταβα-
2 λόντες τὸ οὔνομα. Μυσοὶ δὲ ἐπὶ μὲν τῇσι κεφα-
λῇσι εἶχον κράνεα ἐπιχώρια, ἀσπίδας δὲ [e] σμικράς·
3 ἀκοντίοισι δὲ ἐχρέωντο ἐπικαύτοισι. οὗτοι [f] δέ εἰσι
Λυδῶν ἄποικοι· ἀπ' Οὐλύμπου δὲ οὔρεος καλέονται
[g] Οὐλυμπιηνοί. Λυδῶν δὲ καὶ Μυσῶν ἦρχε [h] Ἀρτα-
φέρνης ὁ Ἀρταφέρνεος, ὃς ἐς Μαραθῶνα ἐσέβαλε

Lydi, ante Lydum Atyis filium Mæones vocati. Mysi, colonia Lydorum, ex monte Olympo Olympiani nominati.

75 ἅμα Δάτι. Θρήϊκες δὲ, ἐπὶ μὲν τῇσι κεφαλῇσι
ἀλωπεκέας ἔχοντες, ἐστρατεύοντο, περὶ δὲ τὸ σῶμα,
κιθῶνας· ἐπὶ δὲ, ζειρὰς περιβεβλημένοι ποικίλας·
περὶ δὲ τοὺς πόδας τε καὶ τὰς κνήμας, πέδιλα
[a] νεβρῶν· πρὸς δὲ, ἀκόντιά τε καὶ πέλτας καὶ ἐγχει-

Thraces Asiani sive Bithyni, olim Europæi ac Strymonis accolæ, tuncque Strymonii dicti.

73. [a] Unus ms. apud Wessel. ὀλίγῳ. [b] Φρίγες M.P. Βρίχες F. Βρύγες b. [c] Εὐρώπιοι ὄντες S. [d] σύνοικοι ἦσαν S.V. συνοίκησαν M.P.K. ξυνοίκησαν F. συνοίκουν edd. vett. [e] Citat Eustath. Dionys. 694.

74. [a] Sic cum Schæfero Schweighæuserus. Edd. Μηόνες. cf. Strabo XIV. p. 996=686 B. Creuzer. Histor. Antiq. Frag. p. 146. Heyne Il. β'. 864. [b] ἐπεκαλεῦντο F. [c] Sic S.V. cf. IV. 180. infr. 142. τὸ om. F.a.b. [d] Λύδου Eustath. Il. p. 365, 34=476, 49. [e] μικρὰς F.S. Ald. [f] μέν εἰσι F. [g] Ὀλυμπιηνοὶ S.V. [h] Ἀρταφρένης ὁ Ἀρταφρένεος V.K.F. ὁ Ἀρταφέρνης ὁ Ἀρταφέρνεος S.

75. [a] Sic M.P.K.S.V.F. Paris. νευρῶν olim. *πέδιλα νέβρων caligas ex hinnulorum pellibus*, cum Xenophonteis Anab. IV. 5, 14. *καρβατίναι πεποιημέναι ἐκ τῶν νεοδαρτῶν βοῶν e bubulo corio*, confert Wesselingius. Supra χιτῶνας S.

81 Ταῦτα ἦν τὰ κατ' ἤπειρον στρατευόμενά [a] τε
ἔθνεα, καὶ τεταγμένα ἐς [b] τὸ πεζόν. τούτου ὦν τοῦ 544
στρατοῦ [c] ἦρχον οὗτοι οἵπερ [d] εἰρέαται· καὶ οἱ διατά-
ξαντες καὶ ἐξαριθμήσαντες, οὗτοι ἦσαν, καὶ χιλιάρ-
χας τε καὶ μυριάρχας ἀποδέξαντες· [e] ἑκατοντάρχας
2 δὲ καὶ δεκάρχας οἱ μυριάρχαι. τελέων δὲ καὶ ἐθνέων
ἦσαν ἄλλοι σημάντορες· ἦσαν μὲν δὴ οὗτοι, οἵπερ
82 εἰρέαται, ἄρχοντες. Ἐστρατήγεον δὲ τούτων τε καὶ
τοῦ σύμπαντος στρατοῦ τοῦ πεζοῦ, Μαρδόνιός τε ὁ
Γωβρύεω, καὶ [a] Τριτανταίχμης ὁ Ἀρταβάνου, τοῦ γνώ-
μην θεμένου μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καὶ
[b] Σμερδομένης ὁ [c] Ὀτάνεω· (Δαρείου ἀμφότεροι οὗτοι
ἀδελφεῶν παῖδες, Ξέρξῃ δὲ ἐγίνοντο ἀνεψιοί·) καὶ
Μασίστης ὁ Δαρείου τε καὶ [d] Ἀτόσσης παῖς, καὶ [e] Γέρ-
83 γις ὁ [f] Ἀρίζου, καὶ Μεγάβυζος ὁ Ζωπύρου. Οὗτοι ἦσαν
στρατηγοὶ τοῦ σύμπαντος [a] στρατοῦ πεζοῦ, χωρὶς τῶν
μυρίων. τῶν δὲ μυρίων τούτων Περσέων τῶν ἀπολε-
λεγμένων ἐστρατήγεε μὲν Ὑδάρνης ὁ Ὑδάρνεος.
2 ἐκαλέοντο δὲ Ἀθάνατοι οἱ Πέρσαι οὗτοι [b] ἐπὶ τοῦδε.
εἴ τις αὐτῶν ἐξέλιπε τὸν ἀριθμὸν, ἢ θανάτῳ [c] βιηθεὶς
ἢ νούσῳ, ἄλλος ἀνὴρ [d] ἀραίρητο· καὶ ἐγίνοντο οὐ-
3 δαμὰ [e] οὔτε πλεῦνες μυρίων, οὔτε ἐλάσσονες. Κόσμον

81: Hæ quidem pedestres copiæ, divisæ illæ in myriadas, chiliadas, etc.

82: Earum summi duces.

83: Immortales. Persæ omnium fortissimi, ornatissimi, instructissimi.

81. [a] τε ante ἔθνεα om. P.K.F. [b] Sic M.K.P.F. τὸν π. S. al. ut 84, 96, 100. [c] ἦρχον μὲν οὗτοι F. [d] ἠρέαται F. qui mox χιλιάδας καὶ μυριάδας. [e] ἑκατ. τε V.S.

82. [a] Sic P.K.V.S.F. Paris. Eustath. pag. 1206, 17=1281, 47. cf. I. 192. Τρινταταίχμης edd. vett. [b] Sic S. Vall. cf. 121. Ζερδομένης P.F.b. Σμερδόνης Ald. V.M.c. [c] Ὀτάνεος S.K.P.F. Ὀτάνεως b. Mox Μασσίσης S. *Massystes* Vall. [d] Ἀτόσσης τε καὶ Δαρείου F. [e] Γέργης, S. Vall. [f] Ἀρίζου M.P.K.F.b. Ἀριάζου S.a.c.d. Ald.

83. [a] Sic M.P.K.F. Paris. στρατοῦ om. S. al. [b] διὰ τάδε ἐπὶ τοῦδε M.P.K.F.b. [c] Sic P.K. βιωθεὶς S. βιασθεὶς F.a.b.c. edd. vett. [d] Sic S.M.P.K. cf. I. 191. ἀναίρητο F.a.b.c. edd. vett. Schweighæuserus interpretatur, *electus erat*, id est, *jam ante designatus erat qui continuo in decedentis locum succederet*. [e] οὔτε om. S.V.

δὲ πλεῖστον παρείχοντο διὰ πάντων Πέρσαι, καὶ
αὐτοὶ ἄριστοι ἦσαν. σκευὴν μὲν τοιαύτην εἶχον ἥπερ
εἴρηται· χωρὶς δὲ, χρυσόν [f] τε πολλὸν καὶ ἄφθονον
4 ἔχοντες ἐνέπρεπον. [g] ἁρμαμάξας τε ἅμα ἤγοντο, ἐν
δὲ παλλακὰς, καὶ θεραπηΐην πολλήν τε καὶ εὖ ἐσκευ-
ασμένην. σῖτα δέ σφι, χωρὶς τῶν ἄλλων στρα-
τιωτέων, κάμηλοί τε καὶ ὑποζύγια ἦγον.

84 Ἱππεύει δὲ ταῦτα τὰ ἔθνεα· πλὴν οὐ πάντα παρεί-
χετο ἵππον, ἀλλὰ τοσάδε [a] μοῦνα. Πέρσαι μὲν, τὴν
αὐτὴν ἐσκευασμένοι καὶ ὁ πεζὸς αὐτῶν· πλὴν ἐπὶ
τῇσι κεφαλῇσι εἶχον [b] μετεξέτεροι αὐτῶν καὶ χάλκεα

Quibus populis equitatus imperati fuerint. Equestres copiæ Persarum:

85 καὶ σιδήρεα ἐξεληλαμένα ποιήματα. Εἰσὶ δέ τινες
νομάδες ἄνθρωποι [a] Σαγάρτιοι καλεόμενοι, ἔθνος μὲν
Περσικὸν καὶ φωνῇ, σκευὴν δὲ [b] μεταξὺ ἔχουσι πε-
ποιημένην [c] τῆς τε Περσικῆς καὶ τῆς Πακτυϊκῆς· οἳ
παρείχοντο μὲν ἵππον ὀκτακισχιλίην, ὅπλα δὲ [d] οὐ
νομίζουσι ἔχειν οὔτε χάλκεα οὔτε σιδήρεα, [e] ἔξω
2 ἐγχειριδίων. χρέωνται δὲ σειρῇσι πεπλεγμένῃσι ἐξ
ἱμάντων· [f] ταύτῃσι πίσυνοι ἔρχονται ἐς πόλεμον. ἡ
δὲ μάχη τούτων τῶν ἀνδρῶν ἥδε· ἐπεὰν συμμίσγωσι 545
τοῖσι πολεμίοισι, βάλλουσι τὰς σειρὰς, ἐπ' ἄκρῳ
3 βρόχους ἐχούσας. ὅτευ δ' ἂν τύχῃ, ἤν τε ἵππου, ἤν
τε ἀνθρώπου, ἐπ' ἑωυτὸν ἕλκει· οἱ δὲ ἐν [g] ἕρκεσι
[h] ἐμπαλασσόμενοι διαφθείρονται. τούτων μὲν αὕτη ἡ

Sagartiorum:

86 μάχη· καὶ ἐπετετάχατο ἐς τοὺς Πέρσας. Μῆδοι δὲ,
τήνπερ ἐν τῷ πεζῷ εἶχον σκευήν· καὶ Κίσσιοι ὡσαύ-

Medorum: Cissiorum: Indorum:

[f] τε om. P.K.F. qui πολλὸν χρυσόν. [g] ἁρμάξας F.

84. [a] μόνον F. [b] μετεξέτεροι ἔνιοι S. ἔνιοι solum alii.

85. [a] Σαργάτιοι S. Vall. cf. I. 125. [b] ἔχουσι μεταξὺ F. [c] Sic S.V.P.K.F. Schæfer. τῆς Περσ. τε Wessel. al. [d] οὐνομάζ. F. [e] ἐκτὸς ἐγχειριδίου S. ἐκτὸς item V. [f] Sic M.K.P.F. τῇσι S.a. al. Mox πίσσυνοι S. [g] ἄρκεσι Ald. ἄρκεσι c. ἐν om. S. [h] ἐμπαλασσόμενοι P.F. Paris. ἐμπαλλασσ. S. vulg.

Bactrianorum: Caspiorum: Libyum: Caspirorum [nisi fallit Reizii conjectura]: Paricaniorum. Arabes camelis vecti.

τως. Ἰνδοὶ δὲ σκευῇ μὲν ἐσεσάχατο [a] τῇ αὐτῇ καὶ
ἐν τῷ πεζῷ, ἤλαυνον δὲ κέλητας καὶ ἅρματα· ὑπὸ δὲ
2 τοῖσι ἅρμασι ὑπῆσαν ἵπποι καὶ ὄνοι ἄγριοι. [b] Βάκ-
τριοι δὲ ἐσκευάδατο ὡσαύτως καὶ ἐν τῷ πεζῷ, καὶ
Κάσπιοι ὁμοίως. [c] Λίβυες δὲ καὶ [d] αὐτοὶ κατάπερ ἐν
τῷ πεζῷ· ἤλαυνον δὲ καὶ οὗτοι πάντες ἅρματα. ὣς
δ᾽ αὔτως [e] Κάσπειροι καὶ Παρικάνιοι ἐσεσάχατο
3 ὁμοίως καὶ ἐν τῷ πεζῷ. Ἀράβιοι δὲ σκευὴν μὲν εἶχον
[f] τὴν αὐτὴν ἣν καὶ ἐν τῷ πεζῷ· ἤλαυνον δὲ πάντες
87 καμήλους, [g] ταχυτῆτα οὐ λειπομένας [h] ἵππων. Ταῦτα
τὰ ἔθνεα μοῦνα [a] ἵππευεν. ἀριθμὸς δὲ τῆς ἵππου
ἐγένετο ὀκτὼ μυριάδες, πάρεξ [b] τῶν καμήλων καὶ
2 τῶν ἁρμάτων. Οἱ μέν νυν ἄλλοι [c] ἱππέες ἐτετάχατο
3 [d] κατὰ τέλεα· Ἀράβιοι δὲ, ἔσχατοι ἐπετετάχατο. ἅτε
γὰρ τῶν ἵππων οὔτι ἀνεχομένων τὰς καμήλους,
ὕστεροι ἐτετάχατο, ἵνα μὴ [e] φοβέοιτο τὸ ἱππικόν.

Numerus ac divisio equitum. Arabum in acie locus ob camelos ultimus [1, 80.].

88 Ἵππαρχοι δὲ ἦσαν [a] Ἀρμαμίθρης τε καὶ Τίθαιος,
Δάτιος παῖδες. ὁ δὲ τρίτος σφι συνίππαρχος Φαρ-
νούχης [b] καταλέλειπτο ἐν Σάρδισι νοσέων. ὡς γὰρ
ὁρμέωντο ἐκ Σαρδίων, ἐπὶ συμφορὴν [c] ἐνέπεσε ἀν-
2 εθέλητον. ἐλαύνοντι γάρ οἱ, ὑπὸ τοὺς πόδας τοῦ
ἵππου ὑπέδραμε κύων· καὶ ὁ ἵππος οὐ προϊδὼν,
ἐφοβήθη τε καὶ στὰς ὀρθὸς ἀπεσείσατο τὸν Φαρ-

Præfecti equitum. Eorum unus, Pharnuches, ex equi casu æger Sardibus relictus.

86. [a] τὴν αὐτὴν S. Mox τοῖς S. [b] καὶ B. δὲ malebat Schweighæuser. [c] Ad cap. 72. remittit Wesseling. [d] οὗτοι S.V. [e] Κάσπειροι Schæfer. Bekker. ex Reizii conj. Κάσπιοι S. edd. Κάσιοι Larcher, et Rennell. Vide Schweighæuser. ad III. 93. [f] Sic M.P.K.F.a.c. ἣν om. S. al. cum Schæfero et Bekkero. [g] Sic M.P.K.F. ταχύτητι (vel ταχυτῆτι) S.a.c. Ald. [h] ἵππους S.

87. [a] Sic S.V. Schæfer. Vulgo ἱππεύει. [b] Sic M.P.K.V.S.F. Paris. τῶν ἄλλων καμήλων al. [c] Sic V.S.K.F.a.b.c. Ald. Schæfer. ἐπετετάχατο M.P. Wessel. [d] κατὰ—ἐπετετάχατο om. F. ἐπετετάχατο K.b. Schæfer. ἐτετάχατο S. vulg. [e] φοβοῖτο S.

88. [a] Ἀρμίθης K. Ἀρμαμίθης d. Mox σφι S.P.K.F. σφίσι a.c. al. [b] Sic V.S. Schæfer. κατελέλειπτο vulg. Mox ὡρμῶντο S. [c] Sic Ald. S. περιέπεσε M.P.K.F. Mox ὀρθῶς S.

νούχεα. πεσὼν δὲ, αἷμά τε ἤμεε, καὶ ἐς φθίσιν
3 περιῆλθε ἡ νοῦσος. τὸν δὲ ἵππον αὐτίκα κατ' ἀρχὰς
[d] ἐποίησαν οἱ οἰκέται ὡς ἐκέλευε· ἐς τὸν χῶρον ἐν 446
τῷπερ κατέβαλε τὸν δεσπότεα [e] ἀπαγαγόντες, [f] ἐν
τοῖσι γούνασι ἀπέταμον τὰ σκέλεα. Φαρνούχης μὲν
οὕτω παρελύθη τῆς ἡγεμονίης.

89 Τῶν δὲ τριήρεων ἀριθμὸς μὲν ἐγένετο [a] ἑπτὰ καὶ
διηκόσιαι καὶ χίλιαι· [b] παρείχοντο δὲ αὐτὰς οἵδε.
Φοίνικες μὲν, σὺν Συρίοισι τοῖσι ἐν τῇ Παλαιστίνῃ,
2 τριηκοσίας, ὧδε ἐσκευασμένοι. περὶ μὲν τῇσι κεφα-
λῇσι κυνέας εἶχον ἀγχοτάτω πεποιημένας τρόπον τὸν
Ἑλληνικόν· ἐνδεδυκότες δὲ θώρηκας λινέους, [c] ἀσπί-
3 δας δὲ ἴτυς οὐκ ἐχούσας εἶχον, καὶ ἀκόντια. οὗτοι δὲ
οἱ Φοίνικες τὸ παλαιὸν οἴκεον, ὡς αὐτοὶ λέγουσι, ἐπὶ
τῇ Ἐρυθρῇ θαλάσσῃ· ἐνθεῦτεν δὲ ὑπερβάντες, τῆς
4 Συρίης οἰκέουσι [d] τὰ παρὰ θάλασσαν. τῆς δὲ Συρίης
τοῦτο τὸ χωρίον, καὶ τὸ μέχρι Αἰγύπτου πᾶν, Πα-
λαιστίνη καλέεται. Αἰγύπτιοι δὲ νέας παρείχοντο
διηκοσίας. οὗτοι δὲ εἶχον περὶ μὲν τῇσι κεφαλῇσι
κράνεα [e] χηλευτὰ, ἀσπίδας δὲ κοίλας, τὰς ἴτυς μεγάλας
ἐχούσας, καὶ δόρατά τε ναύμαχα, καὶ [f] τύκους με-
5 γάλους. τὸ δὲ πλῆθος αὐτῶν θωρηκοφόροι ἦσαν,

Triremium numerus. Recensio nationum, quibus naves imperatæ. Phœnices, cum Syriis Palæstinam incolentibus. Phœnices olim maris Rubri accolæ. Ægyptii.

[d] ἐποίησαν, ὡς ἐκέλευε, ἀπαγαγόντες οἱ οἰκέται ἐς τὸν χῶρον ἐν τῷ κατέβαλε τὸν δεσπότην· ἐν τοῖσι γούνασι etc. P.K.F.b. [e] ἀγαγόντες S.V. δεσπότην S. [f] Sic M.P.K.F.b.d. σὺν τοῖσι Ald. S.V.A.B. Vall. γόνασιν ἀπέτεμον S.

89. [a] Catalogus triremium in marg. P. ΧΗΗΠΙΙ. Valla *mille ducentas octo*. Vid. infra cap. 184. [b] προείχοντο F. et infra. Mox τῇ om. S. [c] ἀσπίδας τε S.V. [d] τὰ παρὰ θ. S. τὰ περὶ Eustath. Dionys. 904. τὰ recepit Schæfer. τὸ vulg. Bekker. [e] πλεκτὰ χηλευτὰ P. χηλευτὰ ex Herodoto citat Pollux VII. 83. et interpretatur τὰ πλεκτά. Infra τε om. S. post δόρατα. [f] Sic F.a.b. τύχους μ. M.S. τύχους (τοίχους d.) ὄρυξ λιθοξοϊκὸν ἐργαλεῖον μ. Ald. c.d. Glossam delendam notavit Camerarius ad Aristot. Eth. VI. 12. p. 304.

μαχαίρας δὲ μεγάλας εἶχον. οὗτοι μὲν οὕτω [g] ἐστα-

Cyprii. Eorum plures populi: singuli unde Cyprum venerint.

90 λάδατο. Κύπριοι δὲ παρείχοντο νέας πεντήκοντα καὶ ἑκατὸν, [a] ἐσκευασμένοι ὧδε. τὰς μὲν κεφαλὰς [b] εἱλίχατο μίτρῃσι οἱ βασιλέες αὐτῶν· οἱ δὲ ἄλλοι
2 εἶχον κιθῶνας· τὰ δὲ ἄλλα κατάπερ Ἕλληνες. Τούτων δὲ τοσάδε ἔθνεά [c] ἐστι· οἱ μὲν, ἀπὸ Σαλαμῖνος καὶ [d] Ἀθηνέων· οἱ δὲ, ἀπὸ Ἀρκαδίης· οἱ δὲ, ἀπὸ Κύθνου· οἱ δὲ, ἀπὸ Φοινίκης· οἱ δὲ, ἀπὸ Αἰθιοπίης,

Cilices, ante Cilicem Agenoris filium Hypachæi dicti. Pamphyli, progenies Græcorum post Trojæ eversionem cum Amphilocho et Calchante illuc delatorum.

91 ὡς αὐτοὶ Κύπριοι λέγουσι. Κίλικες δὲ ἑκατὸν 547
παρείχοντο νέας. οὗτοι [a] δ' αὖ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια, λαισήϊά τε εἶχον ἀντ' ἀσπίδων, [b] ὠμοβοέης πεποιημένα, καὶ κιθῶνας εἰρινέους ἐνδεδυκότες· δύο δὲ ἀκόντια ἕκαστος καὶ ξίφος εἶχον, ἀγχοτάτω [c] τῇσι Αἰγυπτίῃσι μαχαίρῃσι πεποιημένα.
2 Οὗτοι μὲν τὸ παλαιὸν [d] Ὑπαχαιοὶ ἐκαλέοντο· ἐπὶ δὲ Κίλικος τοῦ Ἀγήνορος, ἀνδρὸς Φοίνικος, ἔσχον τὴν ἐπωνυμίην. [e] Πάμφυλοι δὲ τριήκοντα παρείχοντο
3 νέας, Ἑλληνικοῖσι ὅπλοισι ἐσκευασμένοι. οἱ δὲ [f] Πάμφυλοι οὗτοι εἰσὶ τῶν ἐκ Τροίης ἀποσκεδασθέν-

Lycii, e Creta oriundi, ac prius Termilæ dicti, donec Ly-

92 των ἅμα Ἀμφιλόχῳ καὶ Κάλχαντι. Λύκιοι δὲ
παρείχοντο νέας πεντήκοντα, θωρηκοφόροι τε ἐόντες
2 καὶ κνημιδοφόροι. εἶχον δὲ τόξα [a] κρανέϊνα, καὶ ὀϊστοὺς καλαμίνους ἀπτέρους, καὶ ἀκόντια· ἐπὶ δὲ,

[g] Sic V.S. Eustath. Il. p. 234, 14=177. 28. ἐστελάδατο F. edd. vett. ἐσκευάδατο d. ἐστάλατο Bekker.

90. [a] ἐσκευ. δὲ ὧδε F. [b] Sic Eustath. supra cit. qui κατειλίχατο p. 454, 15=345, 40. Mox χιτῶνας S. [c] εἰσὶν F. [d] Sic Wessel. et Valcken. Vulgo Ἀθηναίων.

91. [a] δὲ pro δ' αὖ S.V. [b] ὠμοβοείοις Eustath. p. 570, 25=433, 16. ὠμοβοείης b. ὠμοβοΐης F.S. Ald. [c] τοῖσι Αἰγυπτίοισι absque μαχαίρῃσι S. [d] Ἀχαιοὶ Eustath. Dionys. 874. Supra μὲν om. S. [e] Παμφύλιοι S.V. Eustath. Dionys. 854. cf. I. 28. III. 90. Supra ἀπὸ δὲ Κίλικος S. [f] Παμφύλιοι S.

92. [a] κρανεῖα F.

αἰγὸς [b] δέρματα περὶ τοὺς ὤμους αἰωρεύμενα· περὶ
δὲ τῇσι κεφαλῇσι πίλους πτεροῖσι [c] περιεστεφανωμέ-
3 νους· ἐγχειρίδια δὲ καὶ δρέπανα εἶχον. Λύκιοι δὲ
Τερμίλαι ἐκαλέοντο, ἐκ Κρήτης γεγονότες· [d] ἐπὶ δὲ
Λύκου τοῦ Πανδίονος, ἀνδρὸς Ἀθηναίου, ἔσχον τὴν
93 ἐπωνυμίην. Δωριέες δὲ, οἱ ἐκ τῆς Ἀσίης, τριήκοντα
παρείχοντο νέας, ἔχοντές τε Ἑλληνικὰ ὅπλα, καὶ
2 γεγονότες [a] ἀπὸ Πελοποννήσου. Κᾶρες δὲ ἑβδομή-
κοντα παρείχοντο νέας, τὰ μὲν ἄλλα κατάπερ Ἕλ-
ληνες ἐσταλμένοι· εἶχον δὲ καὶ δρέπανα καὶ ἐγχειρί-
δια. οὗτοι δὲ οἵτινες πρότερον ἐκαλέοντο, ἐν τοῖσι
94 πρώτοισι τῶν λόγων εἴρηται. Ἴωνες δὲ ἑκατὸν νέας
παρείχοντο, ἐσκευασμένοι ὡς Ἕλληνες. Ἴωνες δὲ,
ὅσον μὲν χρόνον ἐν Πελοποννήσῳ οἴκεον τὴν νῦν
καλεομένην [a] Ἀχαιΐην, καὶ πρὶν ἢ Δάναόν τε καὶ
Ξοῦθον ἀπικέσθαι ἐς Πελοπόννησον, ὡς Ἕλληνες
λέγουσι, ἐκαλέοντο Πελασγοὶ Αἰγιαλέες· ἐπὶ δὲ
95 Ἴωνος τοῦ Ξούθου, Ἴωνες. [a] Νησιῶται δὲ ἑπτα-
καίδεκα παρείχοντο νέας, ὡπλισμένοι ὡς Ἕλληνες.
καὶ τοῦτο Πελασγικὸν ἔθνος, ὕστερον δὲ Ἰωνικὸν
ἐκλήθη κατὰ τὸν αὐτὸν λόγον καὶ [b] οἱ δυωδεκαπόλιες
2 Ἴωνες, οἱ ἀπ' [c] Ἀθηνέων. Αἰολέες δὲ ἑξήκοντα νέας
παρείχοντο, ἐσκευασμένοι τε ὡς Ἕλληνες, καὶ τὸ

cus Pandionis filius novum iis nomen daret [1, 173.].

Dores Asiani, orti ex Peloponneso. Cares.

Iones, Achaiæ olim in Peloponneso incolæ, tuncque vocati Pelasgi Ægialenses.

Insulani ex mari Ægeo. Æoles. Utrique olim Pelasgi dicti. Hellespontii, præter Abyde- 548 nos, quibus custodia

[b] *δέρματα* et *αἰωρεύμενα* a.c.d.S.V. Ald. Eustath. Dionys. 857. *δέρμα* et *αἰωρεύμενον* M.K.P.F.b. [c] *ἐστεφανωμ.* S.V. Eustath. non improbante Wesselingio. [d] Sic Eustath. S.V.K.P.F. Paris. ἀπὸ Ald. Usum Herodoteum illustravit Portus.

93. [a] Sic M.S.P.K.V.F. Paris. Olim ἐκ Πελοπ.

94. [a] Ἀχαΐην S.

95. [a] Νησιῶται Πελασγικὸν ἔθνος omissis mediis F. [b] *οἱ δυωδεκαπόλεες* P. *οἱ δώδεκα πόλεες* F. *αἱ δυώδεκα πόλιες* S. edd. Bene habent omnia si *δυωδεκαπόλεες*, sive Ionica forma *δυωδεκαπόλιες*, pro adjectivo accipias, ad substantivum Ἴωνες relato. Cæterum cf. I. 142. Schweigh. [c] Ἀθηνέων P.M.K. Ἀθηναίων S. al.

pontium credita: omnes, Ionum Dorumque coloniæ.

πάλαι καλεόμενοι Πελασγοὶ, [d] ὡς Ἑλλήνων λόγος.
3 Ἑλλησπόντιοι δὲ, πλὴν Ἀβυδηνῶν· ([e] Ἀβυδηνοῖσι
γὰρ προσετέτακτο ἐκ βασιλέος, κατὰ χώρην μένουσι,
φύλακας εἶναι τῶν γεφυρέων·) οἱ δὲ [f] λοιποὶ ἐκ τοῦ
Πόντου στρατευόμενοι, παρείχοντο μὲν ἑκατὸν νέας,
ἐσκευασμένοι δὲ ἦσαν ὡς Ἕλληνες. οὗτοι δὲ, Ἰώνων
καὶ Δωριέων ἄποικοι.

96 Milites classiarii e Persis, Medis et Sacis lecti. Sidoniorum naves omnium optimæ.

Ἐπεβάτευον δὲ ἐπὶ πασέων τῶν νεῶν Πέρσαι, καὶ
Μῆδοι, καὶ Σάκαι. τούτων δὲ ἄριστα πλεούσας
παρείχοντο νέας Φοίνικες, καὶ Φοινίκων, Σιδώνιοι.
2 Τούτοισι πᾶσι, καὶ τοῖσι ἐς τὸν πεζὸν τεταγμένοισι
αὐτῶν, [a] ἐπῆσαν ἑκάστοισι ἐπιχώριοι ἡγεμόνες· τῶν
ἐγὼ, οὐ γὰρ ἀναγκαίῃ [b] ἐξέργομαι ἐς ἱστορίης λόγον,
3 οὐ παραμέμνημαι. οὔτε γὰρ ἔθνεος ἑκάστου [c] ἐπάξιοι
ἦσαν οἱ ἡγεμόνες· ἔν τε ἔθνεϊ ἑκάστῳ ὅσαιπερ
4 πόλιες, τοσοῦτοι καὶ ἡγεμόνες ἦσαν. εἵποντο δὲ ὡς
οὐ στρατηγοὶ, ἀλλ' ὥσπερ οἱ ἄλλοι στρατευόμενοι
δοῦλοι. ἐπεὶ [d] στρατηγοί τε οἱ τὸ πᾶν ἔχοντες κράτος,
καὶ ἄρχοντες τῶν ἐθνέων ἑκάστων, ὅσοι αὐτῶν
ἦσαν Πέρσαι, [e] εἰρέαταί μοι.

97 Præfecti classis. Cæterorum navigiorum numerus.

Τοῦ δὲ ναυτικοῦ ἐστρατήγεον [a] οἵδε· Ἀριαβίγνης τε ὁ Δαρείου, καὶ Πρηξάσπης
ὁ [b] Ἀσπαθίνεω, καὶ Μεγάβαζος ὁ Μεγαβάτεω,
2 καὶ Ἀχαιμένης ὁ Δαρείου. τῆς μὲν Ἰάδος τε καὶ
[c] Καρικῆς στρατιῆς, Ἀριαβίγνης, ὁ Δαρείου τε παῖς

[d] ὡς om. P. ὡς ὁ Ἑλλ. F. [e] Ἀβυδηνοὶ F. [f] Post h. v. οἱ inserendum malebat Wesselingius, ut c. 101. cui paruit Schæfer. eumque secutus Bekker. Repetitus articulus Schweighæusero non videtur necessarius.

96. [a] ἐπήϊσαν S. [b] ἐξείργομαι S.V.P. ἐξέρχομαι d. ἀνάγκῃ S. [c] Sic V. ed. Genev. ἀπάξιοι S.F.c.b. vulg. Simile peccatum in Philostrati Vit. Soph. II. xi. 1. ab Oleario sublatum indicavit Wesseling. [d] Sic F. στρατηγοὶ οἱ S.K. Vall. Bekker. στρατηγοί τε καὶ ἄρχοντες οἱ vulgo. [e] ἠρέαται μοῦνοι F.

97. [a] οἵδε om. P.K.F.b. [b] Ἀσπαθήνεω S. Vall. [c] Καρίης S. cf. Steph. Byz. in Καρία et I. 171. Supra τε om. S.

καὶ τῆς Γωβρύεω θυγατρός· Αἰγυπτίων δὲ ἐστρα-
τήγεε Ἀχαιμένης, [d] Ξέρξεω ἐὼν ἀπ᾽ ἀμφοτέρων
ἀδελφεός· τῆς δὲ ἄλλης στρατιῆς ἐστρατήγεον οἱ
3 δύο. τριηκόντεροι δὲ, καὶ πεντηκόντεροι, καὶ κέρ-
κουροι, καὶ ἱππαγωγὰ πλοῖα [e] μακρὰ συνελθόντα [f] ἐς
98 τὸν ἀριθμὸν ἐφάνη τρισχίλια. Τῶν δὲ ἐπιπλεόντων
Nauarchi maxime illustres.
μετά γε τοὺς [a] στρατηγοὺς, οἵδε ἦσαν [b] οἱ ὀνομαστό-
τατοι· Σιδώνιος Τετράμνηστος [c] Ἀνύσου, καὶ Τύριος
[d] Μάπην [e] Σιρώμου, καὶ [f] Ἀράδιος Μέρβαλος [g] Ἀγ- 549
βάλου, καὶ Κίλιξ Συέννεσις Ὠρομέδοντος, καὶ
Λύκιος Κυβερνίσκος Σίκα· καὶ Κύπριοι, [h] Γόργος
τε ὁ Χέρσιος, καὶ [i] Τιμῶναξ ὁ Τιμαγόρεω· καὶ
Καρῶν, Ἱστιαῖός τε ὁ Τύμνεω, καὶ [k] Πίγρης ὁ Σελ-
99 δώμου, καὶ Δαμασίθυμος ὁ Κανδαύλεω. Τῶν μέν
Artemisia. Oppida ejus ditioni subjecta, unde originem traxerint.
νυν ἄλλων οὐ παραμέμνημαι [a] ταξιαρχέων, ὡς οὐκ
ἀναγκαζόμενος· Ἀρτεμισίης δὲ, τῆς μάλιστα [b] θῶμα
ποιεῦμαι ἐπὶ τὴν Ἑλλάδα στρατευσαμένης, γυναικός.
ἥτις, ἀποθανόντος τοῦ ἀνδρὸς, αὐτή τε ἔχουσα τὴν
τυραννίδα, καὶ παιδὸς ὑπάρχοντος νεηνίεω, ὑπὸ [c] λή-
ματός τε καὶ ἀνδρηΐης ἐστρατεύετο, οὐδεμιῆς ἐούσης

[d] ὁ Δαρείου S. cf. III. 12. Mox ἀδελφεῶν S. [e] Sic M.P.K.F. μικρὰ Ald. al. σμικρὰ S. [f] ἐφάνη ἐς τὸν ἀρ. S.

98. [a] στρατηγοὺς om. S. [b] Sic K. Schæfer. Vulgo cum S. om. οἱ. [c] Sic M.P.K.F.d. Ἀλλήσου S. al. [d] Μάπην S.V. Vall. Ald. A.B. Μάρτην M. Μάττην P.K.F.b. [e] Σιρώμου M.P.K.F. Σειρώμου b. Σιρώνου S.c.d. Ald. [f] Ἀράδιος M.P.K.F. Ἀρίδιος S.a.c.d. Ald. Ἀλλαρύδιος b. Porro Μέρβαλος S.V.P. Vall. Νέρβαλος Ald. M.F.a.b.c. Νάρβαλος d. cum Μέρβαλος in marg. [g] Sic M.P.K.F.b. Ἀρβάλου Ald. S.V. Vall. a.c.d. [h] Γόργος M.S.V. Vall. F.a.b.d. cf. VIII. 11. Γόρτος c. Ald. [i] Τιμῶναξ Schweighæuserus ex F. Τιμωνᾶς S.V. Vall. Τιμώναξ edd. [k] Sic M.P.K.F.a.c.d. Πύγρης Ald. b. Πίγρησσος Σελδ. S. Vall. Tum ὁ ὑσσελδώμου (vel οὑσσελδώμου) P.K.F.

99. [a] ταξιάρχων F. Mox ἀναγκαζόμενος περὶ Ἀρτεμισίης· Ἀρτεμισίης τῆς b. [b] Sic S.K.F. Vulgo θώϋμα. [c] Sic. S.V.F. Paris. Suid. λήμματος olim. cf. V. 72.

2 [d] οἱ ἀναγκαίης. οὔνομα μὲν δὴ ἦν αὐτῇ Ἀρτεμισίη,
θυγάτηρ δὲ ἦν Λυγδάμιος· γένος δὲ [e] ἐξ Ἁλικαρνησ-
3 σοῦ τὰ πρὸς πατρὸς, τὰ μητρόθεν δὲ Κρῆσσα. ἡγε-
μόνευε δὲ [f] Ἁλικαρνησσέων τε καὶ [g] Κῴων καὶ [h] Νι-
συρίων τε καὶ Καλυδνίων, πέντε νέας παρεχομένη.
καὶ συναπάσης τῆς στρατιῆς, μετά γε τὰς Σιδωνίων,
νέας [i] εὐδοξοτάτας παρείχετο, [k] πάντων τε τῶν συμ-
4 μάχων γνώμας ἀρίστας βασιλέϊ ἀπεδέξατο. τῶν δὲ
κατέλεξα πολίων ἡγεμονεύειν αὐτὴν, τὸ ἔθνος ἀπο-
φαίνω πᾶν ἐὸν Δωρικόν· Ἁλικαρνησσῆας μὲν, Τροι-
ζηνίους· τοὺς δὲ ἄλλους, Ἐπιδαυρίους. Ἐς μὲν
τοσόνδε ὁ ναυτικὸς στρατὸς εἴρηται.

100 Xerxes e curru copias pedestres, e navi navales spectat.

Ξέρξης δὲ, ἐπεὶ ἠρίθμησέ [a] τε καὶ [b] διετάχθη ὁ
στρατὸς, ἐπεθύμησε αὐτός σφεας διεξελάσας θεή-
2 σασθαι. μετὰ δὲ ἐποίεε ταῦτα, καὶ διεξελαύνων ἐπὶ
ἅρματος παρὰ ἔθνος [c] ἓν ἕκαστον, ἐπυνθάνετο· καὶ
ἀπέγραφον οἱ γραμματισταί· ἕως ἐξ ἐσχάτων ἐς
3 ἔσχατα ἀπίκετο καὶ τῆς ἵππου καὶ τοῦ πεζοῦ. ὡς δὲ
ταῦτά οἱ ἐπεποίητο, τῶν νεῶν κατελκυσθεισέων ἐς
θάλασσαν, ἐνθαῦτα ὁ Ξέρξης μετεκβὰς ἐκ τοῦ ἅρμα-
τος ἐς νέα Σιδωνίην, ἵζετο ὑπὸ σκηνῇ χρυσέῃ· καὶ
παρέπλεε παρὰ τὰς πρῴρας τῶν νεῶν, ἐπειρωτῶν τε
ἑκάστας [d] ὁμοίως καὶ τὸν πεζὸν, καὶ ἀπογραφόμενος.

[d] Sic V. Schæfer. οἱ al. om. Tum ἀνάγκης F. [e] ἐξ om. M.P.K.F. [f] Ἁλικαρνησέων F. Ἁλικαρνησσήων S. Infra Ἁλικαρνησέας F. ubi Ἁλικαρνήσσεας S.V. [g] Κῴων F. Κώων al. [h] Νησυρίων b. Tum καλυδνίων, ut videtur, F. [i] εὐδοξοτάτας S.V.F.a.c. εὐδοξωτάτας b. ἐνδοξοτάτας Wessel. et al. [k] πάντων τε F.a.c. Vulgo πάντων δὲ cum S. Bekker.

100. [a] τε om. S. ἠριθμήθη τε dedit Schæfer. [b] συνετάχθη Steph. marg. [c] ἓν om. S.V. [d] ὁμοίως ὡς] ὁμοίως om. S. ὡς om. P.M.F. Schæfer. e monitu Wesselingii, citantis cap. 115.

4 τὰς δὲ νέας οἱ ναύαρχοι [e] ἀναγαγόντες [f] ὅσον τε
[g] τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ, ἀνεκώχευον, τὰς 550
πρώρας ἐς γῆν τρέψαντες πάντες μετωπηδὸν, καὶ
ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. ὁ δ᾽
ἐντὸς τῶν πρωρέων πλέων ἐθηεῖτο καὶ τοῦ αἰγιαλοῦ.

101 Ὡς δὲ καὶ ταύτας διεξέπλωσε, καὶ ἐξέβη ἐκ τῆς
νεὸς, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος,
συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα. καλέσας
δ᾽ αὐτὸν, εἴρετο τάδε· “[a] Δημάρητε, νῦν μοί σε
2 “ ἡδύ [b] τι ἐστὶ [c] ἐπείρεσθαι τὰ θέλω. σὺ εἶς Ἕλλην
“ τε, καὶ ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων
“ Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους [d] ἀπικνεομένων πό-
“ λιος [e] οὔτ᾽ ἐλαχίστης, οὔτ᾽ ἀσθενεστάτης. νῦν ὦν
“ μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας
3 “ ἐμοὶ ἀνταειρόμενοι. οὐ γὰρ, ὡς [f] ἐγὼ δοκέω, οὐδ᾽ εἰ
“ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ [g] οἱ πρὸς ἑσπέρης
“ οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοί
“ εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι.
“ [h] ἐθέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις
4 “ περὶ αὐτῶν, πυθέσθαι.” Ὁ μὲν ταῦτα εἰρώτα. ὁ
δὲ, ὑπολαβὼν ἔφη· “ [i] Βασιλεῦ, κότερα ἀληθηΐῃ
“ χρήσομαι πρὸς σὲ, ἢ ἡδονῇ; Ὁ δέ μιν ἀληθηΐῃ
[k] χρήσασθαι ἐκέλευε, [l] φὰς οὐδέν οἱ ἀηδέστερον
102 ἔσεσθαι ἢ πρότερον ἦν. Ὡς δὲ ταῦτα ἤκουσε Δη-

Quo facto sermonem cum Demarato [6, 70.] confert de Persarum Græcorumque viribus inter se comparatis. Jactabundam regis levitatem Demaratus modeste, sed gravibus argumentis confutat, maximam partem petitis ab admirabili disciplina Spartanorum.

[e] ἀνάγοντες S.V. [f] ὅσον τε M.P.K.F.b. τε om. S.V.A.B. Ald. [g] τέσσαρα F.

101. [a] Sic V.P.K.F.a.c. Vulgo et Bekker. cum S. ὦ Δημ. Supra νεὼς S. [b] τι om. S.V. Schæfer. Bekker. [c] εἴρεσθαι S.V.P. ἤρεσθαι F. [d] ἀπικομένων S.V. Schæfer. cf. 103. [e] οὐκ ἐλαχίστης absque οὔτ᾽ ἀσθενεστάτης S.V. Vall. [f] ἐγὼ δοκέω S.V.P.K.F. Schæfer. δοκέω ἐγὼ vulg. [g] οἱ om. S.V. Mox μήτι γε μὴ ἐόντες Boeckius. [h] θέλω F. qui mox οἰκεῖον pro ὁκοῖον. [i] Sic S.V.P.K.F. ὦ βασ. Wessel. Bekker. et al. Mox χρήσωμαι Bekker. [k] χρήσασθαι P.K. F. Schæfer. Vulgo χρῆσθαι cum S. [l] φὰς om. S.V. Tum οὐδὲ S.

μάρητος, ἔλεγε τάδε· “ Βασιλεῦ, ἐπειδὴ ἀληθηΐῃ
“ [a] διαχρήσασθαι πάντως [b] με κελεύεις, ταῦτα λέγοντα
“ τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται·
“ τῇ Ἑλλάδι πενίη μὲν [c] αἰεί κοτε σύντροφος [d] σύν-
“ εστι· ἀρετὴ δὲ ἔπακτός ἐστι, ἀπό τε σοφίης
“ κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ [e] διαχρεω-
“ μένη ἡ Ἑλλὰς, τήν [f] τε πενίην ἀπαμύνεται καὶ
2 “ τὴν δεσποσύνην. αἰνέω μέν νυν πάντας [g] Ἕλληνας 551
“ τοὺς περὶ [h] κείνους τοὺς Δωρικοὺς χώρους οἰκημέ-
“ νους· ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε
“ τοὺς λόγους, ἀλλὰ περὶ Λακεδαιμονίων μούνων·
“ πρῶτα μὲν, ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς [i] δέξονται
“ λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι· [k] αὖτις
“ δὲ, ὡς ἀντιώσονταί τοι ἐς μάχην, καὶ ἢν οἱ ἄλλοι
3 “ Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. ἀριθμοῦ δὲ
“ πέρι, μὴ πύθῃ ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί
“ τέ εἰσι· ἤν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι,
“ οὗτοι [l] μαχήσονταί τοι, ἤν τε ἐλάσσονες τούτων,
103 “ ἤν τε καὶ πλεῦνες.” Ταῦτα ἀκούσας Ξέρξης,
γελάσας ἔφη· “ Δημάρητε, οἷον ἐφθέγξαο ἔπος,
“ ἄνδρας χιλίους στρατιῇ τοσῇδε [a] μαχήσασθαι. ἄγε,
“ εἰπέ μοι, [b] σὺ φῂς τούτων τῶν ἀνδρῶν αὐτὸς βασι-
“ λεὺς γενέσθαι; σὺ ὢν [c] ἐθελήσεις αὐτίκα μάλα

102. [a] Sic F. Paris. χρήσασθαι S.V. Schæfer. Bekker. δὴ χρήσασθαι Stobæus 7, 58. De usu v. χρήσασθαι Hemsterhusium ad Callim. H. Dian. 69. citat Wesseling. [b] με om. P.F. Stob. [c] Sic Stob. S.V.A.B. Ald. κοτε om. M.P.K.F. [d] ἐστι] σύνεστι S.V. Stob. Simplicem formam maluit Bekker. [e] διαχρεομ. Stob. Schæfer. [f] τε om. S.V.a.c. Hinc δεσποσύνην Lex. Seg. p. 89, 12. [g] τοὺς Ἑλλ. S.V. Bekker. [h] ἐκείνους F. Mox πάντων om. Ald. [i] δέξωνται M. [k] αὖτις τε b. Mox ἐναντιώσονται S. Tum πάντες post φρονέωσι. [l] Sic S.V.K.F.a. μαχέσονται vulg.

103. [a] Sic V.K.F.a.b. μαχέσεσθαι c. μαχέσασθαι edd. cum S. [b] οὐ φῂς S.V. Valla, Schæfer. Mox βασιλεὺς αὐτὸς S. [c] Sic F.a. Steph. marg. Schæfer. ἐθέλεις S. ἐθελήσαις Wessel. al.

2 " πρὸς ἄνδρας δέκα [d] μάχεσθαι; καίτοι εἰ τὸ πολι-
" τικὸν ὑμῖν πᾶν ἐστὶ τοιοῦτον οἷον σὺ [e] διαιρέεις,
" [f] σέ γε τὸν κείνων βασιλέα πρέπει πρὸς τὸ διπλή-
" σιον ἀντιτάσσεσθαι κατὰ νόμους τοὺς ὑμετέρους.
3 " εἰ γὰρ κείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς
" τῆς ἐμῆς ἀντάξιός ἐστι, σὲ δέ γε δίζημαι εἴκοσι
" εἶναι [g] ἀντάξιον· καὶ οὕτω μὲν ὀρθοῖτ' [h] ἂν ὁ
4 " λόγος ὁ [i] παρὰ σεῦ εἰρημένος. εἰ δὲ, τοιοῦτοί τε
" ἐόντες, καὶ μεγάθεα τοσοῦτοι [k] οἷος σύ τε καὶ οἱ
" [l] παρ' ἐμὲ φοιτῶσι Ἑλλήνων ἐς λόγους, αὐχεῖτε
" τοσοῦτον, [m] ὅρα μὴ μάτην κόμπος ὁ λόγος [n] οὗτος
5 " εἰρημένος εἴη. Ἐπεὶ φέρε ἴδω παντὶ τῷ [o] οἰκότι.
" [p] κῶς ἂν δυναίατο χίλιοι, ἢ [q] καὶ μύριοι, ἢ καὶ
" πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως,
" καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντι-
" στῆναι; ἐπεί τοι [r] πλεῦνες περὶ ἕνα ἕκαστον γινό-
" μεθα ἢ χίλιοι, ἐόντων [s] ἐκείνων πέντε χιλιαδέων.
6 " ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέ-
" τερον, γενοίατ' ἂν, δειμαίνοντες τοῦτον, καὶ παρὰ
" τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζό-

[d] μάχεσθαι M.P.K.F. Paris. μαχέσεσθαι edd. vett. μαχέσασθαι S. Ald. [e] διερέεις S. [f] σὲ δέ γε M.K.P.F.b.d. δὲ om. a.c. Ald. Mox ἐκείνων S. [g] δίκαιον S.V. Supra σέ γε absque δὲ S. Ald. [h] ἂν om. S.V. Mox ὁ ante παρὰ om. S.V.a.c. Tum τε post τοιοῦτοι om. S. [i] παρὰ σέο λεγόμενος P.K.F.b. [k] Sic S.V. Vall. Wessel. ὅσοι σύ τε edd. vett. Bekker. a.c. ὅσοι σὺ F. ὅσοι καὶ σὺ b. [l] παρ' ἐμοὶ V.S. Mox Ἑλλήνων om. d. [m] ὁρᾶτε S. Vall. [n] Sic F.a.c. κόμπος εἰρημένος ὁ λόγος οὗτος ἦ. S. Reliqui οὗτος ὁ εἰρ. Pro εἴη malit Elmsleius ad Eurip. Med. p. 310. ἔῃ. Sed ἦ (quod quidem præbet S.) ab Herodoto dici, non ἔῃ, monet Hermannus, qui vulg. defendit. [o] Sic F. εἰκότι S. vulg. [p] πῶς ἂν S.V. Alii κῶς absque ἄν. [q] καὶ om. F. Mox ἢ καὶ πεντακισμύριοι om. S. [r] Citat Eustath. Il. p. 190=144, 33. παρὰ e conj. Valcken. dedit Schæferus. [s] κείνων Ald. Bekker. ἐκείνων M.S.K.F. χιλιάδων et inter lineas μυριάδων P.

" μενοι [t] μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνει-
" μένοι δὲ ἐς τὸ [v] ἐλεύθερον, οὐκ ἂν [w] ποιέοιεν τούτων
7 " οὐδέτερα. Δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλή- 552
" θεϊ, χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μά-
" χεσθαι. ἀλλὰ [x] παρ' ἡμῖν τοῦτό ἐστι τὸ σὺ λέγεις·
8 " ἔστι γε [y] μέντοι οὐ πολλὸν, ἀλλὰ σπάνιον. εἰσὶ
" γὰρ Περσέων, τῶν ἐμῶν αἰχμοφόρων, οἳ [z] ἐθελή-
" σουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχεσθαι·
104 " τῶν σὺ ἐὼν ἄπειρος, πολλὰ [a] φλυηρέεις." Πρὸς
ταῦτα Δημάρητος λέγει· "Ὦ βασιλεῦ, ἀρχῆθεν ἠπι-
" στάμην, ὅτι ἀληθηΐῃ [a] χρεώμενος οὐ φίλα τοι ἐρέω.
" σὺ δὲ ἐπεὶ ἠνάγκασας λέγειν [b] τῶν λόγων τοὺς
" ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι.
2 " καίτοι, ὡς ἐγὼ τυγχάνω [c] τὰ νῦν τάδε ἐστοργὼς
" ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν
" τε καὶ γέρεα ἀπελόμενοι [d] πατρώϊα, ἄπολίν τε καὶ
" φυγάδα πεποιήκασι· [e] πατὴρ δὲ σὸς ὑποδεξάμενος,
3 " βίον τέ μοι καὶ οἶκον [f] δέδωκε. οὔκων [g] οἰκός ἐστι
" ἄνδρα τὸν σώφρονα εὐνοίην φαινομένην διωθέ-
" εσθαι, ἀλλὰ στέργειν μάλιστα. Ἐγὼ δὲ οὔτε
" δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι,
" [h] οὔτε δυοῖσι· [i] ἑκών τε εἶναι οὐδ' ἂν μουνομαχέοιμι.
4 " εἰ δὲ ἀναγκαίη εἴη, ἢ μέγας τις ὁ ἐποτρύνων ἀγὼν,
" μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τούτων τῶν
" ἀνδρῶν, οἳ Ἑλλήνων ἕκαστός φησι τριῶν ἄξιος

[t] ἐς om. F. μαστιγέες οἱ πλεῦνες ἐλάσσ. S. [v] Sic S.a.c.d. Ald. Schæfer. ἐλευθέριον M.P.K.b. Wessel. [w] ποιέειν S. Ald. [x] Sic M.P.K.F.b.d. παρ' ἡμῖν μὲν μούνοισι τ. a.S. al. [y] μὲν F.b. Mox πολλῶν F. [z] θελήσουσι P.F. [a] φλυηρεῖς S.V. πολλὰ om. F.

104. [a] χρεόμενος a. ἀληθείῃ F.S. [b] τοὺς λόγους S.V. [c] τὰ om. P.F.b. [d] πατρῷα F.S. [e] ὁ δὲ σὸς πατὴρ S. πατὴρ δὲ ὁ σὸς Bekker. [f] ἔδωκε S.V.F.a.c. [g] οἰκὸς K.F. εἰκὸς S. al. [h] οὐτεοῖσι P.F.b. οὔτε οἷσι K. [i] ἑκών τε S.V.K.F.a.c.b. Schæfer. ἑκών γε Ald. Wessel. Tum μονομαχέοιμι S.

“ εἶναι. ὣς δὲ [k] καὶ Λακεδαιμόνιοι, κατὰ μὲν ἕνα
“ μαχεόμενοι, οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν· ἁλέες
5 “ δὲ, [l] ἄριστοι ἀνδρῶν ἁπάντων. Ἐλεύθεροι γὰρ
“ ἐόντες, οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι
“ δεσπότης, [m] νόμος, [n] τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι
6 “ μᾶλλον, ἢ οἱ σοὶ σέ. ποιεῦσι [o] γῶν τὰ ἂν ἐκεῖνος
“ ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεὶ, οὐκ ἐῶν φεύγειν
“ οὐδὲν πλῆθος [p] ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας
7 “ ἐν τῇ τάξει, ἐπικρατέειν ἢ ἀπόλλυσθαι. [q] σοὶ δὲ εἰ
“ φαίνομαι ταῦτα λέγων φλυηρέειν, [r] τἄλλα σιγᾶν
“ ἐθέλω τὸ λοιπόν· [s] νῦν δὲ ἀναγκασθεὶς ἔλεξα.
“ γένοιτο μέντοι κατὰ νόον [t] τοι, βασιλεῦ.”

105 Ὁ μὲν δὴ ταῦτα ἀμείψατο· Ξέρξης δὲ ἐς γέλωτά
τε [a] ἔτρεψε, καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ’
2 ἠπίως αὐτὸν ἀπεπέμψατο. τούτῳ δὲ ἐς λόγους
ἐλθὼν Ξέρξης, καὶ ὕπαρχον ἐν τῷ Δορίσκῳ [b] τούτῳ
καταστήσας Μασκάμην [c] τὸν Μεγαδόστεω, τὸν δὲ
ὑπὸ Δαρείου σταθέντα καταπαύσας, ἐξήλαυνε τὸν
106 στρατὸν διὰ τῆς Θρηΐκης ἐπὶ τὴν Ἑλλάδα. Κατέ-
λιπε δὲ ἄνδρα τοιόνδε Μασκάμην γενόμενον, τῷ
[a] μούνῳ Ξέρξης δῶρα πέμπεσκε, ὡς ἀριστεύοντι πάν-
των ὅσους [b] κατέστησε αὐτὸς ἢ Δαρεῖος ὑπάρχους·

Dorisco præficitur 553 Mascames, raræ fidelitatis laude regi non minus ille probatus,

[k] *καὶ* om. F. Mox *μαχόμενοι* S. [l] *ἄριστοι εἰσὶν* S.V. [m] *ὁ νόμος* Schæfer. [n] *τῷ ὑποδ.* b. [o] *γ’ ὦν* S. [p] *ἀνθρώπων* (vel *ανων*) S.V.M. P.K.F. Paris. *ἀνδρῶν* olim. [q] Sic M.K.S.P.F. Paris. *σὺ δὲ* olim. [r] *ἅμα* M.P.K.F.b. quæ lectio minime absurda est, modo cum præcedentibus construatur. *Si enim hæc dicens, simul nugari tibi videor, in posterum tacebo.* In *ἅμα* Wesselingius latere putat *ἀλλὰ*, provocans ad Raphelium in Ep. Rom. VI. 5. Mox *θέλω* absque *σιγᾶν* M. et nescio an F. [s] *νῦν τε* F. [t] *τοι* om. S.V.

105. [a] *ἐτρέψατο*] *ἔτρεψε* M.P.K.F.b. quod non rejiciendum, intellecto *ταῦτα*, putat Schweighæuser. *τε* om. S. qui tum cum vulg. consentit in *οὐδεμίην*. F. dedit *οὐδεμίαν*. [b] *τοῦτον* S. [c] *τὸν Μεγαλόστεω* S.V. Vall. *τὸν* om. F.

106. [a] *μούνῳ* om. M.P.K.F.b. qui mox *ἀρίστῳ ὄντι* pro *ἀριστεύοντι*. [b] *αὐτὸς κατέστησε* F.S.

πέμπεσκε δὲ ἀνὰ πᾶν ἔτος· ὣς δὲ καὶ [c] Ἀρταξέρξης
2 ὁ Ξέρξεω τοῖσι Μασκαμείοισι [d] ἐκγόνοισι. [e] Κατέ-
στασαν γὰρ ἔτι πρότερον ταύτης τῆς ἐλάσιος ὕπαρχοι
3 ἐν τῇ Θρηΐκῃ καὶ [f] τοῦ Ἑλλησπόντου πανταχῇ. οὗτοι
ὦν πάντες, οἵ τε ἐκ Θρηΐκης καὶ τοῦ Ἑλλησπόντου,
πλὴν τοῦ [g] ἐν Δορίσκῳ, ὑπὸ Ἑλλήνων ὕστερον
ταύτης τῆς στρατηλασίης ἐξῃρέθησαν· τὸν δὲ ἐν
Δορίσκῳ Μασκάμην οὐδαμοί κω [h] ἐδυνάσθησαν
ἐξελεῖν, πολλῶν [i] πειρησαμένων. διὰ τοῦτο δέ οἱ τὰ
δῶρα πέμπεται παρὰ τοῦ βασιλεύοντος [k] αἰεὶ ἐν
107 Πέρσῃσι. Τῶν δὲ ἐξαιρεθέντων ὑπὸ Ἑλλήνων
οὐδένα βασιλεὺς Ξέρξης ἐνόμισε εἶναι ἄνδρα ἀγαθὸν,
εἰ μὴ Βόγην μοῦνον, τὸν ἐξ Ἠϊόνος. τοῦτον δὲ
αἰνέων οὐκ ἐπαύετο, καὶ τοὺς περιεόντας [a] αὐτοῦ
2 ἐν Πέρσῃσι παῖδας ἐτίμα [b] μάλιστα. ἐπεὶ καὶ ἄξιος
αἴνου μεγάλου ἐγένετο Βόγης· ὃς ἐπειδὴ ἐπολιορκέετο
ὑπὸ Ἀθηναίων καὶ Κίμωνος τοῦ Μιλτιάδεω, παρεὸν
αὐτῷ ὑπόσπονδον ἐξελθεῖν καὶ νοστῆσαι ἐς τὴν
Ἀσίην, οὐκ ἐθέλησε, μὴ δειλίῃ δόξειε περιεῖναι βα-
3 σιλέϊ, ἀλλὰ [c] διεκαρτέρεε ἐς τὸ ἔσχατον. ὡς δ' οὐδὲν
ἔτι φορβῆς ἐνῆν ἐν τῷ τείχεϊ, συννήσας πυρὴν [d] με-
γάλην, ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς
παλλακὰς καὶ τοὺς οἰκέτας· καὶ ἔπειτα ἐσέβαλε ἐς τὸ
4 πῦρ. μετὰ [e] δὲ ταῦτα, τὸν χρυσὸν ἅπαντα τὸν ἐκ τοῦ
ἄστεος καὶ τὸν ἄργυρον ἔσπειρε ἀπὸ τοῦ τείχεος ἐς

atque Boges, præfectus Eïonis. Quo hic facinore inclaruerit, cum Eïon ab Atheniensibus paulo post Xerxis Græcam expeditionem obsideretur.

[c] Ἀρταξέρξης b. Vall. Ἀρτοξ. S. vulg. cf. VI. 43. et 98. [d] ἐγγόνοισι b. [e] κατέστησαν F. [f] Sic M.P.K. Paris. τῷ Ἑλλησπόντῳ olim. πανταχῇ—Ἑλλησπόντου om. S.F. [g] ἐν om. F. πλὴν δὲ τοῦ ἐν Δορ. S. [h] Sic V.P.K.F. Paris. ἠδυνάσθησαν S. ἐδυνήθησαν olim. Supra οὐδαμοῖ S. [i] πειρησομ. S. [k] αἰὲν S. Ald.

107. [a] αὐτῷ S. [b] μάλιστα om. S.V. Mox ἐπαίνου S. pro αἴνου. [c] δ' ἐκαρτέρεεν S. qui supra ἠθέλησε. [d] μεγάλην om. S.V. Sed retinet Suid. in Συννήσας. [e] δὲ om. P.F.

τὸν Στρυμόνα· ποιήσας δὲ ταῦτα, [f] ἑωυτὸν [g] ἐπέβαλε
ἐς τὸ πῦρ. οὕτω μὲν οὗτος δικαίως αἰνέεται ἔτι καὶ ἐς
τόδε ὑπὸ Περσέων.

108 [a] Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου ἐπορεύετο ἐπὶ τὴν
Ἑλλάδα· τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρα-
2 τεύεσθαι ἠνάγκαζε. ἐδεδούλωτο γὰρ, ὡς καὶ πρότερόν
μοι δεδήλωται, ἡ μέχρι Θεσσαλίης πᾶσα, καὶ ἦν ὑπὸ
βασιλέα δασμοφόρος, [b] Μεγαβάζου τε καταστρεψα-
3 μένου, καὶ ὕστερον Μαρδονίου. Παραμείβετο δὲ πο-
ρευόμενος ἐκ Δορίσκου, [c] πρῶτα μὲν τὰ Σαμο-
θρηΐκια τείχεα, τῶν ἐσχάτη πεπόλισται [d] πρὸς
ἑσπέρην πόλις τῇ οὔνομά ἐστι [e] Μεσαμβρίη· ἔχεται δὲ
4 ταύτης Θασίων πόλις, Στρύμη. διὰ δέ σφεων τοῦ
μέσου [f] Λίσσος ποταμὸς διαρρέει· ὃς τότε οὐκ [g] ἀν-
τέσχε τὸ ὕδωρ παρέχων τῷ Ξέρξεω στρατῷ, ἀλλ'
5 ἐπέλιπε. ἡ δὲ χώρη αὕτη πάλαι μὲν ἐκαλέετο [h] Γαλ-
λαϊκὴ, νῦν δὲ Βριαντική· ἔστι μέντοι τῷ δικαιοτάτῳ
109 τῶν λόγων καὶ αὕτη Κικόνων. Διαβὰς δὲ τοῦ
Λίσσου ποταμοῦ τὸ ῥέεθρον [a] ἀποξηρασμένον, [b] πόλις
Ἑλληνίδας τάσδε [c] παραμείβετο, Μαρώνειαν, [d] Δί-
2 καιαν, [e] Ἄβδηρα. [f] ταύτας τε δὴ παρεξήϊε, καὶ κατὰ
[g] ταύτας δὲ, λίμνας ὀνομαστὰς [h] τάσδε· Μαρωνείης

Iter Xerxis a Dorisco 554 in Græciam versus. Adsciti in exercitum, quotquot in hoc itinere Persis obviam fierent. Castella Samothracia: Mesembria. Stryme. Lissus fluvius epotus. Briantica regio, ante Galaïca dicta.

Maronea. Dicæa. Abdera. Paludes Ismaria et Bistonia: fluvii, Traus, Compsatus,

[f] Sic P.K.S.V.F.a. καὶ ἑωυτὸν vulgo. [g] Sic F. Alii ἐσέβαλε cum S.

108. [a] Ὁ δὲ Ξέρξης S. [b] Μεγαβύζου S.V.b. cf. IV. 143. δὲ post παραμείβ. om. F. [c] πρῶτον S.V. [d] πρὸς ἑσπέρῃ S.V.P.F.a. [e] Μεσαμβρίην hinc Steph. Byz. in v. [f] Λίσος S.V.M. Vall. F.a.c. et sic nonnulli c. 109. [g] Sic P.K.S.F. Paris. ἀντέσχετο τὸ ὕ. al. conf. Eustath. ad Dionys. 538. [h] Sic S. Vall. Γαλδαϊκὴ M.P.K.b. Χαλδαϊκὴ F. Γαλαϊκὴ vulg.

109. [a] ἀποξηρασμένον M. ἀπεξηρ. P.K.V.S.F.a.c. ἀπεξηραμ. b. Ald. cf. I. 186. [b] Sic S.K. Al. πόλιας. [c] παρημείβετο F. [d] Sic Schweigh. cum Steph. Byz. Vulgo Δικαίαν. [e] Ἄβδηραν P. [f] ταῦτά τε P.K.F.b. [g] Sic F. δὲ Bekker. et vulgo om. cum S. [h] Sic S.V.P.K. Paris. ταύτας al. τάδε F. μὲν ante μεταξὺ om. d.

Nestus. Lacus ad oppidum Pistyrum piscosus et aqua salsissima, a solis jumentis exsiccatus.

μὲν μεταξὺ καὶ Στρύμης κειμένην [i]Ἰσμαρίδα· κατὰ δὲ Δίκαιαν, [k]Βιστονίδα, ἐς τὴν ποταμοὶ δύο [l]ἐσιεῖσι
3 τὸ ὕδωρ, [m]Τραῦός τε καὶ [n]Κόμψατος· κατὰ δὲ Ἄβδηρα, λίμνην μὲν [o]οὐδεμίαν ἐοῦσαν [p]οὐνομαστὴν [q]παραμείψατο Ξέρξης, ποταμὸν δὲ [r]Νέστον, ῥέοντα ἐς θάλασσαν. Μετὰ δὲ [s]ταύτας τὰς χώρας ἰὼν τὰς ἠπειρώτιδας πόλις παρήϊε· τῶν ἐν μιῇ λίμνη [t]ἐοῦσα τυγχάνει ὡσεὶ τριήκοντα σταδίων μάλιστά κῃ τὴν
4 περίοδον, ἰχθυώδης τε καὶ κάρτα ἁλμυρή. ταύτην τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξήρηνε. τῇ δὲ πόλι
5 ταύτῃ οὔνομά ἐστι [v]Πίστυρος. Ταύτας μὲν δὴ [w]τὰς πόλις, τὰς παραθαλασσίας τε καὶ Ἑλληνίδας, ἐξ

110 Thraciæ populi hunc tractum accolentes: Pæti, Cicones, Bistones, Sapæi, Dersæi, Edoni, Satræ.

110 εὐωνύμου χειρὸς ἀπέργων παρεξήϊε. Ἔθνεα δὲ [a]Θρηΐκων, δι' ὧν τῆς χώρης ὁδὸν ἐποιέετο, τοσάδε· Παῖτοι, [b]Κίκονες, Βίστονες, Σαπαῖοι, [c]Δερσαῖοι, Ἠδω-
2 νοί, [d]Σάτραι. τούτων οἱ μὲν παρὰ θάλασσαν κατοικημένοι [e]ἐν τῇσι νηυσὶ εἵποντο· οἱ δὲ αὐτῶν τὴν μεσόγαιαν οἰκέοντες, καταλεχθέντες τε ὑπ' ἐμεῦ, πλὴν Σατρέων οἱ ἄλλοι πάντες [f]πεζῇ ἀναγκαζόμενοι εἵ-

111 Soli Satræ cur liberta-

111 ποντο. Σάτραι δὲ οὐδενός κω ἀνθρώπων ὑπήκοοι 555
ἐγένοντο, ὅσον ἡμεῖς ἴδμεν· ἀλλὰ διατελεῦσι τὸ μέχρι

[i] Citat Steph. Byz. in Ἴσμαρος. [k] Βιστονίδα S.K. Βιστορίδα F. Βιστων. Ald. al. [l] Sic Schweigh. ἐσεῖσι P.F. Paris. Wessel. εἰσεῖσι olim. ἐσείσιτο, absque ὕδωρ S. [m] Στραῦος M.F.b. Στράβος K. [n] Κόμψαντος M.K.b. Κόψαντος S. Vall. [o] οὐδεμίην] μηδεμίαν b. οὐδεμίαν S. [p] ὀνομαστ. F. [q] παρημείψ. F. [r] Μέστον S.b. et sic numi cum mss. Plinii Solini et Martiani teste Salmas. ad Solin. p. 112. Vulg. tamen præfert Wesseling. citans c. 126. et Schurzfleisch. ad Diodor. II. p. 642. [s] ταῦτα F.b. [t] τυγχάνει ἐοῦσα ὅση τρ. S. [v] Sic S.K.F.a.c. Πύστιρος M.P. Πίσσυρος Ald. Πίσυρος b. Supra ἀνεξήραινε S. [w] τὰς πόλις om. S. τὰς πόλιας F. et paullo ante πόλει.

110. [a] Θρηΐσκων S. qui mox om. ὁδόν. [b] Κίκονες, Βίστονες, Σαπαῖοι om. S. Κινόνες F. [c] Δερσαῖοι hinc Steph. Byz. in Δεραῖοι. [d] Σάστραι P. cf. Steph. Byz. [e] Sic M.S.K.P.F. Paris. ἐν vulgo om. [f] Sic S.V.M.K.P. Paris. πεζοὶ olim. πεζῇ F.

ἐμεῦ αἰεὶ ἐόντες ἐλεύθεροι, μοῦνοι Θρηΐκων. οἰκέουσί
τε γὰρ οὔρεα ὑψηλὰ, ἴδησί τε παντοίῃσι καὶ [a] χιόνι
2 συνηρεφέα, καὶ εἰσὶ τὰ πολέμια ἄκροι. οὗτοι οἱ τοῦ
Διονύσου τὸ μαντήϊόν εἰσι [b] ἐκτημένοι. τὸ δὲ μαν-
τήϊον τοῦτο ἔστι μὲν ἐπὶ τῶν οὐρέων τῶν ὑψηλοτά-
των· [c] Βησσοὶ δὲ τῶν Σατρέων εἰσὶ οἱ προφητεύοντες
τοῦ ἱροῦ, πρόμαντις δὲ ἡ [d] χρέουσα, κατάπερ ἐν Δελ-
φοῖσι, καὶ οὐδὲν ποικιλώτερον.

tem et tunc et alias semper retinuerint. Bacchi apud eos oraculum, cujus prophetæ Bessi.

112 Παραμειψάμενος δὲ ὁ Ξέρξης τὴν [a] εἰρημένην,
δεύτερα [b] τούτων παραμείβετο τείχεα τὰ Πιέρων·
[c] τῶν καὶ ἐνὶ Φάγρης ἐστὶ οὔνομα, καὶ ἑτέρῳ Πέρ-
2 γαμος. ταύτῃ μὲν δὴ [d] παρ' αὐτὰ τὰ τείχεα τὴν ὁδὸν
ἐποιέετο, ἐκ δεξιῆς χερὸς τὸ Πάγγαιον οὖρος ἀπέρ-
γων, ἐὸν μέγα τε καὶ ὑψηλόν· ἐν τῷ χρύσεά τε καὶ
ἀργύρεα ἔνι μέταλλα, τὰ νέμονται [e] Πίερές τε καὶ
113 Ὀδόμαντοι, καὶ μάλιστα Σάτραι. Ὑπεροικέοντας δὲ
τὸ Πάγγαιον πρὸς βορέω ἀνέμου Παίονας, Δόβηράς
τε καὶ [a] Παιόπλας παρεξιὼν, ἤϊε πρὸς ἑσπέρην· ἐς ὃ
ἀπίκετο ἐπὶ ποταμόν τε Στρυμόνα καὶ πόλιν Ἠϊόνα,
τῆς ἔτι ζωὸς ἐὼν ἦρχε Βόγης, τοῦ περ [b] ὀλίγῳ πρό-
2 τερον [c] τούτων λόγον ἐποιεύμην. ἡ δὲ γῆ αὕτη ἡ περὶ

Castella Pierum. Mons Pangæus, ejusque metalla, propria Pierum, Odomantorum et Satrarum.

Pæones. Doberes. Pæoplæ. Strymon fluvius, ad eumque sita Eion. Regio Pangæo contermina Phyllis dicta. Equi

111. [a] νιφάσι] χιόνι S.M.V.P.K.F.a.b. quod, ut omnium mss. lectionem, etsi Wesselingio scholion olet, reposui. Supra Θρηκῶν S. et ὄρεα. Item τε om. post ἴδησι. [b] κεκτημένοι F.b. Mox ὀρέων S. [c] Βισσοὶ S. [d] χρέωσα S.V.P.K.F.b. quod nihilo deterius, a themate χράω, χράουσα, χρῶσα, χρέωσα, quemadmodum ὁρέωντες, ὁρέωσι pro ὁρῶσι, et similia. Vid. I. 96. 99. 138. SCHWEIGH.

112. [a] εἰρημένην χώρην S. teste Galeo. Atqui S. χώρην ignorat. [b] τούτων παρημ. F. [c] Sic P.K. Leopard. Em. VIII. 1. Gronov. Wessel. τῶν καὶ Νιφάγρης S.F. Paris. edd. vett. τῶν δὲ ἐνὶ Φ. Schæfer. [d] παρὰ τὰ F.b. Mox χειρὸς et ὄρος S.F. [e] Πίκρες S.

113. [a] ὅπλας M.P.K.F.b. cf. V. 15. [b] Sic M.P.K.F. ὀλίγον S. al. ἐς ὃ ἀπίκετο—ἑσπέρην om. c. [c] τοῦτον Ald. Mox παρὰ τὸ Παγ. Steph. Byz. v. Φυλλίς.

candidi Strymoni a magis immolati.

τὸ Πάγγαιον ὄρος, καλέεται [d] Φυλλίς· κατατείνουσα, τὰ μὲν πρὸς ἑσπέρην, ἐπὶ ποταμὸν Ἀγγίτην, ἐκδιδόντα ἐς τὸν Στρυμόνα· [e] τὰ δὲ πρὸς μεσαμβρίην, τείνουσα ἐς αὐτὸν τὸν Στρυμόνα, ἐς τὸν οἱ Μάγοι [f] ἐκαλλιρέοντο, σφάζοντες ἵππους λευκούς.

114 Ennea Hodoi Edonorum. Ibi pueri a Persis vivi defossi: cujus superstitionis Persicæ aliud exemplum affertur.

Φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν, καὶ ἄλλα [a] πολλὰ πρὸς τούτοισι, ἐν Ἐννέα Ὁδοῖσι [b] τῇσι Ἠδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας, [c] τὸν Στρυμόνα εὑ- 556
2 ρόντες ἐζευγμένον. Ἐννέα δὲ Ὁδοὺς πυνθανόμενοι τὸν χῶρον τοῦτον καλέεσθαι, τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθένους ἀνδρῶν τῶν [d] ἐπιχωρίων
3 ζώοντας κατώρυσσον. [e] Περσικὸν δὲ τὸ ζώοντας κατορύσσειν· ἐπεὶ καὶ Ἄμηστριν, τὴν Ξέρξεω γυναῖκα, πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ [f] Περσέων παῖδας ἐόντων ἐπιφανέων ἀνδρῶν ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ [g] γῆν λεγομένῳ εἶναι θεῷ ἀντιχαρίζεσθαι κατορύσσουσαν.

115 Argilus. Bisaltia regio. Campus Syleus. Stagira. Acanthus. Via, per quam exercitus iter fecit, a Thracibus religiose culta.

Ὡς δὲ ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο ὁ στρατὸς, ἐνθαῦτα πρὸς ἡλίου δυσμέων ἐστὶ αἰγιαλὸς, ἐν τῷ οἰκημένην Ἄργιλον πόλιν Ἑλλάδα παρεξήϊε. αὕτη δὲ, [a] καὶ ἡ κατύπερθε ταύτης, καλέεται Βισαλτίη.
2 ἐνθεῦτεν δὲ, κόλπον τὸν ἐπὶ Ποσιδηΐου ἐξ ἀριστερῆς χερὸς ἔχων, ἤϊε διὰ Συλέος πεδίου καλεομένου, Στάγειρον πόλιν Ἑλλάδα παραμειβόμενος, καὶ ἀπίκετο ἐς Ἄκανθον· ἅμα ἀγόμενος τούτων ἕκαστον τῶν

[d] Sic Steph. Byz. in v. M.P.K. Paris. Φυλλὶν Eustath. Il. p. 359, 39=272, 25. *Phyllis* Valla. Φυλὶς F. Φιλλὶς olim cum S. [e] τὰ δὲ—Στρυμόνα om. F. [f] Sic K. Schæfer. cf. 167. ἐκαλλιερέοντο S. vulg. Mox φράζοντες F.

114. [a] πολλὰ om. S. [b] Sic S. Vulgo τοῖσι. cf. II. 35. 80. Tum ἡδονῶν S. [c] τὸν Στρυμόνα habet S. in marg. [d] ἐγχωρ. S.V. [e] Περσικὸν—κατορύσσειν om. M.P.K.F. Mox γηρᾶσαν Buttmannus. [f] Sic P.S.V.K.F. Schæfer. ἐόντων ἐπιφανέων Περσέων παῖδας absque ἀνδρῶν vulg. [g] γῆς P.K.F.a.

115. [a] καὶ om. F. qui mox χειρὸς et τούτων. In his concordat S.

ἐθνέων καὶ τῶν περὶ τὸ Πάγγαιον ὄρος οἰκεόντων, ὁμοίως καὶ τῶν πρότερον κατέλεξα· τοὺς μὲν παρὰ θάλασσαν ἔχων οἰκημένους [b] ἐν νηυσὶ στρατευομέ-
3 νους, τοὺς δ' ὑπὲρ θαλάσσης, πεζῇ ἑπομένους. τὴν δὲ ὁδὸν ταύτην, τῇ βασιλεὺς Ξέρξης τὸν στρατὸν ἤλασε, οὔτε συγχέουσι Θρήϊκες, οὔτ' ἐπισπείρουσι,
116 σέβονταί τε μεγάλως τὸ μέχρι ἐμεῦ. Ὡς δὲ ἄρα ἐς τὴν Ἄκανθον ἀπίκετο, ξεινίην τε ὁ [a] Πέρσης τοῖσι Ἀκανθίοισι προεῖπε, καὶ ἐδωρήσατό σφεας ἐσθῆτι Μηδικῇ, ἐπαίνεέ τε, ὁρέων [b] αὐτοὺς προθύμους ἐόντας

Acanthii laudati a Xerxe honoribusque aucti.

117 ἐς τὸν πόλεμον, καὶ τὸ ὄρυγμα [c] ἀκούων. Ἐν Ἀκάνθῳ δὲ ἐόντος Ξέρξεω, συνήνεικε ὑπὸ νούσου ἀποθανεῖν τὸν ἐπεστεῶτα τῆς [a] διώρυχος [b] Ἀρταχαίην, δόκιμον ἐόντα παρὰ Ξέρξῃ, καὶ γένος Ἀχαιμενίδην, μεγάθεϊ τε μέγιστον ἐόντα Περσέων· ἀπὸ γὰρ πέντε πηχέων βασιληΐων [c] ἀπέλιπε τέσσερας δακτύλους· φωνέοντά
2 τε μέγιστον ἀνθρώπων. ὥστε Ξέρξεα, συμφορὴν ποιησάμενον μεγάλην, ἐξενεῖκαί τε αὐτὸν [d] κάλλιστα
3 καὶ θάψαι· [e] ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή. τούτῳ δὲ τῷ Ἀρταχαίῃ [f] θύουσι Ἀκάνθιοι ἐκ θεοπροπίου ὡς ἥρωϊ, ἐπονομάζοντες τὸ οὔνομα. βασιλεὺς μὲν δὴ 557
Ξέρξης, ἀπολομένου Ἀρταχαίεω, ἐποιέετο συμφορήν.

Acanthi moritur Artachææs nobilis Persa, omnium procerissimus ac voce stentorea. Mortuum Acanthii ut heroëm colunt.

[b] ἐν νηῦσι om. S.

116. [a] Ξέρξης S.P.V. Vall. F.a. Bekker. cf. 133. [b] Sic S.V. καὶ τοὺς alii. [c] ἀκούων ἤδη γενόμενον Galeus ex S. Istud adsumentum nullo in codice Græco reperitur. Videturque Galeus imprudens *Arch.* scripsisse pro *Valla:* nam in hujus quidem Latinis est, *quodque audiret fossam esse absolutam.* Cæterum utique in Græcis tale quidpiam malles adjectum, v. c. εὐτρεπὲς εἶναι. SCHWEIGH. Erravit certe Galeus. ἤδη γενόμενον ignorat S.

117. [a] διώρυγος Gronov. ὑπὸ νόσου S. post διώρυχος. [b] Ἀρταχαῖον Tzetz. Chil. I. 918. vid. 21. [c] ἀπέλειπε F. qui mox Ξέρξην. [d] κάλλιστα om. S. Habent Eustath. p. 1183, 42=1250, 38. aliique. [e] ἐτυμβόχεε F. [f] Ἀκάνθ. θύουσι F.

118 Οἱ δὲ ὑποδεκόμενοι Ἑλλήνων τὴν στρατιὴν, καὶ
δειπνίζοντες [a] Ξέρξεα, ἐς πᾶν κακοῦ [b] ἀπικέατο, οὕτω
ὥστε ἀνάστατοι ἐκ τῶν [c] οἰκίων [d] ἐγίνοντο· ὅκου [e] γε
Θασίοισι ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων τῶν σφε-
τέρων δεξαμένοισι τὴν Ξέρξεω στρατιὴν καὶ [f] δειπνί-
σασι Ἀντίπατρος ὁ Ὀργέος ἀραιρημένος, τῶν ἀστῶν
ἀνὴρ δόκιμος ὁμοῖα τῷ μάλιστα, ἀπέδεξε ἐς τὸ δεῖ-
πνον τετρακόσια τάλαντα ἀργυρίου τετελεσμένα. [A] Ὡς
119 δὲ παραπλησίως καὶ ἐν τῇσι ἄλλῃσι πόλισι οἱ ἐπε-
στεῶτες ἀπεδείκνυσαν τὸν λόγον. τὸ γὰρ δεῖπνον
[a] τοιόνδε τι [b] ἐγίνετο, οἷα ἐκ πολλοῦ χρόνου [c] προει-
2 ρημένον, καὶ περὶ πολλοῦ ποιεύμενον. τοῦτο μὲν, ὡς
[d] ἐπύθοντο τάχιστα τῶν κηρύκων τῶν περιαγγελλόν-
των, [e] δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοὶ,
ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν [f] πάντες ἐπὶ μῆνας
συχνούς· τοῦτο δὲ, κτήνεα [g] σιτεύεσκον, ἐξευρίσκον-
τες τιμῆς τὰ κάλλιστα, ἔτρεφόν τε ὄρνιθας χερσαίους
καὶ λιμναίους, ἔν τε οἰκήμασι καὶ λάκκοισι, ἐς ὑπο-
δοχὰς τοῦ στρατοῦ· τοῦτο δὲ, χρύσεά τε καὶ ἀργύρεα
ποτήριά τε καὶ [h] κρητῆρας ἐποιεῦντο, καὶ τὰ ἄλλα
3 ὅσα ἐπὶ τράπεζαν [i] τιθέαται πάντα. ταῦτα μὲν δὴ
αὐτῷ τε βασιλέϊ καὶ τοῖσι ὁμοσίτοισι μετ᾽ ἐκείνου
ἐπεποίητο· τῇ δὲ ἄλλῃ στρατιῇ, τὰ ἐς φορβὴν μοῦνα
4 τασσόμενα. ὅκως δὲ ἀπίκοιτο ἡ στρατιὴ, σκηνὴ μὲν

Græcorum civitatibus, quas Xerxes cum exercitu transiret, cœnæ sumtuosissimæ imperatæ [c. 32.], hisque opes illarum attritæ.

118. [a] Ξέρξην F.S. [b] ἀπίκατο S.V.K.F. suprasc. ubi in textu ἀπίκετο. Exscripsit Athenæus IV. p. 146. A. [c] οἴκων P.K. Athen. F.a. [d] ἐγένοντο b.S. [e] γε om. P.K.F.b. Athen. [f] δειπνήσ. b.

119. [a] τοιόνδέ τοι S. τοιόνδε K. [b] Sic F.a.b. ἐγένετο S. vulg. Bekker. [c] προειρημένου P. Mox ποιευμένων K.F.b. [d] ἐπύθοντο τῶν κηρύκων μάλιστα S.V. [e] δασαμένοισι τῶν ἐν S. Mox οἱ ἀστοὶ om. K. [f] πάντας b. ἐπὶ om. S. [g] Sic S.V. ἐσίτευον F.a.c. al. [h] Sic S.P.F. Paris. κρητῆρες olim. [i] τιθέαται M.K.P.F. τίθεται a. Ald. al. τίθεται. πάντα μὲν ταῦτα τῷ τε (αὐτῷ τε V.) βασ. S.V. Vall. Mox δὴ om. P.F.a. Bekker.

ἔσκε πεπηγυῖα ἑτοίμη, ἐς τὴν αὐτὸς σταθμὸν [k] ποιε-
έσκετο Ξέρξης· ἡ δὲ ἄλλη στρατιὴ [l] ἔσκε ὑπαίθριος. 558
5 ὡς δὲ δείπνου [m] γίνοιτο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον
πόνον· οἱ δὲ, ὅκως πλησθέντες νύκτα αὐτοῦ ἀγάγοιεν,
[n] τῇ ὑστεραίῃ τήν τε σκηνὴν ἀνασπάσαντες, καὶ τὰ
ἔπιπλα πάντα λαβόντες, οὕτω ἀπελαύνεσκον, λεί-
120 ποντες οὐδὲν, ἀλλὰ φερόμενοι. Ἔνθα δὴ Μεγακρέ-
οντος, ἀνδρὸς Ἀβδηρίτεω, ἔπος εὖ εἰρημένον ἐγένετο,
ὃς [a] συνεβούλευσε Ἀβδηρίτῃσι [b] πανδημεὶ, αὐτοὺς
καὶ γυναῖκας, ἐλθόντας ἐς τὰ σφέτερα ἱρὰ, ἵζεσθαι
[c] ἱκέτας τῶν θεῶν, παραιτεομένους καὶ [d] τὸ λοιπόν
σφι [e] ἀπαμύνειν τῶν ἐπιόντων κακῶν τὰ ἡμίσεα· τῶν
τε [f] παροιχομένων ἔχειν σφι μεγάλην χάριν, ὅτι βα-
σιλεὺς Ξέρξης οὐ δὶς ἑκάστης ἡμέρης ἐνόμισε σῖτον
2 αἱρέεσθαι. παρέχειν [g] γὰρ ἂν Ἀβδηρίτῃσι, εἰ καὶ
ἄριστον προείρητο ὁμοῖα τῷ δείπνῳ παρασκευάζειν, ἢ
μὴ ὑπομένειν [h] Ξέρξεα ἐπιόντα, ἢ καταμείναντας,
κάκιστα πάντων ἀνθρώπων [i] διατριβῆναι. Οἱ μὲν δὴ
πιεζόμενοι, [k] ὁμοίως τὸ ἐπιτασσόμενον ἐπετέλεον.

De iis dictum Megacreontis Abderitæ.

121 Ξέρξης δὲ ἐκ τῆς Ἀκάνθου, ἐντειλάμενος τοῖσι
στρατηγοῖσι τὸν ναυτικὸν στρατὸν ὑπομένειν ἐν
Θέρμῃ, ἀπῆκε ἀπ' ἑωυτοῦ [a] πορεύεσθαι τὰς νέας·
Θέρμῃ δὲ τῇ ἐν τῷ Θερμαίῳ κόλπῳ οἰκημένῃ, ἀπ' ἧς

Quot agminibus copiæ pedestres, classe comitante, iter inde a Dorisco usque

[k] ἐποιέετο S.V. ποιέσκετο F. Bekker. [l] ἔσκε om. P.K.F.b. [m] ἐγίνετο F. Mox πόνον ἔχεσκον S. [n] ἐν τῇ ὑστ. M.P.K.F. Gronov. Wessel.

120. [a] συνεβούλευε b. ξυνεβούλευεν F. Supra Μετακρέοντος S. [b] πανδημὶ f. [c] ἱκέτας, τὸν θεὸν παραιτ. b. [d] Sic S.V.K.P.M.f. τῶν λοιπῶν b.c. al. [e] ἀπαμυνεῖν Ald. F.a.f.S. [f] παρεχομ. S. Ald. [g] γὰρ om. K. [h] Ξέρξην F.f.S. [i] ἐκτριβῆναι f. [k] ὅμως cum Reiskio Schæferus ad Gregor. p. 631. ut forte legerat Valla. Et sic ed. Bekker. Vulgatum *consimiliter, uti reliquæ civitates*, interpretatur Wesseling.

121. [a] πορεύεσθαι τὰς νέας S.K.P.F. Vulgo τὰς ν. π.

Acanthum fecerint. Acantho classis in sinum Thermaicum præmissa,

καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει· ταύτῃ γὰρ
2 ἐπυνθάνετο [b] συντομώτατον εἶναι. Μέχρι μὲν γὰρ
Ἀκάνθου ὧδε τεταγμένος ὁ στρατὸς ἐκ Δορίσκου τὴν
ὁδὸν ἐποιέετο. [c] τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος
πάντα τὸν πεζὸν [d] στρατὸν, μίαν αὐτέων ἔταξε παρὰ
θάλασσαν ἰέναι ὁμοῦ τῷ ναυτικῷ· ταύτης μὲν δὴ
3 ἐστρατήγεον Μαρδόνιός τε καὶ Μασίστης. ἑτέρη δὲ
τεταγμένη ἤϊε τοῦ στρατοῦ [e] τριτημορὶς τὴν μεσό-
γαιαν, τῆς ἐστρατήγεον [f] Τριτανταίχμης τε καὶ [g] Γέρ-
γις. ἡ δὲ τρίτη τῶν μοιρέων, μετ' ἧς ἐπορεύετο αὐτὸς
ὁ Ξέρξης, ἤϊε μὲν τὸ μέσον αὐτέων, στρατηγοὺς δὲ
παρείχετο [h] Σμερδομένεά τε καὶ Μεγάβυζον.

122

quæ loca attigerit. Assa. Pilorus. Singus. Sarte. Ampelus promontorium. Torone. Galepsus. Sermyle. Mecyberna. Olynthus. Sithonia regio.

Ὁ μέν νυν ναυτικὸς στρατὸς, ὡς ἀπείθη ὑπὸ
Ξέρξεω, καὶ [a] διεξέπλωσε τὴν διώρυχα τὴν ἐν τῷ
Ἄθῳ γενομένην, διέχουσαν δὲ ἐς κόλπον ἐν τῷ
[b] Ἄσσα τε πόλις καὶ [c] Πίλωρος καὶ Σίγγος καὶ 559
[d] Σάρτη οἴκηνται· ἐνθεῦτεν, ὡς [e] καὶ ἐκ τουτέων τῶν
πολίων στρατιὴν παρέλαβε, [f] ἔπλεε [g] ἀπιέμενος ἐς τὸν
2 Θερμαῖον κόλπον. κάμπτων δὲ Ἄμπελον, τὴν [h] Το-
ρωναίην ἄκρην, παραμείβετο Ἑλληνίδας τάσδε πόλις,
ἐκ τῶν νέας τε καὶ στρατιὴν [i] παρελάμβανε, Τορώνην,
Γαληψὸν, Σερμύλην, [k] Μηκύβερναν, Ὄλυνθον. ἡ

[b] συντομώτερον S.V. Valla. [c] ἐς τρεῖς Suid. in Δάσασθαι. [d] στρατὸν om. S.V. Bekker. cf. III. 25. IV. 128. Mox αὐτῶν S. qui αὐτέων post paulo. [e] Suid. in v. [f] Sic S.V.P.K.F. Paris. Vall. Τριντατ. Ald. et al. [g] Γέργις M.P.K.F.a.c. Γέρτις S.V. Γέρτης b. Σέργις al. Mox ὁ ante Ξέρξης om. S. [h] Σμερδομένεα M.P.K.V.S. Vall. F. Paris. Vide c. 82. Σμερδόνεα olim. Mox τε om. S.

122. [a] Sic M.K.P. διέπλωσε F.a.c.S. Ald. Supra νυν om. S. [b] Steph. Byz. in v. [c] Sic S. Vall. Steph. Byz. Πίδλωρος K. Πίδωρος a.b.c.F. Ald. Πίλωρος M. [d] Σάρτη M.P.K.F.b.d. Steph. Byz. Σάργη S.a.c. al. [e] καὶ om. F. [f] ἔπλεε—τὴν om. F. [g] Sic M.P.K. nescio an a.b.c. ἀπικόμενος S.d. al. probante Wesselingio. [h] Κορωναίην K.P.F.b. Tum Ἑλληνίδας τε S. [i] παρελάμβανε S.K.P.V.F.d. παρέλαβε a.b.c. al. [k] Μηκύρενναν S. Μηκύβενναν V. Supra Γαληψῶν S.

123 μέν νυν χώρη αὕτη [1] Σιθωνίη καλέεται. Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Ξέρξεω, συντάμνων ἀπ' Ἀμπέλου ἄκρης ἐπὶ [a] Καναστραῖον ἄκρην, τὸ δὴ πάσης τῆς Παλλήνης ἀνέχει μάλιστα, ἐνθεῦτεν νέας τε καὶ στρατιὴν παρελάμβανε ἐκ Ποτιδαίης, καὶ [b] Ἀφύτιος, καὶ Νέης Πόλιος, καὶ Αἰγῆς, καὶ Θεράμβω, καὶ Σκι-
2 ώνης, καὶ Μένδης, καὶ Σάνης. αὗται γάρ εἰσι αἱ τὴν νῦν Παλλήνην, πρότερον δὲ [c] Φλέγρην καλεομένην, νεμόμεναι. Παραπλέων δὲ καὶ ταύτην τὴν χώρην, ἔπλεε ἐς τὸ προειρημένον, παραλαμβάνων στρατιὴν καὶ ἐκ τῶν προσεχέων πολίων [d] τῇ Παλλήνῃ, ὁμουρεουσέων δὲ τῷ Θερμαίῳ κόλπῳ· τῇσι οὐνόματά ἐστι τάδε, Λίπαξος, [e] Κώμβρεια, Λίσαι, Γίγωνος, Κάμψα,
3 Σμίλα, [f] Αἴνεια. ἡ δὲ τουτέων χώρη [g] Κροσσαίη ἔτι καὶ ἐς τόδε καλέεται. Ἀπὸ δὲ Αἰνείης, ἐς τὴν ἐτελεύτων καταλέγων τὰς [h] πόλις, ἀπὸ ταύτης ἤδη ἐς αὐτόν τε τὸν Θερμαῖον κόλπον ἐγίνετο τῷ ναυτικῷ
4 στρατῷ [i] ὁ πλόος, καὶ γῆν τὴν Μυγδονίην. πλέων δὲ ἀπίκετο ἔς τε τὴν προειρημένην Θέρμην, καὶ [k] Σινδόν τε πόλιν καὶ Χαλέστρην, ἐπὶ τὸν Ἀξιὸν ποταμόν· ὃς οὐρίζει χώρην τὴν Μυγδονίην τε καὶ [l] Βοττιαιΐδα, τῆς ἔχουσι τὸ παρὰ θάλασσαν στεινὸν χωρίον πόλις [m] Ἴχναι τε καὶ Πέλλα.

Promontorium Canastræum. Potidæa. Aphytis. Neapolis. Ægæ. Therambus. Scione. Mende. Sane. Pallene regio, olim Phlegre dicta. Lipaxus. Combrea. Lisæ. Gigonus. Campsa. Smila. Ænea. Terra Crossæa. Therma. Sindus. Chalestra. Axius fluvius. Ichnæ. Pella.

124 Ὁ μὲν δὴ ναυτικὸς στρατὸς, αὐτοῦ [a] περὶ Ἀξιὸν ποταμὸν, [b] καὶ πόλιν Θέρμην, καὶ τὰς μεταξὺ [c] πόλις

Eodem pedestres copiæ per me-

[1] Σιθονίη S.

123. [a] Καναστραῖον S. Scylax p. 62. Gronov. ed. Καναστραίην F.a.b.c. vulg. Schæfer. Mox ἐνθεῦτέν τε νέας S. [b] Ἀφύστιος S.V. Scylax. *Amphystie* Vall. [c] Φλέγγην b. [d] τῇ Παλλήνῃ om. S. qui ὁμορρεουσέων. [e] Κωμβρία F. [f] Αἰνία K. [g] Κρησαίη b. Γλωσσαίη F. qui om. καὶ post ἔτι. [h] πόλεες F.S. Mox τε post αὐτὸν om. S. [i] ὁ om. F.S. Ald. [k] Σίνθον Steph. Byz. in v. [l] Βοττηνίδα S.V. qui ἧς pro τῆς. [m] Cf. Steph. Byz. in v. Ἴχνη F.

124. [a] Sic M.P.K.F.V.S.A.B. Vall. παρὰ Ald. al. [b] καὶ om. F. [c] πόλιας F. qui mox βασιλέα. Hoc item S.

diam continentem tendunt. Echidorus fluvius.

2 τουτέων, περιμένων βασιλέα, ἐστρατοπεδεύετο. Ξέρξης δὲ καὶ ὁ πεζὸς στρατὸς ἐπορεύετο ἐκ τῆς Ἀκάνθου, τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ, βουλόμενος ἐς τὴν

3 Θέρμην ἀπικέσθαι. ἐπορεύετο δὲ διὰ τῆς Παιονικῆς καὶ Κρηστωνικῆς ἐπὶ ποταμὸν [d] Ἐχείδωρον, ὃς ἐκ Κρηστωναίων ἀρξάμενος, ῥέει διὰ Μυγδονίης χώρης, καὶ [e] ἐξίει παρὰ τὸ ἕλος τὸ ἐπ' Ἀξίῳ ποταμῷ.

125 Cameli a leonibus dilaniati.

Πορευομένῳ δὲ ταύτῃ, [a] λέοντές οἱ ἐπεθήκαντο τῇσι 560 σιτοφόροισι καμήλοισι. [b] καταφοιτέοντες γὰρ οἱ λέοντες τὰς νύκτας, καὶ λείποντες τὰ σφέτερα ἤθεα, ἄλλου μὲν οὐδενὸς ἅπτοντο οὔτε ὑποζυγίου, οὔτε ἀνθρώπου, οἱ δὲ τὰς καμήλους ἐκεράϊζον μούνας.

2 [c] θωμάζω δὲ τὸ αἴτιον, ὅ τι κοτὲ ἦν, τῶν ἄλλων τὸ ἀναγκάζον ἀπεχομένους τοὺς λέοντας τῇσι καμήλοισι ἐπιτίθεσθαι· τὸ μήτε πρότερον [d] ὀπώπεσαν θηρίον, μήτ' ἐπεπειρέατο αὐτοῦ.

126 Tauri silvestres in iisdem locis. In qua Europæ parte leones reperiantur.

Εἰσὶ δὲ κατὰ ταῦτα τὰ χωρία καὶ λέοντες πολλοί, καὶ βόες ἄγριοι, τῶν τὰ κέρεα ὑπερμεγάθεά ἐστι, τὰ [a] ἐς Ἕλληνας φοιτέοντα.

2 οὖρος δὲ τοῖσι λέουσί ἐστι ὅ τε [b] δι' Ἀβδήρων ῥέων ποταμὸς Νέστος, καὶ ὁ δι' Ἀκαρνανίης ῥέων Ἀχε-

3 λῷος. οὔτε γὰρ τὸ πρὸς τὴν ἠῶ τοῦ Νέστου οὐδαμόθι πάσης τῆς ἔμπροσθεν Εὐρώπης ἴδοι τις ἂν [c] λέοντα, οὔτε πρὸς ἑσπέρης τοῦ Ἀχελῴου ἐν τῇ [d] ἐπιλοίπῳ ἠπείρῳ· ἀλλ' ἐν τῇ μεταξὺ τούτων τῶν ποταμῶν γίνονται.

127 Ὡς δὲ ἐς τὴν Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε

[d] Sic ed. Wessel. cum Vossio ad Scylac. p. 61. coll. cap. 127. Χείδωρον libri. [e] ἐξήει F.

125. [a] Citat Ælian. Anim. XVII. 36. [b] καταφοιτέωντες F. [c] θωμάζω K.S.F. [d] ὀπώθεσαν F.

126. [a] Sic S.V.K.P.F.a. ἐς τοὺς Ἕ. alii. [b] δι' om. S. et mox om. ῥέων, ut Vall. [c] λέοντα οὐδαμοῦ S. Mox τῆς Ἀχελώου S. [d] ἐπιλοίπῳ S.V.P.K.F. cf. VI. 33. ὑπολοίπῳ vulg.

αὐτοῦ τὴν στρατιήν. ἐπέσχε δὲ ὁ στρατὸς αὐτοῦ στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν χώρην [a]τοσσήνδε· ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδονίης, μέχρι Λυδίεώ τε ποταμοῦ καὶ [b]Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιΐδα τε καὶ Μακεδονίδα,
2 ἐς τὠυτὸ ῥέεθρον τὸ ὕδωρ συμμίσγοντες. ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι τοῖσι [c]χωρίοισι οἱ βάρβαροι. τῶν δὲ καταλεχθέντων τούτων ποταμῶν, ἐκ [d]Κρηστωναίης ῥέων [e]Ἐχείδωρος μοῦνος οὐκ ἀντέ-
128 χρησε τῇ στρατιῇ πινόμενος, ἀλλ' ἐπέλιπε. Ξέρξης δὲ ὁρέων ἐκ τῆς Θέρμης οὔρεα τὰ [a]Θεσσαλικὰ, τόν τε Ὄλυμπον καὶ τὴν Ὄσσαν, μεγάθεΐ [b]τε ὑπερμήκεα ἐόντα, διὰ μέσου τε αὐτῶν αὐλῶνα στεινὸν πυνθανόμενος εἶναι, δι' οὗ ῥέει ὁ Πηνειὸς, ἀκούων τε [c]εἶναι ταύτῃ ὁδὸν ἐς Θεσσαλίην φέρουσαν, ἐπεθύμησε πλώσας θεήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ· ὅτι τὴν ἄνω ὁδὸν ἔμελλε ἐλᾶν διὰ Μακεδόνων, τῶν κατύπερθε οἰκημένων, ἐς [d]Περραιβοὺς παρὰ [e]Γόννον πόλιν· ταύτῃ γὰρ [f]ἀσφαλέστατον ἐπυνθάνετο εἶναι.
2 ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα. [g]ἐσβὰς ἐς Σιδω-

Castra Persarum ad Thermam. Fluvii Lydias et Haliacmon. Echidorus epotus.

Xerxes invisit Penei ostia.

127. [a] Sic M.K.S.P.V.a. τοσόνδε c. al. cf. Dorvill. Charit. p. 373=427. Supra ὁ ante Ξέρξης om. S. et τὴν παραθάλασσαν στρατοπεδευόμενος. [b] Ἀνίκμονος F. textu. Supra πόλεος S. [c] Sic mss. χώροισι edd. [d] Sic P.K.F.c.b.d. Κρηστωνέης M. Κρηστωναίων S. V.a. Κρηστωνέων Ald. [e] Sic S.V. Vall. Χείδωρος al.

128. [a] Θεσσαλικὰ P.K.V.S.F. Paris. Θετταλικὰ al. et Eustath. p. 337, 1=255, 4. Supra ὄρεα S. [b] τε om. S.V. Eustath. qui μεγέθη ὑπερμ. [c] ταύτῃ εἶναι F. ταῦτα εἶναι b. εἶναι ταύτην τὴν d. [d] Περραιβοὺς S.P.K.V. Ald. Paris. Vall. Περαιβοὺς edd. rec. Τετταραιβοὺς F. Eustath. p. 335=254, 10. Ἰστέον δὲ ὅτι οἱ μὲν καθ' Ὅμηρον καὶ οἱ νεώτεροι ἐν ἑνὶ ρ' γράφουσι τοὺς Περραιβούς· ἕτεροι δέ τινες παλαιοὶ ἐδίπλαζον τὸ ἀμετάβολον. Καὶ λέγει ὁ τὰ ἐθνικὰ γράψας, ὅτι Αἰολεῖς ὄντες οἱ Περραιβοὶ ἐδίπλουν τὰ σύμφωνα, Περραιβοὺς ἑαυτοὺς καλοῦντες, καὶ πόλιν Γόννον παρ' αὐτοῖς οὖσαν, καὶ γόννατα, καὶ ἄλλα τινα. Sed cf. Valcken. ad cap. 132. [e] Γόνον S. Vall. [f] ἀσφαλέστατα b. [g] ἐσβὰς δ' S. Schæfer. Mox νέαν S.

νίην νέα, ἐς [h] τήνπερ [i] ἐσέβαινε αἰεὶ [k] ὅκως τι ἐθέλοι
τοιοῦτο ποιῆσαι, ἀνέδεξε σημήϊον καὶ τοῖσι ἄλλοισι
ἀνάγεσθαι, καταλιπὼν αὐτοῦ τὸν πεζὸν στρατόν. 561
3 ἐπεὶ δὲ ἀπίκετο, καὶ ἐθεήσατο [l] Ξέρξης τὴν ἐκβολὴν
τοῦ Πηνειοῦ, ἐν [m] θώματι μεγάλῳ ἐνέσχετο. καλέ-
σας δὲ τοὺς [n] κατηγεμόνας τῆς ὁδοῦ, [o] εἴρετο εἰ τὸν
ποταμόν ἐστι παρατρέψαντα ἑτέρῃ ἐς θάλασσαν ἐξα-
129 γαγεῖν. Τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν
εἶναι λίμνην, ὥστε [a] γε [b] συγκεκληϊσμένην πάντοθεν
2 ὑπερμήκεσι [c] οὔρεσι. τὰ μὲν γὰρ αὐτῆς πρὸς τὴν ἠῶ
ἔχοντα τό [d] τε Πήλιον οὖρος καὶ ἡ Ὄσσα [e] ἀποκλήει,
συμμίσγοντα τὰς ὑπωρείας ἀλλήλοισι· τὰ δὲ πρὸς βο-
ρέω [f] ἀνέμου, [g] Οὔλυμπος· τὰ δὲ πρὸς ἑσπέρην, Πίνδος·
τὰ δὲ πρὸς [h] μεσαμβρίην τε καὶ ἄνεμον νότον, ἡ Ὄθρυς·
τὸ μέσον δὲ τούτων τῶν λεχθέντων οὐρέων ἡ Θεσσα-
3 λίη ἐστὶ, ἐοῦσα κοίλη. ὥστε [i] ὧν ποταμῶν [k] ἐς αὐτὴν
καὶ ἄλλων συχνῶν ἐσβαλλόντων, [l] πέντε δὲ τῶν
δοκίμων μάλιστα τῶνδε, Πηνειοῦ, καὶ Ἀπιδανοῦ, καὶ
[m] Ὀνοχώνου, καὶ Ἐνιπέος, καὶ Παμίσου· οἱ μέν νυν
ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν οὐρέων τῶν
περικληϊόντων τὴν Θεσσαλίην οὐνομαζόμενοι, δι'

Thessaliæ situs. Planities ejus olim aquis mersa.

[h] ἧν περ F. [i] ἐνέβαινε F.b. [k] Sic F.a. Schæfer. ὅκως τοι S. al. Tum ἐθέλει τοιοῦτον S. [l] ὁ Ξέρξης S. qui mox om. ἐκβολὴν τοῦ. [m] θώυματι] θώματι F.S. [n] ἡγεμόνας S.V. ut V. 15. [o] ἤρετο F. qui εἰ pro εἰς.

129. [a] γε om. K.P.F. [b] Sic Ald. S.V.c. συγκεκλημένην K.P. συγκεκλημένην M. συγκεκλειμένην F. συγκεκληϊμένην Bekker. [c] ὄρεσι et mox ὄρος S.V.K. [d] τε om. P.F. Πήλειον edd. vett. [e] ἀποκλήει P.V. Wessel. ἀποκλείει S.F.a. ἀποκλείοι Ald ἀποκληΐει Schæfer. Bekker. Mox ἀπωρείας S. ὑπωρέας Bekker. [f] ἄνεμον c. Ald. [g] ὁ Ὄλυμπος S.V.M.P. Ὄλυμπος absque ὁ F. cf. I. 56. VII. 173. [h] μεσημβ. F. Mox ὀρέων S. [i] ὧν τῶν ποτ. K. Steph. marg. τῶν absque ὧν S. [k] Sic S.K.F. καὶ ἀλ. σ. ἐ. αὐ. vulg. ἐς αὐτὴν om. M. [l] Excerpsit Schol. Apoll. Rhod. III. 1085. [m] Ὀνοχώρου S. Vall. Mox νυν ἐκ τῶν πεδίων συλλεγόμενοι S. et paulo post ὀρέων. Tum ὀνομαζόμενοι. Et infra συμμιχθῶσι.

ἑνὸς αὐλῶνος, καὶ τούτου στεινοῦ, ἔκροον ἔχουσι ἐς θάλασσαν, προσυμμίσγοντες τὸ ὕδωρ πάντες ἐς τὠυτό· ἐπεὰν δὲ συμμιχθέωσι τάχιστα, ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων, [n] ἀνωνύ-
4 μους τοὺς ἄλλους [o] εἶναι ποιέει. Τὸ δὲ [p] παλαιὸν λέγεται, οὐκ ἐόντος κω τοῦ αὐλῶνος καὶ διεκρόου τούτου, τοὺς ποταμοὺς τούτους, καὶ πρὸς τοῖσι ποταμοῖσι τούτοισι τὴν [q] Βοιβηΐδα λίμνην, οὔτε οὐνομάζεσθαι κατάπερ νῦν, ῥέειν τε οὐδὲν ἧσσον ἢ νῦν· ῥέοντας δὲ, ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος.
5 αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα, δι' οὗ ῥέει ὁ Πηνειὸς, [r] οἰκότα λέγοντες. ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν, καὶ τὰ [s] διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, καὶ ἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι. [t] ἔστι γὰρ σεισμοῦ ἔργον, ὡς ἐμοὶ [v] ἐφαίνετο εἶναι, ἡ
130 διάστασις τῶν [w] οὐρέων. Οἱ δὲ κατηγεόμενοι, εἰρομένου Ξέρξεω εἰ ἔστι ἄλλη ἔξοδος ἐς θάλασσαν τῷ Πηνειῷ, ἐξεπιστάμενοι ἀτρεκέως, εἶπον· "Βασιλεῦ, "ποταμῷ τούτῳ οὐκ ἔστι ἄλλη ἐξήλυσις ἐς θάλασ-"σαν κατήκουσα, ἀλλ' [a] ἥδε αὐτή· οὔρεσι γὰρ 562
2 "περιεστεφάνωται [aa] πᾶσα Θεσσαλίη." [b] Ξέρξεα δὲ λέγεται εἰπεῖν πρὸς ταῦτα· "Σοφοὶ ἄνδρες εἰσὶ "Θεσσαλοί. ταῦτ' ἄρα πρὸ πολλοῦ [c] ἐφυλάξαντο

Thessalorum expugnatio ob terræ naturam Xerxi facillima visa.

[n] Cf. Eustath. Il. p. 337, 7=255, 8. [o] Sic S.P.K.F. ποιέει εἶναι vulgo. [p] πάλαι S.V. [q] Βουβ. K. cf. Casaubon. ad Strabon. IX. p. 658=430. Mox ἧσσον S. Ald. [r] εἰκότα S. [s] Sic M.P.B. διεστῶτα S. et olim. [t] Sic S.P.K.F. Schæfer. Vulgo ἔργον γ. ἔ. σ. [v] Sic S.V. Schæfer. φαίνεται εἶναι P.K.F. φαίνεται absque εἶναι edd. vett. [w] ὀρέων S.

130. [a] ἡ αὕτη Matthiæ in textu. Idem in annot.: "Vulgo ἥδε "αὕτη, quod ineptum est. Poterat etiam scribi ἥδε αὐτὴ, *hæc ipsa*, "vel αὕτη deleri." ἥδε αὐτὴ Bekker. [aa] Sic S. et mss. plures. πᾶσα ἡ Θ. edd. vett. Supra ὄρεσι S. [b] Ξέρξην F.S. [c] ἐφυλάσσοντο S.V.

" γνωσιμαχέοντες, καὶ τἆλλα, καὶ ὅτι χώρην [d] ἄρα
3 " εἶχον εὐαίρετόν τε καὶ ταχυάλωτον. τὸν γὰρ πο-
" ταμὸν πρῆγμα ἂν ἦν μοῦνον ἐπεῖναί σφεων ἐπὶ
" τὴν χώρην, χώματι ἐκ τοῦ αὐλῶνος ἐκβιβάσαντα,
" καὶ παρατρέψαντα δι' ὧν [e] νῦν ῥέει ῥεέθρων· ὥστε
" Θεσσαλίην πᾶσαν [f] ἔξω τῶν ούρέων [g] ὑπόβρυχα
4 " γενέσθαι." Ταῦτα δὲ ἔχοντα ἔλεγε ἐς τοὺς Ἀλεύεω
παῖδας, ὅτι πρῶτοι Ἑλλήνων, ἐόντες Θεσσαλοὶ,
ἔδοσαν ἑωυτοὺς βασιλέϊ· δοκέων ὁ Ξέρξης [h] ἀπὸ
παντός σφεας τοῦ ἔθνεος ἐπαγγέλλεσθαι φιλίην.
εἴπας δὲ ταῦτα, καὶ θεησάμενος, ἀπέπλεε ἐς τὴν
Θέρμην.

131

Dum Persæ ad sinum Thermaicum in castris sedent, legati in Græciam missi [c. 32.] ad re-

132

gem revertuntur. Qui Græcorum populi aquam et terram dederint. Pœna iis a cæteris Græcis irrogata.

Ὁ μὲν δὴ περὶ Πιερίην διέτριβε ἡμέρας συχνάς.
τὸ γὰρ δὴ οὖρος τὸ Μακεδονικὸν ἔκειρε τῆς στρατιῆς
τριτημορὶς, ἵνα ταύτῃ [a] διεξίῃ [b] ἅπασα ἡ στρατιὴ ἐς
2 [c] Περραιβούς. Οἱ δὲ [d] δὴ κήρυκες οἱ ἀποπεμφθέντες
ἐς τὴν Ἑλλάδα ἐπὶ γῆς αἴτησιν [e] ἀπικέατο· οἱ μὲν
[f] κεινοὶ, οἱ δὲ, φέροντες γῆν τε καὶ ὕδωρ. Τῶν δὲ
δόντων ταῦτα ἐγένοντο οἵδε· Θεσσαλοὶ, Δόλοπες,
[a] Ἐνιῆνες, Περραιβοὶ, Λοκροὶ, [b] Μάγνητες, Μηλιέες,
Ἀχαιοὶ οἱ Φθιῶται, καὶ Θηβαῖοι, καὶ οἱ ἄλλοι Βοιω-
2 τοὶ, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων. Ἐπὶ τού-
τοισι οἱ Ἕλληνες ἔταμον ὅρκιον οἱ τῷ βαρβάρῳ
πόλεμον [c] ἀειράμενοι. τὸ δὲ ὅρκιον ὧδε εἶχε· "Ὅσοι
" τῷ Πέρσῃ ἔδοσάν σφεας αὐτοὺς Ἕλληνες ἐόντες,

[d] ἅμα b. [e] νῦν ῥέεθρον P. ῥέεθρον item S. [f] ἔσω Schæfer. Mox ὀρέων S. [g] Sic S. Wessel. ὑπὸ βρυχέα Ald. ὑποβρυχέα Genev. P. K.F.a. Mox ἐόντες Ἑλλήνων Θεσσαλοὶ S. [h] ὑπὸ S.V. ἀπὸ tuentur alii omnes, bene: *nomine universæ gentis*. SCHWEIGH.

131. [a] διέξῃ P.K.F. Supra ὅρος S. [b] πᾶσα S. [c] Περραιβοὺς S.V.P. Περρεβ. K. Περαιβ. F. et al. [d] δὴ om. P.F. [e] ἀπίκατο S.V.P.F. [f] Sic S.V.P.K.F. Paris. κενοὶ olim.

132. [a] Αἰνιῆνες S.V. Vall. [b] Μάγητες S.V. [c] Sic F. Wessel. cf. 156. αἰράμενοι S.P. ἀράμενοι K. ἀειρόμενοι c. vulg.

"μὴ ἀναγκασθέντες, καταστάντων σφι εὖ τῶν πρη- "γμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ."

133 τὸ μὲν δὴ ὅρκιον ὧδε εἶχε τοῖσι Ἕλλησι. Ἐς δὲ Ἀθήνας καὶ Σπάρτην οὐκ ἀπέπεμψε [a] ὁ Πέρσης ἐπὶ
2 γῆς αἴτησιν [b] κήρυκας, τῶνδε [c] εἵνεκα. πρότερον Δαρείου πέμψαντος ἐπ᾽ αὐτὸ τοῦτο, οἱ μὲν αὐτῶν τοὺς αἰτέοντας ἐς τὸ Βάραθρον οἱ δὲ ἐς φρέαρ [d] ἐσβαλόντες, ἐκέλευον γῆν τε καὶ ὕδωρ ἐκ τούτων φέρειν
3 παρὰ βασιλέα. τούτων μὲν εἵνεκα οὐκ [e] ἔπεμψε Ξέρξης τοὺς αἰτήσοντας. Ὅ τι δὲ τοῖσι Ἀθηναίοισι ταῦτα ποιήσασι τοὺς κήρυκας συνήνεικε ἀνεθέλητον γενέσθαι, οὐκ ἔχω [f] εἶπαι, πλὴν ὅτι σφέων ἡ χώρη καὶ ἡ πόλις [g] ἐδηϊώθη· ἀλλὰ τοῦτο οὐ διὰ ταύτην τὴν

563 Athenas ac Spartam cur Xerxes legatos non miserit [c. 32.].

134 αἰτίην δοκέω γενέσθαι. Τοῖσι δὲ ὦν Λακεδαιμονίοισι [a] μῆνις κατέσκηψε [b] Ταλθυβίου, τοῦ Ἀγα-
2 μέμνονος κήρυκος. ἐν γὰρ Σπάρτῃ ἐστὶ Ταλθυβίου ἱρόν· εἰσὶ δὲ καὶ ἀπόγονοι Ταλθυβίου, Ταλθυβιάδαι καλεόμενοι, τοῖσι αἱ κηρυκηΐαι αἱ ἐκ Σπάρτης πᾶσαι
3 γέρας [c] δέδονται. μετὰ δὲ ταῦτα, τοῖσι Σπαρτιήτῃσι καλλιερῆσαι θυομένοισι οὐκ ἐδύνατο· τοῦτο [d] δ᾽ ἐπὶ
4 χρόνον συχνὸν ἦν σφι. ἀχθομένων δὲ καὶ συμφορῇ χρεωμένων Λακεδαιμονίων, ἁλίης τε πολλάκις συλλεγομένης, καὶ κήρυγμα τοιόνδε ποιευμένων, εἴ τις βούλοιτο Λακεδαιμονίων πρὸ τῆς Σπάρτης ἀποθνήσκειν, Σπερθίης τε ὁ Ἀνηρίστου καὶ Βοῦλις ὁ Νικό-

Talthybii herois ob Darii legatos [6, 48.] olim necatos ira in Spartanos. Ad eam placandam Sperthies et Bulis, Spartiatæ, Susa ad Xerxem profecti,

133. [a] Ξέρξης S.V. Vall. ὁ vulg. om. supplevit Schæfer. cf. 116. [b] κήρυκας om. S. [c] εἵνεκε F. [d] Sic M.P.K.F. ἐμβάλλοντες a. ἐμβαλόντες S. al. [e] Sic M.P.K.V.a.c.d. ἀπέπεμψε F. Ald. οὐ κατέπεμψε b. Ξέρξης οὐκ ἔπεμψε S. [f] εἶπαί τι P.K.b. εἰπάντι F. [g] ἐδηϊώθη Schæfer. Vulgo ἐδηώθη.

134. [a] Attigit Eustath. Il. α΄. p. 110, 29=83, 20. [b] Ταλθυβίου om. Gronovius et Wesseling. cum M.P.K.F. Paris. Revocavit Schæfer. cum edd. vett. et agnoscunt S.V. [c] Sic P.K.F.b. Schæfer. Vulgo δίδονται cum S. [d] δ᾽ om. S.

λεω, ἄνδρες Σπαρτιῆται, φύσει [e] τε γεγονότες εὖ, καὶ
[f] χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα, ἐθελονταὶ ὑπέδυσαν
ποινὴν [g] τῖσαι Ξέρξῃ τῶν Δαρείου κηρύκων τῶν ἐν
Σπάρτῃ ἀπολομένων. οὕτω Σπαρτιῆται τούτους, ὡς
135 ἀποθανευμένους, ἐς Μήδους ἀπέπεμψαν. Αὕτη τε
ἡ τόλμα τούτων τῶν ἀνδρῶν [a] θώματος ἀξίη, καὶ
τάδε πρὸς τούτοισι τὰ ἔπεα. πορευόμενοι γὰρ ἐς
2 Σοῦσα, ἀπικνέονται παρὰ Ὑδάρνεα. ὁ δὲ Ὑδάρνης
ἦν μὲν γένος Πέρσης, στρατηγὸς δὲ τῶν παραθα- 564
λασσίων ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ· ὅς σφεας,
3 ξείνια προθέμενος, [b] εἱστία. ξεινίζων δὲ, [c] εἴρετο
λέγων τάδε· "Ἄνδρες Λακεδαιμόνιοι, τί δὴ φεύγετε
" βασιλέϊ φίλοι γενέσθαι; ὁρᾶτε γὰρ ὡς ἐπίσταται
" βασιλεὺς ἄνδρας ἀγαθοὺς τιμᾶν, ἐς ἐμέ τε καὶ τὰ
4 " ἐμὰ πρήγματα ἀποβλέποντες. [d] οὕτω δὴ καὶ ὑμεῖς
" εἰ δοίητε ὑμέας αὐτοὺς βασιλέϊ, [e] δεδόξωσθε γὰρ
" πρὸς αὐτοῦ ἄνδρες εἶναι ἀγαθοὶ, ἕκαστος ἂν ὑμέων
5 " [f] ἄρχοι γῆς Ἑλλάδος, δόντος βασιλέος." Πρὸς
ταῦτα [g] ὑπεκρίναντο τάδε· "Ὕδαρνες, οὐκ ἐξ ἴσου
" γίνεται ἡ συμβουλίη ἡ ἐς [h] ἡμέας τείνουσα. τοῦ
" μὲν γὰρ πεπειρημένος συμβουλεύεις, τοῦ δὲ ἄπειρος
6 " ἐών. [i] τὸ μὲν γὰρ δοῦλος εἶναι ἐξεπίστεαι, ἐλευθε-
" ρίης δὲ οὔκω ἐπειρήθης, οὔτ' εἰ ἔστι γλυκὺ, οὔτ' εἰ
7 " μή. εἰ γὰρ αὐτῆς πειρήσαιο, οὐκ ἂν δόρασι συμ-
" βουλεύοις ἡμῖν [k] περὶ αὐτῆς μάχεσθαι, ἀλλὰ καὶ

[e] τε om. S. [f] χρήματα b. [g] τίσειν S.V. Schæfer. Bekker.
135. [a] Sic S.K.F. θωύματος vulg. [b] Sic F. Paris. vulg. ἱστία S.V.P.K. Schæfer. et probavit Wesseling. Tum ξενίζων S. [c] Sic S.V. Vall. Schæfer. Vulgo om. λέγων. [d] οὕτω δὲ F.S. [e] δεδόξωσθε P.K.V.S. cf. IX. 48. et Portum in Δοξοῦσθαι. δεδόξῶσθε (οι superscr.) M. δεδόξωσθαι F. δεδόξασθε vulg. [f] ἄρχῃ S. [g] ἀπεκρ. b. [h] ὑμέας P.F. Ald. Tum τίνουσα S. [i] τοῦ μὲν S.V. absque γάρ. [k] μάχεσθαι περὶ αὐτῆς S.

136 “ πελέκεσι.” Ταῦτα μὲν Ὑδάρνεα ἀμείψαντο. Ἐν-
θεῦτεν δὲ ὡς ἀνέβησαν ἐς Σοῦσα, καὶ [a] βασιλέϊ ἐς
ὄψιν ἦλθον, πρῶτα μὲν τῶν δορυφόρων κελευόντων
καὶ ἀνάγκην σφι προσφερόντων προσκυνέειν βασιλέα
προσπίπτοντας, οὐκ ἔφασαν, ὠθεόμενοι [b] πρὸς αὐτῶν
ἐπὶ κεφαλὴν, ποιήσειν ταῦτα οὐδαμά· οὔτε γάρ σφι
ἐν νόμῳ εἶναι [c] ἄνθρωπον προσκυνέειν, οὔτε κατὰ
2 ταῦτα ἥκειν. ὡς δὲ ἀπεμαχέσαντο [d] τοῦτο, δευτερά
σφι λέγουσι τάδε καὶ λόγου [e] τοιοῦδε ἐχόμενα, “ Ὦ
“ βασιλεῦ Μήδων, ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι
“ ἀντὶ τῶν ἐν Σπάρτῃ ἀπολομένων κηρύκων, ποινὴν
3 “ ἐκείνων τίσοντας·” λέγουσι δὲ αὐτοῖσι [f] ταῦτα
Ξέρξης ὑπὸ μεγαλοφροσύνης οὐκ, ἔφη, ὁμοῖος ἔσεσθαι
Λακεδαιμονίοισι· κείνους μὲν γὰρ [g] συγχέαι τὰ πάν-
των ἀνθρώπων νόμιμα, [h] ἀποκτείναντας κήρυκας·
αὐτὸς δὲ, τὰ [i] κείνοισι ἐπιπλήσσει, ταῦτα οὐ ποιήσειν, 565
οὐδ' [k] ἀνταποκτείνας ἐκείνους, ἀπολύσειν Λακεδαι-
137 μονίους τῆς αἰτίης. Οὕτω ἡ Ταλθυβίου μῆνις, καὶ
ταῦτα ποιησάντων [a] Σπαρτιητέων, ἐπαύσατο [b] τὸ
παραυτίκα, καίπερ ἀπονοστησάντων ἐς Σπάρτην
2 Σπερθίεώ τε καὶ Βούλιος. χρόνῳ δὲ μετέπειτα πολλῷ
ἐπηγέρθη, κατὰ τὸν Πελοποννησίων καὶ Ἀθηναίων
πόλεμον, ὡς λέγουσι Λακεδαιμόνιοι. τοῦτό μοι ἐν
3 τοῖσι θειότατον φαίνεται γενέσθαι. ὅτι μὲν γὰρ
κατέσκηψε ἐς ἀγγέλους ἡ Ταλθυβίου μῆνις, οὐδὲ

cum illius cædis suomet capite pœnas dare paratos se ostendissent, illæsi a rege dimittuntur.

Quid multis post annis eadem illa Talthybii ira Spartanis damni importaverit.

136. [a] βασιλέος ἐξ ὄψιν S.V. Infra προφερόντων σφι S. [b] Sic V.S. Wessel. ὑπ' αὐτ. F.a.c. Ald. [c] ἀνθρώποις d. [d] Sic S.V. Schæfer. τούτῳ al. Mox λέγουσι dativum esse et ab ἔφη paulo infra pendere monet Schweighæuser. [e] τοιούτου K. λόγου δὲ τοιοῦδ' ἐχόμεθα S. [f] τάδε F. [g] Citat Eustath. Il. α'. p. 110. 30=83, 21. [h] ἀποκτείνοντας F.b. [i] Sic S. ἐκείνοισι al. [k] ἀνταποκτείναντας S.

137. [a] Σπαρτιητέων Λακεδαιμονίων S. [b] τοῦ παραυτ. F. Ald. Mox ἐν Σπάρτῃ S. Infra ἐν τοῖς θ. S.

ἐπαύσατο πρὶν ἢ ἐξῆλθε, τὸ δίκαιον [c] οὕτω ἔφερε· τὸ δὲ συμπεσεῖν ἐς τοὺς παῖδας τῶν ἀνδρῶν τούτων τῶν ἀναβάντων [d] πρὸς βασιλέα διὰ τὴν μῆνιν, ἐς Νικόλαν τε τὸν Βούλιος, καὶ ἐς Ἀνήριστον τὸν Σπερθίεω, [e] ὃς εἷλε [f] ἁλιέας τοὺς ἐκ Τίρυνθος, ὁλκάδι καταπλώσας πλήρεϊ ἀνδρῶν· δῆλον ὦν μοι ὅτι θεῖον
4 ἐγένετο τὸ πρῆγμα ἐκ τῆς μήνιος. οἱ γὰρ, πεμφθέντες ὑπὸ Λακεδαιμονίων ἄγγελοι ἐς τὴν Ἀσίην, προδοθέντες δὲ ὑπὸ Σιτάλκεω τοῦ [g] Τήρεω, Θρηΐκων βασιλέος, καὶ Νυμφοδώρου τοῦ Πύθεω, ἀνδρὸς Ἀβδηρίτεω, ἥλωσαν κατὰ Βισάνθην τὴν ἐν Ἑλλησπόντῳ, καὶ ἀπαχθέντες ἐς τὴν Ἀττικὴν, ἀπέθανον ὑπὸ Ἀθηναίων· μετὰ δὲ αὐτῶν καὶ Ἀριστέας ὁ [h] Ἀδειμάντου, Κορίνθιος ἀνήρ. ταῦτα μέν νυν πολλοῖσι ἔτεσι ὕστερον ἐγένετο [i] τοῦ βασιλέος στόλου.

138 Herodotus deinceps ad Græciæ contra Persas apparatum transit. Græcorum sub Xerxis expeditionem discordia.

Ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον. Ἡ δὲ στρατηλασίη ἡ βασιλέος οὔνομα μὲν εἶχε ὡς ἐπ' Ἀθήνας ἐλαύνει, κατίετο δὲ ἐς πᾶσαν τὴν Ἑλλάδα. 566
2 πυνθανόμενοι δὲ ταῦτα πρὸ πολλοῦ οἱ Ἕλληνες, οὐκ
3 ἐν ὁμοίῳ πάντες ἐποιεῦντο. οἱ μὲν γὰρ αὐτῶν, δόντες γῆν [a] τε καὶ ὕδωρ τῷ Πέρσῃ, εἶχον θάρσος ὡς οὐδὲν πεισόμενοι ἄχαρι πρὸς τοῦ βαρβάρου· οἱ δὲ, οὐ δόντες, ἐν δείματι μεγάλῳ [b] κατέστασαν, ἅτε οὔτε νεῶν ἐουσέων ἐν τῇ Ἑλλάδι ἀριθμὸν ἀξιομάχων δέκεσθαι τὸν ἐπιόντα, οὔτε βουλομένων τῶν πολλῶν ἀντάπτεσθαι τοῦ πολέμου, μηδιζόντων δὲ προθύμως.

[c] οὕτω· ἐφέρετο δὲ P.K.F.b. Vulg. ex V. 58. defendit Wesseling. [d] ἐς βασιλ. S. Schæfer. [e] Sic K.F. Paris. Vall. Wess. ὃς εἶχεν V.S. ὡς εἷλε edd. vett. [f] ἀλίκας S. ἁλιέας τε F. Mox τὸ πρῆγμα ἐγίνετο S. Tum γὰρ om. S. [g] Sic M.P.K. Paris. Τύρεω olim. Τηρέσω F. [h] Δειμάντου S.V. [i] τοῦ τοῦ β. S.

138. [a] τε om. S.F.a. Supra δὲ om. S. ante στρατηλασίη, item μὲν post οὔνομα. [b] κατέστησαν S.V. Mox ἀξιόμαχον b.

139 Ἐνθαῦτα ἀναγκαίῃ ἐξέργομαι γνώμην ἀποδέξασθαι,
ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων ἀνθρώπων· ὅμως
δὲ, [a] τῇ γέ μοι φαίνεται εἶναι ἀληθὲς, οὐκ ἐπισχήσω.
2 [b] Εἰ Ἀθηναῖοι, καταρρωδήσαντες τὸν ἐπιόντα κίν-
δυνον, ἐξέλιπον τὴν σφετέρην, ἢ καὶ μὴ ἐκλιπόντες,
ἀλλὰ μείναντες, ἔδοσαν σφέας αὐτοὺς Ξέρξῃ, κατὰ
τὴν θάλασσαν οὐδαμοὶ ἂν ἐπειρῶντο [c] ἀντιεύμενοι
3 βασιλέϊ. εἰ τοίνυν κατὰ τὴν θάλασσαν μηδεὶς ἠντι-
οῦτο Ξέρξῃ, [d] κατά γε ἂν τὴν ἤπειρον τοιάδε [e] ἐγί-
νετο. εἰ καὶ πολλοὶ τειχέων κιθῶνες ἦσαν ἐληλα-
μένοι διὰ τοῦ Ἰσθμοῦ Πελοποννησίοισι, [f] προδο-
θέντες ἂν Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων (οὐκ
ἑκόντων, ἀλλ' ὑπ' ἀναγκαίης, κατὰ πόλις ἁλισκο-
μένων ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ [g] τοῦ βαρβάρου)
ἐμουνώθησαν· μουνωθέντες δὲ ἂν, καὶ [h] ἀποδεξάμενοι
4 ἔργα [i] μεγάλα, ἀπέθανον γενναίως. ἢ ταῦτα ἂν ἔπα-
θον· ἢ [k] πρὸ τοῦ, [l] ὁρέωντες ἂν καὶ τοὺς ἄλλους Ἕλ-
ληνας μηδίζοντας, ὁμολογίῃ ἂν ἐχρήσαντο πρὸς
Ξέρξεα· καὶ οὕτω ἂν, ἐπ' ἀμφότερα, ἡ Ἑλλὰς ἐγί-
5 νετο ὑπὸ Πέρσῃσι. τὴν γὰρ [m] ὠφελίην [n] τὴν τῶν
τειχέων τῶν διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένων οὐ δύναμαι
πυθέσθαι ἥτις ἂν ἦν, βασιλέος ἐπικρατέοντος τῆς
6 θαλάσσης. Νῦν δὲ, Ἀθηναίους ἄν τις λέγων σω-
τῆρας γενέσθαι τῆς Ἑλλάδος, οὐκ ἂν ἁμαρτάνοι [o] τὸ

Inprimis per Athenienses stetisse, ne barbari Græciam subigerent.

139. [a] τῇ γ' ἐμοὶ Schæfer. Bekker. τῇ γέ μοι S.F. Supra πρὸς πλεόνων absque τῶν S. [b] Sic M.S.V.P.K.F. Paris. Οἱ Ἀθ. Ald. al. Mox κατὰ τὴν θάλασσαν om. S. [c] Sic S.V. ἀντιούμενοι vulg. cf. IV. 3. [d] κατὰ δὲ b. Mox ἂν om. S. [e] Sic S.a. ἐγίνοντο F. ἐγένετο Wessel. al. Mox χιτῶνες τειχέων S. [f] Sic M.K.P.S.V. Paris. F. προδόντες edd. vett. [g] τῶν βαρβάρων S. Schæfer. [h] ὑποδεξαμένους Plutarch. II. p. 864 A. [i] Sic Plutarch. S.V.K.F. γενναῖα vulgo. [k] πρὸ τούτου Plutarch. cf. III. 62. VI. 52. [l] Sic F. pro vulg. ὁρῶντες, qui mox Ξέρξην. [m] ὠφελείην F. Ald. [n] τὴν om. S. [o] Sic F. Vulgo τἀληθές. τἀληθοῦς Valcken. τοῦ ἀληθοῦς Reisk. τἀληθέος Schæfer. Bekker. τοῦ ἀληθέος malebat Schweigh.

7 ἀληθές. οὗτοι γὰρ ἐπὶ ὁκότερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε. ἑλόμενοι δὲ τὴν Ἑλλάδα περιεῖναι ἐλευθέρην, [p]τοῦτο τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπὸν, ὅσον μὴ ἐμήδισε, [q]αὐτοὶ οὗτοι [r]ἦσαν οἱ ἐπεγείραντες, καὶ βασιλέα μετά γε θεοὺς ἀνωσάμενοι. 567
8 οὐδέ σφεας χρηστήρια φοβερὰ, ἐλθόντα ἐκ Δελφῶν, καὶ ἐς δεῖμα βαλόντα, ἔπεισε ἐκλιπεῖν τὴν Ἑλλάδα· ἀλλὰ καταμείναντες, ἀνέσχοντο τὸν ἐπιόντα ἐπὶ τὴν χώρην δέξασθαι.

140 Bina oracula Atheniensibus data, prius minacissimum,

Πέμψαντες γὰρ οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους, χρηστηριάζεσθαι ἦσαν ἑτοῖμοι. καί σφι ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα, ὡς ἐς τὸ μέγαρον [a]ἐσελθόντες ἵζοντο, χρᾷ ἡ Πυθίη, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε·

2 [b]Ὦ μέλεοι, τί κάθησθε; λιπὼν [c]φεῦγ᾽ ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
3 Οὔτε γὰρ ἡ κεφαλὴ [d]μένει [e]ἔμπεδον, οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι, οὔτ᾽ ὦν χέρες, οὔτε τι μέσσης
4 λείπεται, ἀλλ᾽ [ee]ἄζηλα πέλει. Κατὰ γάρ μιν [f]ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης, [g]Συριηγενὲς ἅρμα διώκων.
5 [h]πολλὰ δὲ κἄλλ᾽ ἀπολεῖ πυργώματα, κοὐ τὸ σὸν οἶον·
πολλοὺς δ᾽ [i]ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι [k]ῥεούμενοι ἑστήκασι,
[l]δείματι παλλόμενοι· κατὰ δ᾽ ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος [m]ἀνάγκας.
Ἀλλ᾽ [n]ἴτον ἐξ ἀδύτοιο, [o]κακοῖς δ᾽ ἐπικίδνατε θυμόν.

[p] τοῦτο V. τοῦ, τὸ S. ὂν post Ἑλληνικὸν d. [q] αὐτοῦ S. [r] ἦσαν S.V.K.F. et c. seq. Mox γηθέους pro γε θεοὺς S. Infra H. Stephanus ἀπωσάμενοι. Frustra.

140. [a] ἐλθόντες S.V. [b] Cit. Euseb. Præp. Ev. V. 24. Nicephor. ad Synes. Insomn. p. 370. [c] φεύγετ᾽ b. πόλιν φύγετ᾽ Euseb. quæ lectio correctoris est, Valckenærio judice, quem offenderit variatio numeri. Mox τριχοειδέος S. [d] μενεῖ V.S. [e] ἔμπεδος Euseb. ἔμποδον S. [ee] ἀΐδηλα Blomfield. Gloss. Æschyl. Prom. 146. conf. Lobeck. Aglaoph. p. 1353. [f] ἐρρίψει Euseb. [g] Ἀσιηγενὲς S.V. Vall. [h] πολλὰ δὲ τῇ δ᾽ ἀπολεῖ Euseb. [i] ἀθανάτους S. Mox ναοὺς S.F. [k] ῥεεύμενοι Clem. Alex. Strom. V. p. 728. [l] δείμασι V.S. [m] ἀνάγκην F. [n] ἴτων ἐς ἄδυτα S. ἴτ᾽ ἐξ ἀ. d. [o] κακοῖο Ald. κακοῖσι νῦν δ᾽ ἐπ. d. κακοῖσι δ᾽ ἐπικίδναται F.

141 Ταῦτα ἀκούσαντες οἱ τῶν Ἀθηναίων θεοπρόποι,
συμφορῇ τῇ μεγίστῃ ἐχρέωντο. προβάλλουσι δὲ
σφέας αὐτοὺς ὑπὸ τοῦ κακοῦ τοῦ [a] κεχρησμένου, Τί-
μων ὁ Ἀνδροβούλου, τῶν Δελφῶν ἀνὴρ δόκιμος
[b] ὁμοῖα τῷ μάλιστα, συνεβούλευέ σφι [c] ἱκετηρίην
λαβοῦσι, δεύτερα αὖτις ἐλθόντας [d] χρᾶσθαι τῷ χρη-
2 στηρίῳ ὡς ἱκέτας. πειθομένοισι δὲ ταῦτα τοῖσι
Ἀθηναίοισι, καὶ λέγουσι "Ὦναξ, χρῆσον ἡμῖν ἄμει-
"νόν τι περὶ τῆς πατρίδος, αἰδεσθεὶς τὰς ἱκετηρίας 568
"τάσδε τάς τοι ἥκομεν φέροντες· ἦ οὔ τοι ἄπιμεν
"ἐκ τοῦ ἀδύτου, ἀλλ' αὐτοῦ τῇδε [e] μενέομεν, ἔστ' ἂν
"καὶ τελευτήσωμεν·" [f] ταῦτα δὲ λέγουσι ἡ πρό-
μαντις χρᾷ δεύτερα τάδε·

posterius benignius, sed magna sensus ambiguitate.

3 Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι,
[g] λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
4 Σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω, ἀδάμαντι πελάσσας·
τῶν ἄλλων γὰρ ἁλισκομένων, ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει, [h] κευθμών τε Κιθαιρῶνος ζαθέοιο,
τεῖχος [i] Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσει.
5 Μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν
νῶτον ἐπιστρέψας. ἔτι τοι κοτὲ κἀντίος [k] ἔσσῃ.
6 [l] Ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
ἤ που σκιδναμένης Δημήτερος, ἢ συνιούσης.

142 Ταῦτά σφι, ἠπιώτερα γὰρ τῶν προτέρων καὶ ἦν καὶ
ἐδόκεε εἶναι, συγγραψάμενοι, [a] ἀπαλλάσσοντο ἐς [b] τὰς

Quod dum alii aliter interpretantur,

141. [a] κεχρησμένου] κεχρημένου S. cf. IV. 164. [b] ὁμοῖα τῷ μάλιστα om. S. Vall. [c] ἱκετηρίας S.V. Schæfer. Bekker. et probat Wesseling. [d] χρῆσθαι S.V. Mox χρῆσον ὦναξ S. et τι ἄμεινον. [e] μένομεν F. [f] Sic P.F. δὲ vulgo om. cum S. [g] λισομένη F. Mox πελάσας S. [h] κευθμῶν τε καὶ F. [i] Τριτογενεῖ P. Τριτογενείη Eusebii ms. et Schol. Lucian. Jov. Trag. c. 31. Ἐρεχθείδαις Tzetzis vit. Hom. ms. Lips. [k] ἔσται Euseb. Supra ποτε F.a. forte recte. [l] Polyænus I. 30. Theodoret. Or. X. ad Gr. p. 140.
142. [a] ἀπηΐεσαν S.V. Eton. [b] τὰς om. S.V.

2 'Αθήνας. ὡς δὲ ἀπελθόντες οἱ θεοπρόποι [c] ἀπήγ-
γελλον ἐς τὸν δῆμον, γνῶμαι [d] καὶ ἄλλαι πολλαὶ
[e] ἐγίνοντο διζημένων τὸ μαντήϊον, [f] καὶ αἵδε συνεστη-
3 κυῖαι μάλιστα. τῶν πρεσβυτέρων ἔλεγον [g] μετεξέ-
τεροι, δοκέειν σφι τὸν θεὸν τὴν ἀκρόπολιν χρῆσαι
4 περιέσεσθαι. ἡ γὰρ ἀκρόπολις τὸ πάλαι τῶν 'Αθη-
νέων [h] ῥηχῷ ἐπέφρακτο· οἱ μὲν δὴ κατὰ τὸν φραγμὸν
5 [i] συνεβάλλοντο τοῦτο τὸ ξύλινον τεῖχος εἶναι. οἱ δ'
αὖ ἔλεγον τὰς νέας σημαίνειν τὸν θεὸν, καὶ ταύτας
παραρτέεσθαι ἐκέλευον τὰ ἄλλα [k] ἀπέντας. τοὺς
[l] ὦν δὴ τὰς νέας λέγοντας εἶναι τὸ ξύλινον τεῖχος
[m] ἔσφαλλε τὰ δύο τὰ τελευταῖα ῥηθέντα ὑπὸ τῆς
Πυθίης·

6 Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν, 569
ἤ που σκιδναμένης Δημήτερος, ἢ συνιούσης.

7 κατὰ ταῦτα τὰ ἔπεα συνεχέοντο αἱ γνῶμαι τῶν φα-
μένων τὰς νέας τὸ ξύλινον τεῖχος εἶναι. οἱ γὰρ
χρησμολόγοι ταύτῃ ταῦτα ἐλάμβανον, ὡς ἀμφὶ Σα-
λαμῖνα δεῖ σφέας ἑσσωθῆναι, ναυμαχίην [n] παρα-
143 σκευασαμένους. Ἦν δὲ τῶν τις 'Αθηναίων ἀνὴρ
ἐς πρώτους νεωστὶ παριὼν, τῷ οὔνομα [a] μὲν ἦν
2 Θεμιστοκλέης, παῖς δὲ Νεοκλέος ἐκαλέετο. οὗτος
ὡνὴρ οὐκ ἔφη πᾶν ὀρθῶς τοὺς χρησμολόγους [b] συμ-
βάλλεσθαι, λέγων τοιάδε· Εἰ ἐς 'Αθηναίους εἶχε τὸ
[c] ἔπος εἰρημένον [d] ἐόν κως, οὐκ ἂν [e] οὕτω μιν δοκέειν

vincit Themistoclis ratio, suadentis civibus, ut urbe relicta naves conscendant.

[c] ἀπήγγελον om. F. Pro ἀπελθόντες Schweigh. conj. ἐπελθόντες coll. 148. et V. 97. ἀπήγγελλον S. Ald. [d] Sic P.S.F. πολλαὶ καὶ ἄλλαι vulgo. [e] γίνονται F. [f] αἱ δὲ F. absque καί. [g] μετεξέτεροί τε M.P.K.F. [h] ῥυχῷ S.b. [i] συνεβάλοντο V. ξυνεβάλοντο F. [k] ἀφέντας F. [l] ὦν om. F. [m] ἔσφαλε F. [n] παρασκευασαμένους M.V.P.K.F.B.S. παρεσκευασμένους A. Ald.

143. [a] μὲν om. S. qui mox ἔφθη. [b] συμβαλέσθαι F. [c] πάθος S.V. Vall. d. pro v. l. probante Larchero. [d] ἐόντως e conj. Reiskii et Abreschii ed. Schæfer. et Bekker. [e] Sic M.P.F. Paris. οὕτως ἡμῖν S.V. Vall. οὕτω μοι K. Ald.

ἠπίως χρησθῆναι, ἀλλὰ ὧδε, "Ὦ [f] σχετλίη Σαλα-
"μὶς," ἀντὶ τοῦ "Ὦ θείη Σαλαμίς·" εἴπερ γε ἔμελ-
3 λον οἱ οἰκήτορες ἀμφ' αὐτῇ τελευτήσειν. ἀλλὰ γὰρ
ἐς τοὺς πολεμίους τῷ θεῷ εἰρῆσθαι τὸ χρηστήριον,
συλλαμβάνοντι κατὰ τὸ ὀρθὸν, ἀλλ' οὐκ ἐς Ἀθη-
4 ναίους. παρασκευάζεσθαι ὦν αὐτοὺς ὡς ναυμαχή-
σοντας συνεβούλευε, ὡς τούτου ἐόντος τοῦ ξυλίνου
5 τείχεος. Ταύτῃ [g] Θεμιστοκλέος ἀποφαινομένου,
[h] Ἀθηναῖοι ταῦτά σφι [i] ἔγνωσαν αἱρετώτερα εἶναι
[k] μᾶλλον ἢ τὰ τῶν χρησμολόγων· οἳ οὐκ ἔων ναυ-
μαχίην ἀρτέεσθαι, τὸ δὲ σύμπαν εἶναι, οὐδὲ χεῖρας
ἀνταείρεσθαι, ἀλλὰ ἐκλιπόντας χώρην τὴν Ἀττικὴν,
144 ἄλλην τινὰ οἰκίζειν. Ἑτέρη τε [a] Θεμιστοκλέϊ γνώμη
2 ἔμπροσθε ταύτης ἐς καιρὸν ἠρίστευσε. ὅτε Ἀθη-
ναίοισι γενομένων [b] χρημάτων μεγάλων ἐν τῷ κοινῷ,
τὰ ἐκ τῶν μετάλλων σφι προσῆλθε τῶν ἀπὸ [c] Λαυ-
ρείου, ἔμελλον [d] λάξεσθαι [e] ὀρχηδὸν ἕκαστος δέκα
δραχμάς· τότε Θεμιστοκλέης ἀνέγνωσε Ἀθηναίους,
τῆς διαιρέσιος ταύτης παυσαμένους, νέας τούτων τῶν
χρημάτων ποιήσασθαι διηκοσίας ἐς [f] τὸν πόλεμον, 570
3 τὸν πρὸς Αἰγινήτας [g] λέγων. οὗτος γὰρ ὁ πόλεμος
συστὰς [h] ἔσωσε τότε τὴν Ἑλλάδα, ἀναγκάσας θα-
4 λασσίους γενέσθαι Ἀθηναίους. αἱ δὲ, ἐς τὸ μὲν
ἐποιήθησαν, οὐκ ἐχρήσθησαν· ἐς δέον δὲ [i] οὕτω τῇ
Ἑλλάδι [k] ἐγένοντο. Αὗταί τε [l] δὴ αἱ νέες τοῖσι

Unde pecuniam Athenienses ad naves fabricandas sumserint.

[f] Sic M.V.P.S.K.F. Paris. σχετλία olim. Mox ἀφ' pro ἀμφ' S. [g] Sic S.V. Wessel. Θεμιστοκλέους F.d. Ald. cf. ad I. 180. [h] Ἀθηναίοις S.V. [i] ἔδοξαν K. Steph. marg. [k] μᾶλλον om. S.V.

144. [a] Θεμιστοκλέους d.F. pr. [b] μεγάλων χρημάτων S. Tum ἐν τῷ κοινῷ K.P. Vall. F.b.c. ἐκ τῶν κοινῶν S.a.d. Ald. [c] Λαυρίου S.b. qui προῆλθε. [d] λήξεσθαι V. λέξεσθαι S. [e] ὀρχηδὸν hinc Suid. et gl. ἡβηδὸν d. Mox διαιρέσεως S. [f] τὸν om. S.V. [g] λέγων S.V.K.F. Paris. λέγω vulgo. [h] ἔσσωσε omisso τότε S. cujus loco ἐς τὸ τότε P.F.b. [i] τοῦτο K. τούτῳ P.F. [k] ἐγίνοντο S. [l] δὴ om. F. νῆες S.

Ἀθηναίοισι προποιηθεῖσαι ὑπῆρχον, ἑτέρας τε ἔδεε
5 προσναυπηγέεσθαι. ἔδοξέ τε σφι, μετὰ τὸ χρηστή-
ριον [m] βουλευομένοισι, ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα τὸν
βάρβαρον [n] δέκεσθαι τῇσι νηυσὶ πανδημεὶ, τῷ θεῷ
πειθομένους, ἅμα Ἑλλήνων τοῖσι βουλομένοισι. τὰ
μὲν δὴ χρηστήρια ταῦτα τοῖσι Ἀθηναίοισι ἐγεγόνεε.

145 Consilia a Græcis ad hostes propulsandos inita.

Συλλεγομένων δὲ ἐς τὠυτὸ [a] τῶν περὶ τὴν Ἑλ-
λάδα Ἑλλήνων τῶν τὰ ἀμείνω φρονεόντων, καὶ
διδόντων σφίσι λόγον καὶ πίστιν, ἐνθαῦτα ἐδόκεε
βουλευομένοισι αὐτοῖσι, πρῶτον μὲν χρημάτων [b] πάν-
των καταλλάσσεσθαι τάς τε ἔχθρας καὶ τοὺς κατ'
2 ἀλλήλους ἐόντας πολέμους. [c] ἦσαν δὲ πρός τινας
καὶ ἄλλους ἐγκεχρημένοι· ὁ δὲ ὦν μέγιστος, Ἀθη-
ναίοισί τε καὶ Αἰγινήτῃσι. μετὰ δὲ, πυνθανόμενοι
[d] Ξέρξεα σὺν τῷ στρατῷ εἶναι ἐν Σάρδισι, ἐβου-
λεύσαντο κατασκόπους πέμπειν ἐς τὴν Ἀσίην τῶν
βασιλέος πρηγμάτων· ἐς Ἄργος τε ἀγγέλους, [e] ὁμαι-
χμίην συνθησομένους πρὸς τὸν Πέρσην, καὶ ἐς Σικε-
λίην ἄλλους πέμπειν παρὰ Γέλωνα τὸν Δεινομένεος,
ἔς τε [f] Κέρκυραν, [g] κελεύσοντας βοηθέειν τῇ Ἑλλάδι,
καὶ ἐς Κρήτην ἄλλους· φρονήσαντες εἴ κως ἕν τε
[h] γένοιτο τὸ Ἑλληνικὸν, καὶ εἰ συγκύψαντες τὠυτὸ
πρήσσοιεν πάντες, ὡς δεινῶν ἐπιόντων ὁμοίως [i] πᾶσι
3 Ἕλλησι. τὰ δὲ Γέλωνος πρήγματα μεγάλα ἐλέ- 571
γετο εἶναι, [k] οὐδαμῶν Ἑλληνικῶν τῶν οὐ [l] πολλὸν
μέζω.

[m] βουλομ. F. [n] ἀναδέκεσθαι S. Mox πανδημὶ P.

145. [a] τῶν Ἑλλήνων τῶν περὶ τὴν Ἑλλάδα τὰ ἀμ. Schæfer. Ἑλλήνων τῶν uncinis inclusit Bekker. Mox ἐδόκεεν αὐτοῖσι βουλευομένοισι S. [b] πάντων om. S. [c] ἔσαν] ἦσαν F.S. Mox ἐγκεκρημένοι Reiskius, ἐγηγερμένοι Bekkerus. [d] Ξέρξην K.S.V.F. Mox πέμπειν S. post Ἀσίην. [e] ὁμαιχμίην τε M.K.P.F. [f] Κέρκυρα F. [g] Sic S.V.P.a.c. κελεύοντας F.b.M. Ald. [h] γενοίατο S. Schæfer. [i] Sic S.V.K.F. Schæfer. πᾶσι τοῖσι Ἑ. Wessel. al. [k] οὐδαμὰ Steph. marg. [l] πολλῶν a.b.c. πολλῷ F.d.

Speculatores Sardes missos deprehensosque Xerxes incolumes dimittit,

146 Ὡς δὲ ταῦτά σφι ἔδοξε, καταλυσάμενοι τὰς ἔχθρας,
πρῶτα μὲν κατασκόπους πέμπουσι ἐς τὴν Ἀσίην ἄν-
2 δρας τρεῖς. οἱ δὲ, ἀπικόμενοί τε ἐς Σάρδις, καὶ κατα-
μαθόντες τὴν βασιλέος στρατιὴν, ὡς ἐπάϊστοι ἐγέ-
νοντο, βασανισθέντες ὑπὸ τῶν στρατηγῶν τοῦ πεζοῦ
στρατοῦ, ἀπήγοντο ὡς [a] ἀπολεύμενοι. καὶ τοῖσι μὲν
3 [b] κατακέκριτο θάνατος. Ξέρξης δὲ ὡς ἐπύθετο ταῦτα,
μεμφθεὶς τῶν στρατηγῶν τὴν γνώμην, πέμπει τῶν
τινας δορυφόρων, ἐντειλάμενος, ἢν καταλάβωσι τοὺς
4 κατασκόπους ζῶντας, ἄγειν [c] παρ' ἑωυτόν. ὡς δὲ ἔτι
περιεόντας αὐτοὺς κατέλαβον, καὶ ἦγον ἐς ὄψιν [d] τὴν
βασιλέος· τὸ ἐνθεῦτεν, πυθόμενος ἐπ' οἷσι ἦλθον,
[e] ἐκέλευέ σφεας τοὺς δορυφόρους περιάγοντας ἐπι-
δείκνυσθαι πάντα τε τὸν πεζὸν στρατὸν καὶ τὴν
ἵππον· [f] ἐπεὰν δὲ ταῦτα [g] θηεύμενοι ἔωσι πλήρεες,
ἀποπέμπειν ἐς τὴν ἂν αὐτοὶ [h] ἐθέλωσι χώρην ἀσινέας.

brevi post similiter parcens navigiis commeatum in Græciam advehentibus.

147 Ἐπιλέγων δὲ τὸν λόγον τόνδε ταῦτα ἐνετέλλετο, ὡς
[a] εἰ μὲν ἀπώλοντο οἱ κατάσκοποι, οὔτε ἂν τὰ ἑωυτοῦ
πρήγματα προεπύθοντο οἱ Ἕλληνες, ἐόντα λόγου
μέζω· οὔτ' ἄν τι τοὺς πολεμίους μέγα ἐσινέατο, ἄν-
δρας τρεῖς ἀπολέσαντες· νοστησάντων δὲ τούτων ἐς
τὴν Ἑλλάδα, δοκέειν, ἔφη, ἀκούσαντας τοὺς Ἕλ-
ληνας τὰ ἑωυτοῦ πρήγματα, πρὸ τοῦ στόλου τοῦ
γινομένου παραδώσειν σφέας τὴν ἰδίην ἐλευθερίην,
καὶ [b] οὕτω οὐδὲ δεήσειν ἐπ' αὐτοὺς στρατηλατέοντας
2 πρήγματα ἔχειν. [c] Οἶκε δὲ αὐτοῦ αὕτη ἡ γνώμη

146. [a] ἀπολεύμενοι S.V. ἀπολούμενοι F. olim. [b] κατακέκριτο S.V.F. Schæfer. κατεκέκριτο Ald. Wessel. Tum τὴν γνώμην τῶν στρατηγῶν S. [c] περὶ S. [d] τοῦ βασ. S. qui supra ἤγαγον. [e] Sic P.F. ἐκέλευσε S. Wessel. Bekker. al. [f] Sic S.V. Schæfer. Vulg. ἐπήν. [g] Sic P.K.V.S.F. Paris. cf. 44. 212. VIII. 88. θεεύμενοι olim. [h] θέλωσι S.V.

147. [a] ἢν μὲν S.V. [b] οὕτως οὐ S.V. οὕτως οὐδὲ F. Mox πράγματα S. [c] ἔοικε P.K.F.b.f.

[d] τῇ γε ἄλλῃ. ἐὼν γὰρ ἐν Ἀβύδῳ ὁ Ξέρξης, εἶδε
πλοῖα ἐκ τοῦ Πόντου σιταγωγὰ διεκπλώοντα τὸν
Ἑλλήσποντον, ἔς τε Αἴγιναν καὶ Πελοπόννησον
3 κομιζόμενα. οἱ μὲν δὴ πάρεδροι αὐτοῦ, ὡς ἐπύθοντο
πολέμια εἶναι τὰ πλοῖα, ἑτοῖμοι ἦσαν αἱρέειν αὐτὰ,
ἐσβλέποντες ἐς τὸν βασιλέα, ὁκότε παραγγελέει. ὁ
δὲ Ξέρξης εἴρετο αὐτοὺς, ὅκη πλέοιεν· οἱ δὲ εἶπαν·
" Ἐς τοὺς σοὺς πολεμίους, [e] ὦ δέσποτα, σῖτον ἄγον-
4 " τες." ὁ δὲ ὑπολαβὼν ἔφη· " οὐκ ὦν καὶ ἡμεῖς
" ἐκεῖ πλέομεν, ἔνθαπερ [f] καὶ οὗτοι, τοῖσί τε ἄλλοισι
5 " [g] ἐξηρτυμένοι καὶ σίτῳ; τί δῆτα ἀδικέουσι οὗτοι, 572
" ἡμῖν σιτία παρακομίζοντες;" Οἱ μέν νυν κατά-
σκοποι, οὕτω θεησάμενοί τε καὶ ἀποπεμφθέντες,
ἐνόστησαν ἐς τὴν Εὐρώπην.

148 Argivi a cæteris Græcis ad societatem invitati,

Οἱ δὲ συνωμόται Ἑλλήνων ἐπὶ τῷ Πέρσῃ, μετὰ
τὴν ἀπόπεμψιν τῶν κατασκόπων, δεύτερα ἔπεμπον
2 ἐς Ἄργος ἀγγέλους. Ἀργεῖοι δὲ λέγουσι τὰ κατ'
ἑωυτοὺς γενέσθαι ὧδε· πυθέσθαι γὰρ αὐτίκα κατ'
ἀρχὰς τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα ἐπὶ τὴν Ἑλ-
3 λάδα. πυθόμενοι δὲ, καὶ μαθόντες ὥς σφεας οἱ
Ἕλληνες [a] πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν
Πέρσην, πέμψαι θεοπρόπους ἐς Δελφοὺς, τὸν θεὸν
[b] ἐπειρησομένους ὥς σφι μέλλει ἄριστον [c] ποιεῦσι
γενέσθαι· νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχι-
λίους ὑπὸ Λακεδαιμονίων καὶ Κλεομένεος τοῦ Ἀναξ-

[d] τῇ τε f. An τῇδε ἄλλῃ Matthiæ. Mox οἶδε S. pro εἶδε. [e] Sic V.P.K.F. Paris. ὦ βασιλεῦ S. ὦ om. edd. vett. [f] καὶ om. S.K.P. F.f. qui om. τε post τοῖσι. [g] Sic S.V.a.c.b. Ald. ἐξηρτημένοι M.K. P.F.d.f. Suidas: Ἐξηρτυμένος παρὰ Ἡροδότῳ κατεσκευασμένος, ἡτοιμασμένος.

148. [a] Sic M.S.V.P.K. Paris. conf. Wessel. ad I. 77. παρήσονται olim. In pr. συνομόται S. [b] εἰρησ. S.V. ἐπηρησ. F. [c] ποιεῦσι S.V. Wessel. ποιέουσι F. et olim.

4 ἀνδρίδεω. [d] τῶνδε δὴ εἵνεκα πέμπειν· τὴν δὲ Πυθίην ἐπειρωτῶσι αὐτοῖσι ἀνελεῖν τάδε·

[e] Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσι,
εἴσω τὸν προβόλαιον ἔχων, πεφυλαγμένος ἧσο,
καὶ κεφαλὴν πεφύλαξο· [f] κάρη δὲ τὸ σῶμα [g] σαώσει.

5 ταῦτα μὲν τὴν Πυθίην χρῆσαι πρότερον· μετὰ δὲ, ὡς ἐλθεῖν τοὺς ἀγγέλους ἐς δὴ τὸ Ἄργος, [h] ἐπελθεῖν
6 ἐπὶ τὸ βουλευτήριον, καὶ λέγειν τὰ ἐντεταλμένα. τοὺς δὲ πρὸς τὰ λεγόμενα ὑποκρίνασθαι, ὡς ἑτοῖμοί εἰσι Ἀργεῖοι ποιέειν ταῦτα, τριήκοντα ἔτεα εἰρήνην [i] σπεισάμενοι Λακεδαιμονίοισι, καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης· καίτοι κατά γε τὸ δίκαιον γίνεσθαι τὴν ἡγεμονίην ἑωυτῶν, ἀλλ' ὅμως
149 σφι ἀποχρᾶν κατὰ τὸ ἥμισυ ἡγεομένοισι. Ταῦτα μὲν λέγουσι τὴν βουλὴν ὑποκρίνασθαι, καίπερ ἀπαγορεύοντός σφι τοῦ χρηστηρίου μὴ ποιέεσθαι τὴν πρὸς τοὺς Ἕλληνας συμμαχίην· σπουδὴν δὲ ἔχειν σπονδὰς γενέσθαι [a] τριηκονταέτιδας, καίπερ τὸ χρηστήριον φοβεομένοισι, ἵνα δή σφι οἱ παῖδες ἀνδρωθέωσι ἐν τούτοισι τοῖσι ἔτεσι· μὴ δὲ σπονδέων ἐουσέων, ἐπιλέγεσθαι, ἢν ἄρα σφέας καταλάβῃ πρὸς τῷ γεγονότι κακῷ ἄλλο παῖσμα πρὸς τὸν Πέρσην,
2 μὴ [b] τὸ λοιπὸν ἔωσι [c] Λακεδαιμονίων ὑπήκοοι. Τῶν δὲ ἀγγέλων [d] τοὺς ἀπὸ τῆς Σπάρτης πρὸς τὰ ῥηθέντα ἐκ [e] τῆς βουλῆς ἀμείψασθαι [f] τοῖσδε· περὶ μὲν σπον- 573

auxilio venire recusant, sive quod Lacedæmoniorum arrogantia offensi essent,

[d] τῶν δὴ F. Bekker. [e] Euseb. Præp. VI. 7. Chalcid. in Tim. c. 7. p. 342. ed. Fabric. [f] κάρα M.P.K.b. κάρα τὸ absque δὲ F. [g] φυλάξει S. [h] Sic M.P.K.F. cf. IX. 6. et 11. ἐσελθεῖν S.a.c. vulg. [i] σπεισόμενοι M.P.F.b. πεισόμενοι K. εἰρῆν σπεισάμενοι S. qui mox καίτοι γε κατὰ τὸ δ.

149. [a] τριηκοντοέ. F.a. [b] τὸν λοιπὸν K.P.F. [c] Sic S.V.F. Vulgo τῶν Λακεδ. [d] τῶν ἀπὸ F.b. [e] τῆς om. S.V. [f] τοῖσιδε F. Bekker. Mox σφίσι S. pro σφι. Tum τὸν ἐκ Σπ.

δέων ἀνοίσειν ἐς τοὺς πλεῦνας· περὶ δὲ ἡγεμονίης
αὐτοῖσι ἐντετάλθαι ὑποκρίνασθαι, καὶ δὴ λέγειν, σφὶ
μὲν εἶναι δύο βασιλέας, Ἀργείοισι δὲ ἕνα· οὔκων
δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι
3 τῆς ἡγεμονίης. μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψη-
4 φον τὸν [g] Ἀργεῖον εἶναι, [h] κωλύειν οὐδέν. Οὕτω
δὴ [i] οἱ Ἀργεῖοί φασι οὐκ ἀνασχέσθαι τῶν Σπαρτιη-
τέων τὴν πλεονεξίην, ἀλλ' ἑλέσθαι μᾶλλον ὑπὸ τῶν
βαρβάρων ἄρχεσθαι, [k] ἤ τι ὑπεῖξαι Λακεδαιμονίοισι·
προειπεῖν [l] τε τοῖσι ἀγγέλοισι, πρὸ [m] δύντος ἡλίου
ἀπαλλάσσεσθαι ἐκ τῆς Ἀργείων χώρης· εἰ δὲ μὴ,
περιέψεσθαι ὡς πολεμίους.

150 Αὐτοὶ μὲν Ἀργεῖοι τοσαῦτα [a] τούτων πέρι λέ-
γουσι. Ἔστι δὲ ἄλλος λόγος λεγόμενος ἀνὰ τὴν
Ἑλλάδα, ὡς Ξέρξης ἔπεμψε κήρυκα ἐς Ἄργος, πρό-
τερον ἤ περ ὁρμῆσαι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα.
2 ἐλθόντα δὲ τοῦτον λέγεται [b] εἰπεῖν· "Ἄνδρες Ἀρ-
"γεῖοι, βασιλεὺς Ξέρξης τάδε ὑμῖν λέγει. Ἡμεῖς
"νομίζομεν Πέρσην εἶναι, ἀπ' οὗ ἡμεῖς γεγόναμεν,
"παῖδα Περσέος τοῦ Δανάης, γεγονότα ἐκ τῆς
3 "Κηφέος θυγατρὸς [c] Ἀνδρομέδης. οὕτω ἂν ὦν
"εἴημεν ὑμέτεροι ἀπόγονοι. οὔτε ὦν ἡμέας [d] οἰκὸς
"ἐπὶ τοὺς ἡμετέρους προγόνους [e] ἐκστρατεύεσθαι,
"οὔτε ὑμέας ἄλλοισι τιμωρέοντας, ἡμῖν [f] ἀντιξόους
"[g] γενέσθαι, ἀλλὰ παρ' ὑμῖν αὐτοῖσι ἡσυχίην ἔχοντας
"κατῆσθαι. ἢν γὰρ ἐμοὶ γένηται κατὰ νόον, οὐδα-

seu quod partibus Persarum occulte faverent.

[g] Sic S.V. Vall. F. Paris. Ἀργείων Ald. al. [h] Sic M.P.K.V.S.F. Paris. κωλύει olim. [i] οἱ om. F. [k] Sic P.K.M.F.b. τι om. S.a.c.d. Ald. [l] δὲ pro τε S.V.c. [m] δύνοντος S.

150. [a] περὶ τούτ. K.P.F. [b] εἶπαι] εἰπεῖν S.V.K.P.F. Alterum Bekker. [c] Ἀνδρομέδου S. [d] Sic S.F. Paris. Eustath. p. 759, 2 = 661, 48. εἰκὸς Ald. [e] στρατεύεσθαι] ἐκστρατεύεσθαι F.S. Simplicem Bekker. [f] ἀντιξόους P.V.S.A.B. Ald. ἀντίξους M.K.F. [g] γίνεσθαι F.b. Mox καθῆσθαι S.

4 " μοὺς μέζονας ὑμέων [h] ἄξω." Ταῦτα ἀκούσαντας
Ἀργείους λέγεται πρῆγμα ποιήσασθαι, καὶ παρα-
χρῆμα μὲν οὐδὲν [i] ἐπαγγελλομένους μεταιτέειν· ἐπεὶ
δέ σφεας παραλαμβάνειν τοὺς Ἕλληνας, [k] οὕτω δὴ,
ἐπισταμένους ὅτι οὐ μεταδώσουσι [l] τῆς ἀρχῆς Λακε- 574
δαιμόνιοι, μεταιτέειν, ἵνα ἐπὶ προφάσιος ἡσυχίην
151 ἄγωσι. Συμπεσεῖν δὲ τούτοισι καὶ τόνδε τὸν λόγον
λέγουσί τινες Ἑλλήνων, πολλοῖσι ἔτεσι ὕστερον
2 γενόμενον τούτων. τυχεῖν ἐν Σούσοισι τοῖσι [a] Μεμνο-
νίοισι ἐόντας ἑτέρου πρήγματος εἵνεκα ἀγγέλους
Ἀθηναίων, Καλλίην τε τὸν Ἱππονίκου, καὶ τοὺς
3 [b] μετὰ τούτου ἀναβάντας. Ἀργείους δὲ, τὸν [c] αὐτὸν
τοῦτον χρόνον πέμψαντας καὶ τούτους ἐς Σοῦσα
ἀγγέλους, εἰρωτᾶν [d] Ἀρταξέρξεα τὸν Ξέρξεω εἴ σφι
ἔτι [e] ἐμμένει τὴν πρὸς Ξέρξεα φιλίην συνεκεράσαντο,
4 ἢ νομιζοίατο πρὸς αὐτοῦ εἶναι πολέμιοι. βασιλέα δὲ
Ἀρταξέρξεα μάλιστα [f] ἐμμένειν, φάναι, καὶ [g] οὐδε-
152 μίαν νομίζειν πόλιν Ἄργεος φιλιωτέρην. Εἰ [a] μέν Quid Herodoto hac de re videatur.
νυν Ξέρξης [b] τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα
ἐς Ἄργος, καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα
ἐπειρώτων Ἀρταξέρξεα περὶ φιλίης, οὐκ ἔχω ἀτρε-
κέως [c] εἰπεῖν· οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαί-
νομαι ἄλλην γε ἢ τήνπερ αὐτοὶ Ἀργεῖοι [d] λέγουσι.

[h] ἕξω S.V.K. forte F. Supra οὐδαμῶς Ald. [i] Sic M.K.P.F. Paris. Alii ἀπαγγ. [k] αὐτὸ δὴ Plutarch. II. p. 863 C. [l] τὰ τῆς ἀ. V.S.

151. [a] Sic P.S.V.F. Schæfer. Vulgo Μεμνονείοισι. cf. V. 53. Supra πολλοῖσί τε ἔτεσι S. [b] μετὰ τούτους b. [c] αὐτὸν αὐτὸν τοῦτον τὸν χρ. S. [d] Sic b. Vall. Ἀρτοξ. Wessel. al. Ἀρτοξέρξην S. [e] ἐμμένειν ἐθέλουσι τὴν P.K.F.b. τῇ πρὸς Ξερξέα φιλίῃ conj. Bekkerus. Mox Ξέρξην F.S. Infra Ἀρτοξέρξην S. [f] ἐπιμένειν V.S.d. [g] οὐδεμίαν F. οὐδεμίην S. vulg.

152. [a] Sic M.P.K.F. Paris. S. νυν al. om. [b] τε om. a.S. Ald. Mox Ἀρτοξέρξεα S. [c] εἰπεῖν M.P.S.V.F. εἶπαι vulg. Bekker. [d] λέγουσι om. S.V.

2 Ἐπίσταμαι δὲ [e] τοσοῦτο, ὅτι, εἰ πάντες ἄνθρωποι
τὰ οἰκήϊα κακὰ ἐς μέσον [f] συνενείκαιεν, [g] ἀλλάξασθαι
βουλόμενοι τοῖσι πλησίοισι, [h] ἐγκύψαντες ἂν ἐς τὰ
τῶν [i] πέλας κακὰ, ἀσπασίως ἕκαστοι αὐτῶν [k] ἀπο-
φεροίατο ὀπίσω τὰ [l] ἐσενείκαντο. οὕτω δὴ οὐκ Ἀρ-
3 γείοισι αἴσχιστα πεποίηται. [m] Ἐγὼ δὲ ὀφείλω
λέγειν τὰ λεγόμενα, πείθεσθαί [n] γε μὴν οὐ παντά-
πασι ὀφείλω· καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα
4 [o] τὸν λόγον. Ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα
Ἀργεῖοι ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ
τὴν Ἑλλάδα, ἐπειδή σφι πρὸς [p] τοὺς Λακεδαιμονίους
κακῶς ἡ αἰχμὴ [q] ἑστήκεε, πᾶν δὴ βουλόμενοί σφι
[r] εἶναι πρὸ τῆς παρεούσης λύπης. Τὰ μὲν περὶ
Ἀργείων εἴρηται.

153 Missi et in Siciliam ad Gelonem legati. Majores Gelonis.

Ἐς δὲ τὴν Σικελίην ἄλλοι τε [a] ἀπίκατο ἄγγελοι
ἀπὸ τῶν συμμάχων, [b] συμμίξοντες Γέλωνι· καὶ δὴ
2 καὶ ἀπὸ τῶν Λακεδαιμονίων [c] Σύαγρος. Τοῦ δὲ
Γέλωνος τούτου πρόγονος, οἰκήτωρ [d] ἐὼν Γέλης, ἦν
ἐκ νήσου Τήλου, τῆς ἐπὶ [e] Τριοπίῳ κειμένης· ὃς
κτιζομένης Γέλης ὑπὸ Λινδίων τε τῶν ἐκ Ῥόδου,

[e] τοσοῦτον S.V.P. τοσούτῳ F. Stobæi ed. Trinc. 98, 74. [f] Sic S.V.A.B. Ald. Pythagorei fr. ap. Galeum p. 716. Wesselingio citat. αἵ τινες τὰ αἰσχρὰ ἐκ τῶν ἐθνέων πάντοθεν συνενείκαιεν. συνενείκααν M. K. συνένεικαι P. qui e corr. συνένεικαν. συνενεῖκαι F. συνενείκαιαν b. συνενέγκαιεν Stob. [g] ἀλλάξεσθαι P. ἀλλάξαι S.V. [h] Sic S.V. Stob. ἐσκύψαντες al. [i] ἄλλων Stob. [k] ἐπιφεροίατο Stob. [l] ἐσηνείκ. S. V.P. ἐσηνείκατο F. εἰσηνέγκαντο Stob. Mox οὕτως οὐκ absque δὴ S. [m] ἐγὼ δὲ etc. Plutarch. II. p. 863 D. [n] γε μὲν ὦν S.V. γε μὴν absque ὦν vulg. cum Plutarcho. μὲν tamen F. et sic Bekker. [o] τὸν om. S.V.F. [p] Sic Plut. P.K.F. Paris. τοὺς om. edd. vett. S. [q] ἕστηκε S.V. Eustath. Il. p. 680, 16=553, 47. [r] προσεῖναι τῆς Plut.

153. [a] Sic M.S.V.P.K.F. ἀπικέατο a. Ald. [b] συμμίξαντες P.F. Mox τῶν ante Λακεδ. om. S. [c] Athenæus IX. p. 401 D. [d] Sic Schæfer. ὁ ἐν Γέλῃ edd. mss. et sic Bekker. ὁ deletum voluit Reiskius. [e] Τριόπεω S. Τρισπίω K.

3 καὶ [f] Ἀντιφήμου, οὐκ [g] ἐλείφθη. ἀνὰ χρόνον δὲ
αὐτοῦ οἱ ἀπόγονοι γενόμενοι ἱροφάνται τῶν χθονίων
θεῶν, διετέλεον ἐόντες, Τηλίνεω ἑνός τευ τῶν προ-
4 γόνων [h] κτησαμένου τρόπῳ τοιῷδε. Ἐς Μακτώριον
πόλιν τὴν ὑπὲρ Γέλης οἰκημένην ἔφυγον ἄνδρες
Γελώων, ἑσσωθέντες στάσι. τούτους ὦν ὁ Τηλίνης
κατήγαγε ἐς Γέλην, ἔχων οὐδεμίαν ἀνδρῶν δύναμιν,
5 ἀλλ' ἱρὰ τούτων τῶν θεῶν. [i] ὅθεν δὲ αὐτὰ ἔλαβε, ἢ
αὐτὸς ἐκτήσατο, [k] τοῦτο οὐκ ἔχω [l] εἰπεῖν. τούτοισι
δ' ὦν [m] πίσυνος ἐὼν, κατήγαγε ἐπ' ᾧ τε οἱ ἀπόγονοι
6 αὐτοῦ ἱροφάνται τῶν θεῶν ἔσονται. [n] θῶμά μοι ὦν
καὶ τοῦτο γέγονε πρὸς τὰ πυνθάνομαι [o] κατεργά-
σασθαι Τηλίνην ἔργον τοσοῦτον· τὰ τοιαῦτα γὰρ
ἔργα οὐ πρὸς τοῦ ἅπαντος ἀνδρὸς νενόμικα [p] γί-
νεσθαι, ἀλλὰ πρὸς ψυχῆς τε ἀγαθῆς καὶ ῥώμης
ἀνδρηΐης· ὁ δὲ λέγεται πρὸς τῆς Σικελίης τῶν οἰκη-
τόρων τὰ ὑπεναντία τούτων, πεφυκέναι θηλυδρίης
7 τε καὶ μαλακώτερος ἀνήρ. οὕτω μέν νυν ἐκτήσατο
154 τοῦτο [q] τὸ γέρας. Κλεάνδρου δὲ τοῦ [a] Παντάρεος
τελευτήσαντος τὸν βίον, ὃς [b] ἐτυράννευσε μὲν Γέλης
ἑπτὰ ἔτεα, ἀπέθανε δὲ ὑπὸ Σαβύλλου ἀνδρὸς Γελώου,
ἐνθαῦτα [c] ἀναλαμβάνει τὴν μουναρχίην Ἱπποκράτης,

Is qua ratione primum Gelæ, post Syracusarum tyrannus factus sit,

[f] Sic unus ms. teste Wesseling. ut correxit Scaliger in Euseb. p. 80. ex Pausan. VIII. 46. Schol. Pindar. Ol. II. 14. Athenæo VII. p. 297 F. add. Steph. Byz. v. Γέλα. Ἀντιοφ. ceteri. ἀντιοφήμου S. [g] Sic M.P.S.K.F. Paris. ἐλήφθη al. Mox ἑνὸς τοῦ τῶν S. [h] κτισαμένου S. Vall. κατησάμενος F. qui mox γαίης pro Γέλης. Infra στάσει ἑσσωθέντες S. Tum οὐδεμίαν F. ubi S. et vulg. οὐδεμίην. [i] κόθεν b. [k] Sic K.P.F. τοῦτο δὲ οὐκ S. alii. [l] εἰπεῖν F.S. εἶπαι vulg. Bekker. [m] πίσσυνος S. [n] Sic S.V.K.F. θῶυμα Ald. θώϋμα vulgo. Mox ὦν om. S.V. [o] κατεργάσθαι Steph. marg. κατεργᾶσθαι F. [p] γενέσθαι S. [q] τὸ om. S.

154. [a] Παντάρεος M.P.K. Πανδάρεως F. Παντάρνεος b. Πατάρεος (vel Παταρέος) Ald. a.c.d.S. [b] ἐτυράννησε unus ms. apud Wessel. [c] λαμβάνει S.V. Mox μοναρχ. F.

2 Κλεάνδρου [d] ἐὼν ἀδελφεός. ἔχοντος δὲ Ἱπποκράτεος
τὴν τυραννίδα, ὁ Γέλων, ἐὼν Τηλίνεω τοῦ ἱροφάντεω
ἀπόγονος, πολλῶν μετ' ἄλλων καὶ [e] Αἰνησιδήμου
τοῦ Παταϊκοῦ [f] ὃς ἦν δορυφόρος Ἱπποκράτεος· μετὰ
δὲ οὐ πολλὸν χρόνον δι' ἀρετὴν ἀπεδέχθη πάσης
3 τῆς ἵππου εἶναι ἵππαρχος. πολιορκέοντος [g] γὰρ
Ἱπποκράτεος Καλλιπολίτας τε καὶ Ναξίους, καὶ
Ζαγκλαίους τε καὶ Λεοντίνους, καὶ πρὸς, [h] Συρηκου- 576
σίους τε καὶ τῶν βαρβάρων συχνοὺς, ἀνὴρ ἐφαίνετο
ἐν τούτοισι τοῖσι [i] πολέμοισι ἐὼν ὁ Γέλων λαμπρό-
4 τατος. τῶν δὲ εἶπον [k] πολίων, [l] τουτέων, πλὴν
[m] Συρηκουσέων, οὐδεμία πέφευγε δουλοσύνην πρὸς
Ἱπποκράτεος. Συρηκουσίους δὲ Κορίνθιοί τε καὶ
Κερκυραῖοι [n] ἐρρύσαντο, μάχῃ [o] ἑσσωθέντας ἐπὶ πο-
5 ταμῷ [p] Ἐλώρῳ. ἐρρύσαντο [q] δὲ οὗτοι, ἐπὶ τοῖσδε
[r] καταλλάξαντες, ἐπ' ᾧτε Ἱπποκράτεϊ [s] Καμάριναν
Συρηκουσίους παραδοῦναι· Συρηκουσίων δὲ ἦν Κα-
155 μάρινα τὸ ἀρχαῖον. Ὡς δὲ καὶ Ἱπποκράτεα, [a] τυραν-
νεύσαντα ἴσα ἔτεα τῷ ἀδελφεῷ Κλεάνδρῳ, κατέλαβε
ἀποθανεῖν πρὸς [b] πόλι Ὕβλῃ, στρατευσάμενον ἐπὶ
τοὺς Σικελούς· οὕτω δὴ ὁ Γέλων, τῷ λόγῳ τιμωρέων
τοῖσι Ἱπποκράτεος παισὶ Εὐκλείδῃ τε καὶ [c] Κλεάν-
δρῳ οὐ βουλομένων τῶν πολιητέων [d] κατηκόων ἔτι

[d] ἀδελφεὸς ἐὼν P. ἐὼν ἀδελφεὸς Κλεάνδρου S. [e] Αἰνεσιδ. S.V. Mox Παταίκου S. [f] ὃς ἦν δορ. mss. edd. ὃς delevit Schweigh. cum Reiskio. Signa lacunæ post Ἱπποκράτεος ponit Bekkerus. τέως ἦν Schæfer. Mox Ἱπποκράτεω b. [g] δὲ Ἱππ. F. [h] Συρηκοσ. V.K.P. Συρρηκουσίους καὶ S. [i] Ita perspicue S. ut correxit Schæferus e Vallæ versione. πολεμίοισι vulgo. [k] πολέων F. [l] πασέων S. Vall. Mox οὐδεμία S.F. [m] Sic F. Συρηκουσίων vulg. Συρρηκοσίων S. qui infra Συρρηκοσίους. [n] ἐρύσαντο F. et mox. [o] ἑσσωθέντες S. [p] Ἑλλώρῳ b. [q] δὲ καὶ οὗτοι F. Bekker. [r] Sic P. καταλέξαντες S. al. [s] συρρηκοσίους καμαρῖναν· συρρηκοσίων S.

155. [a] τυραννεύσαντα om. S. Tum ἔτεα om. K. [b] πόλιν Ὕβλην S.d. πόλει Ὕβλῃ F. [c] Κασσάνδρῳ M.P. Κασάνδρῳ K.F.b. [d] κατήκοον εἶναι τὸ ἔργον b.

εἶναι, τῷ ἔργῳ, ὡς ἐπεκράτησε μάχῃ τῶν Γελώων,
ἦρχε αὐτὸς, ἀποστερήσας τοὺς Ἱπποκράτεος παῖδας.
2 μετὰ δὲ τοῦτο τὸ εὕρημα, τοὺς γαμόρους καλεομένους
τῶν [e] Συρηκουσίων ἐκπεσόντας ὑπό τε τοῦ δήμου
καὶ τῶν σφετέρων δούλων καλεομένων δὲ [f] Κυλλυ-
ρίων, ὁ Γέλων καταγαγὼν τούτους ἐκ [g] Κασμένης
3 πόλιος ἐς τὰς Συρηκούσας, ἔσχε καὶ ταύτας. ὁ γὰρ
δῆμος ὁ τῶν Συρηκουσίων ἐπιόντι Γέλωνι παραδιδοῖ
156 τὴν πόλιν καὶ ἑωυτόν. Ὁ δὲ ἐπεί τε παρέλαβε τὰς
Συρηκούσας, Γέλης μὲν ἐπικρατέων λόγον ἐλάσσω
ἐποιέετο, ἐπιτρέψας αὐτὴν [a] Ἱέρωνι ἀδελφεῷ ἑωυτοῦ·
ὁ δὲ τὰς Συρηκούσας ἐκράτυνε, καὶ ἦσαν [aa] ἅπαντα
2 αἱ Συρήκουσαι. αἱ δὲ παραυτίκα ἀνά τ' ἔδραμον
καὶ [b] ἀνέβλαστον. τοῦτο μὲν γὰρ, [c] Καμαριναίους
ἅπαντας ἐς τὰς [d] Συρηκούσας ἀγαγὼν, πολιήτας
ἐποίησε, Καμαρίνης δὲ τὸ ἄστυ κατέσκαψε· τοῦτο
δὲ, Γελώων ὑπερημίσεας τῶν ἀστῶν τὠυτὸ τοῖσι 577
3 Καμαριναίοισι ἐποίησε. Μεγαρέας τε τοὺς ἐν Σικε-
λίῃ, ὡς πολιορκεόμενοι ἐς ὁμολογίην προσεχώρησαν,
τοὺς μὲν αὐτῶν [e] παχέας [f] ἀειραμένους τε πόλεμον
αὐτῷ, καὶ [g] προσδοκέοντας ἀπολέεσθαι διὰ τοῦτο,
ἄγων ἐς τὰς Συρηκούσας, πολιήτας ἐποίησε· τὸν
δὲ δῆμον τῶν Μεγαρέων, οὐκ ἐόντα μεταίτιον τοῦ
πολέμου τούτου, οὐδὲ προσδεκόμενον [h] κακὸν οὐδὲν

quibusque artificiis Syracusas mirum in modum auxerit.

[e] Συρακουσέων F. Συρρηκοσίων S. [f] Sic Ald. S.F.a.c. Κυλυρρίων Steph. marg. Κιλλυρίων M.K. Vall. Κυλληρίων P. Κιλλικυρίων Hesych. [g] Κασμέλης S.

156. [a] Γέλωνι S. qui supra Συρρηκ. Idem mox ἑωυτῶ. et συρα-κούσας. [aa] οἱ πάντα Matthiæ et Bekker. [b] Sic V.F.a.c.d. Ald. ἔβλαστον M.P.K. ἔκβλαστον S. et d. marg. [c] Ἀκαμαρ. F. et mox μακαρίης pro Καμαρίνης. [d] Συρηκόσας K. συρακ. S. [e] παγχέας b. [f] Sic K.M.P. ἀειρομένους F.S.a.b. al. [g] προσδοκῶντας S.V. ἀπο-λεῖσθαι V. Tum Συρρακούσας S. et mox. Infra ἀγαγὼν Matth. Bekker. [h] κακὸν om. S. Vall.

πείσεσθαι, ἀγαγὼν καὶ τούτους ἐς τὰς Συρηκού-
4 σας, ἀπέδοτο [i] ἐπ' ἐξαγωγῇ ἐκ Σικελίης. τὠυτὸ δὲ
τοῦτο καὶ Εὐβοέας τοὺς ἐν Σικελίῃ ἐποίησε, δια-
κρίνας. ἐποίεε δὲ ταῦτα [k] τούτους ἀμφοτέρους, νομί-
σας δῆμον εἶναι συνοίκημα [l] ἀχαριτώτατον. Τοιούτῳ
μὲν τρόπῳ τύραννος [m] ἐγεγόνεε μέγας ὁ Γέλων.

157 Legatorum suppetias Græciæ rogantium cum eo colloquium.

Τότε δὲ, ὡς οἱ ἄγγελοι τῶν Ἑλλήνων [a] ἀπίκατο ἐς
τὰς Συρηκούσας, ἐλθόντες αὐτῷ ἐς λόγους, ἔλεγον
2 τάδε· "Ἔπεμψαν ἡμέας Λακεδαιμόνιοί [b] τε καὶ οἱ
"Ἀθηναῖοι, καὶ οἱ τούτων σύμμαχοι, [c] παραλαμψο-
"μένους σε [d] πρὸς τὸν βάρβαρον· τὸν γὰρ ἐπιόντα
"ἐπὶ τὴν Ἑλλάδα πάντως κου πυνθάνεαι· ὅτι Πέρ-
"σης ἀνὴρ [e] μέλλει, ζεύξας τὸν Ἑλλήσποντον, καὶ
"ἐπάγων πάντα τὸν ἠῷον στρατὸν ἐκ τῆς Ἀσίης,
"[f] στρατηλατήσειν ἐπὶ τὴν Ἑλλάδα· πρόσχημα μὲν
"ποιεύμενος ὡς ἐπ' Ἀθήνας [g] ἐλαύνει, ἐν [h] νόῳ δὲ
"ἔχων πᾶσαν τὴν Ἑλλάδα ὑπ' ἑωυτῷ ποιήσασθαι.
3 "Σὺ δὲ δυνάμιός τε ἥκεις μεγάλης, καὶ μοῖρά τοι
"[i] τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα, ἄρχοντί γε Σι-
"κελίης· βοήθει τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα,
4 "καὶ συνελευθέρου. ἁλὴς μὲν γὰρ [k] γινομένη πᾶσα
"ἡ Ἑλλὰς, [l] χεὶρ μεγάλη συνάγεται, καὶ ἀξιόμαχοι

[i] ἐξαγαγὼν γῇ ἐκ Σικ. absque ἐπ' F. [k] τοὺς ἀμφ. F. [l] Sic S.V.P.K.F.a.c.d. cf. I. 207. ἀχαριστότατον Ald. al. ἀχαρίτωτον b. [m] μέγας ἐγεγόνεε Γελων S.

157. [a] ἀπίκατο M.P.S.V.K.F. Paris. ἀπικέατο edd. vett. Supra οἱ ante ἄγγελοι om. S. [b] τε καὶ οἱ Ἀθηναῖοι] Ita S. καὶ Ἀθηναῖοι tanquam ex hoc ms. V. Eton. Vall. edidit Wesseling. adfuisse enim Atheniensium legatum ex cap. 161. Schol. Pindar. Pyth. I. fin. patere. Vulgo desunt τε καὶ οἱ Ἀθηναῖοι. τε et οἱ om. Bekker. Mox σύμμαχοι τούτων S. [c] παραληψ. S.V. [d] τοὺς πρὸς βάρβαρον F. [e] μελλει om. S.V. qui mox om. καί. [f] Sic M.K.P.B. ἐστρατηλάτησεν S.V. στρατηλατέειν A.F. Ald. [g] ἐλαύνειν F. [h] νῷ S. [i] τῆς om. S.V. [k] Sic F. γενομένη S. Wessel. al. Supra ἅλις S. [l] χειρὶ μεγάλῃ συλλέγεται S.V.

5 " [m] γινόμεθα τοῖσι ἐπιοῦσι· ἢν δὲ [n] ἡμέων οἱ μὲν
" καταπροδιδῶσι, οἱ δὲ μὴ [o] θέλωσι τιμωρέειν, τὸ δὲ
" ὑγιαῖνον τῆς Ἑλλάδος ᾖ ὀλίγον, [p] τοῦτο δὲ ἤδη
6 " δεινὸν γίνεται, μὴ πέσῃ πᾶσα [q] ἡ Ἑλλάς. Μὴ γὰρ
" ἐλπίσῃς, ἢν ἡμέας καταστρέψηται ὁ Πέρσης μάχῃ
" κρατήσας, ὡς οὐκὶ ἥξει παρὰ σέ γε, ἀλλὰ πρὸ τού- 578
" του φύλαξαι. βοηθέων γὰρ ἡμῖν, σεωυτῷ τιμωρέεις.
7 " τῷ δὲ [r] εὖ βουλευθέντι πρήγματι τελευτὴ ὡς τὸ
158 " ἐπίπαν χρηστὴ ἐθέλει ἐπιγίνεσθαι." Οἱ μὲν [s] ταῦτα Qui cum suos in expeditionem educere nollet, nisi summæ imperii aut solus
ἔλεγον. Γέλων δὲ [a] πολλὸς ἐνέκειτο λέγων τοιάδε·
" Ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλεονέκτην, ἐτολ-
" μήσατε ἐμὲ σύμμαχον ἐπὶ τὸν βάρβαρον παρακα-
2 " λέοντες ἐλθεῖν. αὐτοὶ δὲ, ἐμεῦ πρότερον δεηθέντος
" βαρβαρικοῦ στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς
" Καρχηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε
" τὸν Δωριέος τοῦ Ἀναξανδρίδεω πρὸς [b] Ἐγεσταίων
" φόνον ἐκπρήξασθαι, ὑποτείνοντός τε τὰ ἐμπόρια
" συνελευθεροῦν, ἀπ' ὧν ὑμῖν μεγάλαι [c] ὠφελίαι τε
" καὶ [d] ἐπαυρέσιες γεγόνασι· οὔτε ἐμεῦ εἵνεκα ἤλθετε
" βοηθήσοντες, οὔτε τὸν Δωριέος φόνον ἐκπρηξό-
" μενοι· [e] τό τε κατ' ὑμέας, τάδε ἅπαντα ὑπὸ βαρβά-
3 " ροισι νέμεται. ἀλλὰ εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ ἄμεινον
" κατέστη· νῦν δὲ, ἐπειδὴ περιελήλυθε ὁ πόλεμος καὶ
" ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις γέγονε.
4 " Ἀτιμίης δὲ πρὸς ὑμέων κυρήσας, οὐκ ὁμοιώσομαι

[m] γενόμ. P. [n] οἱ μὲν ἡμέων P.K.F. [o] θελήσωσι S.V. [p] Sic vulgo. τοῦτο δὴ Wessel. ex V. τοῦτο ἤδη S. [q] ἡ om. F. [r] εὖ om. S. [s] αὐτὰ S.

158. [a] πολὺς S. [b] Ἐγεσταίων S. Vall. Αἰγεσταίων F. et alii. Αἰγεστέων a.b.d. Tum ὑποτίνοντος S. [c] Sic S.K. Paris. cf. V. 98. ὠφελείαι F. et al. ὠφέλειαι edd. vett. [d] Sic V. Schæfer. ἐπαρκέσις S. cf. Koen. Gregor. 66. ἐπαυρέσεις F. ut Thucyd. II. 53. ἐπαυρήσιες Ald. [e] Sic F.b. Vulgo τὸ δὲ et mox πάντα.

“ ὑμῖν, ἀλλ' ἑτοῖμός εἰμι βοηθέειν, παρεχόμενος διη-
“ κοσίας τε τριήρεας, καὶ δισμυρίους ὁπλίτας, καὶ
“ δισχιλίην ἵππον, καὶ δισχιλίους τοξότας, καὶ δισχι-
“ λίους σφενδονήτας, καὶ δισχιλίους ἱπποδρόμους
“ ψιλούς· σῖτόν τε ἁπάσῃ τῇ Ἑλλήνων στρατιῇ,
“ ἔστ' ἂν διαπολεμήσωμεν, ὑποδέκομαι παρέξειν.
5 “ Ἐπὶ δὲ λόγῳ τοιῷδε τάδε ὑπίσχομαι, ἐπ' ᾧ στρα-
“ τηγός τε καὶ ἡγεμὼν τῶν Ἑλλήνων [f] ἔσομαι πρὸς
“ τὸν βάρβαρον· ἐπ' ἄλλῳ [g] δὲ λόγῳ οὔτ' ἂν αὐτὸς
159 “ ἔλθοιμι, οὔτ' ἂν ἄλλους πέμψαιμι.” Ταῦτα ἀκού-
σας οὔτε ἠνέσχετο ὁ Σύαγρος, εἶπέ τε τάδε· “ [a] Ἦ
“ κε μέγ' οἰμώξειεν ὁ Πελοπίδης Ἀγαμέμνων, πυθό-
“ μενος Σπαρτιήτας τὴν ἡγεμονίην [b] ἀπαραιρῆσθαι
2 “ ὑπὸ Γέλωνός τε καὶ Συρηκουσίων. ἀλλὰ τούτου
“ μὲν τοῦ λόγου μηκέτι μνησθῇς, ὅκως τὴν ἡγεμονίην
3 “ τοι [c] παραδώσομεν. ἀλλ', εἰ μὲν βούλεαι βοηθέειν
“ τῇ Ἑλλάδι, ἴσθι ἀρξόμενος ὑπὸ Λακεδαιμονίων· εἰ
“ δ' ἄρα μὴ δικαιοῖς ἄρχεσθαι, σὺ δὲ [d] μὴ βοηθέειν.”
160 Πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα [a] ἀπεστραμμένους 579
τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε
2 [b] ἐξέφαινε λόγον· “ Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κα-
“ τιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ
“ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, [c] οὔ

aut cum Spartiatis præficeretur,

[f] Sic S.V.P.K. Vall. Paris. γενήσομαι Ald. al. Supra ἐπ' ᾧ τε στρατηγὸς S. [g] τε S. qui om. ἂν ante ἄλλους.

159. [a] Citat Eustath. Il. p. 670, 57=540. extr. [b] Sic a. Schæfer. ἀπαιρῆσθαι F. ἀπαραιρεῖσθαι Ald. A.B. ἀπαραιρῆσθαι M.P.K. ὑπαιρεῖσθαι V.S. ἀφαιρεῖσθαι Eustath. Tum συρρηκοσίων S. [c] Sic S. παραδώσωμεν F. al. [d] Sic S.V. Similis structuræ exempla dederunt viri docti ex I. 63. IV. 126. μηδὲ (vel μὴ δὲ) βοήθει c. edd. vett. et forte K. μὴ βοήθει F.a.b.d. μὴ βοήθεε Bekker.

160. [a] ἀπεστρεμμ. F. Mox τὸ τελευταῖον Koenius apud Valckenærium. [b] Sic F.b. ἐξέφηνε S. vulg. [c] Sic V. Wessel. οὐ μ' ἔπεισας Stob. 19, 19. οὐκ ἔπεισας S. οὔ με πείσεις F.a.c. Bekker. vulg. Supra ἐπενάγειν Markland. ad Eurip. Suppl. 79.

3 " με ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι. ὅκου
" δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς ἡγεμονίης, οἰκὸς καὶ
" ἐμὲ μᾶλλον ὑμέων περιέχεσθαι, στρατιῆς τε ἐόντα
" πολλαπλασίης ἡγεμόνα, καὶ νηῶν πολὺ πλεύνων.
4 " Ἀλλ' ἐπεί τε ὑμῖν [d] ὁ λόγος οὕτω προσάντης κατί-
5 " σταται, [e] ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρχαίου λόγου. εἰ
" τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέοισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ·
" εἰ δὲ ὑμῖν ἡδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν,
6 " τοῦ πεζοῦ ἐγὼ θέλω. καὶ ἢ τούτοισι ὑμέας χρέων
" ἐστι [f] ἀρέσκεσθαι, ἢ ἀπιέναι συμμάχων [g] τοιῶνδε
161 " ἐρήμους." Γέλων μὲν δὴ ταῦτα προτείνετο. Φθά- illi, quippe non ducis egentes, sed militum, infecta re abeunt.
σας δὲ ὁ Ἀθηναίων ἄγγελος [a] τὸν Λακεδαιμονίων,
2 [b] ἀμείβετό μιν [c] τοῖσδε· " Ὦ βασιλεῦ Συρηκουσίων,
" οὐκ ἡγεμόνος δεομένη ἡ Ἑλλὰς ἀπέπεμψεν ἡμέας
" πρὸς σὲ, ἀλλὰ στρατιῆς. σὺ δὲ, ὅκως μὲν στρατιὴν
" [d] πέμψεις μὴ ἡγεύμενος τῆς Ἑλλάδος, οὐ [e] προ-
3 " φαίνεις· ὡς δὲ [f] στρατηγήσεις αὐτῆς, γλίχεαι. ὅσον
" μέν νυν παντὸς τοῦ Ἑλλήνων στρατοῦ ἐδέου ἡγέ-
" εσθαι, ἐξήρκει ἡμῖν τοῖσι Ἀθηναίοισι ἡσυχίην
" [g] ἄγειν, ἐπισταμένοισι ὡς ὁ Λάκων ἱκανός τοι
" ἔμελλε ἔσεσθαι καὶ ὑπὲρ ἀμφοτέρων ἀπολογεύμε-
" νος· ἐπεί τε δὲ ἁπάσης ἀπελαυνόμενος, [h] δέεαι τῆς
4 " ναυτικῆς [i] ἄρχειν, οὕτω ἔχει τοι. οὐδ', ἢν ὁ Λάκων
" ἐπίῃ τοι ἄρχειν αὐτῆς, ἡμεῖς ἐπήσομεν· ἡμετέρη

[d] Sic S.V.K.F. ὁ om. a. et vulg. [e] Sic S.F. et al. ἡμεῖς τοι olim. [f] ἀρκέεσθαι S.V. Vall. Schæfer. Matthiæ. Bekker. Supra χρέον S. [g] τοσῶνδε Bekker. qui mox προετείνετο.

161. [a] τῶν Λ. F. [b] ἀμείβετό μιν P.K.S.V.F. Paris. cf. I. 35. ἀμείβεται absque μιν vulg. [c] τοιάδε S.V. Tum Συρρηκοσίων S. [d] Sic a.f. Schæfer. πέμψῃς S. vulgo. σὺ δὲ ὅκως—ἀπολογεύμενος om. F. [e] προφαίνῃ V.S. οὐκ ἀποφαίνεις f. [f] στρατηγήσῃς S.V. Mox αὐτὴν b. [g] Sic S.V.P.K. Paris. ἔχειν al. cf. 11. [h] δέῃ S.V. [i] Sic S.V.M.K.P.F. Paris. ἀρχῆς ἄρχειν edd. vett. Mox ἐποίῃ S.

“ γάρ ἐστι αὕτη γε, μὴ αὐτῶν βουλομένων Λακεδαι-
5 “ μονίων. τούτοισι μὲν ὦν ἡγέεσθαι βουλομένοισι
“ οὐκ ἀντιτείνομεν, ἄλλῳ δὲ παρήσομεν οὐδενὶ ναυ-
6 “ αρχέειν. μάτην [k] γὰρ ἂν ὧδε πάραλον Ἑλλήνων
“ στρατὸν πλεῖστον εἴημεν [l] ἐκτημένοι, εἰ Συρηκου-
“ σίοισι ἐόντες Ἀθηναῖοι [m] συγχωρήσομεν τῆς ἡγε-
“ μονίης, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι
“ δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων· τῶν καὶ Ὅμη-
“ ρος ὁ ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπι-
“ κέσθαι, τάξαι τε καὶ διακοσμῆσαι στρατόν. οὕτω
“ οὐκ ὄνειδος οὐδὲν [n] ἡμῖν ἐστι λέγειν [o] ταῦτα.”
162 Ἀμείβετο Γέλων [a] τοῖσδε· “ Ξεῖνε Ἀθηναῖε, ὑμεῖς οἴ-
“ κατε [b] τοὺς μὲν ἄρχοντας ἔχειν, τοὺς δὲ [c] ἀρξο-
2 “ μένους οὐκ ἔχειν. ἐπεὶ τοίνυν οὐδὲν [d] ὑπιέντες
“ [e] ἔχειν τὸ πᾶν ἐθέλετε, οὐκ ἂν φθάνοιτε τὴν τα-
“ χίστην ὀπίσω ἀπαλλασσόμενοι, καὶ ἀγγέλλοντες
“ τῇ Ἑλλάδι ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ [f] αὐτῇ [g] ἐξα-
3 “ ραίρηται.” Οὗτος δὲ ὁ νόος [h] τοῦδε τοῦ ῥήματος,
[i] τὸ ἐθέλει λέγειν· δῆλα γὰρ [k] ὡς ἐν τῷ ἐνιαυτῷ ἐστὶ
τὸ ἔαρ δοκιμώτατον· τῆς δὲ τῶν Ἑλλήνων στρατιῆς,
4 τὴν ἑωυτοῦ στρατιήν. [l] στερισκομένην ὦν τὴν Ἑλ-

[k] γὰρ ὧδέ γε παρ' ἄλλων S.V. cf. Thomas M. in Παράλιος. Supra βολομένοισιν S. [l] Sic vulg. et Eustath. Il. p. 759, 41=662, 39. Thom. Mag. κεκτημ. S.V. Tum συρρηκοσίοισιν S. Pro εἴημεν Elmsleius ad Eurip. Heracl. 283. malit εἶμεν. [m] συγχωρήσομεν S.V.F.b. Ald. Schæfer. συγχωρήσωμεν Steph. 2. Wessel. et al. [n] οὐδὲν ἡμῖν ἐστι F.S. Vulgo ἡμῖν ἐστι οὐδέν. [o] ταῦτα S.V.P.K.F. Paris. τὰ τοιαῦτα edd. vett.

162. [a] τοῖσιδε F. [b] τοὺς μὲν S.V. μὲν om. F.a. et vulg. [c] ἀρξομένους οὐκ ἕξειν M.P.K.F. al. Wessel. Bekker. ἀρξομένους δὲ οὐκ ἔχειν S. ἀρξομένους οὐκ ἔχειν V.c. ἀρχομένους οὐκ ἕξειν f. olim ἀρξομένους οὔκετι, absque ἔχειν vel ἕξειν. [d] Sic S.V.a.c.f. Ald. Schæfer. ἐπιέντες F. Steph. et edd. seqq. [e] τὸ πᾶν ἔχειν f. ἔχειν om. S. [f] αὐτῇ om. f. [g] ἐξαίρηται F.b. [h] Sic S. Wessel. τοῦδε om. F.c.f. edd. vett. [i] τόδε ἐθ. S. τὸ ἐθέλοι f. [k] ὡς om. S.V. [l] καὶ συμμαχίην στερισκομένης εἴκαζεν ὡσεὶ τὸ S.

λάδα τῆς ἑωυτοῦ συμμαχίης, εἴκαζε ὡς εἰ τὸ ἔαρ [m] ἐκ
τοῦ ἐνιαυτοῦ [n] ἐξαραιρημένον εἴη.

163 Οἱ μὲν δὴ τῶν Ἑλλήνων ἄγγελοι, [a] τοσαῦτα τῷ
Γέλωνι χρηματισάμενοι, ἀπέπλεον. Γέλων δὲ πρὸς
ταῦτα, δείσας μὲν περὶ τοῖσι Ἕλλησι μὴ οὐ [b] δυνέ-
ωνται τὸν βάρβαρον ὑπερβαλέσθαι, δεινὸν δὲ καὶ
οὐκ ἀνασχετὸν ποιησάμενος ἐλθὼν ἐς Πελοπόννησον
ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ἐὼν Σικελίης τύραννος,
ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὁ δὲ ἄλλης εἴχετο.
2 Ἐπεί τε γὰρ τάχιστα ἐπύθετο τὸν Πέρσην διαβεβη-
κότα τὸν Ἑλλήσποντον, πέμπει πεντηκοντέροισι
τρισὶ Κάδμον τὸν Σκύθεω, ἄνδρα Κῷον, ἐς Δελ-
φοὺς, ἔχοντα χρήματα πολλὰ καὶ φιλίους λόγους,
[c] καραδοκήσοντα τὴν μάχην, ᾗ [d] πεσέεται· καὶ ἢν
μὲν ὁ βάρβαρος νικᾷ, τά τε χρήματα αὐτῷ διδόναι,
[e] καὶ γῆν τε καὶ ὕδωρ τῶν ἄρχει ὁ Γέλων· ἢν δὲ οἱ
164 Ἕλληνες, ὀπίσω ἀπάγειν. Ὁ δὲ Κάδμος οὗτος,
πρότερον τούτων παραδεξάμενος παρὰ πατρὸς [a] τὴν
τυραννίδα Κῴων εὖ βεβηκυῖαν, [b] ἑκών τε εἶναι καὶ
δεινοῦ ἐπιόντος οὐδενὸς, ἀλλὰ [c] ἀπὸ δικαιοσύνης, ἐς
μέσον Κῴοισι καταθεὶς τὴν ἀρχὴν, [d] οἴχετο ἐς Σικε-
2 λίην. ἔνθα [e] μετὰ Σαμίων ἔσχε τε καὶ [f] κατοίκησε
πόλιν Ζάγκλην, τὴν [g] ἐς Μεσσήνην μεταβαλοῦσαν
τὸ οὔνομα. τοῦτον δὴ [h] ὧν ὁ Γέλων τὸν Κάδμον καὶ
[i] τοιούτῳ τρόπῳ ἀπικόμενον, διὰ δικαιοσύνην τήν οἱ

Quomodo post Gelon, belli eventu adhuc incerto, a Persis sibi 581 caverit.

Obiter de Cadmo Coo, homine longe justissimo, cujus opera Gelon in illo negotio usus est.

[m] ἐκ om. f. [n] ἐξηρημένον f.

163. [a] τοιαῦτα P.K.F. [b] Sic S.V. cf. IV. 97. δύνωνται M.P. K.F. Suid. in Δείσαντες. Antea δύνανται. [c] Suid. in v. καραδοκήσαντα S. [d] πεσεῖται S. Suid. τῇ π. Bekker. [e] καὶ om. F.

164. [a] τὴν om. F.a.S. [b] Thomas M. in ἑκών. Mox ἐπεόντος conj. Koenius. [c] Sic M.P.K.F. Paris. Thomas M. Ceteri ὑπὸ cum S. [d] ᾤχετο S.V. [e] παρὰ P.F.c.d. [f] οἴκησε S.V. κατοίκισε b. [g] ἐν Μεσσήνῃ M K.F.b. [h] ὧν om. V.S.K.F.a.b. [i] τοιούτῳ τρόπῳ V.S.K.M.P.F. Paris. τοιῷδε τρ. edd. vett.

αὐτὸς ἄλλην [k] συνήδεε ἐοῦσαν, [l] ἔπεμπε· ὃς ἐπὶ τοῖσι
ἄλλοισι δικαίοισι τοῖσι ἐξ ἑωυτοῦ ἐργασμένοισι, καὶ
3 τόδε οὐκ ἐλάχιστον τούτων [m] ἐλείπετο. κρατήσας
γὰρ μεγάλων χρημάτων, τῶν οἱ Γέλων ἐπετράπετο,
παρεὸν κατασχέσθαι, οὐκ ἐθέλησε· ἀλλ', ἐπεὶ οἱ
Ἕλληνες ἐπεκράτησαν τῇ ναυμαχίῃ, καὶ Ξέρξης οἰ-
χώκεε ἀπελαύνων, καὶ δὴ [n] καὶ ἐκεῖνος ἀπίκετο ἐς τὴν
Σικελίην, [o] ἀπὸ πάντα τὰ χρήματα ἄγων.

165 Λέγεται δὲ καὶ τάδε ὑπὸ τῶν [a] ἐν Σικελίῃ οἰκη-
μένων, ὡς ὅμως, καὶ μέλλων ἄρχεσθαι ὑπὸ Λακεδαι-
μονίων, ὁ Γέλων ἐβοήθησε ἂν τοῖσι Ἕλλησι, εἰ μὴ
ὑπὸ Θήρωνος τοῦ [b] Αἰνησιδήμου [c] Ἀκραγαντίνων
μουνάρχου [d] ἐξελασθεὶς ἐξ Ἱμέρης Τήριλλος ὁ Κρι-
νίππου, τύραννος ἐὼν Ἱμέρης, ἐπῆγε [e] ὑπ' αὐτὸν τὸν 582
χρόνον τοῦτον Φοινίκων καὶ Λιβύων καὶ Ἰβήρων καὶ
Λιγύων καὶ [f] Ἑλισύκων καὶ Σαρδονίων καὶ [g] Κυρ-
νίων τριήκοντα μυριάδας, καὶ στρατηγὸν αὐτῶν Ἀ-
μίλκαν τὸν Ἄννωνος, Καρχηδονίων ἐόντα [h] βασιλέα·
2 κατὰ ξεινίην τε τὴν ἑωυτοῦ ὁ Τήριλλος ἀναγνώσας,
καὶ μάλιστα διὰ τὴν [i] Ἀναξίλεω τοῦ [k] Κρητίνεω προ-
θυμίην, ὃς Ῥηγίου ἐὼν τύραννος, τὰ ἑωυτοῦ τέκνα
δοὺς ὁμήρους Ἀμίλκᾳ, ἐπῆγέ [l] μιν ἐπὶ τὴν Σικελίην,
3 τιμωρέων τῷ πενθερῷ· Τηρίλλου γὰρ εἶχε θυγατέρα
Ἀναξίλεως, τῇ οὔνομα ἦν Κυδίππη. οὕτω δὴ οὐκ

Alia causa a Siciliensibus allata, cur Gelon Græcis præsto non fuerit. Bellum sub idem tempus a Carthaginiensibus duce Amilcare Siciliæ illatum.

[k] ἤδεεν S.V. [l] ἀνέπεμπεν S. [m] ἐλίπετο S.V.F.b. Bekker. Mox ἠθέλησεν S. [n] καὶ om. F. [o] ἀπὸ om. S.V. ἅπαντα alius ms. apud Wesseling. ἅπαντα τ. χ. ἄ. Schæfer. Bekker. absque ἀπό.

165. [a] ἐν τῇ Σικ. F. [b] Αἰνεσιδ. S.V. cf. 154. [c] Ἀκραγαντ. μουνάρχ. S. marg. sed pr. m. [d] ἐξελαθεὶς] ἐξελασθεὶς b. cf. I. 168. 173. [e] Sic S.V. τοῖς αὐτοῖς χρόνοις Diodorus XI. 1. ἐπ' αὐτὸν F.a. al. [f] Ἐσιλύκων P.F.b. Mox Σαρδόνων S. Ald. [g] Βυρνίων K. Κυρινίων b. Κυρνίκων alius ms. Tum ἄνωνος S. [h] βασιλῆα] βασιλέα S.V.K.F. [i] Ἀξίλεω P.F. Ἐξίλεω K. [k] Ἠριτίνεω b. [l] μιν om. S.V.P.K.F.a.

οἷόν τε γενόμενον [m] βοηθέειν τὸν Γέλωνα τοῖσι Ἕλ-
166 λησι, ἀποπέμπειν ἐς Δελφοὺς τὰ χρήματα. Πρὸς
δὲ καὶ τάδε λέγουσι, ὡς συνέβη τῆς αὐτῆς ἡμέρης ἔν
τε [a] τῇ Σικελίῃ Γέλωνα καὶ Θήρωνα νικᾶν Ἀμίλκαν
τὸν Καρχηδόνιον, καὶ ἐν Σαλαμῖνι τοὺς Ἕλληνας
2 τὸν Πέρσην. Τὸν δὲ Ἀμίλκαν, Καρχηδόνιον ἐόντα
πρὸς πατρὸς, μητρόθεν δὲ Συρηκούσιον, βασιλεύ-
σαντά τε κατ' ἀνδραγαθίην Καρχηδονίων, ὡς ἡ συμ-
βολή [b] τε [c] ἐγίνετο, καὶ ὡς ἑσσοῦτο τῇ μάχῃ, ἀφανι-
σθῆναι πυνθάνομαι· οὔτε γὰρ ζῶντα, οὔτε ἀποθα-
νόντα φανῆναι οὐδαμοῦ γῆς· τὸ πᾶν γὰρ ἐπεξελθεῖν
167 διζήμενον Γέλωνα. Ἔστι δὲ ὑπ' αὐτῶν Καρχηδο-
νίων ὅδε [a] ὁ λόγος λεγόμενος, [b] οἰκότι χρεωμένων, ὡς
οἱ μὲν βάρβαροι τοῖσι Ἕλλησι [c] ἐν τῇ Σικελίῃ ἐμά-
χοντο ἐξ ἠοῦς ἀρξάμενοι μέχρι δείλης ὀψίης· (ἐπὶ
τοσοῦτο γὰρ [d] λέγεται ἑλκύσαι τὴν σύστασιν·) ὁ δὲ
Ἀμίλκας ἐν τούτῳ τῷ χρόνῳ μένων ἐν τῷ στρατο-
πέδῳ ἐθύετο καὶ [e] ἐκαλλιρέετο, ἐπὶ πυρῆς μεγάλης
σώματα ὅλα [f] καταγίζων· ἰδὼν δὲ τροπὴν τῶν ἑωυ-
τοῦ γινομένην, ὡς ἔτυχε [g] ἐπισπένδων τοῖσι ἱροῖσι,
[h] ὦσε ἑωυτὸν ἐς τὸ πῦρ· οὕτω δὴ κατακαυθέντα
2 ἀφανισθῆναι. ἀφανισθέντι δὲ Ἀμίλκᾳ τρόπῳ εἴτε
τοιούτῳ, ὡς Φοίνικες λέγουσι, εἴτε ἑτέρῳ, [i] ὡς Συρη-

Eodem die Carthaginienses a Gelone victi, quo Græci Persas ad Salaminem profligarunt. Quid Amilcari in illa pugna acciderit.

Carthaginiensium de eodem narratio. Quem defuncto honorem habeant.

[m] βοηθέειν τὸν Γέλωνα S.V.P.K.F. Paris. Γέλωνα βοηθέειν edd. vett.

166. [a] τῇ om. F. [b] τε om. S. qui supra συρρηκόσιον, et statim ἐγένετο. [c] ἐγίνετο P.K.F.a. ἐγένετο Wessel. al.

167. [a] ὁ om. S.K.F.a. ὧδε ὁ λ. b. [b] Sic Koenius. εἰκότι Galeus. εἰκόνι mss. et edd. [c] ἐν τῇ Σικελίῃ om. S. qui mox ἀρξαμένου, et infra τοσοῦτον. [d] λέγειν S. [e] Sic K. Schæfer. cf. 113. ἐκαλλιερέετο al. [f] κατίζων F. [g] ἐπισπένδει S. [h] ὧδε S. ὥστε alius ms. apud Wessel. [i] ὡς Συρηκούσιοι, Καρχηδόνιοι τοῦτο] Sic ediderunt Schæferus et Schweighæuserus. ὡς Καρχηδόνιοι τοῦτο S. Wessel. et al. ὡς Καρχηδόνιοί τε καὶ Συρηκούσιοι P.K. Steph. marg. Vall. ὡς Καρχηδόνιοι καὶ Σ. F.b. ὡς Συρηκόσιοι omisso Καρχηδόνιοι Bekker.

κούσιοι, Καρχηδόνιοι τοῦτο μέν οἱ θύουσι, τοῦτο δὲ 583
μνήματα ἐποίησαν ἐν πάσησι τῇσι πόλισι τῶν ἀποικίδων, ἐν αὐτῇ τε μέγιστον [k] Καρχηδόνι. Τὰ μὲν ἀπὸ Σικελίης, τοσαῦτα.

168 Corcyræi Græcis auxilia contra Xerxem polliciti, qua fraude illos deluserint.

Κερκυραῖοι δὲ, τάδε ὑποκρινάμενοι τοῖσι ἀγγέλοισι, τοιάδε ἐποίησαν· καὶ γὰρ τούτους παρελάμβανον οἱ αὐτοὶ οἵπερ [a] καὶ ἐς Σικελίην [b] ἀπίκατο, λέγοντες τοὺς αὐτοὺς λόγους τοὺς καὶ πρὸς Γέλωνα
2 ἔλεγον. οἱ δὲ παραυτίκα μὲν [c] ὑπίσχοντο [d] πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες ὡς οὔ σφι περιοπτέη ἐστὶ ἡ Ἑλλὰς ἀπολλυμένη· ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δουλεύσουσι τῇ πρώτῃ τῶν ἡμερέων·
3 ἀλλὰ τιμωρητέον εἴη ἐς τὸ [e] δυνατώτατον. Ὑπεκρίναντο μὲν οὕτω εὐπρόσωπα. ἐπεὶ δὲ ἔδει βοηθέειν, ἄλλα [f] νοεῦντες, ἐπλήρωσαν νέας ἑξήκοντα· μόγις δὲ ἀναχθέντες, προσέμιξαν τῇ Πελοποννήσῳ, καὶ περὶ Πύλον καὶ Ταίναρον γῆς τῆς Λακεδαιμονίων [g] ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον, ᾗ πεσέεται· [h] ἀελπτέοντες μὲν τοὺς Ἕλληνας [i] ὑπερβαλέεσθαι, δοκέοντες δὲ τὸν [k] Πέρσην, κατακρατήσαντα πολλὸν, ἄρξειν πάσης τῆς Ἑλλάδος.
4 Ἐποίευν ὦν ἐπίτηδες, ἵνα ἔχωσι πρὸς τὸν Πέρσην [l] λέγειν τοιάδε· "Ὦ βασιλεῦ, ἡμεῖς, παραλαμβανόν- "των τῶν Ἑλλήνων [m] ἡμέας ἐς τὸν πόλεμον τοῦτον, "ἔχοντες δύναμιν οὐκ ἐλαχίστην, οὐδὲ νέας ἐλαχί-

[k] Sic M.P.K.S.V.a.b.d. Vall. Καρχηδόνιοι c. Ald.

168. [a] καὶ om. S.P.F.b. [b] Sic S.V. ἀπίκοντο vulg. [c] ὑπίσχοντο P.F. Schæfer. ὑπέσχοντο S. vulg. [d] πέμπειν S.V. Ald. [e] δυνατὸν d. [f] Sic S.V. νοέοντες olim. Mox ἑξήκοντα νέας S. [g] ἀνεκώχευον Suid. in v. [h] ἀελπτέοντες Suid. in v. Supra τῇ πεσ. Bekker. [i] ὑπερβαλέσθαι S. Suid. ὑπερβάλλεσθαι F. [k] Ξέρξεα S.V. Vall. [l] Sic S.V. Paris. Ald. Vall. λέγειν om. M.P.K.F. [m] ἡμέας om. S.

" στας παρασχόντες ἂν, ἀλλὰ πλείστας μετά γε
" Ἀθηναίους, οὐκ [n] ἐθελήσαμέν τοι [o] ἐναντιοῦσθαι,
5 " οὐδέ τι ἀποθύμιον ποιῆσαι." Τοιαῦτα λέγοντες
ἤλπιζον πλέον τι τῶν ἄλλων οἴσεσθαι· τάπερ ἂν
[p] καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει. πρὸς δὲ τοὺς Ἕλληνάς
σφι σκῆψις ἐπεποίητο, τῇπερ δὴ καὶ ἐχρήσαντο.
6 αἰτιωμένων γὰρ τῶν Ἑλλήνων ὅτι οὐκ ἐβοήθεον,
ἔφασαν πληρῶσαι μὲν ἑξήκοντα τριήρεας, ὑπὸ δὲ
[q] ἐτησιέων ἀνέμων ὑπερβαλέειν Μαλέην οὐκ οἷοί τε
γενέσθαι· οὕτω οὐκ ἀπικέσθαι ἐς Σαλαμῖνα, καὶ οὐ-
δεμιῇ κακότητι λειφθῆναι τῆς [r] ναυμαχίης. Οὗτοι μὲν
οὕτω διεκρούσαντο τοὺς Ἕλληνας.

169 Κρῆτες δὲ, ἐπεί τέ σφεας παρελάμβανον οἱ ἐπὶ
τούτοισι ταχθέντες Ἑλλήνων, ἐποίησαν τοιόνδε. 2
Πέμψαντες κοινῇ θεοπρόπους ἐς Δελφοὺς, τὸν θεὸν
[a] ἐπειρώτων, εἴ σφι ἄμεινον γίνεται τιμωρέουσι τῇ
2 Ἑλλάδι. ἡ δὲ Πυθίη ὑπεκρίνατο· " Ὦ νήπιοι, [b] ἐπι-
" μέμφεσθε ὅσα ὑμῖν ἐκ τῶν [c] Μενέλεῳ τιμωρημάτων
" Μίνως ἔπεμψε [d] μηνίων δακρύματα, ὅτι οἱ μὲν οὐ
" συνεξεπρήξαντο αὐτῷ τὸν ἐν [e] Καμίκῳ θάνατον
" γενόμενον, ὑμεῖς δὲ [f] κείνοισι τὴν ἐκ Σπάρτης [g] ἁρ-
" παχθεῖσαν ὑπ' ἀνδρὸς βαρβάρου γυναῖκα." Ταῦτα
οἱ Κρῆτες ὡς ἀπενειχθέντα ἤκουσαν, [h] ἔσχοντο τῆς
170 τιμωρίης. Λέγεται γὰρ, [a] Μίνων κατὰ ζήτησιν Δαι-

584
Cretenses opem ferre Græciæ paratos oraculum Delphicum a consilio deterret.

Obiter de cæde Mi-

[n] ἠθελ. F.S. Tum σοι S. [o] ἀντιοῦσθαι V. Koen. Gregor. p. 253. Schæfer. Bekker. cf. I. 207. [p] καὶ om. F. [q] ἐτησίων S.P. Eustath. Od. p. 1521, 42=204, 33. p. 1582, 18=288, 23. [r] συμμαχίης F.

169. [a] Sic S.V.P.K. ἐπηρώτων olim. Mox τιμωρέουσι γίνεται F.S. [b] μέμφεσθε S.V. [c] Sic V.S. cf. II. 119. VII. 171. Olim Μενελάῳ. Μενελάου F.a. [d] Sic S.a.c.d. μινίων F. μηνύων olim. [e] Καμίνῳ S. cf. Scaliger ad Euseb. n. DCCCXIII. [f] ἐκείνοισι F.S. [g] ἀπαχθεῖσαν F.b. ἁρπασθεῖσαν V.S. [h] ἀπέχοντο S. ἀπείχοντο V.

170. [a] Ita Schweigh. cum a. F. Μίνεω S.B. Μίνεων M.K.P. Μίνω b. edd. vett. et Schæfer. cf. 171.

nois, Siculiensi Cretensium ad eam ulciscendam expeditione, Creticis in Italia coloniis, Tarentinorum ac Rheginorum infausto adversus illas bello, Micytho Rhegii procuratore,

δάλου ἀπικόμενον ἐς Σικανίην, τὴν νῦν [b] Σικελίην
2 καλευμένην, ἀποθανεῖν βιαίῳ θανάτῳ. ἀνὰ δὲ χρόνον
Κρῆτας, [c] θεοῦ σφε ἐποτρύναντος, πάντας πλὴν Πο-
λιχνιτέων τε καὶ Πραισίων, ἀπικομένους στόλῳ [d] με-
γάλῳ ἐς Σικανίην, πολιορκέειν ἐπ' ἔτεα πέντε πόλιν
Κάμικον, τὴν κατ' ἐμὲ Ἀκραγαντῖνοι [e] ἐνέμοντο· τέ-
λος δὲ, οὐ δυναμένους οὔτε ἑλεῖν, οὔτε παραμένειν,
3 λιμῷ συνεστεῶτας, ἀπολιπόντας οἴχεσθαι. ὡς δὲ 585
κατὰ Ἰηπυγίην γενέσθαι [f] πλώοντας, [g] ὑπολαβόντα
4 σφέας χειμῶνα μέγαν ἐκβαλέειν ἐς τὴν γῆν. συνα-
ραχθέντων δὲ τῶν πλοίων, ([h] οὐδεμίαν γάρ σφι ἔτι
[i] κομιδὴν ἐς Κρήτην φαίνεσθαι,) ἐνθαῦτα [k] Ὑρίην
πόλιν κτίσαντας, καταμεῖναί τε, καὶ μεταβαλόντας
ἀντὶ μὲν Κρητῶν [l] γενέσθαι Ἰήπυγας Μεσσαπίους,
5 [m] ἀντὶ δὲ εἶναι νησιώτας, ἠπειρώτας. ἀπὸ δὲ [n] Ὑρίης
πόλιος τὰς ἄλλας οἰκίσαι, [o] τὰς δὴ Ταραντῖνοι χρόνῳ
ὕστερον πολλῷ ἐξανιστάντες προσέπταισαν μεγάλως·
ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο
πάντων τῶν ἡμεῖς ἴδμεν, αὐτῶν τε Ταραντίνων, καὶ
Ῥηγίνων· οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι
τῶν ἀστῶν, καὶ ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι,
ἀπέθανον τρισχίλιοι οὕτω· αὐτῶν δὲ Ταραντίνων οὐκ

[b] Σικελίαν καλεομένην F. Mox εἶνα S. pro ἀνά. [c] θεοῦ σφι ἐπ. Ald. Wessel. θεοῦ σφέας ἐ. K. Reisk. θεοῦ σφε S.F.b. Steph. Schæfer. et recipiendum monet Schweigh. in annot. [d] μεγάλῳ om. unus ms. apud Wesseling. Mox κάμινον S. [e] ἐνέμαντο S. νέμονται P. [f] πλέοντας S.V.K.F.a. [g] ἀπολαβόντα F. qui mox ἐκβαλεῖν. Hoc item S. [h] οὐδεμίην] οὐδεμίαν S.V.K.F. [i] κομιδὴν hinc Suid. in v. [k] Ὑρηδίην P.M. Ὑρηδίλλην K. Ὑρηλίην F.b. Vulg. habet Steph. Byz. Eustath. Dionys. 378. Οὐρίαν Strabo V. p. 431=282. Mox τε om. S. [l] Sic S.P.K.F.a. Ἰήπ. Μεσσ. γ. Ald. Wessel. [m] Sic S.P.K.V.F. ἀντὶ δὲ τοῦ εἶναι vulg. Bekker. cf. Schæfer. ad Gregor. 39. Supra I. 210. VI. 32. [n] Ὑρηδίης P.M. Ὑριλλίης K. Ὑρηλίης F.b. Mox οἰκῆσαι S. cum reliquis mss. et edd. ante Schæfer. [o] ἃς δὴ P.K.F.

6 ἐπέην ἀριθμός. ὁ δὲ [p] Μίκυθος, οἰκέτης ἐὼν Ἀναξίλεω,
ἐπίτροπος Ῥηγίου [q] καταλέλειπτο· οὗτος ὅσπερ ἐκ-
πεσὼν [r] ἐκ Ῥηγίου, καὶ Τεγέην τὴν Ἀρκάδων οἰκή-
σας, ἀνέθηκε ἐν Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας.

Cretæ calamitatibus. Hujus insulæ alii aliis temporibus incolæ.

171 1 Ἀλλὰ τὰ μὲν κατὰ Ῥηγίνους τε καὶ Ταραντίνους
τοῦ λόγου μοι παρενθήκη γέγονε. Ἐς δὲ τὴν Κρήτην
ἐρημωθεῖσαν, ὡς λέγουσι Πραίσιοι, ἐσοικίζεσθαι ἄλ-
λους τε ἀνθρώπους, καὶ μάλιστα Ἕλληνας· τρίτῃ δὲ
γενεῇ μετὰ [a] Μίνωα τελευτήσαντα γενέσθαι τὰ Τρω-
ϊκά· ἐν τοῖσι οὐ φλαυροτάτους φαίνεσθαι ἐόντας
2 Κρῆτας τιμωροὺς Μενέλεῳ. [b] ἀντὶ τούτων δέ σφι,
ἀπονοστήσασι [c] ἐκ Τροίης, λιμόν τε καὶ λοιμὸν γενέ-
σθαι καὶ αὐτοῖσι καὶ τοῖσι προβάτοισι· ἔς τε, τὸ δεύ-
τερον ἐρημωθείσης Κρήτης, μετὰ τῶν ὑπολοίπων τρί-
3 τους αὐτὴν [d] νῦν νέμεσθαι Κρῆτας. Ἡ μὲν δὴ Πυθίη 586
ὑπομνήσασα ταῦτα, ἔσχε [e] βουλομένους τιμωρέειν
τοῖσι Ἕλλησι.

Thessali Græcorum rebus primum favent,

172 Θεσσαλοὶ δὲ ὑπὸ ἀναγκαίης τὸ πρῶτον ἐμήδισαν,
[a] ὡς διέδεξαν [b] ὅτι οὔ σφι ἥνδανε τὰ οἱ Ἀλευάδαι
2 ἐμηχανέωντο. ἐπεί τε γὰρ [c] ἐπυθέατο τάχιστα μέλ-
λοντα διαβαίνειν τὸν Πέρσην ἐς τὴν Εὐρώπην, [d] πέμ-
πουσι ἐς τὸν Ἰσθμὸν ἀγγέλους. ἐν δὲ τῷ Ἰσθμῷ
ἦσαν ἁλισμένοι πρόβουλοι τῆς Ἑλλάδος, ἀραιρη-
μένοι ἀπὸ τῶν πολίων τῶν τὰ ἀμείνω [e] φρονεουσέων

[p] Σμίκυθος Pausan. V. 26. [q] Sic S.V.F. Schæfer. κατελέλειπτο al. Mox ὥσπερ S. [r] ἐκ om. S. qui mox τὴν Ἀρκάδος.

171. [a] Sic edd. vett. Μίνω Schæfer. Μίνεω S.P.K.B. Wessel. Gronov. Μίνεῶ M. [b] ἀντὶ τούτων S.V. ἀπὸ τούτων F. et al. cf. 169. [c] Sic S.M.P.K.F.b.d. Vall. ἐκ Κρήτης a.c. Ald. [d] νῦν om. b. [e] βουλόμενος F.

172. [a] ὡς δὲ ἔδοξαν S. ὡς διεδέξαντ' F. [b] ὅτι οὔ σφι οἱ ἥνδ. K. Mox ἐμηχανῶντο S. ἐμηχανέοντο P.F. [c] ἐπύθοντο P.F. [d] πέμπουσι γὰρ S. Mox ἁλισκόμενοι F. pro ἁλισμένοι. [e] προνοεουσέων V.S.b.

3 περὶ τὴν Ἑλλάδα. ἀπικόμενοι δὲ ἐπὶ [f] τούτους τῶν
Θεσσαλῶν οἱ ἄγγελοι, ἔλεγον· "Ἄνδρες Ἕλληνες,
"δεῖ φυλάσσεσθαι τὴν ἐσβολὴν τὴν Ὀλυμπικὴν,
"ἵνα Θεσσαλίη τε καὶ ἡ σύμπασα [g] ᾖ Ἑλλὰς ἐν
4 "σκέπῃ τοῦ πολέμου. ἡμεῖς μέν νυν ἑτοῖμοί [h] εἰμεν
"συμφυλάσσειν· πέμπειν δὲ χρὴ καὶ ὑμέας στρατιὴν
"πολλήν· ὡς, εἰ μὴ [i] πέμψετε, ἐπίστασθε ἡμέας
5 "ὁμολογήσειν τῷ Πέρσῃ. οὐ [k] γάρ τοι προκατη-
"μένους τοσοῦτο πρὸ τῆς ἄλλης Ἑλλάδος, μούνους
6 "πρὸ ὑμέων δεῖ ἀπολέσθαι. βοηθέειν δὲ [l] οὐ βουλό-
"μενοι, ἀναγκαίην ἡμῖν οὐδεμίαν οἷοί τέ ἐστε προσ-
"φέρειν· οὐδαμὰ γὰρ ἀδυνασίης ἀνάγκη κρέσσων
"ἔφυ· ἡμεῖς δὲ πειρησόμεθα αὐτοί τινα σωτηρίην
"[m] μηχανεώμενοι." Ταῦτα ἔλεγον οἱ Θεσσαλοί.

173 *sed quod ab illis se destitutos cernerent,*

Οἱ δὲ Ἕλληνες πρὸς ταῦτα ἐβουλεύσαντο ἐς Θεσσαλίην
πέμπειν κατὰ θάλασσαν πεζὸν στρατὸν, φυλάξοντα
2 τὴν ἐσβολήν. ὡς δὲ συνελέχθη ὁ στρατὸς, ἔπλεε δι'
Εὐρίπου· ἀπικόμενος δὲ τῆς Ἀχαιΐης ἐς [a] Ἅλον,
ἀποβὰς ἐπορεύετο ἐς Θεσσαλίην, τὰς νέας αὐτοῦ
καταλιπών· καὶ [b] ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβο-
λὴν, ἥπερ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην
φέρει παρὰ Πηνειὸν ποταμὸν, μεταξὺ δὲ [c] Οὐλύμπου
3 τε οὔρεος ἐόντα καὶ τῆς [d] Ὄσσης. ἐνθαῦτα ἐστρατο-

[f] τούτοις S. [g] Ἑλλὰς σκέπη τοῦ πολέμου ᾖ S. [h] ἐσμὲν (vel ἔσμεν) P.K.F.b. [i] πέμψητε S.V. πέμψῆτε F. Mox ἐπίστασθαι F. [k] γάρ τι F.a. Mox τοσοῦτον S. [l] βουλομένοισι absque οὐ S. Forsan olim junctum erat utrumque, οὐ βουλόμενοι βουλομένοισι. SCHWEIGH. Mox οὐδεμίην S. vulg. Dedi οὐδεμίαν cum F. οὐδαμὰ item F. [m] μηχανώμενοι S.

173. [a] Sic M.S.P.K.F.a.c. Ἄλλον Ald. b. Σάλον d. *Algas* Vall. [b] Sic M.P.K.A.F. Paris. ἀπίκατο S.V. ἀπικέατο Ald. Mox ποταμὸν Πηνειὸν S. [c] Ὀλύμπου τε ὄρεος S.V.F. cf. I. 56. VII. 128. 129. Οὐλύμπου τοῦ οὔρεος Wessel. et al. edd. [d] οὔσης F. Tum ἐστρατοπεδεύετο S.

πεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους [e] ὁπλῖται
συλλεγέντες· καί σφι προσῆν ἡ [f] τῶν Θεσσαλῶν
4 ἵππος. ἐστρατήγεε [g] δὲ Λακεδαιμονίων μὲν, Εὐαί-
νετος ὁ [h] Καρήνου, [i] ἐκ τῶν πολεμάρχων ἀραιρημένος,
γένεος μέντοι ἐὼν [k] οὐ τοῦ βασιληΐου· Ἀθηναίων δὲ,
5 Θεμιστοκλέης ὁ Νεοκλέος. Ἔμειναν δὲ ὀλίγας ἡμέ- 587
ρας ἐνθαῦτα. ἀπικόμενοι γὰρ ἄγγελοι παρὰ Ἀλεξάν-
δρου τοῦ Ἀμύντεω, ἀνδρὸς Μακεδόνος, συνεβούλευόν
σφι ἀπαλλάσσεσθαι, μηδὲ μένοντας ἐν τῇ ἐσβολῇ,
καταπατηθῆναι ὑπὸ [l] τοῦ στρατοῦ ἐπιόντος· σημαί-
νοντες τὸ πλῆθός [m] τε τῆς στρατιῆς καὶ τὰς νέας.
6 ὡς δὲ οὗτοί σφι ταῦτα συνεβούλευον, (χρηστὰ γὰρ
ἐδόκεον συμβουλεύειν, καί σφι εὔνοος ἐφαίνετο [n] ἐὼν
7 ὁ Μακεδὼν,) ἐπείθοντο. δοκέειν δέ μοι, [o] ἀρρωδίη ἦν
τὸ πεῖθον, ὡς ἐπύθοντο καὶ [p] ἄλλην ἐοῦσαν ἐσβολὴν
ἐς Θεσσαλοὺς κατὰ τὴν ἄνω Μακεδονίην διὰ [q] Περ-
ραιβῶν κατὰ Γόννον πόλιν, τῇπερ δὴ καὶ ἐσέβαλε ἡ
8 στρατιὴ ἡ Ξέρξεω. καταβάντες δὲ οἱ Ἕλληνες [r] ἐπὶ
174 τὰς νέας, ὀπίσω ἐπορεύοντο ἐς τὸν Ἰσθμόν. Αὕτη
ἐγένετο ἡ ἐς Θεσσαλίην [a] στρατηΐη, βασιλέος τε μέλ-
λοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης, καὶ
2 ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ, [b] ἐρημωθέντες
συμμάχων, οὕτω δὴ ἐμήδισαν προθύμως, οὐδ' ἔτι
ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασι-
λέϊ ἄνδρες ἐόντες χρησιμώτατοι.

coacti barbaros sequuntur.

[e] Sic F.a.c. ὁπλίτας S.P.K.b.d. [f] τῶν om. S.F.a. [g] δὲ om. F. Mox μὲν om. S. [h] Καρίνου F. [i] Sic M.P.K.F. ἐκ om. Ald. a.S. Tum γένος S. Ald. [k] οὐ om. Ald. [l] τοῦ σ. τοῦ S. Schæfer. Bekker. [m] Sic F. τε al. om. [n] ἐὼν om. S.V. [o] Suid. in Ἀρρωδία. [p] ἄλλη S.V. Schæfer. [q] Περαιβῶν F. qui mox Γόνον, et καὶ om. ante ἐσέβαλε. Γόνον item S. [r] ὀπίσω ἐπὶ τὰς νέας, ἐπορ. S.

174. [a] Emendarunt Wessel. et Valcken. et sic Vall. στρατιὴ vulgo, ἐσβολὴ marg. Steph. [b] ἠρημωθ. S.

175 Delecta a Græcis ad excipiendum hostium impetum Thermopylæ et Artemisium.

Οἱ δὲ Ἕλληνες ἐπεί τε [a] ἀπίκατο ἐς τὸν Ἰσθμὸν,
ἐβουλεύοντο πρὸς τὰ λεχθέντα [b] ἐξ Ἀλεξάνδρου, ᾗ
2 τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. ἡ
νικῶσα δὲ γνώμη [c] ἐγένετο, τὴν ἐν Θερμοπύλῃσι
ἐσβολὴν φυλάξαι. στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα
τῆς [d] ἐς Θεσσαλίην, [e] καὶ ἅμα ἀγχοτέρη τε τῆς ἑωυ-
3 τῶν. τὴν δὲ ἀτραπὸν, δι' ἣν ἥλωσαν οἱ ἁλόντες
Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ᾔδεσαν ἐοῦσαν πρό-
τερον [f] ἤπερ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο
4 [g] Τρηχινίων. ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες
τὴν ἐσβολὴν, μὴ παριέναι [h] ἐς τὴν Ἑλλάδα τὸν βάρ-
βαρον· τὸν δὲ ναυτικὸν στρατὸν [i] πλέειν γῆς τῆς
5 Ἱστιαιώτιδος ἐπὶ Ἀρτεμίσιον. ταῦτα γὰρ ἀγχοῦ τε 588
ἀλλήλων ἐστὶ, ὥστε πυνθάνεσθαι τὰ [k] κατὰ ἑκατέ-
ρους ἐόντα· οἵ τε χῶροι οὕτως ἔχουσι.

176 Situs horum locorum.

Τοῦτο μὲν,
τὸ Ἀρτεμίσιον ἐκ τοῦ πελάγεος τοῦ Θρηϊκίου ἐξ
εὐρέος συνάγεται ἐς [a] στεινὸν πόρον, τὸν μεταξὺ
ἐόντα νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης.
2 ἐκ δὲ τοῦ στεινοῦ, τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον
[b] δέκεται αἰγιαλός· ἐν δὲ, Ἀρτέμιδος ἱρόν. Ἡ δὲ
αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα [c] ἔστι, τῇ
3 στεινοτάτη, ἡμίπλεθρον. οὐ μέντοι κατὰ τοῦτό γ'
ἔστι τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ'
ἔμπροσθέ τε Θερμοπυλέων καὶ ὄπισθε· κατά τε

175. [a] Sic M.S.V.P.K.F. Paris. ἀπικέατο Ald. [b] Sic P.K.F. Paris. ὑπ' Ἀλεξ. Ald. Gronov. Deest præpositio S. qui mox ἐν οἵοις χωρίοισι. Tum τῇ Bekker. [c] ἐγίνετο F. [d] Sic M.P.K.F.b.d. ἐν Θεσσαλίῃ a.c.S. Ald. [e] καὶ μία S.V. ἀγχοτέρη Suid. in v. [f] εἴπερ c. [g] Τριχιν. S. [h] ἐς om. F. [i] Sic P.K.F.a.c. πλ. τῆς Ἱστ. absque γῆς S.V. ἐπὶ γῆς τῆς Ἱστ. vulg. b. cf. VIII. 23. [k] Sic F.V.S.P. Vall. κατ' ἑτέρους c. vulg.

176. [a] στεινὸν ἐόντα τὸν πόρον, τὸν μεταξὺ νήσου P.K.F. Bekker. [b] Sic S.V.M.P.K.F. Paris. ἐκδεκέται edd. vett. Schæfer. [c] ἔστιν ἡ F.b.

᾿Αλπηνοὺς, ὄπισθε ἐόντας, [d] ἐοῦσα ἁμαξιτὸς μούνη·
καὶ ἔμπροσθε, κατὰ Φοίνικα ποταμὸν, ἀγχοῦ ᾿Ανθη-
4 λῆς πόλιος, ἁμαξιτὸς [e] ἄλλη μούνη. τῶν δὲ Θερ-
μοπυλέων [f] τὸ μὲν πρὸς [g] ἑσπέρης, ὄρος ἄβατόν τε
καὶ ἀπόκρημνον, ὑψηλὸν, ἀνατεῖνον ἐς τὴν Οἴτην· τὸ
δὲ πρὸς τὴν [h] ἠῶ τῆς ὁδοῦ, θάλασσα ὑποδέκεται καὶ
5 τενάγεα. Ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ,
τὰ [i] Χύτρους καλέουσι οἱ ἐπιχώριοι· καὶ βωμὸς ἵδρυ-
ται Ἡρακλέος ἐπ' αὐτοῖσι. ἐδέδμητο δὲ τεῖχος κατὰ
ταύτας τὰς ἐσβολάς· [k] καὶ τό γε παλαιὸν πύλαι ἐπῆ-
6 σαν. ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος, δείσαντες, ἐπεὶ
Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν [l] οἰκήσοντες γῆν τὴν
7 Αἰολίδα, τήνπερ νῦν ἐκτέαται. ἅτε δὴ πειρωμένων
τῶν Θεσσαλῶν καταστρέφεσθαί σφεας, [m] τοῦτο προ-
εφυλάξαντο οἱ Φωκέες· καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε
ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος·
πᾶν [n] μηχανεώμενοι ὅκως μή σφι [o] ἐσβάλοιεν οἱ
8 Θεσσαλοὶ ἐπὶ τὴν χώρην. Τὸ μέν νυν τεῖχος [p] τὸ
ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο, καὶ τὸ [q] πλέον αὐτοῦ
9 ἤδη ὑπὸ [r] χρόνου ἔκειτο. τοῖσι δὲ, αὖτις ὀρθώσασι,
ἔδοξε [s] ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρ- 589
βαρον. κώμη δέ ἐστι ἀγχοτάτω τῆς ὁδοῦ, [t] ᾿Αλπηνοὶ
οὔνομα· ἐκ ταύτης δὲ ἐπισιτιεῖσθαι ἐλογίζοντο οἱ
Ἕλληνες.

177 Οἱ [a] μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι — Nuntio allato, Persas

[d] Sic V.S.A.B. Ald. ἐοῦσα om. M.K.P.F.b. ᾿Αλπηνοὺς hinc Steph. Byz. in v. [e] ἄλλη om. F.b. ἄλλη ἁμαξιτὸς S. [f] τὸ μὲν om. S.V. [g] ἑσπέρην S.V. [h] ἕω S.V. ἠὼ F. [i] χύτρας Eustath. Dionys. 437. [k] καὶ τό γε παλαιὸν πύλαι S.V.B.F. Paris. Ald. τὸ δὲ παλ. καὶ πύλαι Eustath. τό γε τοπαλαιὸν M.P.K. probante Gronovio. τῷδε τὸ παλαιὸν Koenius. [l] Sic S.V.K. Paris. Ald. οἰκήσαντες. M.P. Mox ἅτε δὲ S. [m] τοῦτο om. S. [n] μηχανώμενοι F. [o] ἐμβάλ. S.V. qui mox ἐς τὴν χ. S. item om. οἱ. [p] τὸ om. S.V. [q] παλαιὸν P.F. [r] χρόνον b. [s] ταῦτα K.P.F. [t] ᾿Αλπηνὴ d.

177. [a] μὲν οὖν V.S.

ad sinum Thermaicum castra posuisse [c. 131.], copiæ Græcorum pedestres Thermopylas, navales Artemisium petunt.

[b] ἐφαίνοντο [c] ἐπιτήδεοι. ἅπαντα γὰρ προσκεψάμενοι,
καὶ ἐπιλογισθέντες, ὅτι οὔτε πλήθει ἕξουσι χρᾶσθαι
οἱ βάρβαροι, οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι
2 τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα. ὡς δὲ ἐπύθοντο
τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ, διαλυθέντες ἐκ τοῦ
[d] Ἰσθμοῦ, ἐστρατεύοντο αὐτῶν οἱ μὲν ἐς Θερμοπύλας
[e] πεζῇ, ἄλλοι δὲ κατὰ θάλασσαν [f] ἐπ' Ἀρτεμίσιον.

178

Oraculum Delphis datum de ventis contra hostes auxilio futuris: unde primum nata spes servandæ Græciæ. Ventorum apud Delphos divinus cultus.

Οἱ μὲν δὴ Ἕλληνες κατὰ τάχος ἐβοήθεον [a] διαταχθέντες.
Δελφοὶ δ' ἐν τούτῳ τῷ χρόνῳ ἐχρηστηριάζοντο
τῷ θεῷ, ὑπὲρ ἑωυτῶν καὶ τῆς Ἑλλάδος
καταρρωδηκότες. καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι·
[b] μεγάλους γὰρ τούτους ἔσεσθαι τῇ Ἑλλάδι
2 συμμάχους. Δελφοὶ δὲ δεξάμενοι τὸ μαντήϊον,
πρῶτα μὲν, Ἑλλήνων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι
ἐξήγγειλαν τὰ χρησθέντα αὐτοῖσι· καί σφι
δεινῶς καταρρωδέουσι τὸν βάρβαρον ἐξαγγείλαντες,
3 χάριν ἀθάνατον κατέθεντο. μετὰ δὲ ταῦτα, οἱ Δελφοὶ
τοῖσι ἀνέμοισι βωμόν τε [c] ἀπέδεξαν [d] ἐν Θυίῃ,
τῇπερ τῆς [e] Κηφισοῦ θυγατρὸς Θυίης τὸ τέμενός
ἐστι, ἐπ' ἧς καὶ ὁ χῶρος οὗτος τὴν ἐπωνυμίην ἔχει·
4 καὶ θυσίῃσί σφεας [f] μετήϊσαν. Δελφοὶ [g] μὲν δὴ
κατὰ τὸ χρηστήριον ἔτι καὶ νῦν [h] τοὺς ἀνέμους
ἱλάσκονται.

179

E barbarorum navibus decem versus insu-

Ὁ δὲ ναυτικὸς Ξέρξεω στρατὸς, ὁρμεώμενος ἐκ
Θέρμης πόλιος, [a] παρέβαλε νηυσὶ τῇσι ἄριστα πλεούσῃσι
δέκα ἰθὺ Σκιάθου· ἔνθα ἦσαν προφυλάσ-

[b] Sic S.V.P. Paris. Ald. ἐμφαίνοντο M.K. [c] ἐπιτήδειοι F. qui mox πάντα. [d] στρατοῦ S. [e] πεζοὶ S.V. [f] ἐς Ἀρτ. S.V.

178. [a] καταταχθ. F. [b] μεγίστους S.V. Vall. Mox ξυμμάχους S. [c] Sic P.K.S.V.F. Paris. cf. V. 89. ἀπεδέξαντο olim. [d] Sic Schæferus. ἐν Θύῃ P. ἐν Θύης K.F. ἐν Θυίης Ald. Wessel. Duo vv. om. S. [e] Κηφισσοῦ] Κηφισοῦ S.V. Vall. Schæfer. Mox θύης S. [f] μετῆσαν K.F.b. [g] μέν νυν S. Schæfer. Bekker. [h] τοῖς ἀνέμοις b.

179. [a] παρέλαβε F.b. Supra ὁρμώμενος S.

σουσαι νέες τρεῖς Ἑλληνίδες, Τροιζηνίη τε καὶ [b] Αἰγιναίη καὶ Ἀττική. προϊδόντες δὲ οὗτοι τὰς νέας

180 τῶν βαρβάρων, ἐς φυγὴν ὥρμησαν. Τὴν μὲν δὴ Τροιζηνίην, [a] τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι

2 [b] ἐπισπόμενοι οἱ βάρβαροι. καὶ ἔπειτα τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα [c] ἀγαγόντες ἐπὶ [d] τῆς πρώρης τῆς [e] νηὸς ἔσφαξαν, διαδέξιον ποιεύμενοι τὸν εἷλον τῶν Ἑλλήνων πρῶτον καὶ κάλλιστον. τῷ δὲ σφαγιασθέντι τούτῳ [f] οὔνομα ἦν Λέων· τάχα δ' ἄν

181 τι καὶ τοῦ οὐνόματος ἐπαύροιτο. Ἡ δὲ Αἰγιναίη, τῆς ἐτριηράρχεε [a] Ἀσωνίδης, καί τινά σφι θόρυβον παρέσχε, Πυθέω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην· ὃς ἐπειδὴ ἡ ναῦς ἡλίσκετο, ἐς τοῦτο ἀντεῖχε μαχόμενος, ἐς ὃ

2 [b] κατεκρεουργήθη ἅπας. ὡς δὲ πεσὼν οὐκ ἀπέθανε, ἀλλ' ἦν ἔμπνοος, οἱ Πέρσαι, οἵπερ ἐπεβάτευον ἐπὶ τῶν νεῶν, δι' ἀρετὴν τὴν ἐκείνου περιποιῆσαί μιν περὶ πλείστου ἐποιήσαντο, [c] σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα, [d] καὶ σινδόνος βυσσίνης τελαμῶσι [e] κατει-

3 λίσσοντες. καί μιν, ὡς ὀπίσω ἀπίκοντο ἐς τὸ ἑωυτῶν στρατόπεδον, ἐπεδείκνυσαν [f] ἐκπαγλεόμενοι πάσῃ τῇ στρατιῇ, [g] περιέποντες εὖ· τοὺς δὲ ἄλλους, τοὺς ἔλαβον ἐν τῇ νηῒ ταύτῃ, περιεῖπον ὡς ἀνδράποδα.

182 Αἱ μὲν δὴ δύο τῶν νεῶν [a] οὕτω ἐχειρώθησαν. ἡ δὲ

Iam Sciathum præmissæ, incidunt in tres Græcorum naves illic excubantes, quarum duas cum ipsis viris, tertiam, classiariis

[b] Sic M.F.S. Αἰγινάη P. Αἰγινέη Ald.

180. [a] ἧς F. [b] ἐπισπώμενοι S. [c] ἄγοντες S.V. [d] τὴν πρώρην S.V. Schæfer. Bekker. [e] νεὼς S.V. νεὸς Bekker. [f] Sic K. Steph. marg. ὄνομα F. τοὔνομα S. Wessel. al. τοῦ ante ὀνόματος om. Ald.

181. [a] Ἀστωνίδης S. Vall. [b] κατεκρεοργήθη P. [c] σμύρνῃ τε S.V. Vall. Schæfer. vulg. habet Suid. in Τελαμών. [d] καὶ ἐκ σίνδονος S. cf. II. 86. [e] Sic S.V.P.K.F. Paris. Suid. Ald. κατελίσσ. Steph. al. [f] ἐκπλαγεόμενοι S.V.K. cf. VIII. 92. IX. 47. ἐπαγγελλεόμενοι d. [g] καὶ περιεπ. S.V. Vall.

182. [a] οὕτω om. S.

post navem ad littus allisam dilapsis, vacuam capiunt. Qua re cognita, Græcorum classis hostes metuens, Artemisio relicto Chalcidem in Eubœa retrocedit.

τρίτη, τῆς ἐτριηράρχεε [b] Φόρμος, ἀνὴρ Ἀθηναῖος,
φεύγουσα, ἐξοκέλλει ἐς τὰς [c] ἐσβολὰς τοῦ Πηνειοῦ·
καὶ τοῦ μὲν σκάφεος ἐκράτησαν οἱ βάρβαροι, τῶν
2 δὲ ἀνδρῶν οὔ. ὡς γὰρ δὴ τάχιστα ἐπώκειλαν τὴν
νέα οἱ Ἀθηναῖοι, ἀποθορόντες, κατὰ Θεσσαλίην
πορευόμενοι ἐκομίσθησαν [d] ἐς Ἀθήνας. Ταῦτα οἱ
Ἕλληνες οἱ ἐπ' Ἀρτεμισίῳ στρατοπεδευόμενοι πυν- 1
θάνονται [e] παρὰ πυρσῶν ἐκ Σκιάθου. πυθόμενοι δὲ
καὶ καταρρωδήσαντες, ἀπὸ τοῦ Ἀρτεμισίου μετωρμί-
ζοντο ἐς Χαλκίδα, φυλάξοντες μὲν τὸν Εὔριπον,
λείποντες δὲ ἡμεροσκόπους περὶ τὰ ὑψηλὰ τῆς
Εὐβοίης.

183

Mox secuta tota classis Persarum, ad Sepiadem in Magnesia appellit.

Τῶν δὲ δέκα νεῶν τῶν βαρβάρων τρεῖς
[a] ἐπέλασαν περὶ τὸ ἕρμα τὸ μεταξὺ ἐὸν Σκιάθου τε
2 καὶ Μαγνησίης, καλεόμενον δὲ Μύρμηκα. ἐνθαῦτα
οἱ βάρβαροι ἐπειδὴ στήλην λίθου ἐπέθηκαν, κομί- 591
σαντες ἐπὶ τὸ ἕρμα, ὁρμηθέντες αὐτοὶ ἐκ Θέρμης,
ὥς σφι τὸ [b] ἐμποδὼν ἐγεγόνεε καθαρὸν, [c] ἐπέπλεον
πάσῃσι τῇσι νηυσὶ, [d] ἕνδεκα ἡμέρας παρέντες μετὰ
3 τὴν βασιλέος ἐξέλασιν ἐκ Θέρμης. τὸ δὲ ἕρμα σφι
κατηγήσατο, ἐὸν [e] ἐν πόρῳ μάλιστα, [f] Πάμμων Σκύ-
ριος. πανημερὸν δὲ [g] πλώοντες οἱ βάρβαροι, ἐξα-
νύουσι τῆς Μαγνησίης χώρης ἐπὶ Σηπιάδα τε καὶ
τὸν αἰγιαλὸν τὸν μεταξὺ [h] Κασθαναίης τε πόλιος
ἐόντα καὶ Σηπιάδος ἀκτῆς.

[b] Φόρμος P.K.S.V. Vall. Φίρμος a. vulg. Φρίμος F. [c] ἐσβολὰς P.K.F. ἐμβολὰς Wessel. al. cum S. [d] Sic S.V.P.F.a. Vulgo ἐς τὰς Ἀθ. [e] διὰ πυρσῶν S. παρὰ Περσῶν b. Ald. Hic etiam πυνθανόμενοι.

183. [a] ἐπήλασαν P.F.a. ἐπεστάλησαν S.V. [b] ἐκποδὼν S.V. [c] ἔπλεον S.V.a. [d] ἐν δέκα ἡμέρῃσι F. [e] ἐμπόρῳ S. [f] Πάμμω S. *Pammorum* s. *Parimnon* Vall. [g] πλέοντες S.V.F.a. [h] Sic K.F. Paris. Κασταναίης τε S.V. τε vulg. om. Vid. Harduin. Plin. IV. 9. Holsten. Steph. Byz.

Quantum hominum numerum et quam immanem omnis generis apparatum Xerxes ad Sepiadem Thermopylasque et ex Asia,

184 Μέχρι μέν [a] νυν τούτου τοῦ χώρου καὶ Θερμοπυλέων, ἀπαθής τε κακῶν ἦν ὁ στρατός· καὶ πλῆθος ἦν [b] τηνικαῦτα ἔτι, ὡς ἐγὼ [c] συμβαλλόμενος εὑρίσκω, [d] τόσον· τῶν μὲν ἐκ τῶν νεῶν τῶν ἐκ τῆς Ἀσίης, ἐουσέων ἑπτὰ καὶ [e] διηκοσιέων καὶ χιλιέων, τὸν μὲν ἀρχαῖον [f] ἑκάστων τῶν ἐθνέων [g] ἐόντα ὅμιλον τέσσερας καὶ εἴκοσι μυριάδας, καὶ πρὸς, χιλιάδα τε καὶ τετρακοσίους, [h] ὡς ἀνὰ διηκοσίους ἄνδρας λογιζομέ-
2 νοισι ἐν ἑκάστῃ [i] νηΐ. ἐπεβάτευον δὲ ἐπὶ τουτέων τῶν νεῶν, χωρὶς ἑκάστων τῶν ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων καὶ Σακέων τριήκοντα ἄνδρες.
3 οὗτος ἄλλος ὅμιλος [k] γίνεται τρισμύριοι, καὶ ἑξακισ-
4 χίλιοι, καὶ πρὸς, διηκόσιοί τε καὶ δέκα. προσθήσω δ' ἔτι τούτῳ καὶ τῷ προτέρῳ ἀριθμῷ τοὺς ἐκ τῶν πεντηκοντέρων· ποιήσας, [l] ὅ τι πλέον ἦν αὐτέων ἢ ἔλασσον,
5 ἀν' ὀγδώκοντα ἄνδρας ἐνεῖναι. συνελέχθη δὲ ταῦτα τὰ πλοῖα, ὡς καὶ πρότερόν [m] μοι εἰρέθη, τρισχίλια. [n] ἤδη ὦν ἄνδρες ἂν εἶεν ἐν αὐτοῖσι τέσσερες μυριάδες καὶ
6 εἴκοσι. Τοῦτο [o] μέν νυν τὸ ἐκ τῆς Ἀσίης ναυτικὸν ἦν, σύμπαν ἐὸν πεντήκοντα μυριάδες καὶ μία, [p] χιλιάδες τε ἔπεισι ἐπὶ ταύτῃσι ἑπτὰ, καὶ πρὸς, ἑκατοντάδες
7 ἓξ, καὶ [q] δεκάς. Τοῦ δὲ πεζοῦ, ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες [r] ἐγίνοντο· τῶν δὲ ἱππέων, ὀκτὼ μυριά-

184. [a] νυν om. S. qui mox ἦν pro ἔην cum V.P.K.F. Bekker. [b] Sic S.V.B. Ald Schæfer. ἔτι om. A.M.P.K.F. Wessel. [c] συμβαλλόμενος S.P.V.K.F. συμβαλλεό. al. [d] Sic S.V. Ald. om. F. Paris. Wessel. Tum τὸν μὲν S. [e] Sic P.F. διηκοσίων alii. [f] ἑκάστου S. et sic mox. [g] ὅμιλον ἐόντα F. ἐόντα ὅμιλον S. vulg. [h] ὡς ἀνὰ διηκοσίους om. S. [i] νεΐ K.F. Mox ἑκάστου S. [k] γίνονται S. Schæfer. Mox τε om. S. post διηκόσιοι. [l] ἔτι πλέον αὐτῶν ἢ ἐλάσσονα ὀγδ. S. Vall. Tum εἶναι S. et mox ὦν pro δέ. [m] μοι om. S.V.F.a.b. Tum εἰρήθη V.P.K. cf. IV. 156. εἰρήθη Schæfer. ἠρέθη F. ἐρρήθη Ald. [n] Ita recte scribi affirmat Hermannus de part. ἂν III. 8. ἤδη ὦν ἂν ἦν S.V. Schæfer. Matthiæ. [o] μὲν δὴ P.F. [p] χιλ. δὲ F. Mox ταύτῃ S. pro ταύτῃσι. [q] δέκα S.V. [r] ἐγένοντο S.P.V.

δες. [s] προσθήσω δ' ἔτι τούτοισι τὰς καμήλους τοὺς
ἐλαύνοντας Ἀραβίους, καὶ τοὺς τὰ ἅρματα Λίβυας,
8 πλῆθος ποιήσας δισμυρίους ἄνδρας. Καὶ δὴ τό τε ἐκ
τῶν νεῶν καὶ τοῦ πεζοῦ [t] πλῆθος συντιθέμενον, γίνε-
ται διηκόσιαί τε μυριάδες καὶ τριήκοντα καὶ μία, καὶ
πρὸς, χιλιάδες ἑπτὰ, καὶ ἑκατοντάδες ἓξ, καὶ [v] δεκάς. 592
9 [w] Τοῦτο μὲν τὸ ἐξ αὐτῆς τῆς Ἀσίης στράτευμα ἐξ-
αναχθὲν εἴρηται, ἄνευ τε τῆς θεραπηΐης τῆς ἑπομένης,
καὶ τῶν σιταγωγῶν πλοίων, καὶ ὅσοι [x] ἐνέπλεον τού-
185 τοισι. Τὸ δὲ δὴ ἐκ τῆς Εὐρώπης ἀγόμενον στρά-
τευμα ἔτι προσλογιστέα τούτῳ παντὶ τῷ ἐξηριθμη-
2 μένῳ. δόκησιν [a] δὲ δεῖ λέγειν. νέας μέν νυν οἱ ἀπὸ
Θρηΐκης Ἕλληνες, καὶ ἐκ [b] τῶν νήσων τῶν ἐπικει-
μένων τῇ Θρηΐκῃ, παρείχοντο εἴκοσι καὶ ἑκατόν. ἐκ
μέν νυν τουτέων τῶν νεῶν ἄνδρες τετρακισχίλιοι καὶ
3 [c] δισμύριοι γίνονται. πεζοῦ δὲ, τὸν Θρήϊκες παρεί-
χοντο, καὶ Παίονες, καὶ Ἐορδοὶ, καὶ Βοττιαῖοι, καὶ τὸ
Χαλκιδικὸν γένος, καὶ Βρύγοι, καὶ Πίερες, καὶ Μακε-
δόνες, καὶ [d] Περραιβοὶ, καὶ [e] Ἐνιῆνες, καὶ Δόλοπες,
καὶ Μάγνητες, καὶ Ἀχαιοὶ, καὶ ὅσοι τῆς Θρηΐκης τὴν
παραλίην νέμονται· τούτων τῶν ἐθνέων τριήκοντα
4 μυριάδας δοκέω γενέσθαι. αὗται ὦν αἱ μυριάδες [f] κεί-
νῃσι προστεθεῖσαι τῇσι ἐκ τῆς Ἀσίης, γίνονται [g] αἱ
πᾶσαι ἀνδρῶν αἱ μάχιμοι μυριάδες διηκόσιαι καὶ ἑξή-

et ex Europa contra Græcos conduxerit.

[s] προσθήσω δὲ F. absque ἔτι. προσθήσω δέ τι τούτοισι S. [t] Sic S.V.K.F. Paris. πλήθεος olim. Infra γίνονται S. pro γίνεται. [v] Sic P.K.F. Paris. δέκα S.V. δεκάδες δύο Ald. Steph. [w] τοῦτο μὲν τὸ S.V.P.K. Ald. Paris. F. τοῦτο μὲν δὴ τὸ M. Schæfer. Mox τε om. S. post ἄνευ. [x] ἐπέπλεον F.

185. [a] Sic S.V.K. Ald. F. Paris. δὲ δὴ δεῖ λέγειν M. δὲ δὴ λεγ. P. [b] τῶν νήσων om. S. [c] τρισμύριοι S. Vall. b. marg. μύριοι F. [d] Περαιβοὶ F. [e] Αἰνιῆνες S. Bekker. [f] κείνῃσι S. ἐκείνῃσι F. et al. [g] Sic S.P.K.F. ἀνδρῶν αἱ π. μ. Wessel. al.

κοντα καὶ [h] τέσσερες, ἔπεισι δὲ ταύτῃσι [i] ἑκατοντάδες
186 ἑκκαίδεκα, καὶ δεκάς. Τοῦ μαχίμου δὲ τούτου ἐόντος
ἀριθμὸν τοσούτου, τὴν θεραπηΐην τὴν ἑπομένην τού-
τοισι, [a] καὶ τοὺς ἐν τοῖσι σιταγωγοῖσι [b] ἀκάτοισι ἐόν-
τας, καὶ μάλα ἐν τοῖσι ἄλλοισι πλοίοισι τοῖσι [c] ἅμα
πλέουσι τῇ στρατιῇ, τούτους τῶν μαχίμων ἀνδρῶν
2 οὐ δοκέω εἶναι ἐλάσσονας, ἀλλὰ πλεῦνας. καὶ δή
σφεας ποιέω ἴσους ἐκείνοισι εἶναι, καὶ οὔτε πλεῦνας,
οὔτε ἐλάσσονας [d] οὐδέν· ἐξισούμενοι δὲ οὗτοι τῷ
μαχίμῳ, ἐκπληροῦσι τὰς ἴσας μυριάδας [e] ἐκείνῃσι.
3 [f] Οὕτω πεντηκοσίας τε μυριάδας καὶ εἴκοσι καὶ ὀκτὼ,
καὶ χιλιάδας τρεῖς, καὶ ἑκατοντάδας δύο, καὶ δεκάδας
δύο ἀνδρῶν ἤγαγε Ξέρξης ὁ Δαρείου μέχρι Σηπιάδος
187 καὶ Θερμοπυλέων. Οὗτος μὲν δὴ τοῦ [a] συνάπαντος
[b] τοῦ Ξέρξεω στρατεύματος ἀριθμός. γυναικῶν δὲ
σιτοποιέων, καὶ παλλακέων, καὶ εὐνούχων, οὐδεὶς ἂν
εἴποι ἀτρεκέα ἀριθμόν· οὐδ' αὖ ὑποζυγίων τε καὶ τῶν
ἄλλων κτηνέων τῶν ἀχθοφόρων· καὶ κυνῶν Ἰνδικῶν
τῶν ἑπομένων, οὐδ' ἂν τούτων ὑπὸ πλήθεος οὐδεὶς ἂν
2 εἴποι ἀριθμόν. Ὥστε [c] οὐδέν μοι [d] θῶμα [e] παρίσταται
προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν [f] ἔστι τῶν· ἀλλὰ
μᾶλλον, ὅκως τὰ σιτία ἀντέχρησε, θῶμά μοι, μυριάσι 593
3 τοσαύτῃσι. εὑρίσκω γὰρ [g] συμβαλλόμενος, εἰ χοίνικα

Xerxes ipse omnium pulcherrimus et procerissimus.

h τέσσαρες F. πέντε S. i χιλιὰς καὶ ἑκατοντάδες ἓξ καὶ δέκα S. ἑκατοντάδες καὶ δεκὰς F.

186. a καὶ τοῖς F. b Sic M.S.P.V.K.F. Paris. Ald. ἀκάτοις Steph. et seqq. c ἀναπλέουσι K. d οὐδενὸς S. e ἐκείνοισι P.a.b.c. om. S. f ὡς συμβαίνειν γίνεσθαι πάντα τὸν στρατὸν μυριάδας πεντακοσίας καὶ τριάκοντα καὶ χιλιάδας τρεῖς καὶ ἑκατοντάδας δύο καὶ δεκάδας δύο ἀνδρῶν, τὸν ἤγαγεν ὁ Ξέρξης S.

187. a Sic M.K.P.F. συμπαντὸς S.a. al. b Sic S.K.F.a. στρατ. τοῦ Ξ. Wessel. al. c οὐδὲ P. Thomas Mag. in Προέδωκεν. d Sic P.S. Thomas, F. θώϋμα vulg. e περιΐσταται S. f Sic K. Schæfer. ἐστιν ὧν P. Thomas, F.a. ἐνίων S. Wessel. al. g συμβαλλεόμενος] συμβαλλόμενος S.V.F.

πυρῶν ἕκαστος τῆς ἡμέρης ἐλάμβανε καὶ μηδὲν πλέον, ἕνδεκα μυριάδας μεδίμνων τελεομένας ἐπ' ἡμέρῃ ἑκάστῃ, καὶ πρὸς, τριηκοσίους τε ἄλλους με-
4 δίμνους καὶ τεσσεράκοντα. γυναιξὶ δὲ καὶ εὐνούχοισι, καὶ ὑποζυγίοισι καὶ κυσὶ, οὐ λογίζομαι. [h] Ἀνδρῶν δ' ἐουσέων [i] τοσουτέων [k] μυριαδέων, κάλλεός τε εἵνεκα καὶ μεγάθεος οὐδεὶς αὐτῶν ἀξιονικότερος ἦν αὐτοῦ Ξέρξεω ἔχειν τοῦτο τὸ κράτος.

188 Persarum naves dum ad Sepiadem commorantur, ingens coorta tempestas earum multas frangit.

Ὁ δὲ δὴ ναυτικὸς στρατὸς ἐπεί τε ὁρμηθεὶς ἔπλεε, καὶ κατέσχε τῆς Μαγνησίης χώρης ἐς τὸν αἰγιαλὸν τὸν μεταξὺ [a] Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς, αἱ μὲν δὴ πρῶται τῶν νεῶν ὅρμεον [b] πρὸς γῇ, ἄλλαι δ' ἐπ' ἐκείνῃσι ἐπ' ἀγκυρέων· ἅτε γὰρ τοῦ αἰγιαλοῦ ἐόντος οὐ μεγάλου, [c] πρόκροσσαι [d] ὁρμέοντο ἐς πόντον, καὶ [e] ἐπὶ ὀκτὼ νέας. ταύτην μὲν
2 τὴν εὐφρόνην οὕτω. Ἅμα δὲ ὄρθρῳ, ἐξ αἰθρίης τε καὶ νηνεμίης, τῆς [f] θαλάσσης ζεσάσης, [g] ἐπέπεσέ σφι χειμών τε μέγας καὶ [h] πολλὸς ἄνεμος ἀπηλιώτης, τὸν δὴ Ἑλλησποντίην καλέουσι οἱ περὶ ταῦτα τὰ χωρία
3 οἰκημένοι. ὅσοι [i] μέν νυν [k] αὐτῶν αὐξόμενον ἔμαθον τὸν ἄνεμον, καὶ τοῖσι οὕτω εἶχε [l] ὅρμου, οἱ δ' ἔφθησαν τὸν χειμῶνα ἀνασπάσαντες τὰς νέας, καὶ αὐτοί τε
4 περιῆσαν καὶ αἱ νέες αὐτῶν. ὅσας δὲ τῶν νεῶν με-

[h] Sic S.V.K.F. ἀνδρέων vulg. [i] τοσαυτέων K. Wessel. τοσουτέων S.F.b. al. Schæfer. [k] μυριάδων S.V. Bekker.

188. [a] Κασταναίης d. cf. 183. Mox ὅρμεον Bekker. [b] Sic P.K.F.a. πρὸς γῆν S.V.b.d. πρὸς τὴν γῆν Eustath. Il. p. 965, 4=949, 25. Mox ἐπαγγυρέων S. [c] ἄλλη ἐπ' ἄλλῃ Schol. in P. cum Suid. et Eustath. [d] ὡρμέοντο (ὁ superscr.) F. ὁρμαίνοντο Suid. ὡρμέοντο S. [e] ἐπὶ πεντήκοντα Suid. [f] Longin. 42. ζέσας P. [g] ἔπεσε K. Mox τε om. S. [h] πολὺς S.V.P.K.F. Mox Ἑλλησποντίαν S. [i] Sic Ald. S.V.a.c. μὲν οὖν M.P.K.A. et forte F. [k] αὐτῶν om. M.P.K.F.b.c.d. [l] ὅρμον d. Mox αἱ ante νέες om. S.

ταρσίας ἔλαβε, τὰς μὲν [m] ἐξέφερε πρὸς [n] Ἰπνοὺς
καλεομένους τοὺς ἐν Πηλίῳ, τὰς δὲ ἐς τὸν αἰγιαλόν·
αἱ δὲ [o] περὶ αὐτὴν τὴν Σηπιάδα περιέπιπτον· αἱ δὲ ἐς 594
Μελίβοιαν πόλιν, αἱ δὲ ἐς [p] Κασθαναίην [q] ἐξεβράσ-
189 σοντο. [r] ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον. Λέ-
γεται δὲ λόγος, ὡς Ἀθηναῖοι τὸν Βορῆν ἐκ θεοπρο-
πίου ἐπεκαλέσαντο, ἐλθόντος σφι ἄλλου χρηστηρίου
2 τὸν γαμβρὸν ἐπίκουρον καλέσασθαι. Βορῆς δὲ, κατὰ
τὸν Ἑλλήνων λόγον, ἔχει γυναῖκα Ἀττικὴν, [a] Ὠρεί-
3 θυιαν τὴν [b] Ἐρεχθέος. κατὰ δὴ τὸ κῆδος τοῦτο οἱ
Ἀθηναῖοι, ὡς φάτις [c] ὥρμηται, [d] συμβαλλόμενοί σφι
τὸν Βορῆν γαμβρὸν εἶναι, [e] ναυλοχέοντες [f] τῆς Εὐ-
βοίης ἐν Χαλκίδι, ὡς ἔμαθον αὐξόμενον τὸν χειμῶνα,
ἢ καὶ πρὸ τούτου, [g] ἐθύοντό τε καὶ ἐπεκαλέοντο τόν
τε Βορῆν καὶ τὴν Ὠρείθυιαν, τιμωρῆσαί σφι καὶ δι-
αφθεῖραι τῶν βαρβάρων τὰς νέας, ὡς καὶ πρότερον
4 περὶ [h] Ἄθων. Εἰ [i] μέν νυν διὰ ταῦτα τοῖσι βαρβά-
ροισι ὁρμέουσι [k] ὁ βορῆς [l] ἐπέπεσε, οὐκ ἔχω [m] εἰπεῖν·
οἱ δ' ὦν Ἀθηναῖοί σφι λέγουσι [n] βοηθήσαντα τὸν
Βορῆν πρότερον, καὶ τότε ἐκεῖνα κατεργάσασθαι· καὶ
ἱρὸν ἀπελθόντες Βορέω [o] ἱδρύσαντο παρὰ ποταμὸν
Ἰλισσόν.

Boreas et Orithyia ab Atheniensibus in auxilium vocati. Sacellum Boreæ ad Ilissum fluvium.

m ἐξέφορε P. n ὕπνους V. o ἐς αὐτὴν S.V. p Κασταν. c. Ald. q ἐξεράσσοντο S. cf. 190. r Sic plures cum Suid. in Χρῆμα. ἦν δὲ S.V. Schæfer.

189. a Ὠρείθυιαν S.V. Bekker. Ὠρειθυίην al. b Ἐρεχθῆος] Ἐρεχθέος S.V.F. c ὡρμέατο S. ὡρμέαται V. d συμβαλλόμ. F. τὸ συμβαλλόμενον S. e καὶ ναυλ.] καὶ om. F.a.c.S. Bekker. f ὧν τῆς Εὐρώπης S.V. Vall. Mox ἢ post χειμῶνα om. S. g Sic Wessel. S. et vulg. ἔθυόν τε d. Schæfer. Bekker. ἔθυον τότε F. cf. 167. Mox τὸν βορῆν et deinde Ὠρείθυιαν S. h Ἄθω S.V. i μὲν ὦν S. μὲν οὖν V. k ὁ βορέης S.V. ὁ om. F.a. edd. ante Wessel. l ἔπεσε K. m εἶπαι] εἰπεῖν M.S.K.P.A.F. n βοηθήσοντα P.F. o ἱδρύσασθαι F. Ald.

190 Quot naves hominesque illa tempestas absumserit. Aminocles, ad Sepiadem fundos possidens, ex hoc naufragio immensas divitias nactus.

Ἐν τούτῳ τῷ πόνῳ νέας οἳ ἐλαχίστας λέγουσι διαφθαρῆναι, τετρακοσιέων οὐκ ἐλάσσονας, ἄνδρας τε ἀναριθμήτους, χρημάτων τε πλῆθος ἄφθονον· ὥστε [a] Ἀμεινοκλέϊ τῷ [b] Κρητίνεω, ἀνδρὶ Μάγνητι, [c] γηοχέοντι περὶ Σηπιάδα, μεγάλως [d] ἡ ναυηγίη ἐγένετο χρηστή· ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ χρόνῳ ἐκβρασσόμενα [e] ἀνείλετο, πολλὰ δὲ ἀργύρεα· θησαυρούς τε τῶν Περσέων εὗρε, ἄλλα τε χρύσεα [f] ἄφατα
2 χρήματα [g] περιεβάλλετο. ἀλλ᾽ ὁ μὲν τἄλλα οὐκ εὐτυχέων, εὑρήμασι μέγα πλούσιος ἐγένετο· ἦν γάρ τις καὶ [h] τοῦτον ἄχαρις συμφορὴ λυπεῦσα [i] παιδοφόνος. 595

191 Quarto demum die, post sacra a magis mari placando facta, venti rabies sedatur. Sepias Thetidi Nereïdibusque sacra.

Σιταγωγῶν δὲ ὁλκάδων καὶ τῶν ἄλλων πλοίων διαφθειρομένων οὐκ ἐπῆν ἀριθμός· ὥστε δείσαντες οἱ στρατηγοὶ τοῦ ναυτικοῦ στρατοῦ, μή [a] σφι κεκακωμένοισι ἐπιθέωνται οἱ Θεσσαλοὶ, ἕρκος ὑψηλὸν ἐκ
2 τῶν [b] ναυηγίων περιεβάλοντο. ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς. τέλος δὲ, ἔντομά τε ποιεῦντες καὶ [c] καταείδοντες [d] γόησι τῷ ἀνέμῳ οἱ Μάγοι, [e] πρός τε τούτοισι, καὶ τῇ Θέτι καὶ τῇσι Νηρηΐσι θύοντες, ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων
3 [f] ἐκόπασε. τῇ δὲ Θέτι ἔθυον, πυθόμενοι παρὰ τῶν

190. [a] Ἀμινοκλέῃ S. [b] Κρησίνεω Plutarch. II. p. 864 C. [c] ναυηγέοντι S.d. [d] Sic F. ἡ ναυ. αὕτη χρηστὴ ἐγίνετο Wessel. et vulg. ἡ ν. αὕτη ἐγένετο χρηστὴ S. αὕτη om. M.K.P. [e] ἀνείλατο S.V. cf. Pierson. ad Herodian. p. 431. [f] ἄφατα om. M.P.K.F. ἄφατα καὶ χρήματα Plutarch. ἄφατα ὅσα χρήμ. Schæfer. ad Gregor. Dial. p. 184. χρύσεα omissum mallet Valckenær. uncinis inclusit Bekker. χρυσία habent duo mss. Plutarchi, qui mox τὰ χρυσᾶ χρήματα. [g] Sic S.V.F. περιεβάλετο Wessel. Bekker. al. [h] τοῦτον S.V. Paris. F. corr. Plutarchi mss. τούτων P.F. pr. τούτῳ edd. vett. [i] παιδοφόνος M.S.V.K.P.a.F. παιδοκτόνος Ald. c. Plutarch.

191. [a] σφι κεκακωμένοισιν αὐτοῖσιν a.S. κεκακωμένοισι αὐτοῖσι Ald. [b] ναυηγιέων S. ναυαγίων P.K.F. Tum περιεβάλλοντο S. [c] κατάδοντες S.V. [d] γόησιν οἱ Μάγοι τῷ ἀνέμῳ F. γόοισι *sacro ululatu* Wessel. γοῇσι Bekker. [e] πρὸς δὲ S.V. [f] ἐκοπίασε Longinus 42. Vulg. habet Lex. Seg. p. 104, 29.

Ἰώνων τὸν λόγον, ὡς ἐκ τοῦ χώρου τούτου ἁρπασθείη
ὑπὸ [g] Πηλέος, [h] εἴη τε ἅπασα ἡ ἀκτὴ ἡ Σηπιὰς
[i] ἐκείνης τε καὶ τῶν ἄλλων Νηρηΐδων. ὁ μὲν δὴ τε-
192 τάρτῃ ἡμέρῃ ἐπέπαυτο. Τοῖσι δὲ Ἕλλησι οἱ ἡμερο-
σκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐβοϊκῶν καταδραμόντες
δευτέρῃ ἡμέρῃ, ἀπ᾽ ἧς [a] ὁ χειμὼν ὁ πρῶτος ἐγένετο,
2 ἐσήμαινον πάντα τὰ γενόμενα περὶ τὴν ναυηγίην. οἱ
δὲ, ὡς ἐπύθοντο, Ποσειδέωνι Σωτῆρι εὐξάμενοι, καὶ
σπονδὰς προχέαντες, τὴν ταχίστην ὀπίσω ἠπείγοντο
ἐπὶ τὸ Ἀρτεμίσιον· ἐλπίσαντες ὀλίγας [b] τινάς σφι
3 [c] ἀντιξόους ἔσεσθαι [d] νέας. οἱ μὲν δὴ τὸ δεύτερον
ἐλθόντες, περὶ τὸ Ἀρτεμίσιον [e] ἐναυλόχεον, Ποσει-
δέωνος Σωτῆρος ἐπωνυμίην ἀπὸ [f] τούτου ἔτι καὶ ἐς
τόδε νομίζοντες.

Audita barbarorum strage classis Græcorum Artemisium repetit. Neptunus Servator.

193 Οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ [a] τὸ
κῦμα ἔστρωτο, κατασπάσαντες τὰς νῆας, ἔπλεον
[b] παρὰ τὴν ἤπειρον. κάμψαντες δὲ τὴν ἄκρην τῆς
Μαγνησίης, ἰθεῖαν ἔπλεον ἐς τὸν κόλπον τὸν ἐπὶ
2 Παγασέων φέροντα. ἔστι δὲ χῶρος ἐν τῷ κόλπῳ
τούτῳ τῆς Μαγνησίης, ἔνθα λέγεται [c] τὸν Ἡρακλέα
καταλειφθῆναι ὑπὸ Ἰήσονός τε καὶ τῶν συνεταίρων,
3 ἐκ τῆς Ἀργοῦς ἐπ᾽ ὕδωρ πεμφθέντα, εὖτ᾽ ἐπὶ τὸ κῶας
ἔπλεον ἐς Αἶαν τὴν Κολχίδα. ἐνθεῦτεν γὰρ [d] ἔμελλον
ὑδρευσάμενοι ἐς τὸ πέλαγος ἀφήσειν· [e] ἐπὶ τούτου δὲ

Aphetæ ad sinum Pa- 596 gasæum sitæ, unde nomen acceperint. Quo dum naves Persarum, Sepiade relicta, provehuntur,

[g] Πηλῆος] Πηλέος K.S. Πηλέως F. [h] καὶ ὡς εἴη perperam ex S. enotavit Galeus. [i] ἐκείνης τε F. om. (?)

192. [a] ὁ χ. πρῶτος c. marg. Steph. ὁ χειμὼν ὁ πρῶτος P.K.S.V.F. Olim. πρῶτον. [b] τινὰς om. M.P.K.F.b. [c] ἀντίξους pro ἀντιξόους P.F. [d] νέας S.V.K.F. et sic c. seq. et alibi. Vulgo νῆας. [e] ἐναυμάχεον S. [f] Sic M.S.V.P.K.F. Paris. τοῦδε olim.

193. [a] Citat Eustath. Od. p. 1462, 9=119, 39. Mox νέας S. et Bekker. [b] περὶ b. Mox ἰθέαν Bekker. [c] τὸν Ἡρακλῆα] τὸν Ἡρακλέα F. Ἡρακλέα absque τὸν S. Mox τὴν Κολχίδα om. S. [d] ἔμενον Ald. [e] Sic P.K.S.V.F. Paris. et sic forte M. quam lectionem Gronovius ad ἐν τούτῳ paullo inf. perperam videtur retulisse. ἐκ τούτου olim.

τῷ χώρῳ οὔνομα [f]γέγονε Ἀφέται. ἐν τούτῳ ὦν ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο.

194 earum quindecim, duce Sandoce, quem Darius olim ob causam injuste judicatam capitis damnaverat, Græcorum in manus incidunt.

Πεντεκαίδεκα δὲ τῶν νηῶν τουτέων ἔτυχόν τε
ὕσταται πολλὸν ἐξαναχθεῖσαι, καί κως κατεῖδον τὰς
ἐπ' Ἀρτεμισίῳ τῶν Ἑλλήνων νῆας, ἔδοξάν τε [a]δὴ
τὰς σφετέρας εἶναι οἱ βάρβαροι, καὶ πλέοντες [b]ἐσέ-
πεσον ἐς τοὺς πολεμίους· τῶν ἐστρατήγεε [c]ὁ ἀπὸ
Κύμης τῆς Αἰολίδος ὕπαρχος Σανδώκης ὁ [d]Θαμα-
σίου· [e]τὸν δὴ πρότερον τούτων βασιλεὺς Δαρεῖος,
ἐπ' αἰτίῃ τοιῇδε λαβὼν [f]ἀνεσταύρωσε, ἐόντα τῶν
βασιληΐων δικαστέων· [g]ὁ Σανδώκης ἐπὶ χρήμασι
2 ἄδικον δίκην ἐδίκασε. ἀνακρεμασθέντος ὦν αὐτοῦ,
[h]λογιζόμενος ὁ Δαρεῖος, [i]εὗρέ οἱ πλέω ἀγαθὰ τῶν
ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήϊον·
εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος, καὶ γνοὺς ὡς ταχύτερα
3 αὐτὸς ἢ σοφώτερα [k]ἐργασμένος εἴη, ἔλυσε. βασιλέα
μὲν [l]δὴ Δαρεῖον οὕτω διαφυγὼν μὴ ἀπολέσθαι,
περιῆν· τότε δὲ ἐς τοὺς Ἕλληνας καταπλώσας,
4 ἔμελλε οὐ τὸ δεύτερον διαφυγὼν [m]ἔσεσθαι. ὡς γάρ
σφεας εἶδον [n]προσπλέοντας οἱ Ἕλληνες, μαθόντες
αὐτῶν τὴν γινομένην ἁμαρτάδα, ἐπαναχθέντες, εὐπε-

[f] λέγεται S.V.

194. [a] δὴ om. F.b. In pr. νεῶν S. et mox νέας. [b] Sic F.a. ἔπεσον S.V. Wessel. ἐπέπεσον edd. vett. [c] ὁ om. K.F. [d] Θαμασίου P.K.S.V. Vall. Θωϋμασίου edd. Θαυμασίου F. [e] ὃν ἐπ' αἰτίῃ K. omissis mediis. τὸ δὲ πρ. S. [f] ἀνεσταύρωσε ἂν S. [g] Sic S.M.P.K. Paris. F. ὅτι ὁ Σανδ. edd. ante Wessel. et revocavit Schæfer. Mox κρίσιν S. pro δίκην. [h] Sic M.V.S.P.K.F. Paris. ἀναλογιζόμενος Ald. quod probat Valckenærius. [i] Sic Paris. S.V. Ald. εὗρε οἱ om. M.K.P.F. Mox ὁ ante Δαρεῖος om. S. [k] ἐργασάμενος M.P.K.F.B. [l] δὴ om. S.V. [m] περιέσεσθαι Reiskius, probante Valckenærio. Futuri temporis periphrasin, qualem διαφυγὼν ἔσεσθαι pro διαφεύξειν, non meminit alibi a se observatam Schweighæuser. [n] Sic S.V.P.F. Paris. Vall. προσπταίοντας edd. vett.

195 τέως σφέας εἷλον. Ἐν τουτέων μιῇ [a]Ἀρίδωλις πλέων ἤλω, τύραννος Ἀλαβάνδων τῶν ἐν Καρίῃ. [b]ἐν ἑτέρῃ δὲ, ὁ Πάφιος στρατηγὸς Πενθύλος ὁ Δημονόου· ὃς ἦγε μὲν δυώδεκα νῆας ἐκ Πάφου, ἀποβαλὼν δέ σφεων τὰς ἕνδεκα τῷ χειμῶνι τῷ γενομένῳ κατὰ Σηπιάδα, μιῇ τῇ [c]περιγενομένῃ καταπλέων ἐπ' Ἀρτεμίσιον
2 ἤλω. τούτους οἱ Ἕλληνες, [d]ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξεω στρατιῆς, ἀποπέμπουσι δεδεμένους ἐς τὸν Κορινθίων Ἰσθμόν.

Capti in iis etiam Aridolis, Alabandorum in Caria tyrannus, et Penthylus, Paphiorum dux.

597

196 Ὁ μὲν δὴ ναυτικὸς [a]ὁ τῶν βαρβάρων στρατὸς, πάρεξ τῶν πεντεκαίδεκα [b]νεῶν τῶν εἶπον Σανδώκεα
2 στρατηγέειν, [c]ἀπίκετο ἐς Ἀφέτας. Ξέρξης δὲ καὶ ὁ πεζὸς, πορευθεὶς διὰ Θεσσαλίης καὶ Ἀχαιΐης, ἐσβεβληκὼς ἦν καὶ [d]δὴ τριταῖος ἐς Μηλιέας· ἐν Θεσσαλίῃ [e]μὲν ἅμιλλαν ποιησάμενος ἵππων τῶν ἑωυτοῦ, ἀποπειρώμενος καὶ τῆς [ee]Θεσσαλίης ἵππου, πυθόμενος ὡς ἀρίστη εἴη τῶν ἐν Ἕλλησι· ἔνθα δὴ [f]αἱ
3 Ἑλληνίδες ἵπποι ἐλίποντο πολλόν. Τῶν μέν νυν ἐν Θεσσαλίῃ ποταμῶν, [g]Ὀνόχωνος μοῦνος οὐκ ἀπέχρησε τῇ στρατιῇ τὸ ῥέεθρον, πινόμενος· τῶν δὲ ἐν Ἀχαιΐῃ ποταμῶν ῥεόντων, οὐδὲ [h]ὅστις ὁ μέγιστος αὐτῶν ἐστὶ Ἠπιδανὸς, οὐδὲ οὗτος ἀντέσχε, εἰ μὴ φλαύρως.

Reliqua classis Aphetas tenet. Copiarum pedestrium iter per Thessaliam ad sinum Maliacum. Thessalorum equitatus. Fluvii aliquot Thessaliæ epoti.

197 Ἐς [a]Ἄλον δὲ τῆς Ἀχαιΐης ἀπικομένῳ Ξέρξῃ,

Alos. Jupiter Laphy-

195. [a] Ἄρδωλις S. [b] ἐν om. S. qui mox νέας. [c] περιγενομένῃ S.F. Schæfer. περιγινομένῃ vulg. [d] ἐξιστορήσαντες citat Suid. in v. Tum ἃ S.

196. [a] ὁ delevit Schæferus. [b] νεῶν τῶν εἶπον S.V.A.B. Vall. ὧν εἶπον Ald. νεῶν om. M.K.P.F. [c] ἀπίκοντο F. [d] δὴ om. F. [e] δὲ ἅμ. S. [ee] Θεσσαλικῆς conj. Bekkerus. [f] αἱ om. F. Mox ἐλείποντο Bekker. [g] Ὀνόχονος S. Mox ἐπέχρησε S. [h] Sic F. ὅσπερ μέγιστος ἐστιν αὐτῶν S.V. ὅστις μεγ. vulgo.

197. [a] ἄλον M.K.P.S.a.c. ἄλλον F.b. al. *litoralia Archaiæ* Valla. cf. 173.

stius. Athamantis posteri.

[b] οἱ κατηγεμόνες τῆς ὁδοῦ βουλόμενοι τὸ πᾶν ἐξη-
γέεσθαι, ἔλεγόν οἱ ἐπιχώριον λόγον, τὰ περὶ τὸ ἱρὸν
τοῦ [c] Λαφυστίου Διός· ὡς Ἀθάμας ὁ Αἰόλου ἐμη-
χανήσατο Φρίξῳ μόρον, σὺν Ἰνοῖ βουλεύσας· [d] μετέ-
πειτα δὲ, ὡς ἐκ θεοπροπίου Ἀχαιοὶ προτιθεῖσι τοῖσι
2 ἐκείνου ἀπογόνοισι ἀέθλους τοιούσδε. ὃς ἂν ᾖ τοῦ
γένεος τούτου πρεσβύτατος, [e] τούτῳ ἐπιτάξαντες [f] ἔρ-
γεσθαι τοῦ πρυτανηΐου, αὐτοὶ φυλακὰς ἔχουσι· (λήϊ-
τον δὲ καλέουσι τὸ πρυτανήϊον [g] οἱ Ἀχαιοί·) ἢν δὲ
ἐσέλθῃ, οὐκ ἔστι ὅκως ἔξεισι πρὶν ἢ θύσεσθαι
3 [h] μέλλῃ. ὥστε ἔτι πρὸς τούτοισι, πολλοὶ ἤδη [i] τῶν
μελλόντων τούτων θύσεσθαι, δείσαντες, οἴχοντο ἀπο- 598
δράντες [k] ἐς ἄλλην χώρην· χρόνου δὲ προϊόντος
ὀπίσω κατελθόντες, ἢν ἁλίσκωνται [l] ἐσελθόντες ἐς
τὸ [m] πρυτανήϊον, ὡς θύεταί τε, ἐξηγέοντο, στέμμασι
4 πᾶς πυκασθεὶς, καὶ ὡς σὺν πομπῇ ἐξαχθείς. ταῦτα
δὲ πάσχουσι οἱ Κυτισσώρου τοῦ Φρίξου παιδὸς ἀπό-
γονοι, διότι καθαρμὸν τῆς χώρης ποιευμένων Ἀχαιῶν
ἐκ θεοπροπίου Ἀθάμαντα τὸν Αἰόλου, καὶ μελλόντων
μιν θύειν, ἀπικόμενος οὗτος ὁ [n] Κυτίσσωρος ἐξ Αἴης
τῆς Κολχίδος [o] ἐρρύσατο· ποιήσας δὲ τοῦτο, τοῖσι
ἐπιγενομένοισι ἐξ ἑωυτοῦ μῆνιν τοῦ θεοῦ ἐνέβαλε.
5 Ξέρξης δὲ ταῦτα ἀκούσας, ὡς κατὰ τὸ ἄλσος [p] ἐγέ-
νετο, αὐτός τε [q] ἔργετο αὐτοῦ, καὶ τῇ στρατιῇ πάσῃ
παρήγγειλε· τῶν τε Ἀθάμαντος ἀπογόνων [r] τὴν οἰ-
κίην ὁμοίως καὶ τὸ τέμενος ἐσέβετο.

[b] οἱ κατηγ.—ἐξηγέεσθαι om. S. [c] Λαφυστίου P.K. Vall. F.a.b. Ἀφλυστίου S.c.d. al. [d] Sic S.V.P.K.F. μετὰ δὲ Wessel. al. [e] Sic P.K.S. Paris. F. τούτου al. [f] εἵργεσθαι F. εἵργεσθαι b. [g] οἱ om. S. Tum εἰσέλθῃ S. [h] μέλλοι. ὥς τέ τι S. ὥς τέ τι Ald. [i] τούτων μελλόντων V. τούτων τῶν μελλόντων P.K.F. τούτων om. S. [k] ἐς om. K. [l] ἐσελθόντες S. Vall. Valcken. Schæfer. ἐστέλλοντο Wessel. al. [m] μαντήϊον F. Mox σὺν ante πομπῇ om. S. [n] Κτίσωρος F. qui supra ut vulg. [o] ἐρύσατο F. [p] ἐγίνετο P.K.F. [q] εἵργετο S. [r] ὁμοίως τὴν οἰκίην S.

Maris æstus in sinu Maliaco. Situs terræ adjacentis. Petræ Trachiniæ. Anticyra. Fluvii, Sperchius, Dyras, Melas.

198 Ταῦτα μὲν τὰ ἐν Θεσσαλίῃ, καὶ [a] τὰ ἐν Ἀχαιΐῃ.
Ἀπὸ δὲ τούτων τῶν χώρων ἤϊε ἐς τὴν Μηλίδα παρὰ
κόλπον θαλάσσης, ἐν τῷ ἄμπωτίς τε καὶ ῥηχίη ἀνὰ
2 πᾶσαν ἡμέρην γίνεται. περὶ δὲ τὸν κόλπον τοῦτόν
ἐστι χῶρος [b] πεδινὸς, τῇ μὲν εὐρὺς, τῇ δὲ [c] καὶ κάρτα
στεινός. περὶ [d] δὲ τὸν χῶρον οὔρεα ὑψηλὰ καὶ ἄβατα
[e] περικληΐει πᾶσαν τὴν [f] Μηλίδα γῆν, [g] Τρηχίνιαι
3 πέτραι καλεόμεναι. πρώτη μέν νυν πόλις ἐστὶ ἐν τῷ
κόλπῳ ἰόντι ἀπὸ Ἀχαιΐης, Ἀντικύρη· παρ᾽ ἣν [h] ποταμὸς Σπερχήϊος, ῥέων ἐξ Ἐνιήνων, ἐς θάλασσαν
4 ἐκδιδοῖ. ἀπὸ δὲ τούτου, διὰ εἴκοσί κου σταδίων,
ἄλλος ποταμὸς, τῷ οὔνομα κεῖται Δύρας, [i] τὸν βοηθέοντα τῷ Ἡρακλέϊ καιομένῳ λόγος ἐστὶ ἀναφα-
5 νῆναι. ἀπὸ δὲ τούτου, δι᾽ ἄλλων εἴκοσι σταδίων,
199 ἄλλος ποταμός ἐστι, ὃς καλέεται Μέλας. Τρηχὶς

Trachin. Asopus fluvius.

δὲ πόλις ἀπὸ τοῦ Μέλανος τούτου ποταμοῦ πέντε
στάδια ἀπέχει. ταύτῃ δὲ καὶ [a] εὐρύτατόν ἐστι πάσης
τῆς χώρης ταύτης ἐκ τῶν οὐρέων ἐς θάλασσαν, κατ᾽
ἃ Τρηχὶς πεπόλισται· δισχίλιά τε γὰρ καὶ δισμύρια
2 πλέθρα τοῦ πεδίου ἐστί. τοῦ δὲ [b] οὔρεος, τὸ [c] περι- 599
κληΐει τὴν γῆν τὴν Τρηχινίην, [d] ἔστι διασφὰξ πρὸς

198. [a] τὰ ἐν om. S.V. Tum Ἀχαιΐῃ K. [b] πεδιεινὸς S. [c] καὶ κάρτα M.P.K. καὶ om. S.F. et al. [d] Sic M.P.S.V.K.F. Paris. δὲ τὸν χ. τοῦτον edd. vett. et Schæfer. Tum ὄρεα S. [e] περικληΐει Schæfer. cum Koen. ad Gregor. Dial. Ion. 3. περικλήει S. Wessel. et al. περικλείει F. ἄβατα τὰ περικλήει Reiskius, probante Wesseling. [f] Sic S.V. Wessel. cf. 201. VIII. 31. Soph. Trach. 637. Μηλιάδα F.a.b.d. edd. vett. [g] Sic S.V.P.F.a.b.c. Τρηχίνεαι edd. vett. Mox πόλις in S. post Ἀντικύρη legitur. [h] ποταμὸς Σπερχήϊος S.V. Schæfer. et probat Wesseling. Σπερχειὸς ποταμὸς ed. Wessel. al. Mox αἰνιήνων S. cf. Valck. ad 132. [i] τὸν βοηθέοντα τῷ Ἡρ. καιομένῳ λόγος ἐστὶ ἀναφανῆναι] Sic V.P.K. Vall. F. Paris. τὸν μυθεύονται βοηθέοντα Ἡ. κ. ἀναφανῆναι Ald. τῷ ante Ἡρακλ. et ἐστι om. S.

199. [a] Sic S.V.M.P.K.F. Paris. εὐρυχωρότατον Ald. cf. Eustath. ad Dionys. 414. Mox ὀρέων S. [b] ὄρεος S.V. Ald. [c] περικλήει S. Ald. Wessel. περικλείει F. [d] Hinc Etymolog. in v. Strabo IX. p. 656. A.=428. C.

μεσαμβρίην Τρηχῖνος· διὰ δὲ τῆς διασφάγος Ἀσω-
πὸς ποταμὸς ῥέει παρὰ τὴν [e] ὑπωρέην τοῦ οὔρεος.

Phœnix fluvius. Anthela. Fana Cereris Amphictyonidis et Amphictyonis herois. Sedes Amphictyonum.

200 Ἔστι δὲ ἄλλος Φοίνιξ ποταμὸς, οὐ μέγας, πρὸς
μεσαμβρίην τοῦ Ἀσωποῦ· ὃς ἐκ τῶν οὐρέων [a] τού-
2 των ῥέων, ἐς τὸν Ἀσωπὸν ἐκδιδοῖ. Κατὰ δὲ τὸν
Φοίνικα ποταμὸν [b] στεινότατόν ἐστι· ἁμαξιτὸς γὰρ
[c] μία μούνη δέδμηται. ἀπὸ δὲ τοῦ Φοίνικος ποταμοῦ
3 πεντεκαίδεκα στάδιά ἐστι ἐς Θερμοπύλας. ἐν δὲ τῷ
μεταξὺ Φοίνικος ποταμοῦ καὶ Θερμοπυλέων κώμη τέ
ἐστι, τῇ οὔνομα Ἀνθήλη κεῖται, παρ' ἣν δὴ παραρ-
ρέων ὁ Ἀσωπὸς ἐς θάλασσαν ἐκδιδοῖ, καὶ χῶρος
[d] περὶ αὐτὴν εὐρὺς, ἐν τῷ Δήμητρός τε ἱρὸν [e] Ἀμ-
φικτυονίδος ἵδρυται, καὶ ἕδραι εἰσὶ Ἀμφικτυόσι, καὶ
αὐτοῦ τοῦ Ἀμφικτυόνος ἱρόν.

Persarum castra in Trachinia: Græcorum, in transitu angustiarum ad Thermopylas.

201 Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς
Μηλίδος ἐν τῇ Τρηχινίῃ· οἱ δὲ δὴ Ἕλληνες, ἐν τῇ
2 διόδῳ. [a] καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν
πλεόνων Ἑλλήνων Θερμοπύλαι· [b] ὑπὸ δὲ τῶν ἐπι-
χωρίων καὶ περιοίκων, Πύλαι. ἐστρατοπεδεύοντο μέν
3 νυν ἑκάτεροι ἐν [c] τούτοισι τοῖσι χωρίοισι. ἐπεκράτεε
δὲ ὁ μὲν τῶν πρὸς βορῆν ἄνεμον ἐχόντων πάντων
μέχρι Τρηχῖνος· [d] οἱ δὲ, τῶν πρὸς νότον καὶ [e] μεσαμ-
βρίην φερόντων [f] τὸ ἐπὶ ταύτης τῆς ἠπείρου.

202 [g] Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρ-

[e] ὑπώρειαν τοῦ ὄρεος S. περὶ Ald. pro παρά.

200. [a] τούτων ῥέων om. unus ms. apud Wesseling. ὀρέων S. [b] στεινότατός S. Hinc usque ad ποταμοῦ om. F. [c] μίη μούνη] μίη om. M.K.b. Vall. μία μούνη S. [d] περὶ αὐτῇ M.K.P. [e] Ἀμφικτυονίδων S.

201. [a] ὅδε χῶρος οὗτος καλέεται S. qui supra om. δὴ ante Ἕλληνες. [b] ὑπὸ—Πύλαι om. S. qui paullo supra om. μέν. [c] τούτοισι om. K. Mox ἐπικράτεε Bekker. [d] Sic M.P.K.F. Paris. ὁ δὲ olim. [e] μεσαμβρίην P.F. Paris. Al. μεσημβρίην. [f] τὸ om. Wessel. cum S. et alio ms. Sed τὸ, sive pleonastice sive elliptice adhibitum, defendit Schweigh. quem vide ad IV. 99.

Qui populi Græciæ illuc milites miserint.

στην ἐν τούτῳ τῷ χώρῳ. Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται, καὶ [a]Τεγεητέων καὶ Μαντινέων χίλιοι, [b]ἡμίσεες ἑκατέρων· ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης, εἴκοσι καὶ ἑκατόν· καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης, χίλιοι· τοσοῦτοι μὲν [c]Ἀρκάδων· ἀπὸ δὲ Κορίνθου, τετρακόσιοι· καὶ ἀπὸ [d]Φλιοῦντος, [e]διηκόσιοι· καὶ Μυκη-
2 ναίων ὀγδώκοντα. οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν. ἀπὸ δὲ Βοιωτῶν, Θεσπιέων τε ἑπτακόσιοι,
203 καὶ Θηβαίων τετρακόσιοι. Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε [a]οἱ Ὀπούντιοι πανστρατιῇ, καὶ
2 Φωκέων χίλιοι. αὐτοὶ γάρ σφεας [b]ἐπεκαλέσαντο οἱ Ἕλληνες, λέγοντες δι' ἀγγέλων, ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν [c]εἶεν ἡμέρην· ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ, ὑπ' Ἀθηναίων τε φρουρεομένη, καὶ Αἰγινητέων, καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέν-
3 των. καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα, ἀλλ' ἄνθρωπον· εἶναι δὲ θνητὸν οὐδένα, οὐδὲ ἔσεσθαι, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη· τοῖσι δὲ μεγίστοισι αὐτῶν,
4 μέγιστα. [d]ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, [e]ὡς ἐόντα θνητὸν, ἀπὸ τῆς δόξης [f]πεσέειν ἄν. Οἱ δὲ, ταῦτα πυνθανόμενοι, ἐβοήθεον ἐς τὴν Τρηχῖνα.

Horum duces: summus dux,

204 Τούτοισι ἦσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλιας ἑκάστων· ὁ δὲ [a]θωμαζόμενος μάλιστα,

202. [a] Τεγεητέων S.M.P.K.F. Paris. Τεγαιητέων vulg. [b] ἡμίσεες S.V.M.P.K.F. Paris. καὶ ἡμ. olim. [c] Ἄρκαδες S. [d] Φλειοῦντος F.b. Φλαοῦντος c. φλυοῦντος Ald. [e] Sic M.P.K.S.V. Vall. διηκόσιοι ὁπλῖται καὶ F.c. al.

203. [a] οἱ om. S. [b] οἱ Ἕλληνες ἐπεκαλέοντο S. Vulgo οἱ Ἑλλ. ἐπεκ. Editum ex F. [c] εἰσι M.K.P.F.b.d. εἶεν S.V.A.B. Ald. [d] ὀφείλει S. [e] ὡς om. S.V. [f] πεσεῖν S.

204. [a] Sic S.K.F. θωυμαζ. vulgo. Supra πόλεις S.

Leonidas, Spartanorum rex. Ejus stemma usque ab Hercule repetitum.

καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος, Λακεδαι-
μόνιος ἦν Λεωνίδης, ὁ [b] Ἀναξανδρίδεω, τοῦ Λέοντος,
τοῦ Εὐρυκρατίδεω, τοῦ Ἀναξάνδρου, τοῦ Εὐρυκρά-
τεος, [c] τοῦ Πολυδώρου, τοῦ Ἀλκαμένεος, τοῦ Τη-
λέκλου, τοῦ Ἀρχέλεω, τοῦ Ἡγησίλεω, [d] τοῦ Δορύσ-
σου, τοῦ Λεωβότεω, τοῦ [e] Ἐχεστράτου, τοῦ [f] Ἥγιος,
τοῦ Εὐρυσθένεος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομά-
χου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος·
κτησάμενος τὴν βασιληΐην ἐν Σπάρτῃ ἐξ ἀπροσδο-
205 κήτου. Διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελ-
φεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς
2 φροντίδος περὶ τῆς βασιληΐης. ἀποθανόντος δὲ
Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκ-
έτι ἐόντος, ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν
Σικελίῃ, οὕτω δὴ ἐς [a] Λεωνίδην ἀνέβαινε ἡ βασιληΐη· 601
καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου, (οὗτος
γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς,) καὶ δὴ καὶ
3 εἶχε Κλεομένεος θυγατέρα. Ὃς τότε ἤϊε ἐς Θερμο-
πύλας, ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας
τριηκοσίους, καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες. πα-
ραλαβὼν δὲ [b] ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν
ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεον-
4 τιάδης ὁ Εὐρυμάχου. τοῦδε δὲ εἵνεκα [c] τούτους
σπουδὴν ἐποιήσατο Λεωνίδης [d] μούνους Ἑλλήνων
παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδί-

Qua ratione regnum Spartæ præter spem nactus.

[b] Ἀναξανδρίδου b. Supra Λεωνίδας S. [c] Τοῦ Πολ. τ. Ἀ. om. S. Ἀλκαιμένεος M.K.F. Tum Τηλέκτου M.K. [d] τοῦ Δορύσσου S.V.P.K. Vall. τοῦ Δωρύσσου F. τοῦ Ῥύσσου b. τοῦ Δορυάγου olim. [e] Ἀρχεστράτου b. [f] Ἥγιος M.P.K. Ἥγιος F. Ἥγιος (σι superscr.) d. Ἡγήσιος S. alii.

205. [a] Λεωνίδαν S. [b] ἀπίκετο S.V.A.B. Ald. ἀπίκτο M.P.K.F. [c] τούτου K.P. pr. om. F. τοῦ δὲ εἵνεκα τούτου S. [d] μόνους F.

ζειν. παρεκάλεε ὦν ἐς τὸν πόλεμον, θέλων εἰδέναι
εἴτε συμπέμψουσι, εἴτε καὶ [e] ἀπερέουσι ἐκ τοῦ ἐμφα-
νέος τὴν Ἑλλήνων συμμαχίην. οἱ δὲ, [f] ἀλλοφρονέ-
οντες, ἔπεμπον.

206 Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέ-
πεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι
σύμμαχοι, στρατεύωνται· μηδὲ καὶ [a] οὗτοι [b] μηδί-
σωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους.
2 μετὰ δὲ, [c] Κάρνεια γάρ σφι ἦν ἐμποδὼν, ἔμελλον
ὁρτάσαντες, καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ,
3 κατὰ τάχος [d] βοηθέειν πανδημεί. ὣς δὲ καὶ οἱ λοιποὶ
τῶν συμμάχων [e] ἐνενῶντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα
ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι
τοῖσι πρήγμασι συμπεσοῦσα. οὔκων δοκέοντες κατὰ
τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι
πόλεμον, ἔπεμπον τοὺς προδρόμους. οὗτοι μὲν δὴ
οὕτω διενενῶντο ποιήσειν.

Præmissa Thermopylas a Græcis tantummodo exigua manus militum, quod Spartanos ludorum Carniorum, cæteros Olympicorum celebratio expeditione adhuc excluderet.

207 Οἱ δὲ ἐν Θερμοπύλῃσι
Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς [a] ἐσβολῆς ὁ
Πέρσης, καταρρωδέοντες, ἐβουλεύοντο περὶ ἀπαλλα-
2 γῆς. τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε,
ἐλθοῦσι ἐς Πελοπόννησον, τὸν Ἰσθμὸν ἔχειν ἐν
φυλακῇ· Λεωνίδης δὲ, Φωκέων καὶ Λοκρῶν [b] περι-
σπερχεόντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ [c] τε μένειν
ἐψηφίζετο, πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας, 602

Leonidæ magnanimum consilium, cæteris Peloponnesiis fugam suadentibus, impetus barbarorum opperiendi.

[e] ἀπαίρουσιν S. Vall. [f] ἄλλα φρονέοντες S.

206. [a] unus ms. apud Wessel. οὕτως. [b] Sic S.P.K.F. μηδίζωσι c. Ald. [c] Κάρνια S. Mox ἑορτάσαντες S. [d] βοηθήσειν S.V. Schæfer. Bekker. [e] ἐννέωντο P. ἐννενῶντο a. ἐνενόωντο F.b. quæ, judice Schweighæusero, verissima fortasse auctoris scriptura. ἐνένωντο Schæfer. ἐννένωντο Bekker. cf. I. 77. Mox διενενέωντο P. διενενόωντο F.b. διενένωντο Schæfer. Bekker.

207. [a] ἐμβολῆς S. [b] περισπερχέων ἐόντων Schæfer. e conj. περισπερχθέντων Valckenærii probare videtur Bekkerus. [c] τε om. S.

κελεύοντάς [d] σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτῶν ὀλί-
γων στρατὸν [e] τῶν Μήδων ἀλέξασθαι.

208 Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κα-
τάσκοπον ἱππέα, ἰδέσθαι [a] ὁκόσοι τέ εἰσι, καὶ ὅ τι
2 ποιέοιεν. [b] ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ, ὡς
[c] ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγε-
μόνας, ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης,
3 ἐὼν γένος [d] Ἡρακλείδης. ὡς δὲ [e] προσέλασε ὁ ἱπ-
πεὺς [f] πρὸς τὸ στρατόπεδον, [g] ἐθηεῖτό τε, καὶ κατώρα
πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τετα-
γμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυ-
λακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω
ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο.
4 ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω
τεταγμένοι. τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν
ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ
5 θεώμενος [h] ἐθώμαζε, καὶ τὸ πλῆθος ἐμάνθανε. μαθὼν
δὲ [i] πάντα ἀτρεκέως, ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην·
οὔτε γάρ τις ἐδίωκε, ἀλογίης τε [ii] ἐνεκύρησε πολλῆς.
ἀπελθὼν δὲ, ἔλεγε πρὸς [k] Ξέρξεα τάπερ ὀπώπεε

Speculator a Xerxe ad Græcorum castra missus, quæ viderit regique nuntiaverit.

209 πάντα. Ἀκούων δὲ Ξέρξης, οὐκ εἶχε συμβαλέσθαι 603
τὸ ἐὸν, ὅτι [a] παρασκευάζοιντο ὡς [b] ἀπολεύμενοί τε

Xerxis ac Demarati de hoc nuntio colloquium.

[d] ἐπιβοηθέειν σφιν S. [e] τὸν Μήδων Bekker.

208. [a] Sic duo Paris. Ald. Wessel. ὁκόσοι εἰσὶ S.V. ὅσοι τέ εἰσι M.P. ὅσοι εἰσὶ K.F. εἶεν pro εἰσι Valckenær. [b] ἠκηκόεε S.V.P.F. Mox ἐὼν ἔτι S. ἠκήκοε Suid. ms. A. [c] Suid. in Ἁλισμένοι. ἁλισκομένη S.F. Mox στρατιῇ S. [d] Ἡρακληΐδης] Ἡρακλείδης S.V.K.F. [e] προσήλασεν F.a.S. [f] πρὸς τὸ στρατοπ. S.V.K.M.P.F. ἐς τὸ σ. Ald. c. [g] ἐθηεῖτό—στρατόπεδον om. K. [h] ἐθώμαζε S.F. Ald. ἐθωΰμαζε vulg. Vid. Suid. in Ἀλογία. [i] Sic S.V.K.M.P.F.b c. ταῦτα a.d. Ald. [ii] ἐκύρησε Bekker. ex em. Valckenærii. [k] Ξέρξην F. Supra ἀπελθὼν τε S.

209. [a] παρεσκευάζοντο S. et forte V. παρασκευάζοντο Schæfer. [b] ἀπολεύμενοι c. Ald. ἀπολεόμενοι S.M.P.K.F.a. τε dant M.P.K.F.a. om. vulg.

καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ', [c] αὐτῷ γελοῖα
γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν
2 Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. ἀπικόμενον δέ
[d] μιν [e] εἰρώτα Ξέρξης ἕκαστα τούτων, ἐθέλων μα-
3 θέειν τὸ ποιεύμενον [f] πρὸς τῶν Λακεδαιμονίων. Ὁ
δὲ [g] εἶπε· "Ἤκουσας μέν [h] μευ καὶ πρότερον, εὖτε
"ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, [i] περὶ τῶν ἀνδρῶν τού-
"των· ἀκούσας δὲ, γέλωτά με ἔθευ, λέγοντα [k] τάπερ
4 "ὥρων ἐκβησόμενα πρήγματα ταῦτα. ἐμοὶ γὰρ τὴν
"[l] ἀληθηΐην ἀσκέειν ἀντία σεῦ, [m] ὦ βασιλεῦ, ἀγὼν
"μέγιστός ἐστι. ἄκουσον δὲ καὶ νῦν. Οἱ ἄνδρες
"οὗτοι [n] ἀπίκαται [o] μαχεσόμενοι ἡμῖν περὶ τῆς ἐσό-
5 "δου, καὶ ταῦτα [p] παρασκευάζονται. νόμος γάρ σφι
"οὕτω [q] ἔχων ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ
6 "ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται. [r] ἐπίσταο δὲ,
"εἰ [s] τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ [t] κατα-
"στρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων, τὸ σὲ,
7 "βασιλεῦ, ὑπομενέει, χεῖρας [v] ἀνταειρόμενον. νῦν
"γὰρ πρὸς βασιληΐην τε [w] καὶ καλλίστην πόλιν τῶν
"[x] ἐν Ἕλλησι προσφέρεαι, καὶ ἄνδρας ἀρίστους."
8 [y] Κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τὰ [z] λεγό-
μενα εἶναι, καὶ δεύτερα [a] ἐπειρώτα ὅντινα τρόπον,

[c] αὐτὸς pro αὐτῷ b. tum οἱ ἐφαίνοντο d. quæ si componas, hæc oritur scriptura, αὐτὸς, γελοῖα γὰρ οἱ ἐφαίνοντο. SCHWEIGH. ἐφαίνετο Ald. [d] μιν om. S.V. [e] εἰρώτα S.V.P. ἠρώτα F. Ald. [f] Sic M.S.V.P.K.F. ὑπὸ τ. Λ. c. al. [g] εἶπε om. K. [h] καὶ πρότερόν μευ F.S. [i] περὶ τῶν ἀνδρῶν τούτων om. S. [k] Reiskius τῇ περ, probantibus Wesselingio et Schweighæusero. Et sic ed. Bekker. [l] ἀληθείην S.V.F. [m] ὦ om. F. [n] ἀπῖκται F. [o] μαχησόμενοι S.V. καταμαχησόμενοι F. [p] γέρας σκευάζονται S. [q] ἔχων om. F. [r] ἐπίσταο S.V.a. ἐπίστασο Wessel. Bekker. al. [s] τούτους γε F. [t] κατάστρεψαι F. [v] ἀνταειράμενον S. cf. VIII. 140. [w] καὶ et πόλιν om. S. Vall. Schæfer. Bekker. suadente Wesselingio. [x] ἐν om. S. [y] κάρτα δὲ F. qui mox Ξέρξῃ ἄπιστα. [z] Sic P.F.b. Schæfer. εἶναι om. S. Wessel. et al. [a] ἐπειρώτα P.V.S. ἐπηρώτα F. et al.

τοσοῦτοι ἐόντες, [b] τῇ ἑωυτοῦ στρατιῇ μαχέσονται.
9 Ὁ δὲ εἶπε· "Ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ
"ψεύστῃ, ἢν μὴ [c] ταῦτά τοι ταύτῃ ἐκβῇ, [d] τῇ ἐγὼ
"λέγω."

210 Incipit pugna ad Thermopylas [circa mediam æstatem a. 480.].

Ταῦτα λέγων, οὐκ ἔπειθε τὸν [a] Ξέρξεα. Τέσσερας 604
μὲν δὴ [b] παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀπο-
2 δρήσεσθαι. πέμπτῃ δὲ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά
οἱ ἐφαίνοντο ἀναιδείῃ [c] τε καὶ ἀβουλίῃ [d] διαχρεώμενοι
μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους
θυμωθεὶς, ἐντειλάμενός [e] σφεας ζωγρήσαντας ἄγειν
3 ἐς ὄψιν τὴν ἑωυτοῦ. Ὡς δ' [f] ἐπέπεσον φερόμενοι ἐς
τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί· ἄλλοι δ'
[g] ἐπεσήϊσαν, καὶ οὐκ [h] ἀπελαύνοντο, καίπερ μεγάλως
4 προσπταίοντες. δῆλον δ' ἐποίευν παντί τεῳ, καὶ οὐκ
ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν,
ὀλίγοι δὲ ἄνδρες. ἐγίνετο δὲ [i] ἡ συμβολὴ δι' ἡμέρης.

211 Barbari primis diebus maxima cum strage a Græcis et fortiter et callide pugnantibus repulsi.

Ἐπεί τε [a] δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα
οὗτοι μὲν [b] ὑπεξήϊσαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι
ἐπήϊσαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεὺς, τῶν ἦρχε
Ὑδάρνης· ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι.
2 Ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν
πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ
αὐτά· ἅτε ἐν στεινοπόρῳ [c] τε χώρῳ μαχόμενοι, καὶ

[b] Sic M.S.V.K.P. Paris. F. (nisi quod F.S.V. *μαχήσονται*) *οἷοί τε εἰσι τῇ ἑ. στ. μαχέσασθαι* Ald. Schæfer. [c] Sic P.K.F. Paris. *ταῦτα ταύτῃ* absque *τοι* S.V. *ταῦτά τοι* absque *ταύτῃ* edd. vett. [d] *ὡς ἐγὼ* S.V.

210. [a] *Ξέρξην* F.S. [b] *παρῆκεν* S.V. [c] *τε* om. S. [d] *χρεώμενοι* S.V. Mox *τε* om. S. [e] *σφε* S. [f] *ἐσέπεσον* P.K.F. [g] *ἐπεσήεσαν* S.V. [h] Sic F.a.c.M. Ald. i. e. *repellebantur* ut Schweighæusero, *depellebantur* aliis. *ἀπηλαύνοντο* d. *ἀπέλαυνον* Wessel. Bekker. *ἀπήλαυνον* S. cf. 211. 212. [i] Sic S.V.K.F. Paris. *ἡ* om. al.

211. [a] *δὲ* om. F. [b] *ἐπεξήεσαν* S.V. et mox *ἐπήεσαν*. Infra *Ὑρδάνης* S. [c] *τε χώρῳ* om. S. *τῆς Μηδικῆς—μαχόμενοι καὶ* om. F.

δόρασι [d] βραχυτέροισι χρεώμενοι ἤπερ οἱ Ἕλληνες,
3 καὶ οὐκ ἔχοντες [e] πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι
δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν
οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως
ἐντρέψειαν τὰ νῶτα, ἁλέες φεύγεσκον δῆθεν· οἱ δὲ
βάρβαροι ὁρέωντες φεύγοντας, βοῇ τε καὶ πατάγῳ
ἐπήϊσαν· οἱ δ' ἂν, καταλαμβανόμενοι, ὑπέστρεφον
ἀντίοι εἶναι τοῖσι βαρβάροισι· μεταστρεφόμενοι δὲ,
[f] κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων.
4 ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα
ὀλίγοι. Ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ
Πέρσαι τῆς [g] ἐσόδου [h] πειρεώμενοι, [i] καὶ κατὰ τέλεα
καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω.
212 Ἐν ταύτῃσι τῇσι [a] προσόδοισι τῆς μάχης λέγεται
βασιλέα, [b] θηεύμενον, τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου,
δείσαντα περὶ τῇ στρατιῇ. τότε μὲν οὕτω ἠγωνί-
2 σαντο. Τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν [c] ἄμεινον
ἀέθλεον. ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας
κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι [d] ἔτι 605
3 χεῖρας [e] ἀνταείρασθαι, συνέβαλλον. οἱ δὲ Ἕλληνες
[f] κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἦσαν,
καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι
δὲ ἐς τὸ οὖρος ἐτάχθησαν, [g] φυλάξοντες τὴν ἀτραπόν.
4 Ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον [h] οἱ Πέρσαι ἢ τῇ
προτεραίῃ [i] ἐνώρων, ἀπήλαυνον.

[d] μικροτέροισι S.V. μακροτέροισι Eton. Vall. [e] Sic S.V.A.B. Ald. Vall. πλήθεσι M.P.K.F.b. [f] κατέλαβον S. [g] ὁδοῦ S. [h] πειρώμενοι S.V.K.F. qui supra ἐδύνατο. [i] καὶ om. S.V.

212. [a] προόδοισι Steph. marg. [b] καθήμενον K. Steph. marg. [c] ἀμείνονα ἔθελον S. [d] ἔτι om. S. [e] ἀνταείρεσθαι P.K.F. [f] κατὰ τάξιν τε καὶ τὰ ἔθ. F. qui in seqq. ἦσαν et ὄρος cum S. [g] φυλάξαντες P. [h] οἱ om. F. qui supra ἀτροπόν. Supra ἀλλοιώτερον S. [i] Sic S.M.P.K.F.c. ἑώρων a.b. Ald.

213 Ἀπορέοντος δὲ βασιλέος ὅ τι [a] χρήσεται τῷ παρε-
όντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου, ἀνὴρ Μη-
λιεὺς, ἦλθέ οἱ ἐς λόγους, ὡς μέγα τι παρὰ βασιλέος
δοκέων [b] οἴσεσθαι· ἔφρασέ τε τὴν ἀτραπὸν [c] τὴν διὰ
τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε
2 τοὺς ταύτῃ [d] ὑπομείναντας Ἑλλήνων. [e] ὕστερον δὲ
δείσας Λακεδαιμονίους, ἔφυγε ἐς Θεσσαλίην· καί οἱ
φυγόντι, ὑπὸ τῶν Πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς
τὴν Πυλαίην συλλεγομένων, ἀργύριον ἐπεκηρύχθη.
χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ [f] ἐς Ἀντικύρην, ἀπέ-
3 θανε ὑπὸ Ἀθηνάδεω, ἀνδρὸς Τρηχινίου. ὁ δὲ Ἀθη-
νάδης οὗτος ἀπέκτεινε μὲν [g] Ἐπιάλτεα δι' ἄλλην
αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω·
ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν [h] ἧσσον.
[i] Ἐπιάλτης μὲν οὕτω ὕστερον τούτων ἀπέθανε.

Mox proditur Xerxi ab Ephialte Maliensi semita, qua Persarum agmen circumductum Græcos a tergo invaderet. Pœna proditori irrogata, ejusque cædes.

214 Ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ
Φαναγόρεω, ἀνὴρ Καρύστιος, καὶ [a] Κορυδαλλὸς Ἀν-
τικυρεὺς, εἰσὶ οἱ εἴπαντες πρὸς βασιλέα τούτους τοὺς
λόγους, καὶ περιηγησάμενοι τὸ [b] οὖρος τοῖσι Πέρ-
2 σῃσι· οὐδαμῶς ἐμοί γε πιστός. τοῦτο μὲν γὰρ [c] τῷδε
χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων [d] Πυλα-
γόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλλῷ
ἀργύριον, ἀλλ' ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως 606

Alia de proditione illius semitæ narratio, sed sublestæ fidei.

213. [a] Sic S. Schæfer. non improbante Wesselingio et citante Perizon. Ælian. I. 32. χρήσηται P.K.V.F. Bekker. χρήσαιτο Wessel. et al. cf. V. 12. Æschin. c. Ctes. p. 66. Supra τοῦ βασιλέος S. [b] οἱ ἔσεσθαι S.V. [c] τὴν om. S. qui tum ὄρεος. [d] Sic S.M.P.K. V.B.F. ὑπομένοντας vulg. [e] ὑστέρῳ P.F. [f] ἐς τὴν Ἀντ. F. [g] Ἐπιάλτην S.V. [h] ἔσσον Schæfer. et Schweigh. [i] ὁ μὲν Ἐπιάλτης οὕτως S.

214. [a] Κορυδαλλὸς—Κορυδαλλῷ S.P.K.F.a.c. Κορυδαλὸς—Κορυδαλῷ Wessel. Bekker. et al. Supra λόγος λεγόμενος S. [b] ὄρος S.V. K.F. et sæpius. [c] Sic S.V.F. τόδε a. et al. [d] Sic M.S.P.K.F. Πυλαγόραι Ald. A.B.V. Vall. Tum οὐκ ἐπεκήρυξαν ἐπὶ S.

κου τὸ ἀτρεκέστατον πυθόμενοι· τοῦτο δὲ, φεύγοντα
3 [e] τὸν Ἐπιάλτην ταύτην τὴν αἰτίην οἴδαμεν. εἰδείη
[f] μὲν γὰρ ἂν, καὶ ἐὼν μὴ Μηλιεὺς, ταύτην τὴν ἀτρα-
πὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ [g] ὡμιληκὼς εἴη· ἀλλ'
Ἐπιάλτης γάρ ἐστι ὁ περιηγησάμενος τὸ οὖρος κατὰ
τὴν ἀτραπὸν, τοῦτον αἴτιον γράφω.

215 Ξέρξης δὲ, ἐπεί [a] οἱ ἤρεσε τὰ ὑπέσχετο [b] ὁ Ἐπι-
άλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος
ἔπεμπε Ὑδάρνεα, καὶ τῶν ἐστρατήγεε Ὑδάρνης. ὡρ-
μέατο δὲ περὶ λύχνων [c] ἁφὰς ἐκ τοῦ στρατοπέδου.
2 Τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι
Μηλιέες· ἐξευρόντες δὲ, [d] Θεσσαλοῖσι κατηγήσαντο
ἐπὶ Φωκέας τότε ὅτε οἱ Φωκέες, φράξαντες τείχεϊ
τὴν ἐσβολὴν, ἦσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε
[e] τόσου δὴ [f] κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μη-

Missus, viæ duce Ephialte, Hydarnes cum Immortalibus [c. 83.]. Semitam qui primi repererint.

216 λιεῦσι. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη. ἄρχεται
μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς δια-
σφάγος ῥέοντος· οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ καὶ τῇ
2 ἀτραπῷ τὠυτὸ κεῖται, [a] Ἀνόπαια. τείνει δὲ ἡ Ἀνό-
παια αὕτη κατὰ ῥάχιν τοῦ οὔρεος, λήγει δὴ κατά
τε [b] Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων
πρὸς [c] τῶν Μηλιέων, καὶ κατὰ [d] Μελάμπυγόν τε
καλεόμενον λίθον, καὶ κατὰ Κερκώπων ἕδρας· τῇ

Ejus tractus.

[e] Sic S. et forte a.c. τὸν vulg. om. [f] Sic S.V.P.K. ἂν om. F.c. vulg. ᾔδει S. pro εἰδείη. Mox μὴ excidit in edd. quibusdam. [g] ὁμιληκὼς S. qui mox τὸ ὄρος καὶ κατὰ cum Ald.

215. [a] οἱ om. M.V.P.F. Ξέρξῃ δὲ ἐπεὶ ἤρεσε S. [b] ὁ om. P.K.F. Tum κατεργάσασθαι S. qui infra ὁρμέατο. [c] Suid. in Ἀφή. [d] Θεσσαλοὶ ἐξηγήσαντο F. [e] τοσοῦδε S. Bekker. [f] κατεδέδεκτο M.V.P. K.F. Paris. κατά τ' ἐδέδεκτο S. καταδέδαιτο Ald. In scriptura S. duas lectt. καταδέδεκτο et κατέδ. confusas putat Schweigh.

216. [a] ἀνάπαια S. (bis) V. Vall. cf. Eustath. Od. p. 1419, 38=59, 33. Supra ὄρει S. et mox ὄρεος. [b] Ἄλπινον b. τε om. S. Supra λήγει δὲ Bekker. [c] Sic M.P.K.F. τῶν om. S.A.B.V. Ald. [d] Μελάμπηγόν τε S. Vall. Μελάν πυγόν τε F.

217 καὶ τὸ στεινότατόν ἐστι. Κατὰ ταύτην δὴ τὴν ἀτρα-
πὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι, τὸν Ἀσωπὸν δια-
βάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν
ἔχοντες οὔρεα τὰ [a] Οἰταίων, ἐν ἀριστερῇ [b] δὲ τὰ Τρη-
χινίων· [c] ἠώς τε διέφαινε, [d] καὶ ἐγένοντο ἐπ' ἀκρω-
2 τηρίῳ [e] τοῦ οὔρεος. Κατὰ δὲ τοῦτο τοῦ οὔρεος ἐφύ-
λασσον, ὡς καὶ πρότερόν μοι [f] δεδήλωται, Φωκέων
χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην, καὶ 607
3 φρουρέοντες τὴν ἀτραπόν. ἡ μὲν γὰρ κάτω ἐσβολὴ
ἐφυλάσσετο [g] ὑπὸ τῶν εἴρηται· τὴν δὲ διὰ τοῦ
οὔρεος ἀτραπὸν [h] ἐθελονταὶ Φωκέες [i] ὑποδεξάμενοι
218 Λεωνίδῃ ἐφύλασσον. Ἔμαθον δέ σφεας οἱ Φωκέες
ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ
Πέρσαι, τὸ [a] οὖρος πᾶν ἐὸν δρυῶν [b] ἐπίπλεον· ἦν
μὲν δὴ νηνεμίη, ψόφου δὲ [c] γινομένου πολλοῦ, ὡς
[d] οἰκὸς ἦν, φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσὶ,
ἀνά τε ἔδραμον οἱ [e] Φωκέες, καὶ [f] ἔδυντο τὰ ὅπλα·
2 καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. ὡς δὲ εἶδον ἄνδρας
ἐνδυομένους ὅπλα, ἐν [g] θώματι ἐγένοντο· ἐλπόμενοι
γὰρ [h] οὐδέν σφι φανήσεσθαι ἀντίξοον, [i] ἐνεκύρησαν
3 στρατῷ. Ἐνθαῦτα Ὑδάρνης καταρρωδήσας μὴ
[k] οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο [l] τὸν Ἐπιάλ-

Illic excubitores collocati manus Phocensium,

Persis ingruentibus diffugiunt,

217. [a] Οἰτέων F. Supra ὄρεα S. [b] δὲ τῶν Τρ. F. [c] Sic P.F.b. ἠώς τε δὴ ἔφαινε S. ἠώς τε δὴ διέφαινε Bekker. vulg. cf. VIII. 83. IX. 47. [d] Sic fere S. ubi ἐγίνοντο. καὶ οἱ ἐγένοντο F. edd. vett. [e] τὸ ὄρος b. τοῦ ὄρεος S. et infra et tantum non semper. [f] εἴρηται P.K.F.b. [g] ὑπ' ὧν S.V. Bekker. [h] ἐθελοντὶ S.V. [i] ὑποδεξάμενοι—Φωκέες om. S.

218. [a] ὄρος F.S. Mox ἐὸν om. S. qui supra ἀναβεβηκότες et οἱ Πέρσαι ἐλάνθανον. [b] ἐπίπλεων F. [c] γινομένου F.S. Vulgo γενομένου. [d] Sic S. Wessel. εἰκὸς F. vulg. [e] Sic M.S.V.P.K.F. Paris. Vall. Φωκαέες edd. vett. [f] Sic F. ἔδυνον Wessel. et al. ἐνέδυνον S. Ald. Bekker. [g] Sic S.F. Vulg. θωῦματι. [h] Sic M.P.K. A. οὐδένα S.F.c.d. al. [i] Sic S.M.P.K.F. Paris. ἐνεκήρυσαν olim. [k] οἱ om. S. [l] τὸν om. S.V.K.F.a. Ἐπιάλτην S.

τεα [m] ποδαπὸς εἴη ὁ στρατός· πυθόμενος δὲ ἀτρε-
4 κέως, διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. οἱ δὲ
Φωκέες, ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε
καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ [n] τοῦ οὔρεος τὸν
κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὡρμήθησαν
5 [o] ἀρχὴν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. οὗτοι
μὲν δὴ ταῦτα ἐφρόνεον· οἱ δὲ ἀμφὶ [p] Ἐπιάλτεα καὶ
Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποι-
εῦντο, οἱ δὲ κατέβαινον τὸ οὖρος κατὰ τάχος.

Cognita tramitis proditione, Leonidas sociorum plerosque dimittit:

219 Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων, πρῶτον
μὲν ὁ μάντις Μεγιστίης, ἐσιδὼν ἐς τὰ ἱρὰ, ἔφρασε
τὸν μέλλοντα ἔσεσθαι [a] ἅμα ἠοῖ σφι θάνατον· ἐπὶ
δὲ καὶ αὐτόμολοι [b] ἤϊσαν, [c] οἱ ἐξαγγείλαντες τῶν
Περσέων τὴν [d] περίοδον· οὗτοι μὲν ἔτι νυκτὸς ἐσή-
μηναν· τρίτοι δὲ οἱ ἡμεροσκόποι, καταδραμόντες ἀπὸ
2 τῶν ἄκρων, ἤδη [e] διαφαινούσης ἡμέρης. Ἐνθαῦτα
ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ
γνῶμαι. οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν [f] ἐκλιπεῖν, οἱ
3 δὲ ἀντέτεινον. μετὰ δὲ τοῦτο διακριθέντες, [g] οἱ μὲν
ἀπαλλάσσοντο, καὶ διασκεδασθέντες κατὰ πόλις
ἕκαστοι ἐτράποντο· οἱ δὲ αὐτῶν ἅμα Λεωνίδῃ μένειν
220 αὐτοῦ [h] παρασκευάδατο. Λέγεται [a] δὲ ὡς αὐτός σφεας 608

[m] ὁποδαπὸς S.a. ποταπὸς K. cf. Sallier. ad Thomam M. Tum ὁ ante στρατὸς om. S. [n] Tangit Eustath. ad Dionys. 566. Il. p. 570, 35=650, 12. [o] τὴν ἀρχὴν S. [p] Ἐπιάλτην S. et absque καὶ F. Uterque mox ὄρος.

219. [a] ἅμα οἱ S.V. Vall. *Sibi pariter et illis.* Mox ἐπεὶ δὲ vulgo, ἐπὶ δὲ, *deinde vero,* Valckenærius. Ib. Rectum est ἐπεὶ δὲ, modo, puncto post ἡμέρης v. 7. deleto, apodosin incipias a verbis ἐνθαῦτα ἐβουλ. ut verba οὗτοι μὲν ἔτι ἡμέρης sint in parenthesi. MATTHIÆ. [b] ἤϊσαν S. Schæfer. ἤισαν F. ἔσαν Bekker. vulg. [c] οἱ om. b. [d] Suid. in v. [e] διαφανοῦς οὔσης S. [f] ἐκλείπειν S.V. Mox ἀνέτεινον S. [g] οἱ μὲν ὦν ἀπαλλ. Steph. marg. [h] παρεσκευάδατο S.b.

220. [a] δὲ ὡς] δὲ καὶ ὡς Bekker.

nam invito Leonida abiisse, Herodoto non placet. Oraculum Spartanis olim de belli exitu datum.

ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· [aa] αὐτῷ
δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρε-
πέως [b] ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν ἦλθον φυλάξοντες
2 ἀρχήν. Ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ [c] πλεῖστός
εἰμι, Λεωνίδην, ἐπεί τε ἤσθετο τοὺς συμμάχους ἐόν-
τας [d] ἀπροθύμους, καὶ οὐκ ἐθέλοντας [e] συνδιακινδυ-
νεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι· αὐτῷ δὲ
ἀπιέναι οὐ καλῶς ἔχειν. μένοντι δὲ αὐτοῦ κλέος
μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξη-
3 λείφετο. [f] ἐκέχρητο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι
Σπαρτιήτῃσι, χρεωμένοισι περὶ τοῦ πολέμου τούτου
αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνά-
στατον γενέσθαι ὑπὸ τῶν βαρβάρων, ἢ τὸν βασιλέα
4 σφεων [g] ἀπολέεσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέ-
τροισι [h] ἔχοντα χρᾷ, λέγοντα [i] ὧδε·

5 [k] Ὑμῖν [l] δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ 'ρικυδὲς ὑπ' ἀνδράσι Περσεΐδῃσι
[m] πέρθεται· ἢ τὸ μὲν [n] οὐχὶ, ἀφ' [o] Ἡρακλέους δὲ γενέθλης
πενθήσει [p] βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
6 [q] Οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
ἀντιβίην. Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἑ φημὶ
σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

7 [r] ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλό-

[aa] αὐτῷ τε b. particulam om. F. [b] ἐκλείπειν S.V. [c] πιστὸς K. Mox εἰμι ὄχλος. Λεωνίδης S. [d] ἀπροθύμως F. [e] διακινδ. S. [f] Sic M.P.K.V. S.F.b.d. cf. II. 147. ἐκέχρηστο Ald. Bekker. Mox ἔσεσθαι S. pro γενέσθαι. [g] Sic P.K.F. Paris. ἀπολέσθαι S. olim. [h] ἔχοντα om. S. Schæfer. cf. I. 174. infr. 228. [i] τάδε S. Schweighæusero aut ἐξ. χ. λέγοντα τάδε aut ἐξ. χρᾷ ἔχοντα ὧδε legendum videtur. Hoc dedit Bekker. [k] Quatuor vv. priores citat Euseb. Præp. V. 25. [l] δ' om. d. Euseb. [m] πέρσεται Euseb. [n] οὐχὶ Euseb. S.V.K.F. nec male. Nec enim Herodoteo Ionismo in hexametris uti consueverat Pythia. Schweigh. [o] Sic F. Vulgo Ἡρακλέος. [p] βασιλῆ M.P. Wessel. βασιλῆϊ S. βασιλῆα al. βασιλεῖ F. [q] Sic a.c. οὐ γὰρ τῶν F.b.S. al. [r] ταῦτα δὲ ἐπιλ. S. δὲ δὴ Plut. p. 865 E.

μενον κλέος καταθέσθαι [s] μοῦνον Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον, ἢ [t] γνώμῃ διενεχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους.

221 Μαρτύριον δέ μοι [a] καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι [b] γέγονε. οὐ γὰρ μοῦνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν [c] Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον [d] εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης
2 ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. ὁ δὲ, ἀποπεμπόμενος, αὐτὸς μὲν [e] οὐκ ἀπελίπετο· τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

609 Megistias vates, etsi futura præsciens [c. 219.] veniamque nactus abeundi, tamen in castris remanet.

222 [a] Οἱ μέν νυν σύμμαχοι [b] οἱ ἀποπεμπόμενοι οἴχοντό [c] τε ἀπιόντες, καὶ ἐπείθοντο Λεωνίδῃ. Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι.
2 τούτων δὲ, Θηβαῖοι μὲν ἀέκοντες ἔμενον, καὶ [d] οὐ βουλόμενοι· (κατεῖχε γάρ σφεας Λεωνίδης, ἐν [e] ὁμήρων λόγῳ ποιεύμενος·) Θεσπιέες δὲ, ἑκόντες μάλιστα· οἳ οὐκ ἔφασαν [f] ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ, [g] ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

Soli retinentur Thespienses atque Thebani: hi quidem inviti.

[s] *μούνων* Plutarch. probante Valcken. et citante Diodorum XI. 9. et sic Bekker. [t] *τῇσι γνώμῃσι* Plutarch.

221. [a] *καὶ* om. F. [b] *γέγονε, ὅτι καὶ τὸν μάντιν* omissis mediis S. V.P.K.F.b. Vall. Vulg. ex Aldo. [c] *Ἀκαρῆνα* S. *Ἀβαρῆνα* F. qui supra *Μεγίστην*. [d] Sic M.K.S.P.V.F. *τοῦτον τὸν εἴπαντα* Matthiæ. Bekker. *ἅπαντα* c. Ald. Tum post *ἐκβαίνειν* edd. vett. inserunt *εἰπόντα*. Mox *Λεωνίδην* S. [e] *οὐκ ἀπέλιπε* S.a. probante Wesseling. et citante 222. et VIII. 63. monente tamen magnam in hujusmodi formis verborum esse inconstantiam, coll. Plutarch. II. p. 261 C. *οὐ κατέλιπε* Ald. c. *οὐκ ἀπελείπετο* Bekker.

222. [a] Citat Plutarch. II. p. 865 A.B. [b] *οἱ* om. F. Plutarch. [c] *τε* om. S.V. [d] *μὴ βουλόμ.* b. [e] *ὁμήρῳ* F. [f] *ἀπολιπόντες* om. S. [g] *ἀπαλλάξασθαι* b.

223 Ξέρξης δὲ, ἐπεὶ ἡλίου [a] ἀνατείλαντος σπονδὰς
ἐποιήσατο, ἐπισχὼν χρόνον, ἐς ἀγορῆς κου μάλιστα
πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο
2 [b] ἐξ Ἐπιάλτεω οὕτω. ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατά-
βασις [c] συντομωτέρη τέ ἐστι, καὶ βραχύτερος ὁ χῶρος
3 πολλὸν, ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. Οἵ τε δὴ
βάρβαροι οἱ ἀμφὶ [d] Ξέρξεα [e] προσήϊσαν· καὶ οἱ ἀμφὶ
Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποι-
εύμενοι, ἤδη πολλῷ μᾶλλον [f] ἢ κατ' ἀρχὰς ἐπεξήϊσαν
4 ἐς τὸ [g] εὐρύτερον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ
τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας
5 ὑπεξιόντες ἐς τὰ [h] στεινόπορα ἐμάχοντο. [i] Τότε δὴ,
συμμίσγοντες ἔξω τῶν στεινῶν, ἔπιπτον πλήθεϊ
πολλοὶ τῶν βαρβάρων. ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν
τελέων, ἔχοντες μάστιγας, [k] ἐρράπιζον πάντα ἄνδρα,
6 αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέ-
πιπτον αὐτῶν ἐς τὴν θάλασσαν, καὶ διεφθείροντο·
πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλή-
7 λων· ἦν δὲ [l] λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἅτε γὰρ
ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ
τῶν περιϊόντων τὸ οὖρος, [m] ἀπεδείκνυντο ῥώμης [n] ὅσον
εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε
καὶ [o] ἀτέοντες.
224 Δόρατα μέν νυν τοῖσι [a] πλεόνεσιν
αὐτῶν τηνικαῦτα [b] ἤδη ἐτύγχανε κατεηγότα, οἱ δὲ

Acerrimum longique temporis prœlium.

Postremo Græci, in-

223. [a] ἐπανατείλ. S.V. Schæfer. [b] ἐπὶ ἄλτεω F. absque ἐξ. [c] Sic S.K.P.F. Paris. τε om. edd. Supra ὄρεος S. [d] Ξέρξην F.S. [e] προσήεσαν S.V. [f] ἢ εἰ κατ' b. Tum ἐπεξήεσαν S. [g] Sic S.V.P.K.F.c.b. Schæfer. εὐρύτατον Ald. al. Wessel. [h] Sic M.P.K.d. στενόπωρα F. στεινότερα S.V.a.c.b. Ald. [i] τότε δὲ c.S. [k] ἐράπιζον F. [l] λόγος πολὺς K. [m] ἐπεδείκ. S.V.P. Schæfer. ὄρος S. [n] ὅσον εἶχον μέγιστον M.P.S.V.K.a.b.d. ὅσον ἔχον μέγεθος edd. vett. [o] ἀττέοντες S. Vall.

224. [a] πλεόνεσιν S.V. Schæfer. πλέοισι al. πλέοσι Ald. [b] Sic S.V.P.K.F. Vulgo et Bekker. ἐτυγχ. κατ. ἤδη.

2 τοῖσι ξίφεσι [c] διεργάζοντο τοὺς Πέρσας. [d] καὶ Λεω-
νίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει, ἀνὴρ γενόμενος
ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ [e] ὀνομαστοὶ Σπαρτιη-
τέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην
τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκο-
3 σίων. καὶ δὴ [f] καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι
τε πολλοὶ καὶ [g] ὀνομαστοί· ἐν δὲ δὴ καὶ Δαρείου δύο
παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς [h] Ἀρ-
4 τάνεω θυγατρὸς [i] Φραταγούνης γεγονότες Δαρείῳ. ὁ
δὲ [k] Ἀρτάνης, Δαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελ-
φεὸς, Ὑστάσπεος δὲ τοῦ [l] Ἀρσάμεω παῖς· ὃς καὶ
ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ, τὸν οἶκον πάντα τὸν 611
ἑωυτοῦ ἐπέδωκε, ὡς [m] μούνου οἱ ἐούσης ταύτης τέκνου.

genti clade barbaris illata, undique circumventi cum Leonida ad unum omnes præter Thebanos, occumbunt.

225 Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι [a] μα-
χεόμενοι ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω, Περσέων τε
καὶ Λακεδαιμονίων [b] ὠθισμὸς ἐγένετο πολλός· ἐς ὃ
τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες [c] ὑπεξείρυσαν, καὶ ἐτρέ-
2 ψαντο τοὺς ἐναντίους [d] τετράκις. Τοῦτο δὲ συνεστήκεε

[c] κατειργάζ. S. κατηργ. V. [d] Sic S.P.F. καὶ om. vulg. Λεωνίδης δὲ b. [e] ὀνομαστοὶ Σπαρτιητέων S.V.P.F. Paris. K. Ald. ὀνομ. πολλοὶ δὲ καὶ οὐκ ὀνομαστοὶ M. Gronov. et retinuit quidem Wessel. in textu, etsi improbavit in notis. Koenius apud Valckenærium, καὶ ἕτεροι μετ' αὐτοῦ πολλοί τε καὶ οὐνομαστοὶ Σπαρτιητέων. Mox ἀξίων minus necessarium putat Valckenærius. [f] καὶ om. F.S. Tum Περσέων τε S. [g] ὀνομαστοὶ F.S. οὐνομ. vulg. Post h. v. πολλοὶ δὲ (δὴ d.) καὶ οὐκ ὀνομαστοὶ b.d. Fortasse sic habet etiam M. et ad alienum locum hæc retulit Gronovius, paulo superius ea inserens. SCHWEIGH. [h] Ἀρτάνεω M.K.P.c. Ἀτάρνεω S. al. [i] Ῥαταγούνης P.K. Ῥατογόνης F. Ῥατσγαύνης b. [k] Sic S.M.P.K.c. Ἀτάρνης al. [l] Ἀρσάμεος F. Ἀρσάμιος d. [m] Sic V. μόνου S. μούνης Wessel. et al. Tum ταύτης ἐούσης S.

225. [a] μαχόμενοι F. In pr. δὴ om. S. [b] ὠθησμὸς a. Supra Περσέων δὲ καὶ S. quod forte reponendum. καὶ ante ὑπὲρ inseruit Schæfer. ὑπέρ τε legerit Valckenær. deleto τε post Περσέων, uterque post μαχεόμενοι pungens. [c] ὑπεξείρυσαν S.V. Ald. ὑπερεξέρυσαν M.P.K. ὑπερεξέρρυσαν F. [d] πυλλάκις b. Similiter variatur in Theocriti V. 57. *ter* Vall. Mox οἱ Ἕλληνες ἐπύθοντο S.

μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς δὲ τού-
τους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτε-
ροιοῦτο τὸ [e] νεῖκος. ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ
ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος,
[f] ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ
3 ἄλλοι, πλὴν Θηβαίων. ὁ δὲ [g] κολωνός ἐστι ἐν τῇ
ἐσόδῳ ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ.
4 ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι,
[h] τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ
καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλλοντες· οἱ 612
μὲν, ἐξ ἐναντίης ἐπισπόμενοι, καὶ τὸ ἔρυμα τοῦ τεί-
χεος συγχώσαντες· οἱ δὲ, περιελθόντες [i] πάντοθε
περισταδόν.

226 Inter Spartanos maxime excelluit Dieneces, etiam facetiis celebritatem nominis consecutus.

Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομέ-
νων, ὅμως λέγεται [a] ἀνὴρ ἄριστος γενέσθαι Σπαρτιή-
2 της [b] Διηνέκης. τὸν τόδε φασὶ [c] εἶπαι τὸ ἔπος πρὶν ἢ
συμμῖξαι σφέας τοῖσι Μήδοισι, [d] πυθόμενον πρός τευ
τῶν Τρηχινίων, ὡς, ἐπεὰν οἱ βάρβαροι [e] ἀπιέωσι τὰ
τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν
[f] ἀποκρύπτουσι· τοσοῦτό [g] τι πλῆθος αὐτῶν εἶναι.
3 τὸν δὲ, οὐκ ἐκπλαγέντα [h] τούτοισι, [i] εἰπεῖν, ἐν ἀλογίῃ
ποιεύμενον [k] τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι

[e] νεῖκος P.F. al. νίκος S. Ald. νῖκος c. Gronov. Supra ἑτεροιοῦντο S. ἑτεροιοῦτο τὸ πρᾶγμα IX. 102. [f] ἐλθόντες om. K. [g] Sic M.P.S.V.A.B. κολωνὸς οὗτος ἔστι Ald. al. [h] Sic A.B.V. Vall. ed. Genev. τῇσι F.S.P.K.M. Ald. Tum αἱ ἐτύγχανον M.K. ὅσοις αὐτῶν ἔτι ἐτύγχανον Longinus 38. περιεοῦσαι ἔτι S. [i] Sic F. Vulgo πάντοθεν cum S.

226. [a] Sic F.f. ἄριστος ἀνὴρ S. Wessel. Bekker. al. [b] Citat Eustath. Il. p. 638, 56=499, 24. [c] εἰπεῖν S.F.f. al. et sic infra. [d] πειθόμ. S. [e] ἀφίωσι S.V. [f] ἀποκρύπτειν f. Schæfer. [g] τι om. F.f. Mox τῶν ὀϊστῶν f. pro αὐτῶν. Supra τοσοῦτον S. [h] τοῦτο S.V. [i] εἶπαι] εἰπεῖν S.V. [k] Sic S.V. τῶν om. F.f. et vulg. et τῶν mox om. F.

ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος [l] ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον, [m] ὑπὸ σκιῇ ἔσοιτο πρὸς
4 αὐτοὺς ἡ μάχη, καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι [n] μνημόσυνα.

227 Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοὶ, [a] Ἀλφεός τε καὶ Μάρων, Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα τῷ οὔνομα ἦν [b] Διθύραμβος, [c] Ἁρματίδεω.

Qui post illum e Spartanis Thespiensibusque rem fortissime gesserint.

228 [a] Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι [b] ἢ ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

Epigrammata occisorum tumulis publice privatimque inscripta.

2 Μυριάσιν ποτὲ τῇδε [c] τριηκοσίαις ἐμάχοντο
ἐκ [d] Πελοποννάσου χιλιάδες τέτορες.

3 ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·

4 Ὦ ξεῖν', [e] ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων [f] ῥήμασι πειθόμενοι.

5 [g] Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι, τόδε·

[l] ἀπαγγέλλοι f. ἀγγέλει F.b.d. [m] ὑπὸ σκιῇ attigit Eustath. Il. p. 704, 57=588, 5. [n] μνημόσυνον K. Supra Διηνέκεα φασι S.

227. [a] Ἀλφειὸς hinc Eustath. Il. p. 297, 9=224, 49. Ἀλφεὺς δὲ F. [b] Errorem in Dithyrambo Æliani VI. 22. Perizonius exposuit Wess.

228. [a] θαπτεῖσι S. cf. Eustath. Il. p. 519, 43=393, 29. [b] ἢ om. S.b. ἢ τοὺς ὑπὸ Schæfer. e conj. [c] τριηκοσίῃς Aristid. II. p. 380. [d] Πελοποννάσου S.M.P.K. Πελοποννήσου Aristid. Diodor. Sic. XI. 33. F.b. al. Mox δὴ om. S. et paulo post Σπαρτιήσιν ἰδία. [e] Sic S.V.P.K.F. Paris. Suid. in Λεωνίδης. ἄγγειλον edd. vett. Diodorus, Anthol. VII. 249. ὦ ξέν' ἀπάγγειλον Strabo IX. p. 656=429. [f] πειθόμενοι νομίμοις Diodor. Lycurg. in Leocr. p. 163. Strabo. Sed ῥήμασι præstare docent Valckenærius et Wesselingius, quum poeta alludat ad Lycurgi τὰς καλουμένας ῥήτρας. [g] Λακεδ. δὲ F.

[h] Μνῆμα τόδε [i] κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι 613
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι·
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς,
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

6 Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος [k] ἐπίγραμμα, Ἀμφικτυόνες εἰσί σφέας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω, Σιμωνίδης ὁ [l] Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

229 Diversæ de Euryto et Aristodemo, ambobus Spartanis, narrationes. Hic, quod pugnæ consulto non interfuisset,

Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται, [a] Εὔρυτόν
τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι,
κοινῷ λόγῳ χρησαμένοισι, ἢ ἀποσωθῆναι ὁμοῦ ἐς
Σπάρτην, ὡς μεμετιμένοι [b] τε ἦσαν ἐκ τοῦ στρατο-
πέδου ὑπὸ Λεωνίδεω, καὶ [c] κατεκέατο ἐν Ἀλπηνοῖσι
2 ὀφθαλμιῶντες ἐς [d] τὸ ἔσχατον· ἤ, εἴγε μὴ ἐβούλοντο
νοστῆσαι, ἀποθανέειν ἅμα τοῖσι ἄλλοισι· παρεόν
σφι τούτων τὰ ἕτερα ποιέειν, οὐκ [e] ἐθελῆσαι ὁμοφρο-
νέειν· ἀλλὰ γνώμῃ [f] διενειχθέντας, Εὔρυτον μὲν
πυθόμενον [g] τῶν Περσέων τὴν περίοδον, αἰτήσαντά
τε τὰ ὅπλα καὶ [h] ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν
εἵλωτα ἐς τοὺς μαχομένους· ὅκως δὲ αὐτὸν ἤγαγε,
τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν δὲ, [i] ἐσπε-
σόντα ἐς τὸν ὅμιλον, διαφθαρῆναι· Ἀριστόδημον
3 δὲ, λειποψυχέοντα λειφθῆναι. Εἰ μέν νυν [k] ἦν μοῦ-
νον Ἀριστόδημον [l] ἀλγήσαντα ἀπονοστῆσαι [m] ἐς

[h] Μνᾶμα Schol. Anthol. p. 291. [i] κλειτοῖο V.S. cf. V. 92, 5. [k] ἐπίγραμμα—μάντιος om. Ald. c. [l] Λεωτρέπ. S. Νεωπρέπεως F.

229. [a] Εὔρυτός τε καὶ Ἀριστόδημος f. [b] γε P.F.b. om. f. [c] κατεκέετο f. [d] Sic K.S.P.V.F. τοὔσχατον f. τὸ μέγιστον c. edd. vett. [e] ἐθέλησαν M.K.P.F.b. [f] διενεχθέντας P. [g] Sic F.f.a. τὴν τῶν Π. π. vulg. [h] Sic mss. ἐσδύντα Ald. cf. 218. Supra τε om. S. [i] ἐμπεσόντα f. [k] ἦν om. S. [l] Sic A.B.V.F. Ald. i. e. ὀφθαλμιῶντα, *oculorum morbo dolentem*, interprete Wesselingio. ἀλογήσαντα M.P.K.S.d. [m] ἐν Σπάρτῃ S.

Σπάρτην, ἢ καὶ ὁμοῦ σφέων ἀμφοτέρων τὴν κομιδὴν
γενέσθαι, δοκέειν [n] ἐμοὶ, οὐκ ἄν σφι Σπαρτιήτας
μῆνιν οὐδεμίαν [o] προσθέσθαι· νυνὶ δὲ, [p] τοῦ μὲν
αὐτῶν [q] ἀπολομένου, τοῦ δὲ, τῆς μὲν αὐτῆς ἐχομένου
προφάσιος, [r] οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγ-
καίως σφι ἔχειν μηνίσαι μεγάλως Ἀριστοδήμῳ.
230 Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον
[a] ἐς Σπάρτην, καὶ διὰ πρόφασιν τοιήνδε. οἱ δὲ,
ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ
καταλαβεῖν τὴν μάχην γινομένην, [b] οὐκ ἐθελῆσαι,
ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ, περιγενέσθαι· τὸν δὲ
συνάγγελον αὐτοῦ, ἀπικόμενον ἐς τὴν μάχην, ἀπο-
231 θανεῖν. Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα [a] ὁ Ἀρι-
2 στόδημος ὄνειδός τε εἶχε καὶ ἀτιμίην. πάσχων δὲ
τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιη-
τέων, οὔτε διελέγετο, ὄνειδός τε εἶχε, ὁ τρέσας Ἀρι-
3 στόδημος καλεόμενος, ἀλλ' ὁ μὲν ἐν [b] τῇ ἐν Πλα-
ταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν [c] ἐπενεχθεῖσάν [d] οἱ
232 αἰτίην. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα [a] ἄγ-
γελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων [b] περι-
γενέσθαι, τῷ οὔνομα εἶναι [c] Παντίτην· νοστήσαντα
δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.
233 Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε,

notatus infamia, post 614 in prœlio Platæensi strenuissimis facinoribus crimine ignaviæ se purgat [9.71.].

Pantites, alius Spartiata, quod et ipse a pugna afuisset, infamia adspersus, suspendio vitam finit.

[n] ἐμοὶ om. S. [o] προθέσθαι S.d. οὐδεμίαν F. οὐδεμίην S. vulg. Mox νῦν S. [p] Sic M.P.K.S.V.F.b.d. αὐτῶν om. a.c. Ald. [q] ἀπολουμένου d. ἀπολογουμένου F. [r] οὐ θελήσαντος F.

230. [a] ἐν Σπάρτῃ S. qui infra τὴν μάχην καταλαβεῖν. [b] οὐ θελῆσαι P.

231. [a] ὁ om. S.a. Ald. [b] τῇσι Πλατ. S. non male si τῇσι tolleretur. WESSEL. Cujus notulæ quænam vis sit haud percepi. Puto voluerat, si μάχῃ tolleretur. SCHWEIGH. [c] ἐξενεχθ. b. [d] οἱ om. S.K.P.F.a.b.c.

232. [a] ἄγγελον om. S. Supra λέγονται Ald. [b] γενέσθαι K. [c] Παντίτῃ F.

[h] Μνῆμα τόδε [i] κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι 613
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι·
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς,
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

6 Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ
μάντιος [k] ἐπίγραμμα, Ἀμφικτυόνες εἰσί σφέας οἱ
ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω, Σι-
μωνίδης ὁ [l] Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπι-
γράψας.

229 Diversæ de Euryto et Aristodemo, ambobus Spartanis, narrationes. Hic, quod pugnæ consulto non interfuisset,

Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται, [a] Εὔρυτόν
τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι,
κοινῷ λόγῳ χρησαμένοισι, ἢ ἀποσωθῆναι ὁμοῦ ἐς
Σπάρτην, ὡς μεμετιμένοι [b] τε ἦσαν ἐκ τοῦ στρατο-
πέδου ὑπὸ Λεωνίδεω, καὶ [c] κατεκέατο ἐν Ἀλπηνοῖσι
2 ὀφθαλμιῶντες ἐς [d] τὸ ἔσχατον· ἤ, εἴγε μὴ ἐβούλοντο
νοστῆσαι, ἀποθανέειν ἅμα τοῖσι ἄλλοισι· παρεόν
σφι τούτων τὰ ἕτερα ποιέειν, οὐκ [e] ἐθελῆσαι ὁμοφρο-
νέειν· ἀλλὰ γνώμῃ [f] διενειχθέντας, Εὔρυτον μὲν
πυθόμενον [g] τῶν Περσέων τὴν περίοδον, αἰτήσαντά
τε τὰ ὅπλα καὶ [h] ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν
εἵλωτα ἐς τοὺς μαχομένους· ὅκως δὲ αὐτὸν ἤγαγε,
τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν δὲ, [i] ἐσπε-
σόντα ἐς τὸν ὅμιλον, διαφθαρῆναι· Ἀριστόδημον
3 δὲ, λειποψυχέοντα λειφθῆναι. Εἰ μέν νυν [k] ἦν μοῦ-
νον Ἀριστόδημον [l] ἀλγήσαντα ἀπονοστῆσαι [m] ἐς

[h] Μνᾶμα Schol. Anthol. p. 291. [i] κλειτοῖο V.S. cf. V. 92, 5. [k] ἐπίγραμμα—μάντιος om. Ald. c. [l] Λεωτρέπ. S. Νεωπρέπεως F.

229. [a] Εὔρυτός τε καὶ Ἀριστόδημος f. [b] γε P.F.b. om. f. [c] κατεκέετο f. [d] Sic K.S.P.V.F. τοὔσχατον f. τὸ μέγιστον c. edd. vett. [e] ἐθέλησαν M.K.P.F.b. [f] διενεχθέντας P. [g] Sic F.f.a. τὴν τῶν Π. π. vulg. [h] Sic mss. ἐσδύντα Ald. cf. 218. Supra τε om. S. [i] ἐμπεσόντα f. [k] ἦν om. S. [l] Sic A.B.V.F. Ald. i. e. ὀφθαλμιῶντα, *oculorum morbo dolentem*, interprete Wesselingio. ἀλογήσαντα M.P. K.S.d. [m] ἐν Σπάρτῃ S.

Σπάρτην, ἢ καὶ ὁμοῦ σφέων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν [n] ἐμοὶ, οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν [o] προσθέσθαι· νυνὶ δὲ, [p] τοῦ μὲν αὐτῶν [q] ἀπολομένου, τοῦ δὲ, τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος, [r] οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνίσαι μεγάλως Ἀριστοδήμῳ.

230 Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον [a] ἐς Σπάρτην, καὶ διὰ πρόφασιν τοιήνδε. οἱ δὲ, ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην, [b] οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ, περιγενέσθαι· τὸν δὲ συνάγγελον αὐτοῦ, ἀπικόμενον ἐς τὴν μάχην, ἀπο-
231 θανεῖν. Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα [a] ὁ Ἀρι-
2 στόδημος ὄνειδός τε εἶχε καὶ ἀτιμίην. πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων, οὔτε διελέγετο, ὄνειδός τε εἶχε, ὁ τρέσας Ἀρι-
3 στόδημος καλεόμενος, ἀλλ' ὁ μὲν ἐν [b] τῇ ἐν Πλαταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν [c] ἐπενεχθεῖσάν [d] οἱ
232 αἰτίην. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα [a] ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων [b] περιγενέσθαι, τῷ οὔνομα εἶναι [c] Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.

notatus infamia, post 614 in prœlio Platæensi strenuissimis facinoribus crimine ignaviæ se purgat [9.71.].

Pantites, alius Spartiata, quod et ipse a pugna afuisset, infamia adspersus, suspendio vitam finit.

233 Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε,

[n] ἐμοὶ om. S. [o] προθέσθαι S.d. οὐδεμίαν F. οὐδεμίην S. vulg. Mox νῦν S. [p] Sic M.P.K.S.V.F.b.d. αὐτῶν om. a.c. Ald. [q] ἀπολουμένου d. ἀπολογουμένου F. [r] οὐ θελήσαντος F.

230. [a] ἐν Σπάρτῃ S. qui infra τὴν μάχην καταλαβεῖν. [b] οὐ θελῆσαι P.

231. [a] ὁ om. S.a. Ald. [b] τῇσι Πλατ. S. non male si τῇσι tolleretur. WESSEL. Cujus notulæ quænam vis sit haud percepi. Puto voluerat, si μάχῃ tolleretur. SCHWEIGH. [c] ἐξενεχθ. b. [d] οἱ om. S.K.P.F.a.b.c.

232. [a] ἄγγελον om. S. Supra λέγονται Ald. [b] γενέσθαι K. [c] Παντίτῃ F.

Thebani in ipso prœlio se dedunt Persis, a quibus mancipiorum loco habentur.

τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο, ὑπ'
ἀναγκαίης ἐχόμενοι, πρὸς τὴν βασιλέος στρατιήν·
2 ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ
πρήγματα, [a] οὕτω δὴ τῶν σὺν Λεωνίδῃ Ἑλλήνων
[b] ἐπειγομένων ἐπὶ τὸν κολωνὸν, ἀποσχισθέντες τού-
των, χεῖράς τε προέτεινον, καὶ ἤϊσαν ἆσσον τῶν βαρ-
βάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς
καὶ [c] μηδίζουσι, καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι
ἔδοσαν βασιλέϊ, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερ-
μοπύλας ἀπικοίατο, καὶ ἀναίτιοι [d] εἶεν τοῦ τρώματος
3 τοῦ γεγονότος [e] βασιλέϊ. ὥστε ταῦτα λέγοντες, πε-
ριεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τῶν λόγων
4 τούτων μάρτυρας. Οὐ μέντοι τά γε πάντα [f] εὐτύ-
χησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόν-
τας, τοὺς μέν [g] τινας καὶ ἀπέκτειναν προσιόντας,
τοὺς δὲ πλεῦνας αὐτῶν, κελεύσαντος Ξέρξεω, ἔστιζον
στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ
Λεοντιάδεω· τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέ- 615
πειτα ἐφόνευσαν Πλαταιέες, στρατηγήσαντα ἀνδρῶν
Θηβαίων τετρακοσίων, καὶ σχόντα τὸ ἄστυ τὸ
Πλαταιέων.

Xerxi fortitudine Spartanorum perculso

234 Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο. Ξέρξης δὲ καλέσας Δημάρητον, [a] εἰρώτα ἀρξάμενος ἐνθένδε· "Δημάρητε, ἀνὴρ εἷς ἀγαθός. "τεκμαίρομαι [b] δὲ τῇ ἀληθηΐῃ· ὅσα γὰρ εἶπας,

233. [a] οὕτω δὴ καὶ τῶν F. Supra βασιλῆος S. qui γινόμενα τῶν Περσέων. [b] ἐπιγενομένων P.F.b. cf. Plutarch. II. p. 866 B. τε post χεῖρας om. S. [c] μηδίσειαν Plutarch. καὶ om. S. ante μηδ. [d] Sic Plut. M.P.K.F. εἶναι V.S.a. Ald. [e] βασιλέος τε ταῦτα S. qui mox περιεγένοντο. [f] Sic S.P.V.F. Schæfer. ηὐτύχησαν vulg. [g] Sic mss. τινας αὐτέων edd. vett. τοὺς μὲν αὐτῶν Plut. absque αὐτῶν in seqq.

234. [a] Sic S.P.K. ἠρώτα F. al. Supra ἠγωνίζοντο S. [b] γὰρ τῇ b. Mox εἶπες S.

2 " ἅπαντα ἀπέβη οὕτω. νῦν δέ μοι εἰπὲ, κόσοι τινές
" εἰσι οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τούτων ὁκόσοι
3 " [c] τοιοῦτοι τὰ πολέμια, εἴτε καὶ ἅπαντες." Ὁ δ'
εἶπε· " Ὦ βασιλεῦ, πλῆθος μὲν [d] πάντων τῶν Λακε-
" δαιμονίων πολλὸν, καὶ πόλις πολλαί· τὸ δὲ θέλεις
4 " ἐκμαθέειν, εἰδήσεις. Ἔστι ἐν τῇ [e] Λακεδαίμονι
" Σπάρτη, πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστά κη.
5 " οὗτοι πάντες εἰσὶ ὁμοῖοι τοῖσι ἐνθάδε μαχεσαμέ-
" νοισι· οἵ [f] γε μὲν ἄλλοι Λακεδαιμόνιοι, τούτοισι
6 " μὲν οὐκ ὁμοῖοι, ἀγαθοὶ δέ." Εἶπε πρὸς ταῦτα
Ξέρξης· " Δημάρητε, τέῳ τρόπῳ [g] ἀπονητότατα τῶν
" ἀνδρῶν τούτων ἐπικρατήσομεν; ἴθι ἐξηγέο. σὺ
" γὰρ ἔχεις αὐτῶν [h] τὰς διεξόδους τῶν βουλευμάτων,
235 " οἷα βασιλεὺς γενόμενος." Ὁ δὲ [a] ἀμείβετο· " Ὦ
" βασιλεῦ, εἰ μὲν δὴ συμβουλεύεαί μοι προθύμως,
2 " δίκαιόν μέ σοί ἐστι φράζειν τὸ ἄριστον. εἰ τῆς
" ναυτικῆς στρατιῆς νέας τριηκοσίας [b] ἀποστείλειας
3 " ἐπὶ τὴν [c] Λάκαιναν χώρην. Ἔστι δὲ ἐπ' αὐτῇ
" νῆσος [d] ἐπικειμένη, τῇ οὔνομά ἐστι Κύθηρα· τὴν
" [e] Χίλων, ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος,
" κέρδος [f] μέζον, ἔφη, εἶναι Σπαρτιήτῃσι κατὰ τῆς
" θαλάσσης καταδεδυκέναι μᾶλλον ἢ ὑπερέχειν,
" αἰεί τι προσδοκῶν ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι
" οἷόν τι ἐγὼ ἐξηγέομαι· [g] οὔτι τὸν σὸν στόλον
" προειδὼς, ἀλλὰ πάντα ὁμοίως φοβεόμενος ἀνδρῶν

quid Demaratus suaserit. Insula Cythera.

[c] τοι οὗτοι K. [d] πολλὸν πάντ. τ. Λακ. S.F. πολλὸν om. K.b. Mox ἐκμαθεῖν S. [e] Sic M.S.P.F. Paris. Eustath. Il. p. 294, 27= 222, 47. Λακεδαιμονίῃ Ald. Mox κη om. S. μάλιστα. καὶ οὗτοι Ald. Matth. Bekker. [f] Sic S.P.V.F.a.b.d. cf. 152. γε μὴν al. [g] ἀπονητοτάτω S. [h] Sic mss. τὰς om. Ald. cf. III. 156.

235. [a] εἶπεν S.V. Mox ἔστί σοι Ald. [b] ἀποστείλας F.b. ἀποστείλοι f. [c] Λακεδαίμονα χώρην S. et forte Valla. [d] κειμένη S.V. [e] Χείλων M.P.K. Χίλων S.F. Paris. Ald. al. cf. I. 59. [f] μέζω M.P. F. Mox τοιοῦτον S. [g] οὔ τοι S. ὅ τι F.

4 " στόλον. ἐκ ταύτης [h] ὢν τῆς νήσου ὁρμεώμενοι,
" [i] φοβεόντων τοὺς Λακεδαιμονίους. παροίκου δὲ
" πολέμου σφι ἐόντος οἰκηΐου, οὐδὲν δεινοὶ ἔσονταί
" [k] τοι, μὴ τῆς ἄλλης Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ
5 " πεζοῦ βοηθέωσι ταύτῃ. καταδουλωθείσης δὲ τῆς
" ἄλλης Ἑλλάδος, ἀσθενὲς [l] ἤδη τὸ Λακωνικὸν
" [m] μοῦνον λείπεται. Ἢν δὲ ταῦτα μὴ ποιῇς, τάδε
6 " τοι προσδόκα ἔσεσθαι. ἔστι τῆς Πελοποννήσου
" ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελο-
" ποννησίων συνομοσάντων ἐπὶ σοὶ, μάχας ἰσχυρο-
" τέρας ἄλλας τῶν γενομένων προσδέκεο ἔσεσθαί 616
7 " [n] τοι. ἐκεῖνο δὲ ποιήσαντι, ἀμαχητὶ ὅ τε ἰσθμὸς
236 " οὗτος καὶ αἱ πόλις [o] προσχωρήσουσι." Λέγει μετὰ

Sententia Achæmenis.

τοῦτον Ἀχαιμένης, ἀδελφεός τε ἐὼν Ξέρξεω, καὶ τοῦ
ναυτικοῦ στρατοῦ στρατηγὸς, παρατυχών τε τῷ
λόγῳ, καὶ δείσας μὴ ἀναγνωσθῇ Ξέρξης ποιέειν
2 ταῦτα· "Ὦ βασιλεῦ, ὁρέω σε ἀνδρὸς [a] ἐνδεκόμενον
" λόγους, ὃς φθονέει τοι εὖ πρήσσοντι, ἢ καὶ προ-
3 " διδοῖ [b] πρήγματα τὰ σά. καὶ γὰρ δὴ καὶ τρόποισι
" τοιούτοισι χρεώμενοι [c] οἱ Ἕλληνες χαίρουσι· τοῦ
" τε εὐτυχέειν φθονέουσι, καὶ τὸ κρέσσον στυγέουσι.
4 " Εἰ δ' ἐπὶ τῇσι παρεούσῃσι τύχῃσι, τῶν νέες νεναυ-
" ηγήκασι τετρακόσιαι, ἄλλας ἐκ τοῦ στρατοπέδου
" τριηκοσίας ἀποπέμψεις [d] περιπλώειν Πελοπόννησον,
5 " ἀξιόμαχοί [e] τοι γίνονται οἱ ἀντίπαλοι. ἁλὴς δὲ ἐὼν
" ὁ ναυτικὸς στρατὸς, δυσμεταχείριστός τε αὐτοῖσι

[h] ὢν om. P.K.F. Tum ὁρμώμενοι S. [i] φερόντων Λακεδαιμονίους S. [k] τοι om. d. [l] δὴ S.V. [m] μοῦνον γίνεται S.V. μόνον τοῦτο λείπεται b. [n] τοι om. S. [o] προχωρ. S.

236. [a] Sic mss. Ald. cf. infra 237. necnon V. 92. ἐκδεκόμ. Steph. al. [b] τὰ πρ. τὰ σὰ S.V. [c] οἱ om. S.P.F.a. Mox νεναυιηγήκασι S. [d] περιπλέειν S.V.K.F.a. [e] τοι om. F.

“ γίνεται, καὶ ἀρχὴν οὐκ [f] ἀξιόμαχοί τοι ἔσονται· καὶ
“ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει, καὶ ὁ πεζὸς τῷ
6 “ ναυτικῷ, ὁμοῦ πορευόμενος. εἰ δὲ διασπάσεις, οὔτε
“ σὺ ἔσεαι [g] κείνοισι χρήσιμος, οὔτε κεῖνοι σοί. Τὰ
“ σεωυτοῦ δὲ τιθέμενος εὖ, γνώμην [h] ἔχε τὰ τῶν ἀν-
“ τιπολέμων μὴ [i] ἐπιλέγεσθαι πρήγματα, τῇ τε στή-
“ σονται τὸν πόλεμον, τά τε ποιήσουσι, ὅσοι τε
7 “ πλῆθός εἰσι. ἱκανοὶ γὰρ ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν
“ πέρι φροντίζειν εἰσὶ, ἡμεῖς δὲ ἡμέων ὡσαύτως.
“ Λακεδαιμόνιοι δὲ, ἢν ἴωσι ἀντία Πέρσῃσι ἐς μάχην,
237 “ [k] οὐδὲ ἓν τὸ παρεὸν τρῶμα [l] ἀνιεῦνται.” Ἀμείβεται
Ξέρξης τοῖσδε· “ [a] Ἀχαίμενες, εὖ τέ μοι δοκέεις λέ-
2 “ γειν, καὶ ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν
“ τὰ ἄριστα ἔλπεται εἶναι ἐμοὶ, γνώμῃ μέντοι [b] ἑσ-
3 “ σοῦται ὑπὸ σεῦ. οὐ γὰρ δὴ [c] κεῖνό γε ἐνδέξομαι,
“ ὅκως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι πρήγμασι, τοῖσί τε
“ λεγομένοισι πρότερον ἐκ τούτου σταθμώμενος, καὶ
“ τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι
“ φθονέει, καὶ ἔστι δυσμενὴς [d] τῇ σιγῇ· [e] οὐδ᾽ ἂν,
“ συμβουλευομένου τοῦ ἀστοῦ, πολιήτης ἀνὴρ τὰ
“ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ μὴ πρόσω
4 “ ἀρετῆς ἀνήκοι· σπάνιοι δ᾽ εἰσὶ οἱ τοιοῦτοι. ξεῖνος
“ δὲ ξείνῳ εὖ πρήσσοντί [f] ἐστι εὐμενέστατον πάντων,
“ συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα.

Consilium Demarati a Xerxe repudiatum.

[f] ἀξιομάχητοι γίνονται S. et forte V. τοι om. P.K.F. [g] ἐκείνοισι P.K. et sic infra. ἐκείνοισιν ἔσεαι S. et mox ἐκεῖνοι. [h] Sic S. Wessel. ἔχω K.F.b. probante Larchero. ἔχων olim. [i] ἐπιδέχεσθαι S.d. [k] οὐδὲ ἓν M.P.F.b.d. οὐδὲν Wessel. S. al. Bekker. [l] ἀνεῦνται F. ἀνιεῦνται b. teste Larchero.

237. [a] Ἀχαιμένεες F. [b] ἑσσῶται S. [c] Sic F. ἐκεῖνό γε S. al. Mox εὐνοεῖ F. [d] τῆτε γῇ S. [e] Sic Ald. P.K.V. Paris. F. Stobæus 38, 61. οὐδὲ ἓν M. οὐδὲν S. Mox τὰ ante ἄριστα om. S. et infra ἀνήκοι ἀρετῆς. [f] ἐστι μὲν εὐμ. S.

5 “ οὕτω ὦν [g] κακολογίης πέρι τῆς ἐς Δημάρητον, “ ἐόντος ἐμοὶ ξείνου, [h] ἔχεσθαί τινα τοῦ λοιποῦ “ κελεύω.”

238

Xerxis impotens in Leonidam mortuum ira.

Ταῦτα εἴπας Ξέρξης, διεξήϊε διὰ τῶν νεκρῶν· καὶ 617 [a] Λεωνίδεω, ἀκηκοὼς [b] ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, [c] ἐκέλευσε ἀποταμόντας τὴν
2 κεφαλὴν ἀνασταυρῶσαι. δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ [d] δὴ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ [e] μάλιστα
3 ἀνδρῶν ἐθυμώθη ζώοντι Λεωνίδῃ. [f] οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα [g] παρενόμησε· ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ πολέμια. οἱ μὲν δὴ [h] ταῦτα ἐποίευν τοῖσι ἐπετέτακτο ποιέειν.

239

Qua ratione Spartani de Persarum bellico contra Græciam apparatu primi certiores facti.

Ἄνειμι δὲ [a] ἐκεῖσε τοῦ λόγου, τῇ μοι [b] τὸ πρότερον ἐξέλιπε. Ἐπύθοντο Λακεδαιμόνιοι, ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα, πρῶτοι· καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ [c] ὀλίγῳ πρότερον εἶπον. ἐπύθοντο δὲ
2 τρόπῳ [d] θωμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος, φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ [e] οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι.
3 πάρεστι δὲ εἰκάζειν, εἴτε εὐνοίῃ ταῦτα ἐποίησε, εἴτε καὶ [f] καταχαίρων. [g] Ἐπεί τε γὰρ Ξέρξῃ ἔδοξε στρα-

[g] περὶ κακολογίης P.K.F. περὶ om. d. [h] ἔχεσθαι S.V.d. περιέχεσθαι F.a.b.c. edd. vett.

238. [a] Sic M.P.K.S. Paris. F. Λεωνίδεω πέρι Ald. [b] ὡς ὅτι P.F.b. [c] ἐκέλευε F. [d] δὴ om. S.V.P.K.F.a. [e] Plutarch. II. p. 867 A. Mox ζῶντι S. [f] οὐ γὰρ om. S. ἂν om. M.K.P.F. [g] Sic S.V.P.F. παρηνόμησε Wessel. al. [h] ταῦτα om. S.

239. [a] ἐπ' ἐκεῖνο S.V. [b] Sic F. τὸ om. vulgo cum S. Redit ad cap. 220. [c] ὀλίγον S. [d] Sic F.S. vulgo θωυμ. [e] Suid. εἰκὸς in v. qui mox συμμαχέεται pro συμμάχεται. εἰκὸς S. [f] καταχαίρων Suid. in v. [g] ἐπεί τε γὰρ om. S. qui mox cum V. ἐδόκεε pro ἔδοξε.

τηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν [h] Σούσοισι ὁ Δη-
μάρητος, καὶ πυθόμενος ταῦτα, ἠθέλησε Λακεδαιμο-
4 νίοισι ἐξαγγεῖλαι. ἄλλως μὲν [i] δὴ οὐκ εἶχε σημῆναι·
ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη· ὁ δὲ μηχανᾶται
5 τοιάδε· [k] δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ
[l] ἐξέκνησε, καὶ ἔπειτα ἐν [m] τῷ ξύλῳ τοῦ δελτίου
ἔγραψε τὴν βασιλέος γνώμην· ποιήσας δὲ ταῦτα,
ὀπίσω [n] ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα
φερόμενον [o] κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα [p] παρέ-
6 χοι οἱ πρὸς τῶν [q] ὁδοφυλάκων. [r] ἐπεὶ δὲ καὶ ἀπίκετο
ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λα- 618
κεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι,
Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ, Γοργὼ,
[s] ὑπέθετο, ἐπιφρασθεῖσα αὐτὴ, τὸν κηρὸν [t] κνᾶν κε-
λεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ.
7 πειθόμενοι δὲ, εὗρον καὶ ἐπελέξαντο, ἔπειτα δὲ τοῖσι
[v] ἄλλοισι Ἕλλησι [w] ἐπέστειλαν. [x] Ταῦτα μὲν δὴ 619
οὕτω λέγεται γενέσθαι.

[h] Sic M.P.K.S.F. Paris. Σούσῃσι vulgo. Vide H. Steph. ad Diodor. XVII. 107. In versione LXX. Neemiæ I. 1. legitur Σουσὰν, et sic Esther. II. 8. Sed Σούσοις ms. Alex. III. 15. Omnes IV. 16. VIII. 14. IX. 11. 15. [i] δὴ om. F. [k] Citat Pollux IV. 18. et κηρὸν X. 58. [l] Suid. ἐξέκνισεν. [m] τῷ om. F. Mox ἔγραφε S. [n] Cf. Suidas in v. ἐπέτεξε S. [o] κεινὸν om. S.V. [p] Sic Abresch. Diluc. Thucyd. p. 247. οἱ om. vulg. πρᾶγμα παρέχῃ S. [q] ὁμοφυλάκων F. [r] Sic M.P.K.S.F. Paris. καὶ om. vulg. [s] Sic M.P. K.S.F. Paris. Ald. ἐπέθετο Steph. 2. et seqq. [t] Hinc Suid. in v. quem cf. in Ἐπελέξαντο. vid. Hemsterhus. ad Lucian. Dial. Marin. V. 2. [v] ἄλλοισι om. S. Vall. [w] ἀπέστειλαν d. In P.M.F.b. hic liber sic concluditur: ἐπέστειλαν. Ταῦτα μὲν δὴ οὕτω λέγεται γενέσθαι. Ἡροδότου ζ΄. Sed in F.M. et forte P. eadem sex verba initio libri seq. repetuntur, quæ non necesse erat ibi iterari. [x] Sequentia hic omissa in principio libri seq. exhibet S.

ἹΣΤΟΡΙΩΝ ἩΡΟΔΟΤΟΥ Ζ΄.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

ΟΥΡΑΝΙΑ.

I Exponuntur deinceps res mari gestæ. Qui Græciæ populi classem instruxerint.

ΟΙ δὲ [a] Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέν-
τες, ἦσαν οἵδε. Ἀθηναῖοι μὲν, νέας παρεχόμενοι
[b] ἑπτὰ καὶ εἴκοσι καὶ ἑκατόν· ὑπὸ δὲ ἀρετῆς τε καὶ
προθυμίης Πλαταιέες, ἄπειροι τῆς ναυτικῆς ἐόντες,
2 συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας. Κορίνθιοι
δὲ τεσσεράκοντα νέας παρείχοντο· Μεγαρέες δὲ,
εἴκοσι· καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι, Ἀθηναίων
[c] σφι παρεχόντων τὰς νέας· Αἰγινῆται δὲ, [d] ὀκτωκαί-
δεκα· Σικυώνιοι δὲ, [e] δυώδεκα· Λακεδαιμόνιοι δὲ,
δέκα· Ἐπιδαύριοι δὲ, ὀκτώ· Ἐρετριέες δὲ, ἑπτά· 620
Τροιζήνιοι δὲ, πέντε· [f] Στυρέες δὲ, δύο· καὶ [g] Κεῖοι,
δύο τε [h] νέας, καὶ πεντηκοντέρους δύο· Λοκροὶ δέ
σφι οἱ Ὀπούντιοι [i] ἐπεβώθεον, πεντηκοντέρους ἔχον-
τες ἑπτά.

LIB. VIII. 1. [a] Ἕλληνες τὸν S. [b] ἑπτὰ καὶ εἴκοσι καὶ ἑκατὸν S.V. ἑκατὸν καὶ εἴκοσι καὶ ἑπτὰ vulg. ὀκτὼ pro ἑπτὰ d. cf. Schæfer. Demosth. T. VII. p. 539. [c] Sic F. παρεχ. σφι vulg. [d] *undeviginti* Vall. [e] Sic S.V. δυοκαιδεκα Bekker. al. [f] Στυριέες S.d. vid. infra c. 46. Holsten. Steph. Byz. v. Στύρα. [g] Sic K. Wessel. Κῖοι F.S.a.b.c. vulg. [h] νῆας K.S.V. [i] Sic S. Wessel. ἐπεβοήθεον F.a.b. al.

Numerus navium ad Artemisium collectarum. Summus earum præfectus, Eurybiades Spartiata.

2 Ἦσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτε-
μίσιον· εἴρηται δέ μοι καὶ [a] ὡς τὸ πλῆθος ἕκαστοι
2 τῶν νεῶν παρείχοντο. ἀριθμὸς δὲ τῶν συλλεχθει-
σέων νεῶν ἐπ' Ἀρτεμίσιον ἦν, πάρεξ τῶν πεντηκον-
τέρων, [b] μία καὶ ἑβδομήκοντα καὶ διηκόσιαι. Τὸν δὲ
στρατηγὸν τὸν [c] τὸ μέγιστον [d] κράτος ἔχοντα, παρεί-
χοντο Σπαρτιῆται, [e] Εὐρυβιάδεα [f] τὸν Εὐρυκλείδεω.
3 οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν ἢν μὴ ὁ Λάκων ἡγεμο-
νεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν
τὸ μέλλον ἔσεσθαι στράτευμα.

Atheniensium prudentia imperium maritimum Spartanis in hoc temporis articulo concedentium.

3 Ἐγένετο γὰρ κατ'
ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν [a] ἐπὶ
συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι [b] χρεὸν εἴη
2 ἐπιτρέπειν. ἀντιβάντων δὲ τῶν συμμάχων, εἶκον οἱ
Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν Ἑλλάδα,
καὶ γνόντες, εἰ [c] στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς
3 ἀπολέεται ἡ Ἑλλάς· ὀρθὰ νοεῦντες. Στάσις γὰρ
ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν
ἐστι, ὅσῳ πόλεμος εἰρήνης. Ἐπιστάμενοι ὦν αὐτὸ
τοῦτο, οὐκ ἀντέτεινον, ἀλλ' εἶκον [d] μέχρι ὅσου κάρτα
4 ἐδέοντο αὐτῶν, ὡς διέδεξαν. ὡς γὰρ δὴ ὠσάμενοι τὸν
[e] Πέρσεα περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο,
πρόφασιν τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι, ἀπεί-
λοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. ἀλλὰ
ταῦτα μὲν ὕστερον [f] ἐγένετο.

2. [a] ὅσον τι πλ. Schæfer. ὅσον τὸ πλ. Reisk. cf. VII. 60. Sed ὡς, *quomodo*, consentientibus libris retineret Schweighæuser. Mox νηῶν S. bis. [b] Sic S.V. Vulgo διηκ. καὶ ἑ. καὶ μ. [c] τὸ om. S.V. [d] Sic V.F.a. Schæfer. κάρτος Wessel. al. [e] Sic V.S. Εὐρυβιάδην F.a. vulg. [f] τὸν om. S.V.P.F.a.

3. [a] ἐπὶ τὴν συμμ. S.V. [b] Sic S. χρεὼν al. [c] στασιοῦσι S. Mox νοέοντες S. [d] Sic M.P.K.F. μέχρι οὗ V.c. Ald. μέχρις οὗ S.a. μέχρι ὅσον b. cf. I. 181. [e] Πέρσην P.K.F. Supra δηωσάμενοι S. διωσάμενοι Matth. qui mox ἐποιέοντο· πρόφασιν δὲ τήν. Bekkerus item διωσάμενοι. [f] ἐγένοντο F.

4

Græcis de fuga capessenda deliberantibus, Eubœenses Themistocli, classis Atheniensium præfecto, amplissimis muneribus dandis persuadent, ut cæteros ad prœlium ante Eubœam pugnandum permovere studeat.

Τότε δὲ οὗτοι οἱ [a] καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων
ἀπικόμενοι, ὡς εἶδον νέας τε πολλὰς [b] καταχθείσας
[c] ἐς τὰς Ἀφέτας, καὶ στρατιῆς [d] ἅπαντα πλέα, ἐπεὶ
αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων 621
ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταρρωδήσαντες,
δρησμὸν [e] ἐβούλευον ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν
2 Ἑλλάδα. γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦτα βου-
λευομένους, ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον
ὀλίγον, ἔστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκ-
3 θέωνται. ὡς δ' οὐκ ἔπειθον, μεταβάντες τὸν Ἀθη-
ναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα ἐπὶ μισθῷ
τριήκοντα ταλάντοισι, ἐπ' ᾧ [f] τε καταμείναντες πρὸ
τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην.

5

Id quomodo Themistocles effectum dederit.

Ὁ δὲ Θε-
μιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐ-
ρυβιάδῃ τούτων τῶν χρημάτων μεταδιδοῖ πέντε τά-
2 λαντα, ὡς [a] παρ' ἑωυτοῦ δῆθεν διδούς. ὡς δέ οἱ οὗτος
ἀνεπέπειστο, ([b] Ἀδείμαντος γὰρ ὁ Ὠκύτου, [c] Κορίν-
θιος στρατηγὸς, [d] τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φά-
μενος [e] ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου καὶ οὐ
παραμενέειν,) πρὸς δὴ τοῦτον εἶπε ὁ Θεμιστοκλέης
3 ἐπομόσας· "Οὐ σύ γε ἡμέας ἀπολείψεις, ἐπεί τοι ἐγὼ
"μέζω δῶρα δώσω ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμ-
"ψειε ἀπολιπόντι τοὺς συμμάχους." ταῦτά τε ἅμα

4. [a] καὶ om. b.d. οἱ ὡς ἐπ' Ἀρτ. Schæfer. Mox νῆας S. [b] καταταχθείσας forsan desiderares. SCHWEIGH. [c] ἐς τοὺς Ἀφ. S. [d] πάντα S.V. [e] Sic S.V. cf. I. 11. V. 124. VIII. 18. ἐβουλεύοντο Bekker. vulg. cf. Plutarch. II. p. 867 B. [f] τε om. S.V.

5. [a] Sic P.V.S.F. Paris. cf. II. 129. VII. 29. παρ' ἑωυτῷ olim. Supra ποιέειν S. [b] Ἀδάμαντος S. Vall. [c] Sic libri plerique, omnes infr. 94. Κορινθίων σ. h. l. dedit Schæfer. cum uno ms. et Vall. qui *Corinthiorum*. Sic etiam unus isque optimus Suidæ ms. [d] τῶν λοιπῶν om. S.V.a.c. ἤσπαιρε attigit Eustath. Il. p. 410, 34=326, 4. [e] ἀποπλώσεσθαι S.V. ἀποπλεύσεσθαι F.a. al. Suid. in Ἤσπαιρεν.

ἠγόρευε, καὶ πέμπει ἐπὶ τὴν νέα [f] τὴν Ἀδειμάντου
4 τάλαντα ἀργυρίου τρία. Οὗτοί τε δὴ [g] πληγέντες
δώροισι, ἀναπεπεισμένοι ἦσαν, καὶ τοῖσι [h] Εὐβοέεσι
ἐκεχάριστο· αὐτός τε ὁ Θεμιστοκλέης [i] ἐκέρδηνε, 622
ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων· ἀλλ' ἠπιστέατο οἱ μετα-
λαβόντες τούτων τῶν χρημάτων ἐκ τῶν [k] Ἀθηναίων
ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ [l] τὰ χρήματα.

6 Οὕτω δὴ κατέμεινάν τε ἐν τῇ Εὐβοίῃ, καὶ ἐναυμά-
χησαν. ἐγένετο δὲ ὧδε. Ἐπεί τε δὴ ἐς τὰς Ἀφέτας
[a] περὶ δείλην πρωΐην [b] γινομένην [c] ἀπίκατο οἱ βάρ-
βαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ [d] τὸ Ἀρ-
τεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας [e] ὀλίγας, τότε
δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἦσαν ἐπιχειρέειν, εἴ κως
2 ἕλοιεν αὐτάς. ἐκ μὲν δὴ τῆς ἀντίης [f] προσπλώειν
οὔκω σφι ἐδόκεε τῶνδε εἵνεκα, μή [g] κως ἰδόντες οἱ
Ἕλληνες προσπλώοντας, ἐς φυγὴν ὁρμήσειαν, φεύ-
γοντάς τε εὐφρόνη [h] καταλάβοι· [i] καὶ ἔμελλον δῆθεν
ἐκφεύξεσθαι· ἔδει δὲ μηδὲ πυρφόρον, τῷ ἐκείνων
7 [k] λόγῳ, ἐκφυγόντα περιγενέσθαι. Πρὸς ταῦτα ὦν
τάδε ἐμηχανέοντο. τῶν νεῶν ἁπασέων ἀποκρίναντες
διηκοσίας, [a] περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ
[b] ὀφθέωσι ὑπὸ τῶν πολεμίων [c] περιπλώουσαι Εὔβοιαν

Naves cc a Persis præmissæ, quæ Eubœam circumvectæ potitæque Euripo

[f] Sic M.P.K.F. Paris. τοῦ Ἀδ. al. νῆα τὴν Ἀδαμάντου S. [g] Sic S.d. Ald. πάντες P.K.F.a.b. Neutram vocem agnoscit c. [h] Εὐβοεῦσιν S.V.P.a. Bekker. Εὐβοέσιν F. [i] ἐκέρδανεν S.V. ἐκέρδησε b. [k] Ἀθηνέων Bekker. [l] τὰ χρήματα om. S.

6. [a] περὶ δείλην om. F. Supra ἐπεί τε ἐς absque δὴ S. [b] Sic F.a. γενομένην S. al. [c] Sic M.P.S.K.V.F.a.b.d. ἀπικέατο c. Ald. [d] τὸ om. F. Mox νῆας S. [e] ὀλίγον S. qui 4 verba seqq. om. [f] προσπλέειν M.K.P.F. [g] κως om. S.V. [h] Sic a.c. Ald. Schæfer. καταλάβῃ S.V. καταλαμβάνῃ M.P.K.F. Wessel. [i] καὶ μέλλωσι vel μέλλοιεν malebat Schweighæuser. [k] λόχῳ S. Vall. d.

7. [a] περιέπεμψαν ἔξω S.V. Supra νηῶν πασῶν S. [b] Sic a.c.S.V. Ald. Schæfer. ὀφθείησαν M.P.K.b. [c] Sic S.V. περιπλέουσαι F. vulgo.

fugam Græcis intercluderent.

κατά τε Καφηρέα καὶ [d] περὶ Γεραιστὸν, ἐς τὸν Εὔρι-
πον· ἵνα δὴ περιλάβοιεν, [e] οἱ μὲν, ταύτῃ ἀπικόμενοι,
καὶ φράξαντες αὐτῶν τὴν ὀπίσω φέρουσαν ὁδὸν,
2 σφεῖς δὲ, ἐπισπόμενοι ἐξ ἐναντίης. ταῦτα βουλευ-
σάμενοι ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας, αὐτοὶ
οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι
ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι
ἔμελλε φανήσεσθαι παρὰ τῶν [f] περιπλωόντων [g] ὡς
3 ἡκόντων. ταύτας μὲν δὴ περιέπεμπον· τῶν δὲ [h] λοι-
πέων νεῶν ἐν τῇσι Ἀφέτῃσι ἐποιεῦντο [i] ἀριθμόν.

Re per Scylliam urinatorem Græcorum ducibus prodita,

8 Ἐν δὲ [a] τούτῳ τῷ χρόνῳ, ἐν ᾧ οὗτοι ἀριθμὸν
ἐποιεῦντο τῶν νεῶν, (ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ
Σκυλλίης Σκιωναῖος, [b] δύτης τῶν τότε ἀνθρώπων
ἄριστος· ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον
γενομένῃ πολλὰ μὲν ἔσωσε τῶν χρημάτων [c] τοῖσι
Πέρσῃσι, πολλὰ δὲ καὶ αὐτὸς περιεβάλετο·) οὗτος
ὁ Σκυλλίης ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον [d] αὐτο-
μολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε,
2 ὡς τότε. ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν [e] ἤδη ἀπί- 623
κετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω [f] εἶπαι ἀτρεκέως·
3 [g] θωμάζω δὲ εἰ τὰ λεγόμενά ἐστι ἀληθέα. λέγεται
γὰρ [h] ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασσαν, οὐ πρό-
τερον ἀνέσχε πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον,

[d] Γερεστὸν absque περὶ S. quod delevit Schæfer. [e] οἱ μὲν δὴ S.V. Mox ἐξεναντίας S. et infra νηῶν. [f] Sic S.V. περιπλεόντων al. [g] ὡς ἡκόντων om. b. [h] λοιπῶν νηῶν ἐπὶ τῇσι S.V. Tum ἐποιέοντο S. [i] Sic S.P.F.a.b.c. Schæfer. τὸν ἀρ. al. cf. VII. 59.

8. [a] τούτῳ om. F. Deinde ἐν τῷ Bekker. Mox ἀριθμὸν οὗτοι ἐποιέοντο τῶν νηῶν S. [b] δύτης hinc Pollux VII. 137. [c] τῇσι S. Ald. Mox περιεβάλλετο. S. [d] αὐτομολήσειν—οὐ γάρ οἱ om. S. Mox ἀλλ' οὔπω καιρὸς παρέσχε ms. Eton. Sed vulg. defendunt loca Porto collecta. [e] ἤδη F. pr. suprascripto ἔτι ut S. Bekker. vulg. Neutram vocem agnoscunt b.d. [f] εἶπαι] εἰπεῖν P.K.F. [g] θωυμάζω] θωμάζω F. [h] ὡς om. S.V. qui ἀνέχειν pro ἀνέσχε. Mox δοὺς pro δὺς F. Tum ἐς τὸ ἀρτεμ. S.

σταδίους μάλιστά κῃ [i] τούτους ἐς ὀγδώκοντα διὰ τῆς
4 θαλάσσης διεξελθών. λέγεται μέν νυν καὶ ἄλλα
ψευδέσι [k] εἴκελα περὶ τοῦ ἀνδρὸς τούτου· τὰ δὲ
μετεξέτερα, ἀληθέα. περὶ [l] μέντοι τούτου γνώμη μοι
ἀποδεδέχθω, πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον.
5 ὡς δὲ ἀπίκετο, αὐτίκα [m] ἐσήμηνε τοῖσι στρατηγοῖσι
τήν τε ναυηγίην, ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας
9 τῶν [n] νεῶν περὶ Εὔβοιαν. [a] Τοῦτο δὲ ἀκούσαντες
2 οἱ Ἕλληνες, λόγον [b] σφίσι αὐτοῖσι ἐδίδοσαν. πολ-
λῶν δὲ λεχθέντων, ἐνίκα, τὴν ἡμέρην ἐκείνην αὐτοῦ
μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτα νύκτα μέσην
παρέντας, πορεύεσθαι, καὶ ἀπαντᾶν τῇσι [c] περιπλω-
3 ούσῃσι τῶν νηῶν. μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι
ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης [d] φυλά-
ξαντες, αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους, ἀπό-
πειραν αὐτῶν ποιήσασθαι βουλόμενοι τῆς τε μάχης
10 καὶ τοῦ [e] διεκπλόου. [a] Ὁρέοντες δέ σφεας οἵ τε
ἄλλοι στρατιῶται οἱ Ξέρξεω καὶ οἱ στρατηγοὶ [b] ἐπι-
πλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην [c] ἐπε-
νείκαντες, [d] ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές
σφεας εὐπετέως αἱρήσειν· [e] οἰκότα κάρτα ἐλπίσαν-
τες, τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας,
τὰς δὲ ἑωυτῶν πλήθεΐ τε [f] πολλαπλασίας, καὶ ἄμεινον
2 [g] πλωούσας. καταφρονήσαντες ταῦτα, ἐκυκλοῦντο

navibus illis obviam eundi consilium capitur. Sed dum Græci, relicto Artemisio, in altum provehuntur,

barbari et ipsi Aphetis solvunt.

[i] τούτους ἐς om. S.V. [k] ἴκελα S. Bekker. ὅμοια c. Steph. marg. [l] μὲν τούτου F. [m] ἐσήμαινε S.V.c. cf. 21. [n] νηῶν S.

9. [a] τούτων d. [b] σφίσι F.a.S. σφι Wessel. al. [c] περιπλωούσῃσι S.V. περιπλεούσῃσι F. al. Mox τῆς ἡμέρης γινομένην S. [d] φυλάξαντες, ἐπιτηρήσαντες Suid. [e] διεκπλώου S.

10. [a] ὁρέωντες F. et mox. Infra οἱ ante στρατηγοὶ om. S. [b] ἐπιπλέοντας F. [c] ἐπανείκ. b. [d] ἀνήγαγον S.V.d. Tum νῆας S. bis. [e] οἰκότα S. Ald. F. Par. εἰκότα Steph. et seqq. [f] πολλαπλησίας M. P.K. Bekker. πολλαπλασίας S.F. al. [g] πλωούσας S.V. cf. 22. et 42. πλεούσας K.P.F. πλωεύσας Ald.

[h] αὐτοὺς ἐς μέσον. Ὅσοι μέν νυν τῶν Ἰώνων ἦσαν
εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐστρατεύοντο, συμ-
φορήν τε ἐποιεῦντο μεγάλην, ὁρέοντες περιεχομένους
αὐτοὺς, καὶ ἐπιστάμενοι ὡς οὐδεὶς [i] αὐτῶν ἀπονο-
στήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν
3 Ἑλλήνων πρήγματα. ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν
τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο ὅκως [k] αὐτὸς ἕκαστος
πρῶτος νέα Ἀττικὴν ἑλὼν, [l] παρὰ βασιλέος δῶρα
[m] λάμψεται· Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖ-
11 στος ἀνὰ τὰ στρατόπεδα. Τοῖσι δὲ Ἕλλησι ὡς 624
ἐσήμηνε, πρῶτα μὲν, [a] ἀντίπρωροι τοῖσι βαρβάροισι
[b] γενόμενοι, ἐς τὸ μέσον τὰς πρύμνας [c] συνήγαγον·
δεύτερα δὲ [d] σημήναντος, ἔργου εἴχοντο, ἐν ὀλίγῳ
2 περ [e] ἀπολαμφθέντες, καὶ κατὰ στόμα. Ἐνθαῦτα
τριήκοντα νέας αἱρέουσι [f] τῶν βαρβάρων, καὶ τὸν
Γόργου τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸν Φιλάονα,
τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ
3 [g] ἄνδρα. πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων
εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης [h] Αἰσχρέου, καὶ τὸ
4 ἀριστήϊον ἔλαβε οὗτος. Τοὺς [i] δ' ἐν τῇ ναυμαχίῃ
ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα
[k] διέλυσε. οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον
[l] ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφέτας, πολλὸν
παρὰ δόξαν ἀγωνισάμενοι. Ἐν ταύτῃ τῇ ναυμαχίῃ

Hinc pugna oritur navalis, Marte pugnata ancipiti et nocte diremta, Græcis Artemisium, barbaris Aphetas repetentibus.

[h] *αὐτοὺς* V.P.K.F. Vall. Schæfer. *αὐτὰς* vulg. Pronomen om. S. [i] *σφιν ἀπονοστήσειν* S. Tum *σφιν ἀσθενέα* S. et *τῶν* om. ante Ἑλλήνων. Idem infra *ἐποιέοντο*. [k] *αὐτὸς ἕκαστος* M.P.V.F. *ἕκ. αὐτέων* Ald. al. cf. III. 82. *ἕκαστος αὐτὸς* S.d. Tum *νῆα* S. [l] Sic S.P.K. F. in quo tamen *βασιλέως*. Vulgo *δῶρα παρὰ βασ.* [m] Sic F.a. Schæfer. *λάμψηται* S. vulg. *λαίψηται* P.

11. [a] *ἀντίπρωρα* K. [b] *γενόμενοι* K.P.F. *γινόμενοι* S. vulg. [c] *εἰσήγαγον* F. [d] *σημήναντες* b.d. [e] *ἀπολαιφθ.* P. e corr. Mox *νῆας* S. [f] *τῶν βαρβάρων* om. S. [g] *ἄνδρα* om. S.V. Supra *ἐν* post *ἐόντα* om. F. qui mox *μετὰ* pro *νέα*. *νῆα* S. [h] *Αἰσχραίου* S.V.M.P.K. [i] *δὲ τῇ* F. [k] *διέλυε* F. [l] *ἀπέπλεον* F.b. Ald.

Ἀντίδωρος Λήμνιος, μοῦνος τῶν σὺν βασιλέϊ Ἑλλήνων ἐόντων, αὐτομολέει ἐς τοὺς Ἕλληνας· καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν [m] αὐτῷ [n] χῶρον ἐν Σαλαμῖνι.

12 [a] Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, [b] ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς, καὶ [c] σκληραὶ βρονταὶ ἀπὸ τοῦ Πηλίου· οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια [d] ἐξεφορέοντο ἐς τὰς Ἀφέτας, καὶ περί τε τὰς πρώρας τῶν νεῶν εἰλέοντο, καὶ

Eadem nocte tempestas coorta, Persarum et classem terret,

2 ἐτάρασσον τοὺς [e] ταρσοὺς τῶν κωπέων. οἱ δὲ στρατιῶται οἱ ταύτῃ, ἀκούοντες ταῦτα, ἐς φόβον [f] κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, [g] ἐς οἷα κακὰ

3 ἧκον. πρὶν γὰρ ἢ [h] καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ [i] γενομένου κατὰ Πήλιον, ὑπέλαβε ναυμαχίη [k] καρτερή· ἐκ δὲ τῆς ναυμαχίης, ὄμβρος τε [l] λάβρος, καὶ ῥεύματα ἰσχυρὰ [m] ἐς θάλασσαν ὡρμημένα, βρονταί τε σκληραί. καὶ 625

13 τούτοισι μὲν τοιαύτη [n] νὺξ ἐγίνετο. Τοῖσι δὲ ταχθεῖσι αὐτῶν [a] περιπλώειν Εὔβοιαν ἡ αὐτή περ ἐοῦσα νὺξ πολλὸν ἦν ἔτι ἀγριωτέρη, τοσούτῳ ὅσῳ ἐν

et naves Eubœam circumvehentes confringit.

2 πελάγεϊ φερομένοισι ἐπέπιπτε. καὶ [b] τὸ τέλος σφι [c] ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ [d] πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο, ἐοῦσι κατὰ τὰ Κοῖλα

[m] αὐτῷ om. S.V. [n] χώραν S. ut infr. 85.

12. [a] Sic S.V.M.K.F. Paris. ὡς εὐφρόνη δ' vulg. ὡς εὐ. δ. ἐ. om. P. [b] ἐγένετο S. qui ὕδωρ ἄπλετόν τε. Tum δὲ om. F. [c] Sic S.P. K.F. Vulgo βρονταὶ σκληραί. [d] Sic S.V. Wessel. ἐξεφέροντο F.a. Ald. al. [e] Suid. in Ταρσός. [f] κατεστέατο S. [g] ἐς om. F. [h] καὶ om. S. tum ἀναπλεῦσαι M.m. sec. d. [i] γινομένου S. [k] κρατερὴ V.F. Schæfer. Bekker. Vulg. habet S. [l] κρατερὸς V. e gl. cf. Rittershus. ad Oppian. Cyn. II. 139. λάμβρος F. ὄμβρος καρτερὸς S. [m] Sic M.P.K.S.V. Paris. κατὰ θ. F. edd. vett. [n] ἡ νὺξ Schæfer.

13. [a] περιπλέειν F. [b] τὸ om. S. [c] ἐγίνετο F.a. [d] πλώουσι S.V. Wessel. πλέουσι al.

3 Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασ-
σαν περὶ τοῦ Εὐρίπου· ὥσπερ τοῖσι ἀμφὶ [e] Λεωνίδεα,
τὴν ἐσβολὴν φυλάσσειν· οἱ μὲν δὴ παρεκελεύοντο,
ὅκως μὴ [f] παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους·
οἱ δ', ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες,
16 τοῦ πόρου κρατήσουσι. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω
ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρ-
τεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν
2 νεῶν, [a] ἐκυκλέοντο ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν
οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέμισγον. Ἐν
ταύτῃ τῇ [b] ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι [c] ἐγί-
3 νοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ
πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, [d] ταρασσομενέων
τε τῶν νεῶν, καὶ περιπιπτουσέων [e] περὶ ἀλλήλας.
4 ὅμως μέντοι ἀντεῖχε, καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα
[f] ἐποιεῦντο, ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τραπέσθαι.
5 πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολ-
λοὶ δὲ ἄνδρες· πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν
βαρβάρων καὶ ἄνδρες. [g] οὕτω δὲ [h] ἀγωνιζόμενοι, διέ-
στησαν χωρὶς ἑκάτεροι.

Tertia pugna navalis, acrior illa prioribus dubioque Marte.

17 Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν· οἳ ἄλλα τε [a] μεγάλα ἔργα ἀπεδέξαντο, καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνί-

Ægyptii et Clinias Atheniensis celebrati.

[e] Λεωνίδην K.F. [f] Sic F.a.b. παρήσωσι S. vulg. Mox κρατήσουσι a. κρατήσωσι F.b. vulg.

16. [a] Sic Wessel. ex S. qui conjicit ἐκυκλεῦντο. Vulgo ἐκυκλεύοντο; quam formam usurpasse Iones, perinde ac κυκλέω et κυκλόω, putat Schweighæuserus. Supra νηῶν S. [b] Unus ms. apud Wesseling. μάχῃ. [c] ἐγίνοντο P.K.b.d. ἐγένοντο F.S. vulg. Bekker. [d] παρατασσομένῳ P. Mox νηῶν S. [e] περὶ om. S. qui retinet tamen ἀλλήλας. Reiskius mallet ἀλλήλαις. [f] Sic P.F. ἐποιέοντο S. al. Tum νηῶν S. qui infra νῆες. [g] οὕτω τε S.V. [h] ἀγωνισάμ. malebat Schweighæuser.

17. [a] ἔργα μεγ. S.P.K. Bekker. Mox νῆας S.

τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι, καὶ οὐκ εἰδότες
3 τῇ [e] ἐφέροντο, ἐξέπιπτον [f] πρὸς τὰς πέτρας. ἐποιέετό
τε πᾶν [g] ὑπὸ τοῦ θεοῦ, ὅκως ἂν [h] ἐξισωθείη τῷ Ἑλ-
ληνικῷ τὸ [i] Περσικὸν, μηδὲ πολλῷ πλέον εἴη.

Græcorum classis aucta navibus LIII, barbaros iterum adoritur. Victoria tunc penes Græcos.

14 Οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διε-
φθείροντο. Οἱ δ' ἐν Ἀφέτῃσι βάρβαροι, ὥς σφι
ἀσμένοισι ἡμέρη ἐπέλαμψε, [a] ἀτρέμας τε εἶχον τὰς
νέας, καί σφι [b] ἀπεχρέετο κακῶς πρήσσουσι ἡσυχίην
2 ἄγειν ἐν τῷ παρέοντι. τοῖσι δὲ Ἕλλησι [c] ἐπεβώθεον
νέες τρεῖς καὶ [d] πεντήκοντα Ἀττικαί. αὗταί τε δή
σφεας ἐπέρρωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλ-
θοῦσα, ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔ-
βοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου
3 χειμῶνος. [e] φυλάξαντες δὲ τὴν αὐτὴν ὥρην, πλώοντες
ἐπέπεσον νηυσὶ Κιλίσσῃσι· ταύτας δὲ διαφθείραν-
τες, ὡς εὐφρόνη ἐγένετο, [f] ἀπέπλωον ὀπίσω ἐπὶ τὸ
Ἀρτεμίσιον.

15 Τρίτῃ δὲ ἡμέρῃ, δεινόν τι ποιησάμενοι οἱ στρα-
τηγοὶ τῶν βαρβάρων [a] νέας οὕτω σφι ὀλίγας λυμαί-
νεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέ-
μειναν ἔτι τοὺς Ἕλληνας μάχης ἄρξαι· ἀλλὰ [b] παρα-
κελευσάμενοι, κατὰ μέσον ἡμέρης [c] ἀνῆγον τὰς νέας. 626
2 Συνέπιπτε δὲ ὥστε [d] ταῖς αὐταῖς ἡμέραις τάς τε ναυ-
μαχίας γίνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν

[e] ἐξεφέροντο S. [f] ἐς τὰς S.V. [g] Sic M.K.P.V.S.F.a. τοῦ om. Ald. al. [h] ἐξισωθῇ F. [i] περιεὸν S. Vall.

14. [a] ἀτρέμας V.S. edd. vett. cf. V. 19. infr. 16. ἀτρέμα M.P.K.F. [b] ἀπεχρῆτο F. [c] ἐπεβώθεον S.V. Wessel. ἐπεβοήθεον F.a. edd. vett. Mox νῆες S. [d] πεντήκοντα καὶ τρεῖς F. [e] Sic F. olim φ. δὴ et sic Bekker. [f] ἐπέπλωον Bekker.

15. [a] νῆας οὕτω σφέας S.V. Supra δεινόν τε ποιησάμενοι, conjecturam Koenii, probavit Valckenærius. [b] παρασκευασάμενοι S.V. [c] ἀνήγαγον S.V. Mox νῆας S. [d] τὰς αὐτὰς ταύτας ἡμέρας S. probante Wessel. et conferente τὸν αὐτὸν τοῦτον χρόνον ex VII. 151. τὰς αὐτὰς ἡμ. V. Mox τάς τε ex S. Vulgo et Bekker. om. τε.

3 Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασ-
σαν περὶ τοῦ Εὐρίπου· ὥσπερ τοῖσι ἀμφὶ [e]Λεωνίδεα,
τὴν ἐσβολὴν φυλάσσειν· οἱ μὲν δὴ παρεκελεύοντο,
ὅκως μὴ [f]παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους·
οἱ δ', ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες,
16 τοῦ πόρου κρατήσουσι. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω
ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρ-
τεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν
2 νεῶν, [a]ἐκυκλέοντο ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν
οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέμισγον. Ἐν
ταύτῃ τῇ [b]ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι [c]ἐγί-
3 νοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ
πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, [d]ταρασσομενέων
τε τῶν νεῶν, καὶ περιπιπτουσέων [e]περὶ ἀλλήλας.
4 ὅμως μέντοι ἀντεῖχε, καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα
[f]ἐποιεῦντο, ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τραπέσθαι.
5 πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολ-
λοὶ δὲ ἄνδρες· πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν
βαρβάρων καὶ ἄνδρες. [g]οὕτω δὲ [h]ἀγωνιζόμενοι, διέ-
στησαν χωρὶς ἑκάτεροι.

Tertia pugna navalis, acrior illa prioribus dubioque Marte.

17 Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν· οἳ ἄλλα τε [a]μεγάλα ἔργα ἀπεδέξαντο, καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνί-

Ægyptii et Clinias Atheniensis celebrati.

[e] Λεωνίδην K.F. [f] Sic F.a.b. παρήσωσι S. vulg. Mox κρατήσουσι a. κρατήσωσι F.b. vulg.

16. [a] Sic Wessel. ex S. qui conjicit ἐκυκλεῦντο. Vulgo ἐκυκλεύοντο; quam formam usurpasse Iones, perinde ac κυκλέω et κυκλόω, putat Schweighæuserus. Supra νηῶν S. [b] Unus ms. apud Wesseling. μάχῃ. [c] ἐγίνοντο P.K.b.d. ἐγένοντο F.S. vulg. Bekker. [d] παραταssομένῳ P. Mox νηῶν S. [e] περὶ om. S. qui retinet tamen ἀλλήλας. Reiskius mallet ἀλλήλαις. [f] Sic P.F. ἐποιέοντο S. al. Tum νηῶν S. qui infra νῆες. [g] οὕτω τε S.V. [h] ἀγωνισάμ. malebat Schweighæuser.

17. [a] ἔργα μεγ. S.P.K. Bekker. Mox νῆας S.

2 δας πέντε. τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην
ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων [b] Κλεινίης ὁ
Ἀλκιβιάδεω· ὃς δαπάνην [c] οἰκηΐην παρεχόμενος 62
ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηΐῃ νηΐ.

18 Jam Græci de statione ad Artemisium relinquenda serio cogitantes,

[a] Ὡς δὲ διέστησαν, ἄσμενοι ἑκάτεροι ἐς ὅρμον
ἠπείγοντο. οἱ δὲ Ἕλληνες, ὡς διακριθέντες ἐκ τῆς
ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν
[b] ναυηγίων ἐπεκράτεον· τρηχέως δὲ [c] περιεφθέντες,
καὶ οὐκ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ [d] ἡμίσεαι τῶν νεῶν
τετρωμέναι ἦσαν, [e] δρησμὸν δὴ [f] ἐβούλευον ἔσω ἐς
τὴν Ἑλλάδα.

19 primum Eubœensium greges, contra oraculi monitum in Eubœa temere relictos, ne Persarum præda fiant, ipsi diripiunt:

Νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης, ὡς,
εἰ ἀπορραγείη ἀπὸ τοῦ [a] βαρβάρου [b] τό τε Ἰωνικὸν
φῦλον καὶ τὸ Καρικὸν, οἷοί τε [c] εἴησαν τῶν λοιπῶν
κατύπερθε [d] γενέσθαι, ἐλαυνόντων τῶν Εὐβοέων πρό-
βατα ἐπὶ τὴν θάλασσαν, [e] ταύτῃ συλλέξας τοὺς
στρατηγοὺς, ἔλεγέ σφι, ὡς δοκέοι ἔχειν τινὰ παλά-
μην, τῇ [f] ἐλπίζοι τῶν βασιλέος συμμάχων ἀποστή-
2 σειν τοὺς ἀρίστους. ταῦτα μέν νυν ἐς τοσοῦτο παρε-
γύμνου. ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποι-
ητέα [g] σφι εἶναι ἔλεγε· τῶν τε προβάτων τῶν [h] Εὐ-
βοεικῶν [i] καταθύειν ὅσα τις ἐθέλοι· (κρέσσον γὰρ
εἶναι τὴν στρατιὴν ἔχειν, ἢ τοὺς πολεμίους·) παραί-

[b] Κλεινίας P.K.F. [c] οἰκίην F.

18. [a] οἱ δὲ ὡς διέστασαν S.V. [b] ναυηγέων S. [c] περιενεχθέντες Plutarch. II. p. 867 D. [d] ἡμίσεες S. ἡμίσεε F. Tum νηῶν S. [e] δρησμῷ b. [f] Sic M.K.P.S. Wessel. ἐβουλεύοντο V.F.b.d. Plut. Ald. Schæfer. Bekker.

19. [a] Sic M.F.S.a.b.c.d. Vall. cf. I. 58. 60. III. 115. βαρβαρικοῦ Ald. Wessel. Bekker. Supra ὁ ante Θεμιστοκλέης om. S. [b] Sic S.P.K.a.F. τότε Ἰ. καὶ τὸ Κ. φ. vulg. [c] ἦσαν F. εἴησαν ἂν Werferus. [d] γίνεσθαι F. [e] Sic S. Vall. ταύτην F.a.c.M. Ald. [f] Sic S.M.P.K.F.b.d. Suid. v. Παλάμη. ἐλπίζει a. vulg. Mox τοσοῦτον S. [g] σφι εἶναι F. εἶναί σφι vulg. cum S. [h] Εὐβοϊκῶν S.V. Bekker. cf. III. 89. VII. 192. [i] Sic F. ὅσα τις ἐθέλοι κ. vulg. Bekker. ἐθέλει P. θέλοι S.V. καταθύειν om. K.

νεέ τε προειπεῖν τοῖσι [k] ἑωυτῶν [l] ἑκάστους [m] πῦρ ἀνα-
3 καίειν. κομιδῆς δὲ πέρι τὴν ὥρην [n] αὐτῷ μελήσειν,
ὥστε ἀσινέας ἀπικέσθαι [o] ἐς τὴν Ἑλλάδα. ταῦτα
ἤρεσέ σφι ποιέειν· καὶ αὐτίκα [p] πῦρ ἀνακαυσάμενοι,
20 [q] ἐτράποντο πρὸς τὰ πρόβατα. Οἱ γὰρ Εὐβοέες πα-
ραχρησάμενοι τὸν Βάκιδος χρησμὸν ὡς οὐδὲν λέ- 628
γοντα, [a] οὔτε τι ἐξεκομίσαντο οὐδὲν, οὔτε [b] προεσά-
ξαντο, ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε
2 ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ
ὧδε ἔχει περὶ τούτων ὁ χρησμός·

Φράζεο [c] βαρβαρόφωνον ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
[d] βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.

3 τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι
τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι, παρῆν
σφι συμφορῇ [e] χρῆσθαι πρὸς τὰ μέγιστα.

deinde, audita interim Spartanorum ad Thermopylas clade, petunt Græciæ interiora.

21 Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ ὁ ἐκ Τρη-
χῖνος κατάσκοπος. ἦν μὲν γὰρ ἐπ᾽ Ἀρτεμισίῳ κατά-
σκοπος, Πολύας, γένος Ἀντικυρεὺς, τῷ προσετέ-
τακτο, (καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον,) [a] εἰ παλή-
σειε ὁ ναυτικὸς στρατὸς, σημαίνειν τοῖσι ἐν Θερμο-
πύλῃσι ἐοῦσι· ὣς δ᾽ αὔτως ἦν [b] Ἀβρώνυχος ὁ Λυσι-
κλέος, Ἀθηναῖος, καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι

[k] ἑωυτοῦ S. [l] ἑκάστοις F. [m] πῦρ ἀνακαίειν M.P.K.S.F. Paris. cf. IV. 145. πυρὴν ἀνακαίειν V. Ald. [n] αὐτῶν F. Mox ἀσινέες S. [o] Sic M.S.V.P.K.F. Paris. ἐπὶ τὴν olim. [p] πυρὰς καυσ. S. [q] ἐτράποντο S.V. Paris. edd. vett. ἐτρέποντο M.K.P.F.

20. [a] Sic P.K.M.F. IV. 19. οὔτε τι σπείρουσιν οὐδέν. Vulgo om. τι cum S. [b] προσεσάξαντο P.M.b. Bekker. cf. V. 34. προσετάξ. F.d. [c] Nonnulli conjiciunt βαρβαρόφωνος. Atqui, monente Schweighæusero, φράζεο βαρβαρόφωνον ὅταν βάλλῃ ex Græci sermonis genio idem valet ac φράζεο ὅταν βαρβαρόφωνος βάλλῃ. Bekkerus ed. βαρβαρόφωνος. [d] Sic P.V.F. Paris. Ald. βύβλιον S.K. forte M. Tum πολὺ μηκάδας S. Infra κακοῖσι om. Bekker. [e] χρᾶσθαι S.V.

21. [a] εἰ παλαίσειεν F. ut conj. Pavius. [b] Ἀβρώνιχος S.a. Vall. ὡς δ᾽—ἐοῦσι om. F. Mox παρὰ Λεωνίδην S.

ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι
2 καταλαμβάνῃ νεώτερον τὸν πεζόν. Οὗτος ὦν ὁ
Ἀβρώνυχος ἀπικόμενός [c] σφι ἐσήμαινε τὰ γεγονότα
3 περὶ [d] Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. οἱ δὲ, ὡς
ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς [e] ἐποιεῦντο τὴν
ἀποχώρησιν, ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν·
Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι.

22 Ἀθηναίων

Themistocles Iones apud Persas militantes in Græciæ partes sollicitaturi astus.

δὲ νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστο-
κλέης, ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν 6
τοῖσι [a] λίθοισι γράμματα, τὰ Ἴωνες, ἐπελθόντες τῇ
ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον, ἐπελέξαντο. τὰ
2 δὲ γράμματα τάδε ἔλεγε· "Ἄνδρες Ἴωνες, οὐ ποιέετε
"δίκαια [b] ἐπὶ τοὺς πατέρας στρατευόμενοι, καὶ τὴν
3 "Ἑλλάδα [c] καταδουλούμενοι. ἀλλὰ μάλιστα μὲν
"πρὸς ἡμέων [d] γίνεσθε· εἰ δὲ ὑμῖν ἐστι τοῦτο μὴ
"δυνατὸν ποιῆσαι, ὑμέες δὲ ἔτι καὶ νῦν ἐκ τοῦ μέσου
"ἡμῖν [e] ἕζεσθε καὶ αὐτοὶ, καὶ τῶν Καρῶν δέεσθε τὰ
4 "αὐτὰ ὑμῖν ποιέειν. εἰ δὲ μηδέτερον τούτων οἷόν τε
"γίνεσθαι, ἀλλ' ὑπ' [f] ἀναγκαίης μέζονος κατέζευχθε
"ἢ ὥστε [g] ἀπίστασθαι, [h] ὑμέες γε ἐν τῷ ἔργῳ, ἐπεὰν
"[i] συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι ὅτι ἀπ'
"ἡμέων γεγόνατε, καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν
5 "βάρβαρον ἀπ' ὑμέων ἡμῖν γέγονε." Θεμιστοκλέης
[k] δὲ ταῦτα [l] ἔγραψε, δοκέειν ἐμοὶ, ἐπ' ἀμφότερα νοέων·
ἵνα, ἢ λαθόντα τὰ γράμματα βασιλέα, Ἴωνας ποιήσῃ

[c] Sic S.K.P.F. ἐσήμαινέ σφι vulg. [d] Λεωνίδην F. ut 15. [e] Sic P.K.F. ἐποιέοντο olim. cum S.

22. [a] λίθοισι γράμματα λέγοντα τάδε ἄνδρες S.V. mediis omissis. Supra νῆας S. [b] Spectat hæc Eustath. Dion. 423. [c] καταδουλώμενοι S. [d] ἔσεσθε S. γίνεσθαι F. [e] ἕζεσθε K.F. ἔσεσθε S. al. [f] ἀνάγκης M.P.K. [g] μὴ ἀπ. S. ἀπίστασθαι absque μὴ P.K.F. ἀφίστασθαι edd. vett. [h] ὑμέες δὲ b. ὑμεῖς δὲ F. [i] συμμίξωμεν b.d. Mox ἡ ante ἔχθρη om. S. [k] δὲ om. S.V. [l] ἔγραψε S.V. Schæfer.

[m] μεταβαλέειν καὶ γενέσθαι πρὸς ἑωυτῶν, ἤ, ἐπεί τε [n] ἀνενειχθῇ, καὶ διαβληθῇ πρὸς [o] Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας, καὶ τῶν [p] ναυμαχιέων αὐτοὺς ἀπόσχῃ.

23 Θεμιστοκλέης [a] μὲν ταῦτα ἐνέγραψε. τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ [b] Ἱστιαιεὺς, ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτε-
2 μισίου [c] τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νῆας δὲ [d] ταχείας ἀπέστειλαν προκατοψομένας. ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ [e] ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρα-
3 τιὴ [f] ἔπλωε [g] ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τού-
4 του ἔπλωον ἐς Ἱστιαίην. ἀπικόμενοι δὲ, τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων· καὶ τῆς [h] Ἐλλοπίης μοίρης, γῆς δὲ τῆς [i] Ἱστιαιήτιδος, τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον.

Barbarorum classis ad Artemisium pro- 630 vecta, Histiæam aliosque Eubœæ locos maritimos occupat.

24 Ἐνθαῦτα δὲ τούτων ἐόντων, Ξέρξης ἑτοιμασάμενος [a] τὰ περὶ τοὺς νεκροὺς, ἔπεμπε ἐς τὸν ναυτικὸν στρα-
2 τὸν κήρυκα. προετοιμάσατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ [b] τοῦ ἑωυτοῦ ἦσαν νεκροὶ ἐν Θερμοπύλῃσι, (ἦσαν δὲ καὶ δύο μυριάδες,) [c] ὑπολιπόμενος τούτων ὡς χιλίους, τοὺς λοιποὺς, τάφρους ὀρυξάμενος, ἔθαψε,

Ubi dum moratur, classiarii a Xerxe invitati, Thermopylas ad cæsorum spectaculum trajiciunt. Vana fraus a rege excogitata, ut

[m] Sic S.V. μεταβαλεῖν F. al. Ald. [n] ἀνενεχθῇ P. [o] Ξέρξην F. [p] Sic M.P.K.F.a.c.S. ναυμαχέων b. συμμαχιέων al.

23. [a] Sic S.V.M.K.P.F. Paris. μέν νυν ταῦτα Ald. Schæfer. [b] Sic S.V.M.K.P. Plutarch. II. p. 867 E. Ἱστιεὺς c.d. edd. vett. Ἰστιεὺς F. [c] τὸν τῶν Ἑ. F. [d] ταχέας dialectus postulat. Wessel. et sic ed. Bekker. [e] Cf. Eustath. Il. p. 691, 3=568, extr. [f] Sic S.V. Ald. Schæf. ἐπέπλεε M.P.K.F.b.d. Wessel. ἔπλεε a.c. [g] ἁλὴς μὲν ἐ. b. [h] ἐλλογίμης S. Vall. Supra Ἱστιαιέων S. uti conjecerat Valckenær. Vulgo Ἱστιαίων. [i] Sic S.V. Ἱστιαιώτιδος alii. Mox τὰς om. V.S.

24. [a] τὰ om. S. qui mox om. στρατόν. [b] τοῦ om. F. [c] ὑπολειπ. F. pro v. l.

strages suorum minima, Græcorum maxima videretur.

[d] φυλλάδα τε ἐπιβαλὼν, καὶ γῆν ἐπαμησάμενος, ἵνα
3 μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. ὡς δὲ διέβη
ἐς τὴν Ἱστιαίην ὁ κήρυξ, σύλλογον ποιησάμενος
4 [e] παντὸς τοῦ στρατοπέδου, ἔλεγε τάδε· "Ἄνδρες
"σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων
"παραδίδωσι, ἐκλιπόντα τὴν τάξιν καὶ ἐλθόντα [f] θεή-
"σασθαι ὅκως μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀν-
"θρώπων, οἳ ἤλπισαν τὴν βασιλέος δύναμιν [g] ὑπερ-
25 "βαλέεσθαι." Ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα
οὐδὲν [a] ἐγίνετο πλοίων σπανιώτερον· οὕτω πολλοὶ
2 ἤθελον [b] θεήσεσθαι. διαπεραιωθέντες δὲ, [c] ἐθηεῦντο
διεξιόντες τοὺς νεκρούς· πάντες δὲ ἠπιστέατο τοὺς
κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας,
3 [d] ὁρέοντες καὶ τοὺς εἵλωτας. οὐ μὲν οὐδ' ἐλάνθανε 63
τοὺς διαβεβηκότας [e] Ξέρξης ταῦτα πρήξας περὶ τοὺς
νεκροὺς τοὺς ἑωυτοῦ· καὶ γὰρ δὴ γελοῖον ἦν. τῶν
μὲν, χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι· οἱ δὲ, πάντες
ἐκέατο ἁλέες συγκεκομισμένοι ἐς τὠυτὸ χωρίον, τέσ-
4 σερες χιλιάδες. Ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην
ἐτράποντο· τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς
Ἱστιαίην ἐπὶ τὰς νῆας, οἱ δὲ ἀμφὶ [f] Ξέρξεα ἐς ὁδὸν
[g] ὁρμέατο.

26 Arcades transfugæ quæ Xerxi de ludis

Ἧκον δέ σφι [a] αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης
ὀλίγοι τινὲς, βίου τε δεόμενοι, καὶ ἐνεργοὶ βουλόμενοι
2 εἶναι. [b] ἄγοντες δὲ τούτους ἐς ὄψιν [c] τὴν βασιλέος,

[d] φυλλάδας τε ἐπιβάλλων S. [e] πάντα Steph. marg. [f] θεήσεσθαι K. cf. I. 8. θεήσασθαι al. Bekker. καὶ ante ἐλθόντα om. S. [g] ὑπερβαλέσθαι S.V.

25. [a] ἐγένετο F.a. [b] θεήσασθαι F.a.S. [c] ἐθηέοντο διεξιέντες S. pr. et V. [d] ὁρέωντες F. [e] Ξέρξης δὲ S. qui interpungit post διαβεβηκότας. [f] Sic S.V. alii Ξέρξην. [g] Sic S.V.K.F. ὡρμέατο edd. vett. et F. pro v.l.

26. [a] ἀπ' Ἀρκαδ. ἄνδ. αὐτόμ. f. [b] ἄγοντες M.P.K.S.V. Paris. ἀγαγόντες F. Ald. Schæfer. [c] τῷ βασιλεῖ b. τῷ βασιλεῖ ἐς ὄψιν d.

ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων [d] τὰ ποι-
έοιεν· εἷς δέ τις πρὸ πάντων ἦν ὁ [e] εἰρωτέων αὐτοὺς
3 ταῦτα. Οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια [f] ἄγοιεν, καὶ
[g] θεωρέοιεν ἀγῶνα [h] γυμνικὸν καὶ ἱππικόν. ὁ δὲ ἐπεί-
ρετο ὅ τι τὸ ἄεθλον εἴη σφι [i] κείμενον, [k] περὶ ὅτευ
ἀγωνίζονται· οἱ δ' εἶπον τῆς ἐλαίης τὸν διδόμενον
4 στέφανον. Ἐνθαῦτα εἴπας γνώμην γενναιοτάτην
[l] Τριτανταίχμης ὁ Ἀρταβάνου, δειλίην [m] ὦφλε πρὸς
βασιλέος. [n] πυνθανόμενος γὰρ [o] τὸ ἄεθλον ἐὸν στέ-
φανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο [p] σιγῶν, εἶπέ
5 τε [q] ἐς πάντας [r] τάδε· "Παπαί, Μαρδόνιε, κοίους ἐπ'
"ἄνδρας ἤγαγες [s] μαχησομένους ἡμέας, οἳ οὐ περὶ
"χρημάτων τὸν ἀγῶνα ποιεῦνται, ἀλλὰ [t] περὶ ἀρε-
"τῆς." Τούτῳ μὲν δὴ ταῦτα [v] εἴρητο.

Olympicis [7. 206.] narraverint. Græcorum magnitudo animi a Tritantæchma coram rege laudata.

27 Ἐν δὲ τῷ διὰ μέσου χρόνῳ, [a] ἐπεί τε τὸ ἐν Θερ-
μοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμ-
πουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι [b] ἐνέχοντες αἰεὶ
χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα.
2 Ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ

Thessali Phocensibus pridem, magis etiam ob cladem nuper acceptam infesti,

[d] τι ποιέοιεν P.K.b. τί ποιέειν F. ὅ τι f. Choricius Or. in summum Duc. c. 22. [e] εἰρωτέων S.V. εἰρωτῶν P.K. ἐρωτῶν olim. ἠρωτῶν F. [f] ἄγοιεν S.V. Wessel. Valcken. διάγοιεν edd. vett. ἄγουσι M.K.P.F.f.b. quod probare videtur Schweighæuser. [g] Sic S.V. θεωροῖεν F.f. al. [h] ἱππικόν τε καὶ γυμνικὸν f. qui mox ἐπήροντο. [i] Sic M.K.P.S.V.F.f. προκείμενον olim. [k] περὶ ὅτεω S.V. Nempe περὶ ὅτεῳ hi debuerunt; quod probum ex Homerico usu idem valens ac ὑπὲρ ὅτου. vid. Odyss. β'. 245. ρ'. 471. σ'. 402. qua notione etiam apud Nostrum VII. 57. περὶ ἑωυτῷ τρέχων ex S. adscivisse Schæfer videtur. cf. Zeun. ad Viger. IX. 7, 7. SCHWEIGH. [l] Τριτανταίχμης S. Vall. Τιγράνης al. [m] ὦφλε K.F.a.c.f. Schæfer. ὤφλεε al. [n] Sic M.P.K.F. πυθόμενος S.V. Ald. f. [o] τὸν ἄ. ἐόντα S. [p] σιγᾶν b.d. Tum εἶπε δὲ S. [q] Sic M.P.K.S.V. εἰς π. F. πρὸς π. edd. vett. [r] τόδε S.V. [s] μαχεσ. K. Schæfer. cf. I. 103. VII. 103. [t] περὶ om. S. Choric. Supra τὸν ante ἀγῶνα om. S. [v] ἤρετο F.

27. [a] ἐπεὶ τάχιστα τὸ S.V. Mox κήρυκας S. [b] Sic S.V. cf. I. 118. VI. 119. ἔχοντες F.c.b.d. edd. vett.

καὶ οἱ σύμμαχοι αὐτῶν ἐς τοὺς Φωκέας οὐ πολλοῖσι
ἔτεσι πρότερον ταύτης τῆς βασιλέος [c] στρατηλασίης,
ἑσσώθησαν [d] ὑπὸ τῶν Φωκέων, καὶ περιέφθησαν
3 τρηχέως. [e] ἐπεί τε γὰρ κατειλήθησαν ἐς τὸν [f] Παρ- 632
νησσὸν οἱ Φωκέες, ἔχοντες μάντιν Τελλίην τὸν
Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι
4 τοιόνδε. γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων
τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ ὅπλα αὐτῶν,
νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι· προείπας αὐ-
τοῖσι, τὸν ἂν μὴ [g] λευκανθίζοντα ἴδωνται, τοῦτον
5 κτείνειν. τούτους ὦν αἵ [h] τε φυλακαὶ τῶν Θεσσαλῶν
πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι
τέρας, καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιή, οὕτω
ὥστε [i] τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων
[k] Φωκέας· τῶν τὰς μὲν [l] ἡμισέας ἐς Ἄβας ἀνέθεσαν,
[m] τὰς δὲ ἐς Δελφούς· ἡ δὲ δεκάτη ἐγένετο τῶν χρη-
μάτων ἐκ ταύτης τῆς μάχης, οἱ μεγάλοι ἀνδριάντες
οἱ περὶ [n] τὸν τρίποδα συνεστεῶτες, ἔμπροσθε τοῦ
νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι
28 [o] ἀνακέαται. Ταῦτα μέν νυν τὸν πεζὸν [a] ἐργά-
σαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας
ἑωυτούς· ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον
2 αὐτῶν ἐλυμήναντο ἀνηκέστως. ἐν γὰρ τῇ ἐσβολῇ
ἥ ἐστι κατὰ Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην
ὀρύξαντες, ἀμφορέας [b] κεινοὺς ἐς [c] αὐτὴν κατέθηκαν·

[c] στρατιῆς b. [d] περὶ τῶν F. [e] Sic S.V.P.F. Paris. καὶ ἐπεί τε edd. vett. [f] Παρνησὸν P.F. Citat Eustath. Il. ν'. p. 945, 50 = 921, 25. [g] λευκαθ. S.F. [h] τε om. P. Mox πρῶται τῶν Θεσσάλων S. [i] καὶ τρισχίλιων S.V. Vall. Vulg. defendit Polyænus. [k] Φωκέων d. [l] ἡμισ. ἀσπίδας S. [m] Sic S.V.M.P.K. Paris. τὰς δὲ λοιπὰς edd. vett. [n] τοῦ τρίποδος S. [o] ἀνακέεται S.V.

28. [a] Sic V.P.K. εἰργάσ. S.F. edd. vett. Infra πολιορκέοντες Ald. et τὴν ἵππον αὐτῶν S. Ald. [b] Sic V.S. κενεοὺς F.a. Ald. [c] Sic V.S.P.K.F. Paris. ἐς ταύτην edd. vett.

χοῦν δὲ ἐπιφορήσαντες, καὶ ὁμοιώσαντες τῷ ἄλλῳ
3 χώρῳ, ἐδέκοντο τοὺς Θεσσαλοὺς [d] ἐσβάλλοντας. οἱ
δὲ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι [e] ἐσέ-
πεσον ἐς τοὺς ἀμφορέας. ἐνθαῦτα οἱ ἵπποι τὰ σκέ-
29 λεα διεφθάρησαν. Τούτων δή σφι ἀμφοτέρων ἔχον-
τες ἔγκοτον οἱ Θεσσαλοὶ, πέμψαντες κήρυκα, ἠγό-
ρευον τάδε· "Ὦ Φωκέες, ἤδη τι μᾶλλον [a] γνωσι-
2 "μαχέετε μὴ εἶναι ὁμοῖοι ἡμῖν. πρόσθεν τε γὰρ ἐν
"τοῖσι Ἕλλησι, ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἥνδανε,
"πλέον [b] αἰεί κοτε ὑμέων ἐφερόμεθα· νῦν τε παρὰ
"τῷ βαρβάρῳ τοσοῦτον δυνάμεθα, ὥστε ἐπ' ἡμῖν
"[c] ἐστι τῆς [d] γῆς τε ἐστερῆσθαι καὶ πρὸς ἠνδραπο-
3 "δίσθαι ὑμέας. [e] ἡμέες μέντοι, τὸ πᾶν ἔχοντες, οὐ
"μνησικακέομεν· ἀλλ' ἡμῖν γενέσθω ἀντ' αὐτῶν
"πεντήκοντα τάλαντα ἀργυρίου, καὶ ὑμῖν [f] ὑποδεκό-
"μεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην ἀποτρέψειν."

statim post pugnam Pylaicam [c. 27.] misso nuntio, multo- 633 rum mercede talento- rum incolumitatem illis polli- centur.

30 Ταῦτά σφι [a] ἐπαγγέλλοντο οἱ Θεσσαλοί. οἱ γὰρ
Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον,
κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ [b] συμβαλλόμενος
εὑρίσκω, [c] κατὰ δὲ τὸ ἔχθος [d] τὸ Θεσσαλῶν· εἰ δὲ
Θεσσαλοὶ τὰ [e] Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ [f] δοκέειν,
2 ἐμήδιζον ἂν οἱ Φωκέες. ταῦτα ἐπαγγελλομένων Θεσ-
σαλῶν, οὔτε δώσειν ἔφασαν [g] χρήματα, παρέχειν τέ
σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βου-
λοίατο· ἀλλ' οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται

A quibus contemti,

[d] ἐσβαλέοντας S. [e] ἐνέπεσον S.

29. [a] γλωσσημαχέετε d. [b] εἴ κοτε S. Supra ὑμῖν S. et mox νῦν δὲ παρὰ τ. β. τοσούτω. [c] ἐστὲ S. [d] Sic V. τε om. al. Tum προσηνδραποδίσθαι S. Ald. [e] Sic V.S. ἡμεῖς F. Ald. [f] ἐπιδεκ. S. absque ἐπιόντα.

30. [a] ἐπηγγ. F. [b] συμβαλλεόμενος] συμβαλλόμενος S.V.F. [c] μετὰ F. [d] Sic P.F. Plutarch. II. p. 868 B. Schæfer. τῶν Θεσσ. S. edd. vett. [e] ἐκείνων b. [f] δοκέει S. Plutarch. Mox οἱ ταῦτα ἐπ. S. [g] χρήματά τε P.K.F.a. qui om. τε post παρέχειν.

31 barbaros in Phocidem deducunt. Iter Persarum, postquam e Trachinia movissent. Doris: ejus incolis, quod barbarorum partibus faverent, parcitur.

τῆς Ἑλλάδος. [a] Ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ
λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ, κεχολωμένοι τοῖσι
Φωκεῦσι, [b] ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ.
2 ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα ἐσέβαλον.
τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κατα-
τείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κεί-
μενος μεταξὺ τῆς τε [c] Μηλίδος καὶ [d] τῆς Φωκίδος
χώρης, ἥπερ ἦν τὸ παλαιὸν [e] Δρυοπίς· ἡ δὲ χώρη
αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ.
3 ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο [f] ἐσβαλόν-
τες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ, καὶ οὐκ ἐδόκεε
Θεσσαλοῖσι.

32 Phocenses ipsi plerique omnes diffugiunt: urbes eorum et agri ferro atque igni vastantur. Parnassus.

Ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα
[a] ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι.
2 οἱ μὲν γὰρ τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησσοῦ
ἀνέβησαν· ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ 634
Παρνησσοῦ ἡ [b] κορυφὴ κατὰ Νέωνα πόλιν κειμένη
[c] ἐπ᾽ ἑωυτῆς· Τιθορέα οὔνομα αὐτῇ· ἐς τὴν δὴ [d] ἀνη-
3 νείκαντο, καὶ αὐτοὶ ἀνέβησαν. οἱ δὲ πλεῦνες αὐτῶν
ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισ-
σαν πόλιν, τὴν ὑπὲρ τοῦ [e] Κρισαίου πεδίου [f] οἰκεο-
4 μένην. Οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέδρα-
μον τὴν Φωκίδα· Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν
στρατόν· ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ
ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ [g] καὶ ἐς τὰ

31. [a] ἐπεὶ δὲ δὴ S.V. ἐπεὶ δὲ K. [b] ἐγίνοντο S.V. [c] Μηλίδος S. Vall. Μηλιάδος F.a.b.c. edd. vett. [d] τῆς om. F. [e] Δρυοπίης S.V. Vall. quæ forma est ap. Schol. Apollon. Rhod. I. 1212. Sed vulg. infra c. 43. necnon I. 56. [f] Sic mss. Ald. ἐσβάλλοντες Steph. seqq.

32. [a] ἐσέβαλλον F. Mox τοῦ Παρνησσοῦ M.P.K.S.V. (Παρνησοῦ P.) Olim τὰ Παρ. [b] Unus ms. apud Wesseling. κεφαλή. [c] Sic M.S.P.V.K.F. Paris. ὑπ᾽ ἑ. edd. vett. Omnes κειμένη. Tum Τιθωρέα S. [d] Eustath. Od. p. 1604, 4=319, 20. [e] Κρισσαίου P.S. Vall. cf. Wass. Thuc. II. 69. [f] κειμένην F. [g] καὶ ἐς τὰ ἱρὰ] κατέκαιον S. qui paulo ante πόλιας.

33 ἱρά. Πορευόμενοι γὰρ ταύτῃ [a] παρὰ τὸν Κηφισσὸν
ποταμὸν, [b] ἐδηΐουν πάντα, καὶ κατὰ μὲν ἔκαυσαν
Δρύμον πόλιν, κατὰ δὲ [c] Χαράδρην, καὶ Ἔρωχον,
καὶ [d] Τεθρώνιον, καὶ Ἀμφίκαιαν, καὶ Νέωνα, καὶ
Πεδιέας, καὶ Τριτέας, καὶ Ἐλάτειαν, καὶ Ὑάμπολιν,
2 καὶ Παραποταμίους, καὶ Ἄβας· ἔνθα ἦν ἱρὸν Ἀπόλ-
λωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολ-
λοῖσι κατεσκευασμένον· [e] ἦν δὲ καὶ τότε, καὶ [f] νῦν
ἐστὶ, χρηστήριον αὐτόθι· καὶ τοῦτο τὸ ἱρὸν [g] συλή- 635
3 σαντες ἐνέπρησαν. καί τινας διώκοντες εἷλον [h] τῶν
Φωκέων πρὸς τοῖσι οὔρεσι· καὶ γυναῖκάς τινας [i] δι-
έφθειραν μισγόμενοι ὑπὸ πλήθεος.

Abæ, templo oraculoque Apollinis celebres.

34 Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι,
ἀπίκοντο ἐς Πανοπέας. ἐνθεῦτεν δὲ ἤδη διακρινο-
2 μένη ἡ στρατιὴ αὐτῶν ἐσχίζετο. τὸ μὲν πλεῖστον
καὶ δυνατώτατον τοῦ στρατοῦ, ἅμα αὐτῷ Ξέρξῃ
πορευόμενον [a] ἐπ' Ἀθήνας, ἐσέβαλε ἐς Βοιωτοὺς,
3 [b] ἐς γῆν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος
ἐμήδιζε· τὰς δὲ πόλις αὐτῶν ἄνδρες Μακεδόνες
διατεταγμένοι ἔσωζον, ὑπὸ Ἀλεξάνδρου ἀποπεμφθέν-
τες· ἔσωζον δὲ, [c] τῇδε [d] βουλόμενοι δῆλον ποιέειν
Ξέρξῃ ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν. οὗτοι μὲν
35 δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο. Ἄλλοι δὲ
αὐτῶν, ἡγεμόνας ἔχοντες, ὁρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν
Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησσὸν ἀπέργοντες.

Mox Xerxes, exercitu bipartito, cum parte altera, eaque majore, Bœotiam sibi amicam ingreditur, alteram contra Delphos mittit.

33. [a] παρὰ om. F. [b] Sic P. ἐδῄουν al. [c] Sic Ald. Schæfer. Χαράδραν M.K.P.S. Paris. Χαράνδραν F. [d] Τεθρόνιον S. Τιθρώνιον Pausan. X, 3. Steph. Byz. Θρόνιον Eustath. Il. p. 638, 58=497, 27. Infra Παρποταμίους S. bis. [e] Sic S.P.K.F.a. Schæfer. ἦν δέ τι καὶ Ald. Wessel. [f] νῦν ἔτι K.F.a.b. [g] συλλήσ. S. Ald. [h] τῶν om. F. Tum ὄρεσι S. [i] διέφθειρον S.V.

34. [a] ἐς Ἀθ. S. [b] Sic F. ἐς τὴν τῶν Ὀρχ. Ald. ἐς γῆν τῶν Ὀρχ. S.V.P.K. Wessel. ἐς γῆν τὴν Ὀ. Bekker. Mox πόλιας S. [c] τῇδε om. S. [d] δῆλον βουλ. P.K.F S.

ὅσα δὲ καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα [a]ἐσινα-
μώρεον· καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρη-
2 σαν, καὶ Δαυλίων, καὶ [b]Αἰολιδέων. Ἐπορεύοντο
δὲ [c]ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς τῶνδε
εἵνεκα, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι,
3 βασιλέϊ Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. πάντα δ'
[d]ἠπίστατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης,
ὡς ἐγὼ πυνθάνομαι, ἄμεινον ἢ τὰ ἐν τοῖσι οἰκίοισι
ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα [e]τὰ
36 Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα. [a]Οἱ Δελ-
φοὶ δὲ, πυνθανόμενοι ταῦτα, ἐς πᾶσαν ἀρρωδίην
[b]ἀπίκατο. ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες,
ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴτε σφέα
κατὰ γῆς [c]κατορύξωσι, εἴτε ἐκκομίσωσι ἐς ἄλλην
2 χώρην. ὁ δὲ θεός σφεας οὐκ ἔα [d]κινέειν, φὰς αὐτὸς
ἱκανὸς εἶναι τῶν ἑωυτοῦ [e]προκατῆσθαι. Δελφοὶ
δὲ, ταῦτα ἀκούσαντες, σφέων αὐτῶν πέρι ἐφρόντι-
3 ζον. τέκνα μέν νυν καὶ γυναῖκας πέρην ἐς τὴν
Ἀχαιΐην διέπεμψαν· αὐτῶν δὲ οἱ μὲν πλεῖστοι
ἀνέβησαν ἐς τοῦ Παρνησσοῦ τὰς κορυφὰς, καὶ [f]ἐς τὸ
Κωρύκιον ἄντρον [g]ἀνηνείκαντο· οἱ δὲ ἐς Ἄμφισσαν 636
4 τὴν Λοκρίδα ὑπεξῆλθον. πάντες δὲ ὦν οἱ Δελφοὶ
ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν καὶ τοῦ

Delphi qua ratione saluti suæ prospexerint.

35. [a] Hesychius: Ἐσιναμώρευον· ἐσίνοντο, μεμωρημένοι ἦσαν. [b] Sic M.P.K.S.F. Αἰολίδων V.a.c. Ald. Λιλαιέων Valckenærius. [c] ταύτην M.P.K.F. Mox εἵνεκεν S. et συλλήσαντες cum Ald. [d] Sic Ald. F.a.c. al. ἐπιστέατο S.V. ἐπίστατο Schæfer. Bekker. cf. V. 42. [e] τὰ om. S. τοῦ Κρ. d.

36. [a] οἱ δὲ Δελφοὶ S.V. Bekker. [b] Sic M.S.P.K.V.F. ἀπικέατο Ald. A.B. Mox ἐν δειματί τε S. [c] κατορύξωσιν—ἐκκομίσωσιν S.P.K.V.F. κατορύξουσι—ἐκκομίσουσι vulg. probante Hermanno de part. ἂν II. 4. Supra σφέας S. [d] κινεῖν F. [e] προκαταστῆσαι d. [f] Hinc Eustath. Od. p. 1604, 4=319, 20. [g] ἀνηνείκατο F. qui mox Ἄμφισαν.

37 προφήτεω. Ἐπεὶ δὲ ἀγχοῦ [a] τε ἦσαν οἱ βάρβαροι
ἐπιόντες, καὶ ἀπώρεον τὸ ἱρὸν, ἐν τούτῳ ὁ προφήτης,
τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα
προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου [b] ἐξενηνειγμένα
ἱρὰ, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι [c] ἀνθρώπων οὐδενί.
2 ὁ μὲν δὴ [d] ἤϊε Δελφῶν τοῖσι παρεοῦσι σημανέων τὸ
τέρας. Οἱ δὲ βάρβαροι ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι
κατὰ τὸ ἱρὸν τῆς [e] Προνηΐης Ἀθηναίης, ἐπιγίνεταί
σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν [f] γενομένου τέρεος.
3 [g] θῶμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐστὶ, ὅπλα ἀρήϊα
αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ· τὰ δὲ
δὴ ἐπὶ τούτῳ δεύτερα [h] ἐπιγενόμενα, καὶ διὰ πάντων
4 φασμάτων ἄξια [i] θωυμάσαι μάλιστα. Ἐπεὶ γὰρ
δὴ ἦσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς
[k] Προνηΐης Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ [l] οὐρανοῦ
κεραυνοὶ αὐτοῖσι ἐνέπιπτον, ἀπὸ δὲ τοῦ Παρνησσοῦ
ἀπορραγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ
ἐς αὐτοὺς, καὶ κατέλαβον συχνούς σφεων, ἐκ δὲ τοῦ
ἱροῦ τῆς [m] Προνηΐης βοή τε καὶ ἀλαλαγμὸς ἐγίνετο.
38 [a] Συμμιγέντων δὲ τούτων πάντων, φόβος τοῖσι βαρ-
βάροισι [b] ἐνεπεπτώκεε. μαθόντες δὲ οἱ Δελφοὶ φεύ-
γοντάς σφεας, ἐπικαταβάντες, ἀπέκτειναν [c] πλῆθός
τι αὐτῶν· οἱ δὲ περιεόντες [d] ἰθὺ Βοιωτῶν ἔφευγον.

Prodigia a deo Delphico barbaris appropinquantibus objecta,

illorumque fuga turpis.

37 [a] τε om. K.P.F. Mox ἀπώρων S. [b] ἐξενηνεγ. P.K.F. [c] ἀνθρώπῳ S.V. [d] ἦε F. [e] Sic V. Harpocrat. voc. Πρόνοια in mss. Vatic. 871. Heidelberg. 375. ut in ed. Blancard. Nam Maussacus et Gronovius Προνοίην cum Photio. cf. I. 92. Προναίης M.P.K.F.a.c. Προνοιΐης Ald. S. al. [f] Sic M.P.K.F. Paris. γεγενημένου S.V. Ald. [g] θῶυμα] θῶμα F. θώϋμα S. edd. μὲν om. S. [h] ἐπιγινόμενα P.K.F. γινόμενα S.V. [i] θωυμάσαι] θωμάσαι F. [k] Προνοιΐης S. Ald. Προναίης F. et forte alii mss. [l] ἱροῦ S. [m] Προνοιΐης νηοῦ S. Προνοιΐης Ald. Προναίης Wessel. al.

38. [a] συμμισγέντων F. [b] ἐπεπτώκεε S. ἐπεπεπτώκ. V. cf. IV. 203. VII. 43. [c] πλῆθος τὲ S. [d] εὐθὺ M.K.P.F.A.B.b.

2 Ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα ὥρων θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατὰ ἀνθρώπων φύσιν [e] ἔχοντας ἕπεσθαί σφι, κτείνοντας καὶ 637
39 διώκοντας. [a] Τούτους δὲ τοὺς δύο Δελφοὶ λέγουσι [b] εἶναι ἐπιχωρίους ἥρωας, Φύλακόν τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρόν· Φυλάκου μέν, [c] παρ' αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προνηΐης· Αὐτονόου δέ, πέλας τῆς Κασταλίης, ὑπὸ
2 τῇ Ὑαμπείῃ κορυφῇ. Οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι ἔτι καὶ ἐς ἡμέας ἦσαν [d] σόοι, ἐν τῷ τεμένεϊ τῆς Προνηΐης Ἀθηναίης κείμενοι, ἐς τὸ [e] ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. Τούτων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται.

Heroes Phylacus et Autonous.

40 Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου, Ἀθηναίων δεηθέντων, ἐς Σαλαμῖνα, [a] κα-
2 τίσχει τὰς νῆας. [b] τῶνδε δὲ εἵνεκα προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα [c] αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι
3 ἔσται. ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν
4 ἔμελλον [d] ποιήσεσθαι, ὡς ἐψευσμένοι γνώμης. δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους [e] πανδημεὶ [f] ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μὲν εὗρον οὐδὲν ἐόν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν

Artemisio relicto [c. 21.], classis Græcorum petit Salaminem.

[e] ἐόντας Matthiæ.

39. [a] Sic S.K.P.V.F. Paris. τοὺς δύο δὲ τούτους vulg. [b] Sic S. P.K.F. ἐπ. ἥ. εἶ. vulg. [c] κατ' αὐτὴν K. Mox Προνοιῆς S. Ald. bis. [d] Sic K. σῶοι S. al. cf. II. 181. V. 96. [e] ἐνεσκήψαντο S.

40. [a] κατασχεῖν S. [b] τῶν δὲ εἶν. S. Schæfer. [c] αὐτοὶ om. S.V. [d] ποιήσασθαι P.K.F. Supra καθήκουσι S. [e] πανδημὶ M. [f] ἐν τῇ Βοιωτ. om. c. Steph. marg. Mox τῶν οἱ μὲν Ald.

αὐτοὺς [g] τειχέοντας ἐς τὴν Πελοπόννησον, περὶ πλείστου τε ποιευμένους περιεῖναι, καὶ ταύτην ἔχοντας ἐν
5 φυλακῇ, [h] τὰ δὲ ἄλλα ἀπιέναι. [i] ταῦτα πυνθανόμενοι, οὕτω δὴ προσεδεήθησάν σφεων σχεῖν πρὸς
41 τὴν Σαλαμῖνα. Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. μετὰ δὲ τὴν ἄπιξιν, κήρυγμα ἐποιήσαντο Ἀθηναίων τῇ τις δύναται, σώζειν [a] τὰ τέκνα τε καὶ τοὺς οἰκέτας.
2 Ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. ἔσπευσαν [b] δὲ ταῦτα ὑπεκθέσθαι, [c] τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν, καὶ δὴ [d] καὶ τοῦδε εἵνεκα οὐκ ἥκιστα· 638
λέγουσι [e] οἱ Ἀθηναῖοι, [f] ὄφιν μέγαν φύλακα τῆς
3 ἀκροπόλιος [g] ἐνδιαιτέεσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα, καὶ [h] δὴ καὶ ὡς ἐόντι ἐπιμήνια [i] ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια, μελιτόεσσά ἐστι. αὕτη δ' ἡ μελιτόεσσα, ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισι-
4 μουμένη, τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ [k] προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ [l] ἀπολελοιπυίης τὴν ἀκρόπολιν. ὡς δέ σφι πάντα ὑπεξέκειτο, [m] ἔπλωον ἐς τὸ στρατόπεδον.

Desertæ Athenæ, paucissimis incolarum remanentibus [c. 51.].

[g] τειχέοντας, καὶ τὴν Πελοπ. S. τειχέοντας, τὴν Πελοπόν. Schæfer. Bekker. Mox ποιεομένους περιεῖναί τε καὶ τ. ἔχοντες S. [h] Sic S.K. Schæfer. τἄλλα δὲ (aut τὰ ἄλλα δὲ) al. [i] Sic M.K.P.F. ταῦτα δὴ πυνθ. οὕτω προσεδ. S.V.A.B. Ald. προπυνθ. οὕτω δὴ b.

41. [a] τὰ om. F.a. [b] Sic F.c.S. δὴ vulg. [c] Sic M.P.S.K.F.a.b. c.d. (τε om. b.d.) χρηστ. τε πειθόμενοι καὶ β. ὑ. Ald. al. ὑπηρετεῖν S. Bene vidit Schweighæuser. πειθόμενοι interpretamentum esse verborum βουλόμενοι ὑπηρετέειν. [d] Sic M.P.K.S.V.F. Paris. καὶ τούτου olim. [e] οἱ om. S.P.K.F.a. Bekker. [f] σφι S. [g] ἐνδιαιτέεσθαι S.V. Schæfer. et probavit Wesseling. ἐνδιαιτᾶσθαι vulgo. [h] Sic S.V. Schæfer. καὶ om. al. [i] Sic M.P.K.V.S.F. τελέουσι c. et al. Mox ἐστι μελιτόεσσα S. [k] Sic S.V. Vall. a.c. πρότερον M.K.P.F.b. [l] ἀπολελοιποίης M. Mox σφιν ὑπεξέκειτο πάντα S. [m] ἔπλεον F.

42 Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον
τὰς [a] νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν
Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ
Πώγωνα [b] τὸν Τροιζηνίων λιμένα [c] προείρητο συλλέ-
2 γεσθαι. συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες ἢ
ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων.
3 Ναύαρχος μέν νυν ἐπῆν [d] ὡυτὸς ὅσπερ ἐπ' Ἀρτε-
μισίῳ, Εὐρυβιάδης [e] ὁ Εὐρυκλείδεω, ἀνὴρ Σπαρτιή-
της, οὐ μέντοι γένεός [f] γε τοῦ βασιληΐου ἐών· νέας
δὲ πολλῷ πλείστας τε καὶ ἄριστα [g] πλωούσας παρεί-
43 χοντο Ἀθηναῖοι. Ἐστρατεύοντο δὲ οἵδε. Ἐκ μὲν
Πελοποννήσου, Λακεδαιμόνιοι, ἑκκαίδεκα [a] νῆας πα-
ρεχόμενοι· [b] Κορίνθιοι δὲ, τὸ αὐτὸ πλήρωμα παρεχό-
2 μενοι [c] τὸ καὶ ἐπ' Ἀρτεμισίῳ. Σικυώνιοι δὲ, πεντε-
καίδεκα [d] παρείχοντο νῆας· Ἐπιδαύριοι δὲ, δέκα·
Τροιζήνιοι δὲ, πέντε· Ἑρμιονέες δὲ, τρεῖς· ἐόντες
οὗτοι, πλὴν Ἑρμιονέων, Δωρικόν τε καὶ [e] Μακεδνὸν
ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος
3 [f] ὕστατα ὁρμηθέντες. οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες,
ὑπὸ [g] Ἡρακλέος τε καὶ Μηλιέων ἐκ τῆς νῦν Δωρίδος
καλεομένης χώρης ἐξαναστάντες. οὗτοι μέν νυν Πε-
44 λοποννησίων [h] ἐστρατεύοντο. Οἱ δὲ ἐκ τῆς ἔξω
ἠπείρου· Ἀθηναῖοι μὲν, πρὸς πάντας τοὺς ἄλλους 639
παρεχόμενοι νῆας ὀγδώκοντα καὶ ἑκατὸν, [a] μοῦνοι· ἐν

Interim copiis navalibus undique coactis, navium numerus multum crescit. Summa imperii etiam nunc penes Eurybiadem [c. 2.].

Recensio populorum Græciæ, qui ad Salaminem naves miserunt: qua opportunitate utens Herodotus, eorum origines et antiquitates perstringit.

42. [a] νῆας S.V.K. Mox συνέρεε S. [b] Unus ms. apud Wessel. τῶν Τροιζ. cf. Casaubon. ad Strabon. VIII. p. 574=373. [c] προήρητο F. εἴρητο S.V. Mox νῆες S. [d] αὐτὸς K. Mox ὅπερ F. non improbante Schweighæusero. [e] ὁ om. S.F. [f] Sic S.V. Schæfer. Particulam om. al. Mox νῆας S. [g] πλεούσας F.

43. [a] νέας F. [b] Κορίνθιοι et quinque vv. seqq. om. c. [c] ὅ καὶ F.a. [d] παρέσχοντο S.V. [e] Sic M.P.K.F. Paris. cf. I. 56. Μακεδονικὸν S. al. [f] ὕστατοι S. [g] Ἡρακλέους S. [h] ἐστρατεύοντο· οἵδε δὲ ἐκ τῆς ἔξω ἠπείρου. Ἀθηναῖοι μέν. Sic legendum et interpungendum censet Schweighæuserus.

44. [a] μοῦνοι hic non ad παρεχόμενοι refertur, sed intelligendum

Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθη-
2 ναίοισι, διὰ [b] τοιόνδε πρῆγμα. ἀπαλλασσομένων τῶν
Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ
Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν [c] περαίην
τῆς Βοιωτίης χώρης, πρὸς [d] ἐκκομιδὴν ἐτράποντο τῶν
οἰκετέων. οὗτοι μέν νυν τούτους σώζοντες ἐλείφθη-
3 σαν. [e] Ἀθηναῖοι δὲ, ἐπὶ μὲν Πελασγῶν ἐχόντων
τὴν [f] νῦν Ἑλλάδα καλεομένην, ἦσαν Πελασγοὶ,
[g] οὐνομαζόμενοι Κραναοί· ἐπὶ δὲ Κέκροπος βασιλέος,
[h] ἐπεκλήθησαν Κεκροπίδαι· ἐκδεξαμένου δὲ Ἐρεχθέος
τὴν ἀρχὴν, Ἀθηναῖοι μετωνομάσθησαν· Ἴωνος δὲ
τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι,
45 ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες. Μεγαρέες δὲ τὠυτὸ
πλήρωμα [a] παρείχοντο τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Ἀμ-
πρακιῶται δὲ, ἑπτὰ νέας [b] ἔχοντες [c] ἐπεβώθησαν·
Λευκάδιοι δὲ, τρεῖς· ἔθνος ἐόντες [d] οὗτοι Δωρικὸν
46 ἀπὸ Κορίνθου. Νησιωτέων δὲ, Αἰγινῆται [a] τριή-
κοντα παρείχοντο. ἦσαν μέν σφι καὶ ἄλλαι πεπλη-
ρωμέναι [b] νέες, ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασ-
σον, τριήκοντα δὲ τῇσι ἄριστα [c] πλωούσῃσι ἐν Σα-
2 λαμῖνι ἐναυμάχησαν. [d] Αἰγινῆται δέ εἰσι Δωριέες,

Ἀθηναῖοι (ἐν Σαλαμῖνι) ἐστρατεύοντο μοῦνοι, *soli pugnabant*, scil. non Platæenses secum suis in navibus habentes. cf. 1. Itaque inter ἑκατὸν et μοῦνοι *comma* interserui. SCHWEIGH. [b] Sic M.P.K.c.F. τοιόνδε τι Ald. S.a. al. Schæfer. Bekker. [c] Πτερίην S.d. Πιερίην V. Vall. [d] κομιδὴν S. [e] Citat Eustath. Dionys. 423. Mox ἐπεὶ μὲν S. [f] νῦν om. b. [g] Sic V.S. ὀνομαζ. al. [h] Sic S.V. Ald. Schæfer. ἐκλήθησαν M.K.P.F. Paris.

45. [a] παρεῖχον P.K.F.b. παρείχοντο absque τὸ Schæfer. Bekker. et sic plane S. [b] παρέχοντες d. νῆας ἕ. S. [c] Sic S.V. ἐπεβοήθησαν al. [d] οὗτοι om. P.

46. [a] τριήκοντα om. F. Mox μέν νυν σφι S. δύο καὶ τεσσαράκοντα rescribit Valckenærius, quem vide ad c. 48. [b] νῆες S. alii νέες, qui infra νῆας. [c] Sic S.V. πλεούσῃσι F.a. al. [d] Vid. Eustath. Dionys. 511.

ἀπὸ Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν
Οἰνώνη. μετὰ δὲ Αἰγινήτας, Χαλκιδέες τὰς ἐπ' Ἀρ-
τεμισίῳ εἴκοσι παρεχόμενοι, καὶ Ἐρετριέες τὰς ἑπτά·
οὗτοι δὲ Ἴωνές εἰσι. μετὰ δὲ, [e] Κεῖοι τὰς αὐτὰς παρε-
3 χόμενοι· ἔθνος [f] ἐὸν Ἰωνικὸν ἀπὸ [g] Ἀθηνέων. Νάξιοι
δὲ παρείχοντο [h] τέσσερας· ἀποπεμφθέντες μὲν ἐς τοὺς
Μήδους ὑπὸ τῶν πολιητέων, κατάπερ [i] ὦλλοι νησιῶ-
ται· [k] ἀλογήσαντες δὲ τῶν ἐντολέων, ἀπίκατο ἐς τοὺς
Ἕλληνας, Δημοκρίτου [l] σπεύσαντος, ἀνδρὸς τῶν
4 ἀστῶν δοκίμου, καὶ τότε τριηραρχέοντος. Νάξιοι
δέ εἰσι Ἴωνες, ἀπ' Ἀθηνέων γεγονότες. Στυρέες δὲ
τὰς αὐτὰς παρείχοντο νῆας [m] τὰς καὶ ἐπ' Ἀρτεμισίῳ·
[n] Κύθνιοι δὲ, μίαν καὶ πεντηκόντερον· ἐόντες συναμ-
φότεροι οὗτοι Δρύοπες· καὶ Σερίφιοί τε καὶ Σίφνιοι
καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ [o] ἔδοσαν
μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ.
47 Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ
Ἀχέροντος ποταμοῦ, ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ
εἰσι [a] ὁμουρέοντες Ἀμπρακιώτῃσι καὶ Λευκαδίοισι,
2 [b] οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. Τῶν δὲ
ἐκτὸς τούτων οἰκημένων, Κροτωνιῆται μοῦνοι ἦσαν
[c] οἳ ἐβώθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ, [d] νηΐ μιῇ,
τῆς ἦρχε ἀνὴρ τρὶς [e] πυθιονίκης, Φάϋλλος. Κροτω-

[e] Sic P.F. vid. cap. 1. Κῖοι S.b. edd. vett. [f] ἐὸν om. S. [g] Ἀθηναίων ante Wessel. qui receptam lectionem cum ἀπὸ Κορίνθου cap. 45. ἀπ' Ἐπιδαύρου 46. contendit. [h] τρεῖς Plutarch. II. p. 869 A. [i] ὦλλοι V. ὦλλοι S. ὦλλοι Schæfer. οἱ ἄλλοι al. [k] ἀλογίσαντες d. Mox ἀπίκοντο S. [l] πλεύσαντος S. [m] Sic S.V. Wessel. τάς περ καὶ unus ms. apud Wessel. τάς περ ἐπ' Ἀρτ. F.a.b.c. Ald. [n] Ita Wessel. ex Plutarch. p. 863 E. Libri omnes Κύνθιοι aut Κίνθιοι. Vid. Arnaldi Animadv. c. 30. Gronov. Ælian. H. An. XVI. 32. [o] ἔδωσαν P.

47. [a] Sic F.c. οἱ ὁμουρ. S. Bekker. alii. Supra πάντες S. [b] οἳ om. S. [c] Sic V. οἳ ἐβοήθησαν M.P.K.S.F. οἱ βοηθήσαντες edd. vett. [d] μιῇ νηΐ F. [e] πυθιόνικος Φάϋλος S. Vall.

48 νιῆται δὲ γένος εἰσὶ Ἀχαιοί. Οἱ μέν [a] νυν ἄλλοι
τριήρεας [b] παρεχόμενοι ἐστρατεύοντο· Μήλιοι δὲ, καὶ
2 Σίφνιοι, καὶ Σερίφιοι, πεντηκοντέρους. Μήλιοι μὲν,
[c] γένος ἐόντες ἀπὸ Λακεδαίμονος, δύο παρείχοντο·
[d] Σίφνιοι δὲ καὶ Σερίφιοι, Ἴωνες ἐόντες ἀπ' Ἀθηνέων,
3 μίαν ἑκάτεροι. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν,
πάρεξ τῶν πεντηκοντέρων, [e] τριηκόσιαι καὶ ἑβδομή-
κοντα καὶ ὀκτώ.

Numerus modusque navium.

49 Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ
ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο, προθέντος
Εὐρυβιάδεω γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον,
ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην [a] ποιέ-
εσθαι τῶν αὐτοὶ [b] χωρέων ἐγκρατέες εἰσί. ἡ γὰρ
Ἀττικὴ [c] ἀφεῖτο ἤδη, τῶν δὲ λοιπέων [d] πέρι προ-
2 ετίθεε. Αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται
συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν [e] πλώσαντας ναυ-
μαχέειν πρὸ τῆς Πελοποννήσου· [f] ἐπιλέγοντες τὸν 641
λόγον [g] τόνδε ὡς [h] ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σα-
λαμῖνι [i] μὲν ἐόντες, πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι
τιμωρίη οὐδεμία [k] ἐπιφανήσεται· πρὸς δὲ τῷ Ἰσθμῷ,
ἐς τοὺς ἑωυτῶν ἐξοίσονται.

Ibi Græcorum ducibus de loco pugnæ optando deliberantibus, cum plerique, relicta ad Salaminem statione, Isthmum tutandum censerent,

50 Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπι-
λεγομένων, [a] ἐλήλυθε ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων

venit nuntius, Atticam totam

48. [a] νυν om. S.V. [b] παρέχοντες S.V. [c] γεγονότες P.K.F.b. [d] Citat Eustath. Dionys. 525. ubi Ἀθηνῶν pro vulg. ante Wessel. Ἀθηναίων. [e] ὀκτὼ καὶ πεντήκοντα καὶ τριηκόσιαι S.V. Vall. Bekker. Supra νηῶν S.

49. [a] ποιήσεσθαι S.V. Supra ἐπιτηδεότατον S. [b] Sic F. χωρῶν S.V. χωρίων vulg. [c] ἀφεῖται a.b. Ald. [d] πέρι om. S. qui λοιπῶν, et mox δή. [e] πλώσαντες b. Ald. [f] λέγοντες c. [g] τοῦτον S.V. [h] Sic Ald. V.S. Paris. εἰ νικ. M.P.K.F. [i] μενέοντες S. [k] φανήσεται S.V. οὐδεμία ex F. οὐδεμίη S. vulg.

50. [a] ἐπήλυθε corr. Matthiæ Gr. Gr. §. 505. ἐληλύθεε Werfer. Act. Phil. Monac. I. p. 240. et sic Matthiæ et Bekker.

ferro ignique a barbaris devastari. Xerxis cum parte altera exercitus iter per Bœotiam [c. 34.]: in quo Thespiæ ac Platææ incendio deletæ.

ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν
2 πυρπολέεσθαι. Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος
στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν,
[b] αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν
Πλαταιέων ὡσαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας, καὶ
3 πάντα ἐκεῖνα [c] ἐδηΐου. ἐνέπρησε δὲ [d] Θέσπειάν τε καὶ
Πλάταιαν, πυθόμενος Θηβαίων ὅτι οὐκ ἐμήδιζον.

51

Astu vacuum Persæ ingressi,

Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν
πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρί-
ψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν
τρισὶ ἑτέροισι [a] μήνεσι ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλ-
2 λιάδεω ἄρχοντος Ἀθηναίοισι. καὶ αἱρέουσι ἔρημον
τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθη-
ναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ, καὶ
πένητας ἀνθρώπους· οἳ φραξάμενοι τὴν ἀκρόπολιν
θύρῃσί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας· ἅμα
μὲν ὑπ' [b] ἀσθενίης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλα-
μῖνα, [c] πρὸς δὲ καὶ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ
μαντήϊον τὸ ἡ Πυθίη σφι ἔχρησε τὸ ξύλινον τεῖχος
ἀνάλωτον ἔσεσθαι· [d] αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύ-
γετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς [e] νῆας.

52

arcem, Atheniensibus qui remanserant fortissime resistentibus, oppugnant,

Οἱ δὲ
Πέρσαι, ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος
ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήϊον πάγον, [a] ἐπο-
λιόρκεον τρόπον τοιόνδε· ὅκως [b] στυπεῖον περὶ τοὺς
ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα.
2 ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο,

[b] αὐτέων] ἐκ τῶν S. αὐτῶν F. Mox καὶ τῶν Πλαταιέων S. [c] Sic P. Schæfer. ἐδῄου vulg. [d] Θέσπιαν S.V. δὲ om. S. et mox τε.

51. [a] Sic V.S. Schæfer. Vulg. μησί. cf. IV. 43. Supra μῆνα διατρίψαντες S. [b] Ita Steph. ed. 2. ἀσθενείης S.F. Ald. et forte alii. [c] πρὸς δὲ] πρὸς δὲ καὶ S.V. Mox τῷ ἡ Πυθίη Valckenærius, inutiliter. [d] Sic K.V.F.b.c. καὶ αὐτὸ S. Bekker. vulg. [e] νέας F.

52. [a] ἐπολιορκέοντο V. [b] στυππεῖον P. στυππίον S.V.

καίπερ ἐς τὸ ἔσχατον [c] κακοῦ ἀπιγμένοι, καὶ τοῦ
[d] φράγματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πει-
σιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέ-
3 κοντο. ἀμυνόμενοι δὲ, ἄλλα τε [e] ἀντεμηχανέοντο, καὶ
δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, 642
[f] ὁλοιτρόχους ἀπίεσαν· ὥστε Ξέρξεα ἐπὶ χρόνον
συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυνάμενόν σφεας
53 ἑλεῖν. Χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσο-
δος τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον
πᾶσαν τὴν Ἀττικὴν τὴν [a] ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ
2 Πέρσῃσι. ἔμπροσθε ὦν [b] πρὸ τῆς ἀκροπόλιος,
ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ [c] οὔτε
τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ
ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ
τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς [d] Ἀγλαύρου, [e] καίτοι-
3 περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. Ὡς δὲ εἶδον αὐ-
τοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι [f] ἐπὶ τὴν ἀκρόπολιν,
οἱ μὲν ἐρρίπτεον ἑωυτοὺς [g] κατὰ τοῦ τείχεος κάτω, καὶ
4 διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ
Περσέων οἱ ἀναβεβηκότες, πρῶτον μὲν ἐτράποντο πρὸς
τὰς πύλας· ταύτας δὲ ἀνοίξαντες, τοὺς [h] ἱκέτας ἐφό-
νευον· ἐπεὶ δέ σφι πάντες [i] κατέστρωντο, τὸ ἱρὸν [k] συ-
λήσαντες, ἐνέπρησαν [l] πᾶσαν τὴν ἀκρόπολιν.

tandemque capiunt. Defensores occisi: arx direpta incensaque.

54 Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης, ἀπέπεμψε

Exsulibus ibi die post,

[c] Sic S.V.K.F. Paris. Wessel. τοῦ κακοῦ edd. vett. [d] Sic S.V.K.F.a. Schæfer. φρήγματος Wessel. cum edd. vett. Tum προσδεδωκότος S. [e] ἀντεμηχανῶντο F. ἀνεμηχανέοντο S. [f] Suid. in voc. Eustath. Il. p. 925, 5=893, 6. Schol. P. στρογγύλος, τροχοειδὴς λίθος. cf. V. 92. ὅλοι τροχοὺς S.

53. [a] ἐπὶ τῇ ἠπ. S.V. [b] πρὸ om. S.V. mox πολεμίων pro πολέων b. [c] Sic V.P.K.F. Paris. οὔ κοτέ τις S. vulgo. [d] Ἀγραύλου b.d. [e] καίπερ S.V. καίτοι γε K. [f] ἐς τὴν S. [g] ἀπὸ τοῦ F. [h] οἰκέτας S. Ald. [i] κατέστρωντο explicat Pollux IX. 153. [k] συλλήσαντες S. [l] πᾶσαν om. S.V.

Xerxe jubente, sacrificantibus

ἐς Σοῦσα ἄγγελον ἱππέα, Ἀρταβάνῳ [a] ἀγγελέοντα
2 τὴν παρεοῦσάν σφι [b] εὐπρηξίην. Ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ, ἀναβάντας ἐς τὴν ἀκρόπολιν· εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο [c] ἐμ-
3 πρήσαντι τὸ ἱρόν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

55

quid portenti sacra Minervæ olea obtulerit.

Τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ [a] Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηὸς, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι· τὰ λόγος [b] παρὰ Ἀθη- 643
ναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην, ἐρίσαντας περὶ
2 τῆς χώρης, μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος, [c] Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρὸν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. οὗτοι [d] μέν νυν ταῦτα ἔφρασαν.

56

Audita eversione Athenarum, Græci Isthmum petere constituunt.

Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι [a] ἐξαγγέλθη ὡς ἔσχε [b] τὰ περὶ τὴν Ἀθηναίων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, [c] ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ᾽

54. [a] Sic S.F. forte alii. e conj. Valckenærius, videndus ad Eurip. Ph. 777. 1082. ἀγγελλέοντα edd. vett. In pr. ἔχων δὲ παντελῶς S. [b] εὐταξίην F. [c] ἐμπρήσαντα P.K.F.b.

55. [a] Ἐρεχθῆος] Ἐρεχθέος P.K.S.V.F. Supra εἵνεκε S. [b] Sic F. et plerique. ὑπὸ Ἀθ. S.V. παρὰ Ἀθηναίοις requisiveram: sed nil mutandum censeo, παρὰ Ἀθηναίων ad *μαρτύρια* referens, non ad λόγος, ut vulgo cum Valla faciunt, intelligentes *apud Athenienses prædicabatur*. Schweigh. Mox περὶ τὴν χώρην S. [c] Sic S.P.F.a.c. Ἀθηναῖοι οἱ Wessel. al. [d] μὲν ὦν S.V.

56. [a] Sic S.V. ἐξηγγ. vulgo. [b] τὰ om. V.F. sed habet S. Mox Ἀθηνέων Bekker. [c] ὥστε S.V. Vulgo ὡς ἔνιοι.

ἔς τε τὰς [d] νῆας ἐσέπιπτον, καὶ ἱστία ἀείροντο ὡς
ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι [e] αὐτῶν
2 ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. νύξ τε ἐγίνετο,
καὶ οἳ, διαλυθέντες ἐκ τοῦ συνεδρίου, ἐσέβαινον ἐς
57 τὰς νῆας. [a] Ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον
ἐπὶ τὴν νῆα εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ τι
2 σφι εἴη βεβουλευμένον. πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς
εἴη δεδογμένον ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμὸν, καὶ
3 πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· " [b] Οὔτοι
" ἄρα ἢν ἀπαίρωσι τὰς νῆας ἀπὸ Σαλαμῖνος, περὶ οὐ-
" δεμιῆς ἔτι πατρίδος ναυμαχήσεις. κατὰ γὰρ [c] πόλις
" ἕκαστοι τρέψονται· καὶ οὔτε σφέας Εὐρυβιάδης
" κατέχειν δυνήσεται, οὔτε τις ἀνθρώπων ἄλλος,
" [d] ὥστε οὐ μὴ [e] διασκεδασθῆναι τὴν στρατιήν· ἀπολέ-
4 " εταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. ἀλλ', εἴ τις ἐστὶ μη-
" χανὴ, ἴθι, καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα, ἤν
" κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα [f] μεταβουλεύσα-
58 " σθαι, ὥστε αὐτοῦ μενέειν." [a] Κάρτα δὴ τῷ Θεμι-
στοκλέϊ ἤρεσε ἡ ὑποθήκη· καὶ οὐδὲν πρὸς ταῦτα
ἀμειψάμενος, ἤϊε ἐπὶ τὴν νῆα τὴν Εὐρυβιάδεω. ἀπι-
κόμενος δὲ, ἔφη [b] θέλειν οἱ κοινόν τι πρῆγμα συμ-
μῖξαι. ὁ δ' αὐτὸν ἐς τὴν νῆα [c] ἐκέλευε ἐσβάντα λέ-
2 γειν εἴ τι [d] θέλει. ἐνθαῦτα [e] ὁ Θεμιστοκλέης [f] παρι-
ζόμενός οἱ καταλέγει κεῖνά τε πάντα τὰ ἤκουσε Μνη-

Id Athenis adeoque toti Græciæ perniciosissimum fore Themistocles a Mnesiphilo Atheniensi edoctus,

Eurybiadi persuadet, ut duces in concilium denuo cogat:

[d] νέας K.F. et sic mox. [e] Sic F. αὐτέων S. vulg. Mox ἐγένετο S.

57. [a] Plutarch. II. p. 869 D. Θεμιστοκλέα S. non Θεμιστοκλῆα. [b] Sic S.V. οὔτ' ἄρα edd. vett. οὔ τοι ἄρα Bekker. οὐκ ἄρα Plutarch. qui mox οὐδὲ περὶ μιῆς, et sic Bekker. [c] Sic K.F. πόλιας S. al. [d] Sic P.F.b. ὥστε μὴ οὐ S. vulg. Bekker. [e] σκεδασθῆναι V.S. Mox ἴθι τε καὶ Plutarch. probante Valcken. [f] μεταβαλέσθαι S.V.

58. [a] κάρτα δὲ K.F. κάρτα τε S. qui mox om. τῷ Particulam om. V. [b] ἐθέλειν P.F. ἐθέλει ὁκοῖόν τι b. [c] ἐμβάντα ἐκέλευε S. [d] θέλοι S.V. Bekker. [e] ὁ om. S. δὲ Θεμ. Plutarch. [f] Sic S.V. Schæfer. cf. VII. 18. παρεζόμ. Ald. Wessel. F. Tum γέ οἱ S. Mox πάντα om. Plutarch.

σιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προσ- 644
τιθείς· ἐς ὃ ἀνέγνωσε χρηΐζων ἔκ τε τῆς νηὸς [g] ἐκ-
βῆναι, συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον.
59 Ὡς δὲ [a] ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν [b] Εὐρυβιάδεα
προθεῖναι τὸν λόγον τῶν εἵνεκα συνήγαγε τοὺς στρα-
τηγοὺς, πολὺς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι,
2 οἷα κάρτα δεόμενος. λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος
στρατηγὸς Ἀδείμαντος [c] ὁ Ὠκύτου εἶπε· "Ὦ Θεμι-
"στόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥα-
"πίζονται." ὁ δὲ, [d] ἀπολυόμενος, ἔφη· "Οἱ δέ γε
60 "ἐγκαταλειπόμενοι οὐ [e] στεφανεῦνται." Τότε μὲν
ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο. πρὸς δὲ τὸν
Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν [a] οὐκέτι οὐδὲν τῶν
2 πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλα-
μῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν συμμάχων
οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου
1 3 λόγου εἴχετο, λέγων τάδε. "Ἐν σοὶ νῦν ἐστὶ σῶσαι
"τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ [b] μέ-
"νων ποιέεσθαι, [c] μηδὲ, πειθόμενος τούτων τοῖσι λέ-
"γουσι, ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νῆας. ἀν-
4 "τίθες γὰρ [d] ἑκάτερον, ἀκούσας. πρὸς μὲν τῷ Ἰσθμῷ
"[e] συμβάλλων, ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχή-
"σεις, ἐς ὃ ἥκιστα ἡμῖν σύμφορόν ἐστι, νῆας ἔχουσι 645
5 "βαρυτέρας, καὶ ἀριθμὸν [f] ἐλάσσονας. τοῦτο δὲ,
"ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν,

Margin: ubi cum Adimanto, Corinthiorum duce,

[g] Sic M.P.K. Paris. F. ἐκβῆναι τὸν Εὐρυβιάδεα S. edd. ante Wessel.

59. [a] ἄρα om. S.V. [b] Εὐρυβιάδην F. [c] ὁ om. S.V. qui mox om. ὦ. Tum Θεμιστόκλεις S. [d] Unus ms. apud Wessel. ἀπολογούμενος. cf. Suid. in Ἀπολυόμενος. [e] Sic S.V. στεφανοῦνται F. et vulg.

60. [a] Sic S.V. Schæfer. ἔτι οὐδὲν vulg. Supra ἠμείψατο S. [b] μένων om. S.V. [c] ἢν δὲ K. [d] ἑκάτερα b.d. [e] συμβαλὼν S. [f] Sic S.V. Paris. Ald. ἐλάσσονα M.P.K.F.

6 " ἤνπερ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. ἅμα γὰρ τῷ
" [g] ναυτικῷ αὐτῶν ἕψεται καὶ ὁ [h] πεζὸς στρατός· καὶ
" οὕτω σφέας [i] αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον,
7 " κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι. Ἢν δὲ τὰ ἐγὼ
" λέγω [k] ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρή-
2 " σεις. πρῶτα μὲν, ἐν στεινῷ [l] συμβάλλοντες νηυσὶ
" ὀλίγῃσι πρὸς πολλὰς, ἢν τὰ [m] οἰκότα ἐκ τοῦ πολέ-
8 " μου ἐκβαίνῃ πολλὸν κρατήσομεν. τὸ γὰρ ἐν στεινῷ
" ναυμαχέειν, πρὸς ἡμέων ἐστί· ἐν εὐρυχωρίῃ δὲ,
" πρὸς ἐκείνων. αὖτις [n] δὲ, Σαλαμὶς περιγίνεται, ἐς
9 " τὴν ἡμῖν [o] ὑπέκκειται τέκνα τε καὶ γυναῖκες. καὶ
" μὴν καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ [p] περιέχεσθε
" μάλιστα· ὁμοίως [q] αὐτοῦ τε μένων, [r] προναυμαχή-
" σεις Πελοποννήσου, καὶ πρὸς τῷ Ἰσθμῷ· οὐδέ
" σφεας, εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ [s] τὴν Πελοπόν-
3 10 " νησον. Ἢν δέ [t] γε καὶ τὰ ἐγὼ ἐλπίζω γένηται, καὶ
" νικήσωμεν τῇσι νηυσὶ, οὔτε [v] ὑμῖν ἐς τὸν Ἰσθμὸν
" παρέσονται οἱ βάρβαροι, οὔτε προβήσονται [w] ἑκα-
" στέρω τῆς Ἀττικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ, Με-
" γάροισί τε κερδανέομεν περιεοῦσι, καὶ Αἰγίνῃ, καὶ
" Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν
11 " κατύπερθε γενέσθαι. Οἰκότα μέν νυν βουλευομέ-
" νοισι ἀνθρώποισι, ὡς τὸ ἐπίπαν ἐθέλει γίνεσθαι·
" [x] μὴ δὲ οἰκότα βουλευομένοισι, οὐκ ἐθέλει οὐδὲ ὁ
" θεὸς [y] προσχωρέειν πρὸς τὰς [z] ἀνθρωπηΐας γνώμας."

[g] ναυτικῷ στρατῷ vulg. στρατῷ om. S.F.b. Supra ἤνπερ τὰ absque καὶ S. [h] Sic S.V.M.P.K.F. Paris. στρατὸς om. edd. vett. [i] αὐτοὺς S. [k] Sic S.V. Paris. K. Ald. ποιῇς M.P.F. [l] συμβαλόντες S. [m] ἐοικότα F. [n] δὲ om. S.V. αὖθις S. [o] νῦν ἐγκεῖται S.V. Mox καὶ μὲν καὶ S. [p] περιέχεσθε M.P.K.F.b.d. πέρι ἔχεσθαι S. περιέχεσθαι a.c. περιέχεσθαι μ. χρεῶν Ald. [q] αὐτὸς Steph. marg. [r] προναυμαχέεις P.F.b. [s] τὴν om. F. [t] γε καὶ om. S.V. [v] Sic F.a. ἡμῖν S. vulgo. [w] ἑκατέρω S.F. [x] Sic P.S.K.F.a.c. Schæfer. μὴ οἰκότα δὲ vulg. [y] προχωρ. b. [z] ἀνθρωπίναις γνώμαις d.

convicio acerbissimo altercatus, argumentis minisque tandem cæteros a fuga capessenda revocat.

61 Ταῦτα λέγοντος Θεμιστοκλέους, αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων τῷ μή ἐστι πατρὶς, καὶ [a] Εὐρυβιάδεα οὐκ [b] ἐῶν ἐπιψηφίζειν [c] ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλέα παρε- 646
2 χόμενον, οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. ταῦτα δέ οἱ [d] προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο [e] αἱ Ἀθῆναι. Τότε δὴ [f] ὁ Θεμιστοκλέης κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ [g] κακὰ ἔλεγε· ἑωυτοῖσί τε ἐδήλου λόγῳ ὡς εἴη καὶ πόλις καὶ γῆ [h] μέζων ἤπερ [i] κείνοισι, ἔστ' ἂν διηκόσιαι νῆές σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας
62 [k] ἀποκρούσεσθαι. Σημαίνων δὲ ταῦτα, τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα· "Σὺ εἰ μενέεις αὐτοῦ, καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· "—εἰ δὲ μὴ, [a] ἀνατρέψεις τὴν Ἑλλάδα. τὸ πᾶν γὰρ "ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νῆες. ἀλλ' ἐμοὶ πεί-
2 "θεο. Εἰ δὲ ταῦτα μὴ [b] ποιήσεις, ἡμεῖς μὲν, ὡς ἔχο-"μεν, ἀναλαβόντες τοὺς οἰκέτας, κομιεύμεθα ἐς Σίριν "τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ "ἔτι, καὶ τὰ λόγια λέγει, ὑπ' ἡμέων [c] αὐτὴν [d] δέειν
3 "κτισθῆναι. ὑμεῖς δὲ, συμμάχων [e] τοιῶνδε μουνω-
63 "θέντες, [f] μεμνήσεσθε τῶν ἐμῶν λόγων." Ταῦτα δὲ [a] Θεμιστοκλέος λέγοντος, ἀνεδιδάσκετο Εὐρυβιάδης. δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα τοὺς Ἀθη-

61. [a] Sic S.V. Εὐρυβιάδην vulg. Supra S. consentit cum vulg. in Θεμιστοκλέους, qui infra Θεμιστοκλέα non Θεμιστοκλῆα. [b] ἐᾶν S.V. [c] Sic b.f. ἀπόλει F. ἄπολι vulg. ἀπόλιδι S. [d] προεφέρετο K.P.F.f. [e] αἱ om. S. [f] ὁ om. f. δὲ pro δὴ S. [g] καλὰ S. [h] μέζω S.V. [i] ἐκείνοισι S.V.F.f. Mox οὐδαμῶς S. [k] Sic S.V.P. ἀποκρούεσθαι F.f. al.

62. [a] Unus ms. apud Wessel. ἀναστρέψεις. Mox αἱ ante νῆες om. S. [b] ποιήσῃς P.S.F. [c] Sic S.V.P.M.K.F. αὐτέων edd. vett. Supra τε post ἡμετέρη om. S. [d] δέον Ald. δεῖ S. [e] Sic M.S.V.P.K.F. Paris. τοιούτων Ald. Steph. et seqq. [f] μέμνησθε P.F.

63. [a] Θεμιστοκλῆος] Θεμιστοκλέος F.S.

ναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς 647
2 τὸν Ἰσθμὸν [b] ἀνάγῃ τὰς νῆας. ἀπολιπόντων γὰρ
Ἀθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί.
ταύτην [c] δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας
διαναυμαχέειν.

64 [a] Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα, ἔπεσι ἀκροβολισά-
μενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο
2 ὡς ναυμαχήσοντες. ἡμέρη τε [b] ἐγίνετο, καὶ ἅμα τῷ
ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ
θαλάσσῃ. ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ
3 ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. ὡς δέ σφι
ἔδοξε, καὶ ἐποίευν ταῦτα. εὐξάμενοι γὰρ πᾶσι τοῖσι
θεοῖσι, αὐτόθεν [c] μὲν ἐκ Σαλαμῖνος [d] Αἴαντά τε καὶ
Τελαμῶνα ἐπεκαλέοντο· ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλ-
65 λους Αἰακίδας [e] νῆα [f] ἀπέστελλον ἐς Αἴγιναν. Ἔφη
δὲ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος, φυγάς τε
καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν
χρόνον· ἐπεί τε [a] ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ
πεζοῦ στρατοῦ [b] τοῦ Ξέρξεω, ἐοῦσα ἐρῆμος Ἀθηναίων,
[c] τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ
ἐν τῷ Θριασίῳ πεδίῳ· [d] ἰδεῖν δὲ κονιορτὸν χωρέοντα
ἀπὸ Ἐλευσῖνος, ὡς ἀνδρῶν μάλιστά [e] κῃ [f] τρισμυ-
ρίων· [g] ἀποθωμάζειν τέ σφεας τὸν κονιορτὸν, ὅτεῴν

Mox insecuto terræ motu, vota diis nuncupata, Æacidæque auxilium rogati [c. 83.].

Pulvis clamorque mysticus Eleusine circa idem tempus exortus, quid de belli eventu portenderit.

[b] Sic S.V. cf. 57. 70. ἀγάγῃ F. al. [c] δὴ S.

64. [a] οὗτοι S.V. [b] ἐγένετο b. Ald. Mox ἐγίνετο P. Tum ἐν τῇ absque τε S. qui infra ἐποίεον. [c] μὲν om. S.V. [d] Αἴαντα τὸν Τελαμῶνος S. Vall. [e] νέα F. νέας c. [f] Sic M.P.K.S.V. ἀπέστειλαν vulg. et Schol. Hermog. p. 407. qui seqq. citat p. 390. Utramque scripturam præbet F. ab ead. m.

65. [a] Vid. Eustath. Il. p. 364, 25—475 extr. [b] τοῦ om. F. [c] τυχεῖν τοτε om. S. [d] Sic S.V.M.K.P.F. Paris. δὲ om. vulg. Vid. Schol. Aristoph. Nub. 301. [e] κῃ S.V.a.c.d. Ald. cf. II. 75. IV. 174. VII. 30. κου M.P.K.F.b. VII. 21. που Schol. Hermog. [f] δισμυρίων ἢ καὶ τρισμυρίων d. [g] ἀποθωΰμάζοντάς σφεας S. σφεας om. P. Schol. Hermog. ἀποθωμάζειν τε σ. F. Mox ὁτέῳν S.

κοτε εἴη ἀνθρώπων, καὶ πρόκα τε φωνῆς ἀκούειν, καί
οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν ἴακχον. 648
2 εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν [h] τῶν ἐν Ἐλευσῖνι τὸν
Δημάρητον, εἴρεσθαί τε αὐτὸν ὅ τι τὸ φθεγγόμενον
εἴη [i] τοῦτο· αὐτὸς δὲ [k] εἰπεῖν· "Δημάρητε, οὐκ ἔστι
"ὅκως οὐ μέγα τι [l] σίνος ἔσται τῇ βασιλέος στρατιῇ.
3 "τάδε γὰρ ἀρίδηλα, ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι
"θεῖον τὸ φθεγγόμενον, ἀπὸ Ἐλευσῖνος [m] ἰὸν ἐς
4 "τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι συμμάχοισι. καὶ
"ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, κίν-
"δυνος [n] αὐτῷ τε βασιλέϊ καὶ τῇ στρατιῇ τῇ ἐν τῇ
"ἠπείρῳ [o] ἔσται· ἢν δὲ ἐπὶ τὰς νῆας τράπηται τὰς
"ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυνεύσει
5 "βασιλεὺς ἀποβαλέειν. τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι
"Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα [p] τῇ Μητρὶ καὶ τῇ
"[q] Κούρῃ, καὶ αὐτῶν τε ὁ βουλόμενος καὶ τῶν ἄλλων
"Ἑλλήνων μυεῖται· καὶ τὴν φωνήν, τῆς ἀκούεις, ἐν
6 "ταύτῃ τῇ ὁρτῇ [r] ἰακχάζουσι." Πρὸς ταῦτα [s] εἰπεῖν
Δημάρητον· "Σίγα τε, καὶ μηδενὶ ἄλλῳ τὸν λόγον
"τοῦτον εἴπῃς. ἢν γάρ τοι ἐς βασιλέα [t] ἀνενειχθῇ
"τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν κεφαλήν· καί σε
"οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι, οὔτ' ἄλλος ἀνθρώ-
"πων [v] οὐδὲ εἷς. ἀλλ' [w] ἔχ' ἥσυχος· περὶ δὲ στρατιῆς
7 "τῆσδε θεοῖσι μελήσει." Τὸν μὲν [x] δὴ ταῦτα παραι-
νέειν. [y] ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι

[h] Sic b.c. Schol. Hermog. Bekker. et vulgo cum S. τῶν ἐν Ἐ. γινομένων. γενομένων F. Mox τε om. S. [i] τοιοῦτον P.K.F.S. [k] εἰπεῖν P.K.F. εἶπε S. εἶπαι vulg. [l] Vulgo σῖνος, male; quando prior syllaba corripitur. [m] Sic P.F. ἐὸν S.d. et al. [n] αὐτῷ β. F. αὐτῷ τε τῷ β. unus ms. apud Wessel. [o] ἔσται om. unus ms. apud Wessel. [p] τῇ Δημητρὶ S.V. [q] Sic M.F. Schæfer. κόρῃ S. vulg. [r] ἰακχίζουσι Schol. Hermog. cf. Suid. in v. [s] εἶπαι] εἰπεῖν P.K.S. V.F. [t] ἀνενεχθῇ P. [v] Sic P.K.F. οὐδεὶς vulg. [w] ἔσ' ἥσυχος K. [x] δὴ om. F. [y] Sic F. ἐκ δὴ vulg.

νέφος, καὶ [z] μεταρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος
8 [a] ἐπὶ τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων. οὕτω δὲ
αὐτοὺς μαθεῖν, ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω [b] ἀπο-
λέεσθαι μέλλοι. Ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος
ἔλεγε, Δημαρήτου τε [c] καὶ ἄλλων μαρτύρων κατα-
πτόμενος.

Inter hæc Persarum classis in Phalerum appellit. Quantis copiis Xerxes Atticam terra marique invaserit.

66 Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν [a] ταχθέντες,
ἐπειδὴ ἐκ Τρηχῖνος, θεησάμενοι τὸ τρῶμα τὸ Λακω-
νικὸν, διέβησαν ἐς τὴν Ἱστιαίην, ἐπισχόντες ἡμέρας
τρεῖς ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέ-
2 ρῃσι ἐγένοντο ἐν Φαλήρῳ. Ὡς μὲν ἐμοὶ [b] δοκέειν, 649
οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν [c] ἐσέβαλον ἐς τὰς
Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νηυσὶ [d] ἀπικόμενοι,
[e] ἢ ἐπί τε Σηπιάδα ἀπίκοντο καὶ ἐς Θερμοπύλας.
3 ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτῶν ἀπο-
λομένοισι, καὶ τοῖσι ἐν Θερμοπύλῃσι, καὶ τῇσι ἐπ'
Ἀρτεμισίῳ ναυμαχίῃσι, τούσδε τοὺς τότε οὔκω ἑπο-
μένους βασιλέϊ, [f] Μηλιέας τε καὶ Δωριέας, καὶ Λο-
κροὺς, καὶ Βοιωτοὺς, πανστρατιῇ ἑπομένους, πλὴν
[g] Θεσπιέων τε καὶ Πλαταιέων· καὶ μάλα Καρυστίους
τε καὶ Ἀνδρίους, καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς
νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων, τῶν [h] ἐπε-
4 μνήσθην πρότερον τὰ οὐνόματα. ὅσῳ γὰρ δὴ [i] προέ-
βαινε [k] ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ
πλέω ἔθνεά [l] οἱ εἵπετο.

[z] μετάρσιον γενόμενον Schol. Hermog. [a] ἐς τὸ σ. V.S. [b] ἀπολέσθαι S. Schol. Hermog. [c] καὶ τῶν ἄλλων V.S. Eustath. Il. p. 155, 28=117, 34. Δημαρήτου καὶ ἄλλων F. Δημαρήτῳ καὶ ἄλλων d.

66. [a] διαταχθέντες F. qui infra ἔπλεον. [b] Sic M.P.K.F. Paris. δοκέει S. al. [c] ἐσέβαλλον F. [d] ἀπικόμενοι om. S. [e] Sic S. Vall. ἢ ἐπεί τε vulgo oἱ ἐπί τε b. [f] Sic S. τε vulgo om. [g] Θεσπιέας et Πλαταιέας unus ms. apud Wesseling. τε post Θεσπιέων om. S. qui Καριστίους. [h] Sic S. edd. vett. Schæfer. cf. 95. ἐπεμνήσθημεν M.P.K.F. [i] Sic F.a.d. Schæfer. Reisk. Koen. προσέβ. S. vulg. [k] ἐνδοτέρω b.d. [l] οἱ om. b.

67 Ἐπεὶ ὦν [a] ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες [b] οὗτοι, πλὴν Παρίων· (Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ, ἐκαραδόκεον τὸν πόλεμον [c] κῇ ἀποβήσεται·) οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι συμμῖξαί τε 2 καὶ πυθέσθαι τῶν [d] ἐπιπλωόντων τὰς γνώμας. Ἐπεὶ δὲ [e] ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νηῶν, καὶ ἵζοντο ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε· πρῶτος μὲν, ὁ Σιδώνιος βασιλεύς· 3 μετὰ δὲ, ὁ Τύριος· ἐπὶ δὲ, ὦλλοι. ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον, [f] εἰρώτα, ἀποπειρώμενος ἑκάστου, εἰ ναυμαχίην [g] ποιέοιτο.

Ibi cum Xerxes de prœlio navali deliberaturus suos convocasset,

68 Ἐπεὶ δὲ περιϊὼν εἰρώτα ὁ Μαρδόνιος, ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, [a] οἱ μὲν δὴ ἄλλοι κατὰ τὠυτὸ γνώμην [b] ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι, Ἀρτεμισίη δὲ τάδε ἔφη· "[c] Εἰπεῖν μοι πρὸς βασιλέα, 2 "Μαρδόνιε, ὡς ἐγὼ τάδε λέγω. Οὔτε [d] κακίστην "γενομένην ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς Εὐβοίῃ,

pugna, cæteris suadentibus, a sola Artemisia [7, 99.], muliere viris longe callidiori, dissuadetur.

67. [a] Sic M.P.K.F.V.S. *ἀπικέατο* Ald. et forte alii. [b] *οὗτοι* om c. Ald. [c] Sic P.K.F.a.b. Schæfer. *ᾗ ἀποβ.* S.V. *τῇ ἀποβ.* Wessel. et al. cf. 68. Mox *θέλων* S. [d] Sic S.V. *ἐπιπλεόντων* vulg. [e] *ἀπικόμενοι παρῆσαν* b.d. absque *προΐζ.* [f] Sic S.V.P. *ἠρώτα* M.F. al. [g] Sic S.V. Paris. Ald. *ποιέοιντο* M.P.K.F.

68. [a] *οἱ μὲν δὴ ὦλλοι* S.V. Wessel. *οἱ μὲν ἄλλοι* alii plerique. Vid. Koen. ad Gregor. Dial. Dor. 12. [b] *ἐπεφέροντο* K.P. *ἀπεφ.* unus ms. apud Wesseling. [c] *εἶπαί μοι* Ald. Wessel. Schæfer. Bekker. *εἰπέ μοι* Steph. *εἰπεῖν* S.V. *εἰπεῖν μοι* M.P.K. forte alii. [d] *κακίστην γενομένην—ἀποδεξαμένην* M.P.K.F. *κακίστη γενομένη—ἀποδεξαμένη* S. vulgo. Tum unus ms. apud Wessel. *δεξαμένη*. *προσδεξαμένη* S.V. *ἐλάχιστά πω δεξαμένη* b. Mox *τήνδε ἐοῦσαν* S. *τὴν δὲ ἐοῦσαν* plerique alii. *δὲ* cum Valcken. et Schæfer. delent Schweighæuser. et Bekker. *τὴν ἐοῦσαν γνώμην veram animi mei sententiam* interpretatur Valckenær. *τήνδε οὖσαν me talem* Wesseling. *τήνδε ἐοῦσαν* [aut *τοίηνδε ἐοῦσαν*] *γνώμην* [i.e. *ἐν γνώμης λόγῳ καὶ τάξει*] *με δ.* *me, inquam, quam hic vides* (aut *talis cum sim*) *decet sententiæ loco ea pronunciare quæ judicem optima.* Reisk.

“ οὔτε ἐλάχιστα ἀποδεξαμένην, δέσποτα, τήνδε ἐοῦ- 650
“ σαν γνώμην με δίκαιόν ἐστιν ἀποδείκνυσθαι, τὰ
“ τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά.
3 “ καί τοι τάδε λέγω· φείδεο τῶν νηῶν, μηδὲ ναυμα-
“ χίην [e] ποιέο· [f] οἱ γὰρ ἄνδρες τῶν σῶν ἀνδρῶν
“ κρέσσονες [g] τοσοῦτό εἰσι κατὰ θάλασσαν, ὅσον
4 “ ἄνδρες γυναικῶν. τί δὲ πάντως δέει σε ναυμαχίῃσι
“ ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶνπερ
“ εἵνεκα ὡρμήθης στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην
“ Ἑλλάδα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς· [h] οἳ δ'
“ ἔτι ἀντέστησαν, ἀπήλλαξαν οὕτω ὡς [i] κείνους
2 5 “ ἔπρεπε. Τῇ δὲ ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν
“ ἀντιπολέμων πρήγματα, τοῦτο φράσω. ἢν μὲν μὴ
“ ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ [k] τὰς νῆας
“ αὐτοῦ ἔχῃς πρὸς γῇ μένων, ἢ καὶ προβαίνων ἐς τὴν
“ Πελοπόννησον, εὐπετέως τοι, δέσποτα, χωρήσει τὰ
6 “ νοέων ἐλήλυθας. οὐ γὰρ οἷοί τε πολλὸν χρόνον
“ εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας [l] δια-
7 “ σκεδᾷς, [m] κατὰ πόλις δὲ ἕκαστοι φεύξονται. οὔτε
“ γὰρ σῖτος πάρα σφίσι ἐν τῇ νήσῳ ταύτῃ, ὡς ἐγὼ
“ πυνθάνομαι· [n] οὔτε αὐτοὺς οἰκὸς, ἢν σὺ ἐπὶ τὴν
“ Πελοπόννησον [o] ἐλαύνῃς τὸν πεζὸν στρατὸν, [p] ἀτρε-

[e] Sic K.F. Schæfer. cf. I. 90. 180. ποίεε S.V. ποιέεο Wessel. al. [f] οἱ γὰρ S.V.K.P.F.a.c. Vulg. τοι. [g] τοσοῦτό εἰσι P.K.F. Schæfer. τοσοῦτον S. Ald. Wessel. [h] Sic F. εἴ δέ τι b. οἳ δή τοι vulg. οἳ δέ τοι ἀντιστάται S. οἳ δέ τοι Ald. Bekker. [i] Sic V. Schæfer. ἐκείνους S.P.K.F.a. ἐκείνοις Wessel. al. cf. IV. 139. [k] αὐτοῦ δὲ ἔχῃς τὰς νῆας S. qui supra ποιεόμενος, et mox προσβαίνων. Pro ἔχῃς Koenius apud Valcken. σχῇς. [l] διασκεδάσεις b.d. Supra ἔσονταί τοι ἀντέχειν Plutarchus. [m] κατὰ πόλις δὲ P.K. Plut. κατὰ πόλιας δέ τοι V.S. κατὰ πόλεις γὰρ unus ms. apud Wessel. κατὰ δὲ πόλις edd. vett. κατὰ πόλεις δὲ F. Mox οὔτε αὐτοῦ οἰκὸς, ob seqq. τοὺς ἐκεῖθεν αὐτῶν ἥκοντας, Koenius. [n] Verum fuerit οὔτε αὐτοῦ. Schweigh. [o] ἐλαύνεις F. [p] ἀτρεμιεῖν K.F. Schæfer. et probavit Wesseling. ἀτρεμήσειν Plutarch. ἀτρεμέειν S. et al.

" μιεῖν τοὺς ἐκεῖθεν αὐτῶν ἥκοντας· οὐδέ σφι μελήσει
8 " πρὸ τῶν Ἀθηναίων ναυμαχέειν. Ἢν δὲ αὐτίκα
" ἐπειχθῇς [q] ναυμαχῆσαι, δειμαίνω μὴ ὁ ναυτικὸς
" στρατὸς κακωθεὶς τὸν πεζὸν [r] προσδηλήσηται.
" πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν [s] βαλεῦ, ὡς 651
" τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι
9 " [t] φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι, χρηστοί. σοὶ
" δὲ, ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων, κακοὶ δοῦλοί
" [v] εἰσι, οἳ [w] ἐν συμμάχων λόγῳ λέγονται εἶναι, ἐόν-
" τες Αἰγύπτιοί τε καὶ Κύπριοι καὶ Κίλικες καὶ
69 " [x] Πάμφυλοι, τῶν ὄφελός ἐστι οὐδέν." Ταῦτα λε-
γούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἦσαν εὔνοοι τῇ
Ἀρτεμισίῃ συμφορὴν ἐποιεῦντο τοὺς λόγους, ὡς κα-
κόν [a] τι πεισομένης πρὸς βασιλέος, ὅτι οὐκ ἐᾷ ναυ-
μαχίην ποιέεσθαι· οἱ δὲ [b] ἀγαιόμενοί τε καὶ φθονέ-
οντες αὐτῇ, ἅτε ἐν πρώτοισι [c] τετιμημένης διὰ πάντων
τῶν συμμάχων, ἐτέρποντο τῇ [d] κρίσι, ὡς ἀπολεομένης
2 αὐτῆς. Ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα,
κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης· καὶ νομί-
ζων ἔτι πρότερον σπουδαίην εἶναι, τότε πολλῷ μᾶλ-
3 λον αἴνεε. ὅμως δὲ τοῖσι [e] πλέοσι πείθεσθαι ἐκέλευε
τάδε, καταδόξας πρὸς μὲν [f] Εὐβοίῃ σφέας ἐθελοκα-
κέειν, ὡς οὐ παρεόντος αὐτοῦ· τότε δὲ αὐτὸς παρε-
σκεύαστο θεήσασθαι ναυμαχέοντας.

Nihilo minus sequiore consilio Xerxi probato, Persica classis Græcam aggressura,

[q] ναυμαχέειν S.V. [r] Sic M.P.K.F. προδηλ. Plut. S.a. al. [s] Sic Ald. S.V.a.c. βάλεο M.P.K.F.b.d. Stobæus 62, 51. [t] φιλοῦσι F. [v] εἰσι γίνεσθαι F. [w] ἐν om. S. qui mox om. εἶναι. [x] Πάμφιλοι F.

69. [a] τι om. K. Supra εὔνοοι ἦσαν S. et ἐποιέοντο. [b] ἀγεόμενοι S.V. Supra ἔα in imperfecto Wesseling. et Valck. [c] Sic M.P.K. S.V.F.a.c.d. τετιμημένη edd. vett. [d] κρίσει S.V. ἀνακρίσι Wessel. Bekker. al. Mox ἐπειδὴ δὲ S. [e] Sic P.F. Paris. Ald. πλείοσι S.V. [f] Εὐβοίης S.

Salaminem versus provehitur.

70 [a]Ἐπειδὴ δὲ [b]παρήγγελλον [c]ἀναπλώειν, ἀνῆγον
τὰς νῆας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν δια-
2 ταχθέντες κατ' ἡσυχίην. τότε μέν νυν οὐκ [d]ἐξέχρησε
σφι ἡ ἡμέρη ναυμαχίην [e]ποιήσασθαι· νὺξ γὰρ [f]ἐπε-
γένετο· οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην.
Τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ
3 ἥκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. ἀρρώδεον δέ, ὅτι
αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθη-
ναίων ναυμαχέειν μέλλοιεν· νικηθέντες [g]τε, ἐν νήσῳ
[h]ἀπολαμφθέντες [i]πολιορκήσονται [k]ἀπέντες τὴν ἑωυ-
τῶν ἀφύλακτον.

Quæ dum aguntur, et terrestris Persarum exercitus in Isthmum movet a Peloponnesiis diligenter custoditum.

71 Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν
νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ
δυνατὰ πάντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ
2 [a]ἐσβάλοιεν οἱ βάρβαροι. Ὡς γὰρ ἐπύθοντο τάχιστα
Πελοποννήσιοι τοὺς ἀμφὶ [b]Λεωνίδεα ἐν Θερμοπύλῃσι
τετελευτηκέναι, [c]συνδραμόντες ἐκ τῶν πολίων, ἐς τὸν
Ἰσθμὸν ἵζοντο· καί σφι ἐπῆν στρατηγὸς Κλεόμβρο-
3 τος, ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. ἱζόμενοι
δὲ ἐν τῷ Ἰσθμῷ, καὶ [d]συγχώσαντες τὴν [e]Σκιρωνίδα 652
ὁδὸν, μετὰ τοῦτο, ὥς σφι ἔδοξε βουλευομένοισι, [f]οἰ-
4 κοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. [g]ἅτε δὲ ἐουσέων
μυριαδέων πολλέων, καὶ παντὸς ἀνδρὸς ἐργαζομένου,

70. [a] Sic S.V. Wessel. ἐπεὶ δὲ F.a. Ald. cf. II. 2. VII. 36. [b] παρήγγειλον F. παρήγγελλεν, i. e. Xerxes, malebat Valckenær. [c] ἀναπλέειν F. Mox διαταχθέντες τε καθ' S. [d] Unus ms. apud Wessel. ἔχρησε. [e] Sic S.V.P.K.F.a. ποιέεσθαι Wessel. al. Tum νύξ τε γὰρ S. [f] Sic M.S.V.P.K.F. ἐγένετο a. vulg. [g] δὲ mallet Schweighæuserus. [h] ἀπολαφθέντες P. e corr. [i] πολιορκήσεσθαι K. [k] ἀφέντες F.

71. [a] Sic F. ἐμβάλοιεν S.V. ἐσβάλλοιεν Wessel. al. [b] Sic S.V. Wessel. Λεωνίδην al. [c] συνδραμόντες τε S. [d] συχνώσαντες F. [e] Σκειρωνίδα S. Σκληρωνίδα F. [f] Sic S.V.P.F. ᾠκοδ. [g] Sic F. ἅτε δὴ vulg.

5 [h] ἤνετο τὸ ἔργον. καὶ γὰρ λίθοι, [i] καὶ πλίνθοι, καὶ
ξύλα, καὶ φορμοὶ ψάμμου πλήρεες [k] ἐσεφορέοντο, καὶ
[l] ἐλίνυον οὐδένα χρόνον οἱ βοηθήσαντες ἐργαζόμενοι,
72 οὔτε νυκτὸς, οὔτε ἡμέρης. Οἱ δὲ [a] βωθήσαντες ἐς τὸν
Ἰσθμὸν πανδημεὶ, οἵδε ἦσαν Ἑλλήνων· Λακεδαιμό-
νιοί τε καὶ Ἀρκάδες πάντες, καὶ Ἠλεῖοι, καὶ Κορίν-
θιοι, καὶ Σικυώνιοι, καὶ Ἐπιδαύριοι, καὶ Φλιάσιοι,
2 καὶ Τροιζήνιοι, καὶ [b] Ἑρμιονέες. οὗτοι μὲν ἦσαν οἱ
βοηθήσαντες καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κιν-
δυνευούσῃ· τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι [c] ἔμελε
οὐδέν. Ὀλύμπια δὲ καὶ [d] Κάρνεια παροιχώκεε ἤδη.

Quæ Peloponnesi gentes Isthmum contra Xerxem communiverint.

73 [a] Οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά. τούτων
δὲ τὰ μὲν δύο, αὐτόχθονα ἐόντα, κατὰ χώρην ἵδρυται
νῦν τε καὶ τὸ πάλαι οἴκεον, [b] Ἀρκάδες τε, καὶ [c] Κυ-
2 νούριοι. ἓν δὲ ἔθνος, τὸ Ἀχαϊκὸν, ἐκ μὲν Πελοπον-
νήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυτῶν· οἰκέε δὲ
τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα,
ἐπήλυδά ἐστι, Δωριέες τε, καὶ Αἰτωλοὶ, καὶ Δρύοπες,
3 καὶ [d] Λήμνιοι. [e] Δωριέων μὲν, πολλαί τε καὶ δόκιμοι
πόλις· [f] Αἰτωλῶν δὲ, Ἦλις μούνη· [g] Δρυόπων δὲ, 653
[h] Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ

Hanc peninsulam quot populi incolant: eorum origines.

[h] Sic P. Steph. marg. cf. I. 189. ἤρετο F. ἠνύετο S. vulg. [i] καὶ πλίνθοι om. M. [k] Sic S.V. Wessel. ἐσεφέροντο F.a.b.c. Ald. [l] ἐλίννυον b. cf. ad I. 67. Præcipue videndus Blomfield. Gloss. Æschyl. Prom. 53.

72. [a] Sic Wessel. ex Eustath. Il. p. 228, 16=218, 21. βοηθήσαντες S. Ald. al. [b] Ἑρμινέες S. [c] ἔμελλεν (vel ἔμελλε) S.P. Ald. F. [d] Κάρνια S.

73. [a] Spectat hæc Eustath. Il. p. 289, 9=218, 43. Mox νῦν τῇ καὶ cum Schæfero ediderunt Schweighæuser. et Bekker. τὴν νῦν τε καὶ Reiskius et Koenius. τῇ νῦν τε Wesselingius, ἵδρυται νῦν, τὴν καὶ Valckenærius. [b] Sic S.V.P.K.F. (ubi Ἀρκάδας) τε vulgo om. [c] Κινούριοι b. Mox οἰκέει S. Ald. Matth. [d] Λίμνυοι (vel Λίμνυοι) F. Mox πόλιες S. [e] Sic mss. καὶ Δωριέων edd. vett. [f] Eustath. Il. p. 303, 38=229, 47. [g] Δρυόπων τε F. [h] Ἑρμιόνη V.S. K.A.B. ut Homer. Il. β΄. 560. Ἑρμιώνη F. Ἑρμίων M.P.

4 Λακωνικῇ· Λημνίων δὲ, Παρωρεῆται πάντες. οἱ δὲ
[i]Κυνούριοι, αὐτόχθονες ἐόντες, δοκέουσι μοῦνοι εἶναι
Ἴωνες· [k]ἐκδεδωρίευνται δὲ, ὑπό τε Ἀργείων ἀρχό-
μενοι [l]καὶ τοῦ χρόνου, ἐόντες [m]Ὀρνεῆται [n]καὶ περί-
5 οικοι. Τούτων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ [o]πόλις,
πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου ἐκατέατο· εἰ δὲ
ἐλευθέρως ἔξεστι [p]εἰπεῖν, ἐκ τοῦ μέσου κατήμενοι
ἐμήδιζον.

Accepto nuntio, Isthmum peti a barbaris, Græci ad Salaminem collecti fugæ consilium denuo ineunt.

74 Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ, τοιούτῳ πόνῳ [a]συνέ-
στασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη [b]δρόμον θέοντες,
καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες [c]ἐλλάμψεσθαι· οἱ δὲ
ἐν [d]Σαλαμῖνι ὁμῶς, ταῦτα πυνθανόμενοι, ἀρρώδεον,
οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ
2 τῇ Πελοποννήσῳ. ἕως μὲν δὴ αὐτῶν ἀνὴρ ἀνδρὶ
παραστὰς σιγῇ λόγον ἐποιέετο, [e]θῶμα [f]ποιεύμενοι
τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ, ἐξερράγη ἐς τὸ
μέσον, σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο
3 περὶ τῶν αὐτῶν. οἱ μὲν, ὡς ἐς τὴν Πελοπόννησον
[g]χρεὸν εἴη [h]ἀποπλώειν, καὶ περὶ ἐκείνης κινδυνεύειν,
μηδὲ πρὸ χώρης [i]δοριαλώτου μένοντας μάχεσθαι·
Ἀθηναῖοι δὲ, καὶ Αἰγινῆται, καὶ Μεγαρέες, αὐτοῦ

[i] Κυνοῦροι b. [k] ἐκδεδωρίαται Steph. marg. ἐκ δὲ δωριᾶται K.P. ἐκδεδωριᾶται b. ἐκδεδωρίατε F. [l] καὶ ὑπὸ τοῦ malebat Schweigh. [m] Sic S.V.B. edd. vett. Ὀρνεᾶται M.P.K.F. ὠρνεῆται c. [n] Sic S.V. καὶ οἱ π. vulg. Mox τούτων F. τουτέων S. vulg. [o] Sic K. Wessel. πόλιες S. edd. vett. [p] εἶπαι] εἶπειν S.V.K.F.

74. [a] συνέστησαν K. [b] Sic Eustath. Il. p. 1264, 15=1363, 16. ubi τὸν π. τ. π. ἤ. δρόμον. necnon p. 259, 8. ed. Bas. ubi δρόμου Rom. p. 342, 20. cum mss. et edd. vett. Vid. Schæfer. ad Bosii Ellips. Gr. v. Δρόμος. [c] ἐνλάψεσθαι P. e corr. [d] Sic M.P.K. Paris. F. Vall. Σαλαμῖνι Ἕλληνες S. edd. vett. Tum πυνθανόμενοι ταῦτα S. [e] Sic S.K.F. θώϋμα edd. [f] Sic M.P.K.F. ποιεόμενος S.V. ποιεύμενος a. Ald. [g] Sic S. χρεὼν al. [h] ἀποπλέειν F. [i] Sic S.F. cf. Wesseling. ad Diodor. XVI. 20. Schweighæuser. ad Appian. III. p. 159. Polyb. XVIII. 34. δορυαλώτου vulg.

75 μένοντας [k] ἀμύνασθαι. Ἐνθαῦτα Θεμιστοκλέης, ὡς 654
Stratagema Themistoclis hoc consilium eludentis.
ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν
2 ἐξέρχεται ἐκ τοῦ συνεδρίου. ἐξελθὼν δὲ, πέμπει ἐς
τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλά-
μενος τὰ λέγειν [a] χρεόν· τῷ οὔνομα μὲν ἦν [b] Σίκιννος,
οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν [c] Θεμιστοκλέος
παίδων· τὸν δὴ ὕστερον τούτων τῶν πρηγμάτων
Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ
3 Θεσπιέες [d] πολιήτας, καὶ χρήμασι ὄλβιον. ὃς τότε
πλοίῳ ἀπικόμενος, ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν
βαρβάρων τάδε· "Ἔπεμψέ [e] με στρατηγὸς ὁ Ἀθη-
"ναίων λάθρη τῶν ἄλλων Ἑλλήνων, (τυγχάνει γὰρ
"φρονέων τὰ βασιλέος, καὶ βουλόμενος μᾶλλον τὰ
"ὑμέτερα [f] κατύπερθε [g] γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων
"πρήγματα,) φράσοντα, ὅτι οἱ Ἕλληνες δρησμὸν
4 "βουλεύονται καταρρωδηκότες. καὶ νῦν παρέχει κάλ-
"λιστον ὑμέας [h] ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν
5 "μὴ περιΐδητε διαδράντας αὐτούς. οὔτε γὰρ ἀλλή-
"λοισι ὁμοφρονέουσι, [i] οὔτ' ἔτι ἀντιστήσονται ὑμῖν·
"πρὸς ἑωυτούς τε σφέας ὄψεσθε ναυμαχέοντας τοὺς
"τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή." Ὁ μὲν,
76 ταῦτά σφι σημήνας, ἐκποδὼν [k] ἀπαλλάσσετο. Τοῖσι
Persæ a Themisto-
δὲ ὡς πιστὰ [a] ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν, ἐς

[k] ἀμύνεσθαι S.V.P.K.a. Supra Ἀθηναῖοί τε καὶ S.

75. [a] Ita Schweighæuser. χρεὼν edd. χρῆν S.V. [b] Sic P.S. Vall. Σίκυννος F. Σίκινος al. [c] Θεμιστοκλῆος] Θεμιστοκλέος F.S. Mox τῶν πρηγμάτων τούτων et ὁ Θεμιστ. S. [d] Sic S.K. πολίτας F.a. Ald. [e] με om. P.K. ἔπεμψεν ὁ στ. Ἀθ. F. [f] κατυπέρτερα S. (cf. VII. 233.) absque μᾶλλον, quod om. et V. [g] Sic S.V.P.K.F.a.c.d. γενέσθαι b. et vulg. Mox βούλονται S. [h] Sic Ald. ἔργον πάντων S.V. ἔργων Steph. Gronov. cum F.a. ἔργ. ἁπ. om. b. [i] Sic Schæfer, οὐτέ τι S.V. οὔτε vulgo. [k] ἀπηλλάσσετο S.

76. [a] Sic S.V.P.F.a. ἐγένετο vulg.

τὴν νησῖδα τὴν [b] Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε
κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων
[c] ἀπεβιβάσαντο· τοῦτο δὲ, ἐπειδὴ ἐγίνοντο μέσαι
νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλού-
μενοι πρὸς τὴν Σαλαμῖνα· ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν
Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, [d] κατεῖχόν 655
τε μέχρι Μουνυχίης [e] πάντα τὸν πορθμὸν τῇσι νηυσί.
2 τῶνδε δὲ [f] εἵνεκεν ἀνῆγον τὰς νῆας, ἵνα δὴ τοῖσι
Ἕλλησι [g] μηδὲ φυγέειν ἐξῇ, ἀλλ' [h] ἀπολαμφθέντες ἐν
τῇ Σαλαμῖνι, δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγω-
3 νισμάτων. ἐς δὲ τὴν νησῖδα τὴν Ψυττάλειαν καλεο-
μένην ἀπεβίβαζον τῶν Περσέων, τῶνδε εἵνεκεν, ὡς,
ἐπεὰν [i] γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισο-
μένων τῶν τε ἀνδρῶν καὶ τῶν [k] ναυηγίων, (ἐν γὰρ
δὴ [l] πόρῳ [m] τῆς ναυμαχίης τῆς μελλούσης [n] ἔσεσθαι
ἔκειτο ἡ νῆσος,) ἵνα τοὺς μὲν περιποιῶσι, τοὺς δὲ
4 διαφθείρωσι. [o] ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθα-
νοίατο οἱ ἐναντίοι. οἱ μὲν δὴ ταῦτα τῆς [p] νυκτὸς,
οὐδὲν ἀποκοιμηθέντες, παραρτέοντο.

cle illecti, classem Græcorum undique cingentes fuga excludunt.

77 Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας.

Bacidis oraculum huc spectans Græciæque salutem portendens.

[b] Hinc Steph. Byz. in Ψυττάλεια. [c] ἀπεβίβασαν S.V. Schæfer. Bekker. ἀπεβάσαντο P. Equidem in vulg. adquievi: nec enim alienus ab h. l. verbi medii usus: nam *sui caussa, suis rationibus consulentes,* in insulam istam hos *transmiserunt* Persæ: nec obstat quod infra ἀπεβίβαζον legitur. cf. IX. 32. Schweigh. Tum νύκτες μέσαι S. [d] κατεῖχον S.V.P.K.F. κατέχον edd. κάτεχον Bekker. [e] παρὰ τὸν M.K.P.F.b. [f] Sic S. (qui τῶν, δὲ pro τῶνδε δὲ) V. εἵνεκα F. Wessel. al. [g] μὴ φ. S.V. μὴ φυγεῖν F. [h] ἀπολαφθ. P. [i] γίνητε P. γίνηται K.F.a. Supra εἵνεκα Ald. [k] ναυηγέων S. [l] πόρρῳ F. edd. vett. [m] Sic P. Schæfer. τῆς μαχίης F. τῆς S. et vulgo om. [n] ἔσεσθαι om. S.V. [o] ἐποίεον F. [p] νυκτὸς—ἀπαλλαγῆναι οὕτω δὴ c. 84. om. S.V. Videtur in communi exemplari utriusque codicis unum folium aut duo h. l. olim intercidisse. Schweigh.

2 [a]'Αλλ' ὅταν 'Αρτέμιδος [b]χρυσαόρου ἱερὸν ἀκτὴν
νηυσὶ γεφυρώσωσι, καὶ εἰναλίην Κυνόσουραν,
ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες 'Αθήνας,
δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,
δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα [c]τίθεσθαι.
3 Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον [d]φοινίξει. τότ' ἐλεύθερον 'Ελλάδος ἦμαρ
εὐρύοπα Κρονίδης [e]ἐπάγει, καὶ πότνια Νίκη.

4 'Ες τοιαῦτα μὲν, καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι, ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω, οὔτε παρ' ἄλλων ἐνδέκομαι.

78 *Græcorum duces inscii adhuc, quid Persæ molirentur,*

Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο [a]ὠθισμὸς λόγων πολλός. 656 ᾔδεσαν δὲ οὔκω, ὅτι σφέας [b]περιεκυκλέοντο τῇσι νηυσὶ οἱ βάρβαροι· ἀλλ', ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι.

79 *primum ab Aristide Atheniensi, claro justitiæ laude, sed tum exsule, rem accipiunt.*

[a]Συνεστηκότων δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη 'Αριστείδης ὁ Λυσιμάχου, ἀνὴρ 'Αθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν 'Αθήνῃσι καὶ δικαιότατον.
2 οὗτος ὡνὴρ στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν, λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ
3 συμμίξαι. [b]προακήκοε δὲ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νῆας πρὸς τὸν 'Ισθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε 'Αριστείδης τάδε·

77. [a] ἀλλ' om. F. [b] Sic P.K.F. Paris. Sic 'Απόλλωνος χρυσαόρου Il. έ. 509. χρυσάορον edd. vett. [c] Sic F. πυθέσθαι edd. πείθεσθαι P. πιθέσθαι a. Matth. Bekker. et forte Valla. [d] φοινίξῃ Ald. [e] ἀπάγει d.

78. [a] ὠθησμὸς a.c. [b] Sic M.P.K. περικυκλέοντο F. περιεκυκλοῦντο Ald.

79. [a] συνεστηκότων vertebatur *congregatis*: sed vide I. 237. IV. 132. Wessel. [b] προακηκόεε Matthiæ et Bekker.

4 “Ἡμέας στασιάζειν [c] χρεόν ἐστι, [d] ἔν τε τῷ ἄλλῳ
“ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε, περὶ τοῦ ὁκότερος ἡμέων
“ πλέω ἀγαθὰ [e] τὴν πατρίδα ἐργάσεται. [f] λέγω δέ
“ τοι, ὅτι ἶσόν ἐστι πολλά τε καὶ ὀλίγα λέγειν περὶ
5 “ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ
“ αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν, οὐδ᾽ ἢν
“ θέλωσι, Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε
“ ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πο-
“ λεμίων κύκλῳ. ἀλλ᾽ ἐσελθών σφι ταῦτα σήμηνον.”
80 Ὁ δ᾽ ἀμείβετο τοῖσδε· “Κάρτα τε χρηστὰ διακε-
“ λεύεαι, καὶ εὖ ἤγγειλας. τὰ γὰρ ἐγὼ ἐδεόμην γενέ-
2 “ σθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. ἴσθι γὰρ,
“ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. ἔδεε γὰρ, ὅτε
“ οὐκ ἑκόντες [a] ἔθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλ-
“ ληνες, ἀέκοντας [b] παραστήσασθαι. σὺ δὲ, ἐπείπερ
“ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον.
3 “ ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν, καὶ
“ οὐ πείσω, ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα.
4 “ ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει. ἐπεὰν
“ δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλ-
“ λιστα· ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὁμοῖον
“ ἡμῖν ἔσται. οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιε-
81 “ χόμεθα πανταχόθεν, ὡς σὺ λέγεις.” Ταῦτα ἔλεγε 657
παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε Cui cum fidem plerique non haberent,
ἥκειν, καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας·
περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν
ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνε-
2 βούλευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν, ταῦτα εἴπας,

c Vulgo χρεών. d Sic P.F. τε om. edd. vett. e Sic M.P.K.F. τῇ πατρίδι Ald. f Sic M.K.P.F. τοι vulg. om.
80. a ἤθελον K.F. b παραστήσεσθαι F.

2 [a]'Αλλ' ὅταν 'Αρτέμιδος [b]χρυσαόρου ἱερὸν ἀκτὴν
νηυσὶ γεφυρώσωσι, καὶ εἰναλίην Κυνόσουραν,
ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες 'Αθήνας,
δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,
δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα [c]τίθεσθαι.
3 Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον [d]φοινίξει. τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
εὐρύοπα Κρονίδης [e]ἐπάγει, καὶ πότνια Νίκη.

4 Ἐς τοιαῦτα μὲν, καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι, ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω, οὔτε παρ' ἄλλων ἐνδέκομαι.

78 Græcorum duces inscii adhuc, quid Persæ molirentur,

Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο [a]ὠθισμὸς 656 λόγων πολλός. ᾔδεσαν δὲ οὔκω, ὅτι σφέας [b]περιεκυκλέοντο τῇσι νηυσὶ οἱ βάρβαροι· ἀλλ', ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι.

79 primum ab Aristide Atheniensi, claro justitiæ laude, sed tum exsule, rem accipiunt.

[a]Συνεστηκότων δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη 'Αριστείδης ὁ Λυσιμάχου, ἀνὴρ 'Αθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν 'Αθήνῃσι καὶ δικαιότατον. 2 οὗτος ὡνὴρ στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν, λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ 3 συμμῖξαι. [b]προακήκοε δὲ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νῆας πρὸς τὸν 'Ισθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε 'Αριστείδης τάδε·

77. [a] ἀλλ' om. F. [b] Sic P.K.F. Paris. Sic 'Απόλλωνος χρυσαόρου Il. ε'. 509. χρυσάορον edd. vett. [c] Sic F. πυθέσθαι edd. πείθεσθαι P. πιθέσθαι a. Matth. Bekker. et forte Valla. [d] φοινίξῃ Ald. [e] ἀπάγει d.

78. [a] ὠθησμὸς a.c. [b] Sic M.P.K. περικυκλέοντο F. περιεκυκλοῦντο Ald.

79. [a] συνεστηκότων vertebatur *congregatis:* sed vide I. 237. IV. 132. Wessel. [b] προακηκόεε Matthiæ et Bekker.

4 "Ἡμέας στασιάζειν [c] χρεόν ἐστι, [d] ἔν τε τῷ ἄλλῳ
"καιρῷ καὶ δὴ καὶ ἐν τῷδε, περὶ τοῦ ὁκότερος ἡμέων
"πλέω ἀγαθὰ [e] τὴν πατρίδα ἐργάσεται. [f] λέγω δέ
"τοι, ὅτι ἶσόν ἐστι πολλά τε καὶ ὀλίγα λέγειν περὶ
5 "ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ
"αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν, οὐδ' ἢν
"θέλωσι, Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε
"ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πο-
"λεμίων κύκλῳ. ἀλλ' ἐσελθών σφι ταῦτα σήμηνον."
80 Ὁ δ' ἀμείβετο τοῖσδε· "Κάρτα τε χρηστὰ διακε-
"λεύεαι, καὶ εὖ ἤγγειλας. τὰ γὰρ ἐγὼ ἐδεόμην γενέ-
2 "σθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. ἴσθι γὰρ,
"ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. ἔδεε γὰρ, ὅτε
"οὐκ ἑκόντες [a] ἔθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλ-
"ληνες, ἀέκοντας [b] παραστήσασθαι. σὺ δὲ, ἐπείπερ
"ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον.
3 "ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν, καὶ
"οὐ πείσω, ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα.
4 "ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει. ἐπεὰν
"δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλ-
"λιστα· ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὁμοῖον
"ἡμῖν ἔσται. οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιε-
81 "χόμεθα πανταχόθεν, ὡς σὺ λέγεις." Ταῦτα ἔλεγε 657
παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε 1
ἥκειν, καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας·
περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν
ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνε-
2 βούλευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν, ταῦτα εἴπας,

Cui cum fidem plerique non haberent,

[c] Vulgo χρεών. [d] Sic P.F. τε om. edd. vett. [e] Sic M.P.K.F. τῇ πατρίδι Ald. [f] Sic M.K.P.F. τοι vulg. om.
80. [a] ἤθελον K.F. [b] παραστήσεσθαι F.

μετεστήκεε· τῶν δὲ αὖτις ἐγίνετο λόγων [a] ἀμφισβασίη· [b] οἱ γὰρ πλεῦνες τῶν στρατηγῶν οὐκ ἐπείθοντο
82 τὰ ἐξαγγελθέντα. Ἀπιστεόντων δὲ τούτων, ἧκε

Tenia triremis, ad Græcos transfuga, omnem tollit dubitationem.

τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν [a] ἀληθηΐην πᾶσαν. διὰ δὲ τοῦτο τὸ ἔργον [b] ἐνεγράφησαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι
2 τὸν βάρβαρον κατελοῦσι. Σὺν δὲ ὦν ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα, καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ [c] Λημνίῃ, ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νῆας· δύο γὰρ δὴ νηῶν τότε [d] κατέδεε ἐς τὸν ἀριθμόν.

83 Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν

Jam Græci ad pugnandum strenue se comparant. Themistoclis apud milites concio.

τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. [a] ἠώς τε διέφαινε, καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης· τὰ δὲ ἔπεα ἦν, πάντα κρέσσω
2 τοῖσι [b] ἥσσοσι ἀντιτιθέμενα. ὅσα δὲ ἐν ἀνθρώπου [c] φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ, τούτων τὰ κρέσσω αἱρέεσθαι. καὶ καταπλέξας τὴν ῥῆ-
3 σιν, [d] ἐσβαίνειν [e] ἐκέλευε ἐς τὰς νῆας. καὶ οὗτοι μὲν 658
δὴ ἐσέβαινον, καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. ἐνθαῦτα ἀνῆγον τὰς νῆας
84 ἁπάσας [f] οἱ Ἕλληνες. Ἀναγομένοισι δέ σφι, αὐτίκα

Incipit pugna ad Sa-

ἐπεκέατο [a] οἱ βάρβαροι. οἱ μὲν δὴ ἄλλοι Ἕλληνες

81. [a] Sic P.K.F. ἀμφισβησίη olim. cf. IV. 14. [b] Sic P.K.F. οἱ πλ. γὰρ Wessel. al.
82. [a] ἀληθείην K.F. [b] ἐγράφησαν F. [c] λίμνῃ F. [d] κατέδεον b.
83. [a] Sic F.a.c. Ald. ἠώς τε δὴ ἔφ. M.P.K. ἠώς τε δὴ διέφαινε Wessel. cf. VII. 217. IX. 47. [b] ἕσσοσι Schæfer. [c] φύσει—καταστάσει—δὲ τούτων—καταπλήξας F. Mox κρῆσιν P. [d] ἐκβαίνειν F. [e] ἐκέλευσε P. [f] οἱ om. P.K.F.
84. [a] οἱ om. a.

[b] ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ [c] ὤκελλον τὰς νῆας·
Ἀμεινίης δὲ Παλληνεὺς, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς,
2 νηῒ ἐμβάλλει. [d] συμπλακείσης δὲ τῆς νηὸς, καὶ οὐ
δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ [e] οἱ ἄλλοι Ἀμεινίῃ
3 βοηθέοντες συνέμισγον. [f] Ἀθηναῖοι μὲν οὕτω λέ-
γουσι [g] τῆς ναυμαχίης γενέσθαι τὴν ἀρχήν· Αἰγινῆται
δὲ, τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴ-
4 γιναν, ταύτην εἶναι τὴν ἄρξασαν. Λέγεται δὲ καὶ
τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη· φανεῖσαν δὲ
διακελεύσασθαι, ὥστε καὶ ἅπαν ἀκοῦσαι [h] τὸ τῶν
Ἑλλήνων στρατόπεδον, ὀνειδίσασαν πρότερον τάδε·
“Ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρού-
“εσθε;”

laminem [ineunte autumno a. 480.]. Variæ de ejus initio narrationes.

85 Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες·
(οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης
κέρας·) κατὰ δὲ Λακεδαιμονίους, Ἴωνες· οὗτοι δ'
2 εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. ἐθελο-
κάκεον μέντοι αὐτῶν, κατὰ τὰς Θεμιστοκλέος ἐντο-
3 λὰς, ὀλίγοι· οἱ δὲ πλεῦνες, οὔ. Ἔχω μέν νυν συχνῶν
οὐνόματα τριηράρχων καταλέξαι, τῶν νῆας Ἑλληνί-
δας ἑλόντων· χρήσομαι δὲ αὐτοῖσι οὐδὲν, πλὴν [a] Θεο-
μήστορός τε τοῦ Ἀνδροδάμαντος, καὶ Φυλάκου τοῦ
4 Ἱστιαίου, Σαμίων ἀμφοτέρων. [b] τοῦ δὲ εἵνεκα μέμνη-
μαι τούτων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ
ἔργον Σάμου ἐτυράννευσε, καταστησάντων τῶν Περ-

Acies utriusque classis. Iones quo animo pugnaverint. Orosangæ.

[b] Suidas in Ἐπὶ πρύμνην. Bekkerus ἐπὶ uncis inclusit. [c] Sic P.F. Suid. Schæfer. ὤκελον vulg. Tum ἀνὴρ Παλληνεὺς a. [d] συμπλεκείσης F. [e] οἱ ἄλλοι ἅμα νηῒ S. [f] Ἀθ. δὴ b. [g] Sic S.K.F. γενέσθαι τῆς ναυμ. vulg. [h] Sic S.K.F. τὸ στρατ. τ. Ἑ. Wessel. al.

85. [a] Θεμηστ. P. Θεομίστορος F. qui infr. Θεομήτωρ. cf. IX. 90. Supra νέας S. [b] Sic Schæfer. c. τοῦ, δὲ (sic) F.S. τοῦ δὲ Wessel. et al. τοῦδε δὲ Valcken. Bekker. Et hoc, et τοῦ δὲ legitimum esse monet Reiskius. Mox μόνων S.

σέων· Φύλακος δὲ, εὐεργέτης βασιλέος ἀνεγράφη, καὶ 5 χώρη [c] οἱ ἐδωρήθη πολλή. οἱ δ' εὐεργέται [[d] τοῦ] βασιλέος [e] ὀροσάγγαι καλέονται Περσιστί. περὶ μέν νυν τούτους οὕτω εἶχε.

86 Magna strages barbarorum quantumvis fortiter pugnantium: ejus causæ.

Τὸ δὲ πλῆθος τῶν νηῶν ἐν τῇ Σαλαμῖνι [a] ἐκεραΐζετο· αἱ μὲν, ὑπ' Ἀθηναίων διαφθειρόμεναι· αἱ δὲ, ὑπὸ Αἰγινητέων. 2 ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, 659 τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι, 3 οἷόνπερ ἀπέβη. καίτοι ἦσάν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν, ἢ πρὸς Εὐβοίῃ· πᾶς τις προθυμεόμενος, καὶ δειμαίνων Ξέρξην· [b] ἐδόκεέ τε ἕκαστος ἑωυτὸν [c] θεήσεσθαι βασιλέα.

87 Artemisiæ virtus, conjuncta cum calliditate:

Κατὰ μὲν δὴ τοὺς ἄλλους, οὐκ ἔχω [a] μετεξετέρους [b] εἰπεῖν ἀτρεκέως, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλέϊ. 2 [c] ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης 3 ἐδιώκετο ὑπὸ νηὸς Ἀττικῆς. καὶ ἣ, οὐκ ἔχουσα διαφυγέειν, ἔμπροσθε γὰρ αὐτῆς ἦσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς [d] πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα· ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε 4 ποιησάσῃ. διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς, φέρουσα ἐνέβαλε νηῒ φιλίῃ, ἀνδρῶν τε [e] Καλυνδέων, καὶ αὐτοῦ

[c] οἱ om. P.K.F.S.a.c. χώρῃ ἐδωρήθη πολλῇ a. [d] τοῦ om. F.S.a. Bekker. [e] ὀροσάναι b. Mox Περσηστὶ S.

86. [a] Vid. Eustath. Il. p. 364, 25=466. extr. Supra νεῶν S. Mox ἤμελλε S. [b] ἐδόκεέ τοι P. [c] θεήσασθαι S.V.F.a.c.

87. [a] μετεξετέρως b. [b] εἶπαι] εἰπεῖν V.S.K.F. et sic infr. Tum ὡς om. F. [c] Sic M.S.P.K.F. Paris. ἐπεὶ vulgo. βασιλεῖ F.S. non βασιλῆϊ. Mox ἡ ναῦς S. et paulo post νέως—νέες. [d] πρὸ τοῦ b. [e] Hinc Steph. Byz. in Κάλυνδα. Mox τοῦ Καλυνδέω F. Infra θαμασιθύμου S.

ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλέος Δαμασιθύμου.
5 εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ
Ἑλλήσποντον ἐόντων, οὐ μέντοι [f] ἔγωγε ἔχω εἰπεῖν,
[g] οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύ-
ρησε ἡ τῶν Καλυνδέων [h] κατὰ τύχην παραπεσοῦσα
6 νηῦς. ὡς δὲ [i] ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρη-
σαμένη, διπλᾶ ἑωυτὴν ἀγαθὰ ἐργάσατο. ὅ τε γὰρ τῆς
Ἀττικῆς νηὸς τριήραρχος, ὡς [k] εἶδέ μιν ἐμβάλλουσαν
νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα [l] τὴν Ἀρτε-
μισίης ἢ Ἑλληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ τῶν βαρ-
βάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας, πρὸς ἄλλας
88 ἐτράπετο. Τοῦτο μὲν, τοιοῦτο αὐτῇ συνήνεικε γενέ-
σθαι, διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ,
συνέβη ὥστε κακὸν ἐργασαμένην, ἀπὸ τούτων αὐτὴν
2 μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ,
βασιλέα θηεύμενον, μαθεῖν τὴν νῆα [a] ἐμβαλοῦσαν·
καὶ δή τινα [b] εἶπαι τῶν παρεόντων· "Δέσποτα, ὁρᾷς
"Ἀρτεμισίην, ὡς εὖ [c] ἀγωνίζεται, καὶ νῆα τῶν πολε-
"μίων κατέδυσε;" καὶ τὸν ἐπείρεσθαι, εἰ ἀληθέως
ἐστὶ Ἀρτεμισίης τὸ ἔργον· καὶ τοὺς φάναι [d] σαφέως
τὸ ἐπίσημον τῆς νηὸς ἐπισταμένους· τὴν δὲ διαφθα-
3 ρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. τά τε γὰρ ἄλλα, 660
ὡς εἴρηται, αὐτῇ [e] συνήνεικε ἐς εὐτυχίην γενόμενα,
καὶ τὸ τῶν ἐκ τῆς [f] Καλυνδικῆς νηὸς μηδένα [g] ἀπο-
4 σωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι

quo nomine illa Xerxi mirum in modum probatur.

[f] Sic S. Wesseling. cf. 128. ἔχω γε F.a.c. al. μέν τοι γε ἔχω b. [g] εἴτε—εἴτε K. [h] κατατυχεῖν P. [i] ἐνέβαλλε S.F. [k] οἶδέ S. qui supra νεός. [l] Sic K.F. edd. vett. τῆς Ἀρτ. S.P. Wessel. Gronov. νέα S.

88. [a] ἐμβαλλοῦσαν F. In pr. τοιοῦτον S. et infra νέα. [b] εἶπαι om. F. εἰπεῖν S. [c] διαγωνίζεται b. Tum νέα S. [d] Sic M.P.V.S. K.F. σαφῶς olim. Mox νεὼς S. [e] συνήνεικεν F.S. [f] Καλυνδίης νεὸς S. cf. I. 172. [g] ἀπωσθέντα F. Mox εἰπεῖν S.

λέγεται πρὸς τὰ φραζόμενα· "[h] Οἱ μὲν ἄνδρες γεγό-"νασί μοι γυναῖκες· αἱ δὲ γυναῖκες, ἄνδρες." ταῦτα μὲν Ξέρξην φασὶ [i] εἶπαι.

89 Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς [a] Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεὸς, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ ὀνομαστοὶ Περσέων καὶ Μήδων, καὶ τῶν ἄλλων συμμάχων· ὀλίγοι δέ τινες
2 καὶ Ἑλλήνων. ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νῆες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ
3 ἐπιστάμενοι. Ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτρά-
4 ποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ [b] πρόσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

Persarum et multi et illustres vel trucidati vel fluctibus hausti, paucis Græcorum cadentibus.

90 Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. τῶν τινες [a] Φοινίκων, τῶν αἱ νῆες [b] διεφθαρέατο, ἐλθόντες παρὰ βασιλέα, διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους
2 [c] ἀπολοίατο αἱ νῆες, ὡς προδόντων. συνήνεικε ὦν οὕτω, ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς [d] διαβάλλοντας λαβεῖν
3 [e] τοιόνδε μισθόν. ἔτι τούτων ταῦτα λεγόντων, ἐνέβαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς· ἥ τε δὴ Ἀττικὴ [f] κατεδύετο, καὶ ἐπιφερομένη [g] Αἰγιναίη νηῦς κατέ-

Supplicium inter ipsam pugnam, rege jubente, de Phœnicibus sumtum, quod, ignavi ipsi, culpam cladis in Iones conferrent.

[h] Hinc Eustath. Il. p. 211, 23=160, 11. et 668, 43=537, 48.
[i] εἰπεῖν S.

89. [a] Ἀριβίγνης F. [b] πρόσθε P.V.K.S.F. Paris. ἔμπροσθε edd. vett.
90. [a] Sic Wessel. ex Steph. marg. Φοίνικες S.F.a.c. edd. vett. [b] διεφθειρέατο a.c. διεφθάρατο Matth. Bekker. νέες S. [c] ἀπολλοίατο F. [d] Sic S.V.P.F. Paris. διαβαλόντας olim. [e] Sic mss. plerique. τοιοῦτον edd. vett. [f] κατεδυέπτο S. [g] Sic M.K.P.F. Αἰ-

4 δυσε τῶν Σαμοθρηΐκων τὴν νῆα. ἅτε δὴ ἐόντες
ἀκοντισταὶ οἱ Σαμοθρήϊκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς
καταδυσάσης νηὸς βάλλοντες [h] ἀπήραξαν, καὶ [i] ἐπέ-
βησάν τε καὶ ἔσχον αὐτήν. ταῦτα γενόμενα τοὺς
5 Ἴωνας ἐρρύσατο. ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον
μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, 661
οἷα ὑπερλυπεόμενός τε καὶ [k] πάντας αἰτιώμενος· καί
σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐ-
6 τοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. (ὅκως
γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀπο-
δεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ [l] οὔρεϊ
τῷ ἀντίον Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυν-
θάνετο τὸν ποιήσαντα· καὶ οἱ γραμματισταὶ ἀνέγρα-
7 φον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν.) πρὸς
δὲ ἔτι καὶ [m] προσελάβετο φίλος ἐὼν Ἀριαράμνης,
ἀνὴρ Πέρσης παρεών, τούτου τοῦ Φοινικηΐου πάθεος·
οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο.

Persæ victi Phalerum repetunt.

91 Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ
ἐκπλεόντων πρὸς τὸ Φάληρον, Αἰγινῆται, ὑποστάν-
2 τες ἐν τῷ πορθμῷ, ἔργα ἀπεδέξαντο λόγου ἄξια. οἱ
μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ [a] θορύβῳ ἐκεράϊζον τάς τε
ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νηῶν, οἱ δὲ
Αἰγινῆται τὰς [b] ἐκπλωούσας· ὅκως δέ τινες τοὺς

γινέῃ S. vulg. Mox Σαμοθρηκῶν τὴν νέα S. Tum ἅτε δὲ, aut ἅτε δὲ δὴ mallet Schweighæuser. [h] Sic F.S. ut ed. Wessel. conferens Sylburg. ad Dionys. Hal. VIII. p. 494. ἀπήρραξαν vulgo. Supra νεὸς S. [i] Sic M.K.P.F. Paris. Ald. Vall. ἀπέβησαν Steph. et seqq. [k] Sic M.V.S.P.K.F.a.b.d. πᾶν olim cum c. [l] ὄρει S.V. cf. Schol. Æschyl. Pers. 466. [m] Ita Reiskius, ut innuatur, *Ariaramnem, virum Persam, Ionum amicum, cum præsens adesset, calamitatem illam Phœnicum adjutasse criminando.* Placet Abreschii φίλος Ἰώνων ἐών, Dil. Thucyd. p. 112. WESSEL. edd. mss. προσεβάλετο, vel προσεβάλλετο. πρὸς δέ τι—προσεβάλετο Bekker.

91. [a] στρατοπέδῳ b. [b] Sic S.V. ἐκπλεούσας F. al. Supra νεῶν S.

Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς
92 Αἰγινήτας. Ἐνθαῦτα συνεκύρεον νῆες ἥ τε Θε-
μιστοκλέος διώκουσα νῆα, καὶ ἡ Πολυκρίτου τοῦ
Κριοῦ, ἀνδρὸς Αἰγινήτεω, νηῒ ἐμβαλοῦσα Σιδωνίῃ,
ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν
Αἰγιναίην, ἐπ' ἧς ἔπλεε Πυθέης ὁ [a] Ἰσχενόου, τὸν οἱ
Πέρσαι κατακοπέντα ἀρετῆς εἵνεκα εἶχον ἐν τῇ νηῒ
2 [b] ἐκπαγλεόμενοι. τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρ-
σῃσι ἥλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆ-
ναι ἐς Αἴγιναν. ὡς δὲ ἐσεῖδε τὴν νῆα τὴν Ἀττικὴν
ὁ Πολύκριτος, ἔγνω, τὸ σημήϊον ἰδὼν τῆς στρατη-
γίδος· καὶ βώσας τὸν [c] Θεμιστοκλέα, ἐπεκερτόμησε,
3 ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. ταῦτα
μέν νυν νηῒ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε ἐς
Θεμιστοκλέα. Οἱ δὲ βάρβαροι, τῶν αἱ [d] νῆες περιε-
γένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν 662
πεζὸν στρατόν.

Æginetæ purgati crimine τοῦ μηδισμοῦ.

93 Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ [a] ἤκουσαν Ἑλλήνων
ἄριστα Αἰγινῆται· ἐπὶ δὲ, Ἀθηναῖοι· ἀνδρῶν δὲ,
Πολύκριτός τε ὁ Αἰγινήτης, καὶ [b] Ἀθηναῖοι, Εὐμένης
τε ὁ [c] Ἀναγυράσιος, καὶ Ἀμεινίης Παλληνεύς· ὃς
2 καὶ Ἀρτεμισίην [d] ἐπεδίωξε. εἰ μέν νυν ἔμαθε ὅτι ἐν
ταύτῃ [e] πλέοι [f] ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρό-
3 τερον ἢ εἷλέ μιν, ἢ καὶ αὐτὸς ἥλω. τοῖσι γὰρ Ἀθη-
ναίων [g] τριηράρχοισι παρακεκέλευστο· πρὸς δὲ, καὶ

Qui inter Græcos rem fortissime gesserint.

92. [a] Ita H. Steph. probante Wessel. et Schæfer. ut VII. 181. Ἰσχένου S. vulg. Supra νέες—νέα S. qui retinet νηΐ. Tum Αἰγινένην S. [b] ἐκπλαγ. K.b. cf. VII. 181. Mox νέα S. [c] Θεμιστοκλῆα] Θεμιστοκλέα S.V.K.F. et mox. [d] νέες S.

93. [a] Citant Schol. Pindar. Isthm. V. fin. Plutarch. Themist. p. 120 D. [b] Sic S.V.P.F. Paris. Ἀθηναῖος edd. vett. [c] Ἀργυρράσιος S. [d] Sic V.S.P.K.F. Paris. ἀπεδίωξε al. [e] πλώει] πλέοι S.V.P.K. F.d. πλέει a. πλώοι Bekker. [f] ἡ om. S.V.P.K.F. [g] τριηράρχῃσι S.V. qui παρεκεκέλευστο.

ἄεθλον ἔκειτο μύριαι δραχμαὶ, ὃς ἄν μιν ζωὴν [h] ἕλῃ. δεινὸν [i] γάρ τι ἐποιεῦντο, γυναῖκα ἐπὶ τὰς Ἀθήνας
4 στρατεύεσθαι. αὕτη μὲν δὴ, ὡς πρότερον εἴρηται, [k] διέφυγε· ἦσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νῆες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ.

Quæ de Corinthiis in utramque partem ferantur.

94 [a] Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν, λέγουσι Ἀθηναῖοι, αὐτίκα κατ' ἀρχὰς ὡς συνέμισγον αἱ νῆες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον, οἴχεσθαι φεύγοντα· 663 ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα
2 [b] φεύγουσαν, ὡσαύτως οἴχεσθαι. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ [c] τὸ ἱρὸν Ἀθηναίης [d] Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ· τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι [e] τοῖσι
3 Κορινθίοισι. τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα· ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νηῶν τοὺς ἀπὸ τοῦ κέλητος, [f] λέγειν τάδε· "Ἀδείμαντε, σὺ μὲν "ἀποστρέψας τὰς νεῦς, ἐς φυγὴν ὥρμησαι κατα- "προδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον
4 " [g] αὐτοὶ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν." ταῦτα λεγόντων, ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες.
5 οὕτω δὴ [h] ἀποστρέψαντα τὴν νῆα, αὐτόν τε καὶ τοὺς ἄλλους, [i] ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατό-
6 πεδον. Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθη-

h ἕλοι b. i γάρ τοι] γάρ τι F.S.V. k διέφυγε om. F.

94. a Tangit Dio Chrys. p. 458 D. et Plutarch. II. p. 870 B. Mox νέες S. b φέρουσαν F. c τὸ om. P.F. κατὰ ἱρὸν τῆς Σαλαμινίης S. d Σκιρράδος S. Mox φάναι pro φανῆναι F. e τοῖσι Κορινθίοισι om. S.V. probante Wesselingio. Mox τῇ, δὲ σ. S. f λέγει F. Supra ἀπὸ κέλητος S. g αὖ S. h Sic M.S.P.K. Paris. F. ἀποστρέψαντες al. Mox νέα S. i ἐπεξειργ. edd. vett. cf. IV. 165.

ναίων. οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς.

95

Aristidis [c. 79.] insignis hoc in prœlio opera, barbarorum cladem multum augens.

Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ [a] ὀλίγῳ τι πρότερον τούτων [b] ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ
2 Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε. παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, [c] οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος [d] ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησίδι ταύτῃ κατεφόνευσαν πάντας.

96

Naufragia partim Salaminem, partim Coliadem delata: impletumque vetus de mulieribus Coliadibus oraculum.

Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, [a] κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι
2 βασιλέα. τῶν δὲ ναυηγίων πολλὰ [b] ὑπολαβὼν [c] ἄνεμος ζέφυρος, ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠϊόνα τὴν καλεομένην Κωλιάδα· ὥστε ἀποπλῆσαι τὸν χρησμόν, τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης 664
εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ [d] ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τούτων ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ, ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας·

3 [e] Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρίξουσι.

τοῦτο δὲ ἔμελλε [f] ἀπελάσαντος βασιλέος ἔσεσθαι.

95. [a] ὀλίγον S. cf. VII. 113. [b] ἐπεμνήσθην S.V.K.F. Schæfer. ἐμνήσθην Wessel. et al. [c] Sic M.P.K.S.V.F. Paris. οἱ πολλοὶ παρατετ. vulgo. [d] ἐόντας c.

96. [a] Sic M.P.K.S.V. Paris. κατερύ. F. κατερρύσ. edd. vett. [b] ὑποβαλὼν F. Mox ἀποπλῆσθαι Buttmannus pro ἀποπλῆσαι. [c] Sic S.F.a.c. Vulgo ὁ ἄνεμος. [d] ἐξενεχθέντα F. [e] Habet Strabo IX.

97 Ξέρξης δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας μή τις τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι, ἢ αὐτοὶ νοήσωσι [a]πλέειν ἐς τὸν Ἑλλήσποντον λύσοντες τὰς γεφύρας, καὶ ἀπολαμφθεὶς ἐν τῇ Εὐρώπῃ ἀπολέσθαι
2 [b]κινδυνεύσει, δρησμὸν [c]ἐβούλευε. θέλων δὲ μὴ [d]ἐπίδηλος εἶναι μήτε τοῖσι Ἕλλησι μήτε τοῖσι ἑωυτοῦ, ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν· γαυλούς τε Φοινικηΐους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος· ἀρτέετό τε ἐς πόλεμον, ὡς ναυμαχίην ἄλλην
3 ποιησόμενος. [e]ὁρέοντες δέ μιν πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα, εὖ [f]ἐπιστέατο ὡς ἐκ παντὸς νόου [g]παρεσκεύασται μένων [h]πολεμήσειν· Μαρδόνιον δ' οὐδὲν τούτων ἐλάνθανε, ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου διανοίης.

Xerxes fugam meditans, quo astu hoc consilium et Græcos et suos celaverit. Missus in Asiam cladis acceptæ nuntius.

Ταῦτά [i]τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας ἀγγελέοντα τὴν [k]παρεοῦσάν σφι συμφορήν.

98 Τούτων δὲ τῶν ἀγγέλων ἔστι οὐδὲν ὅ τι θᾶσσον παραγίνεται θνητὸν ἐόν· οὕτω τοῖσι Πέρσῃσι ἐξεύ-
2 ρηται τοῦτο. λέγουσι γὰρ, ὡς ὅσων ἂν ᾖ ἡμερέων ἡ πᾶσα ὁδὸς, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες διεστᾶσι, κατὰ ἡμερησίην ὁδὸν ἑκάστην [a]ἵππος τε καὶ ἀνὴρ τεταγμένος· τοὺς [b]οὔτε νιφετὸς, οὐκ ὄμβρος, οὐ

Obiter de Persarum nuntiis s. angaris.

p. 611=398. Eustath. Il. p. 284, 24=215, 18. Mox φρύξουσι ex em. Kuhnii ad Pausan. I. 2. probant Wesseling. Valckenær. Larcher. quibus adde Toupium Emend. T. I. p. 213. et sic ed. Matth. Bekker. [f] Sic M.P.K.F.S. ἐπελ. reliqui.

97. [a] πλώειν] πλέειν S.V.P.K.F. πλώειν Bekker. [b] Sic F. pr. Schæfer. κινδυνεύσει ἀπολέσθαι S. κινδυνεύσῃ M.P.K.F. corr. Bekker. κινδυνεῦσαι edd. vett. [c] Sic M.K.P.F.S. ἐβούλευσε a. al. [d] ἐπίδημος S. [e] ὁρέωντες F. ὁρῶντες S. [f] Sic Schæfer. εὐεπιστέατο S. ἠπιστέατο Wessel. et al. [g] Sic S.V.M.P.K.F. Paris. παρεσκεύαστο edd. vett. [h] πολεμίζειν d. [i] τε om. S. [k] παροῦσαν F.

98. [a] Sic M.P.K.F. Paris. τεταγμένοι absque ἵ. τ. κ. ἀνὴρ edd. vett. ἵπποι τε. κ. ἀ. τεταγμένος S. In pr. τούτων δὲ οὐδὲν τῶν ἀγγέλων ἐστὶν S. qui om. ᾖ ante ἡμερέων. Post ἡμερέων ponit Bekker. [b] οὔτι Schæfer.

καῦμα, οὐ νὺξ [c] ἐέργει μὴ οὐ κατανύσαι τὸν προκεί-
3 μενον [d] ἑωυτῷ δρόμον τὴν ταχίστην. ὁ μὲν δὴ πρῶ-
τος δραμὼν παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ, ὁ
δὲ δεύτερος τῷ τρίτῳ· τὸ δὲ ἐνθεῦτεν ἤδη [e] κατὰ
ἄλλον διεξέρχεται παραδιδόμενα, κατάπερ Ἕλλησι
ἡ [f] λαμπαδηφορίη, τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι.
4 Τοῦτο τὸ δράμημα τῶν ἵππων καλέουσι Πέρσαι 665
[g] ἀγγαρήϊον.

99 Itaque summum Susianorum ob Athenas captas gaudium [c. 54.] in maximum mœrorem ac de salute regis sollicitudinem versum.

Ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη
ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, [a] ἔτερψε οὕτω
δή τι Περσέων τοὺς ὑπολειφθέντας, ὡς τάς τε ὁδοὺς
[b] μυρσίνῃ πάσας ἐστόρεσαν, καὶ ἐθυμίων θυμιήματα,
2 καὶ αὐτοὶ ἦσαν ἐν θυσίῃσί τε καὶ εὐπαθίῃσι. ἡ δὲ
δευτέρη σφι ἀγγελίη ἐπεξελθοῦσα συνέχεε οὕτω,
ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε καὶ
οἰμωγῇ ἐχρέωντο ἀπλέτῳ, Μαρδόνιον [c] ἐν αἰτίῃ τι-
3 θέντες. οὐκ οὕτω δὲ περὶ τῶν νηῶν ἀχθόμενοι ταῦτα
οἱ Πέρσαι ἐποίευν, ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες.
4 καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα τὸν πάντα μεταξὺ
χρόνον γενόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας
ἀπικόμενος ἔπαυσε.

100 Mardonii regem consolantis oratio. Xerxem cum maxima parte exercitus in Asiam reverti jubet, bel-

Μαρδόνιος δὲ, ὁρέων μὲν Ξέρξην συμφορὴν με-
γάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ
αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν [a] Ἀθηνέων, φρον-
τίσας πρὸς ἑωυτὸν ὡς δώσει δίκην ἀναγνώσας βα-
σιλέα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καί οἱ [b] κρέσ-
σον εἴη ἀνακινδυνεῦσαι ἢ κατεργάσασθαι τὴν Ἑλ-

[c] Sic edd. vett. ἔργει S.P. Wessel. Bekker. εἴργει V. [d] αὐτῷ S.P.F. [e] κατ' ἄλλων ed. Schæfer. [f] λαμπαδιφ. S. Mox de voc. δράμημα conf. Lobeck. Phryn. p. 618. [g] ἀγγειρήϊον S.

99. [a] ἔτρεψεν S. [b] Sic P.S.V.F.a.c. cf. VII. 54. μυρσίνῃσι Wessel. Bekker. al. πάντας b. pro πάσας. [c] Unus ms. apud Wesseling. ἐν αἰτίῃσι cum Steph. marg. et sic ed. Schæfer. Bekker.

100. [a] Ἀθηναίων vulg. Supra ὁρῶν S. [b] κρείσσον P.V.S.

λάδα ἢ αὐτὸν καλῶς τελευτῆσαι τὸν βίον, ὑπὲρ lum cum reliqua ipse profligaturus.
μεγάλων αἰωρηθέντα· [c] πλέον μέντοι ἔφερέ [d] οἱ ἡ
γνώμη κατεργάσασθαι τὴν Ἑλλάδα· λογισάμενος
2 ὦν ταῦτα, προσέφερε τὸν λόγον τόνδε· “ Δέσποτα,
“ μήτε λυπέο, μήτε συμφορὴν [e] μηδεμίαν μεγάλην
“ ποιεῦ τοῦδε τοῦ γεγονότος εἵνεκεν πρήγματος. οὐ
“ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ'
3 “ ἀνδρῶν τε καὶ ἵππων. σοὶ δὲ οὔτε τις τούτων τῶν
“ τὸ πᾶν σφι ἤδη δοκεόντων [f] κατεργάσθαι ἀποβὰς
“ ἀπὸ τῶν νεῶν πειρήσεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς
“ ἠπείρου τῆσδε· οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δί-
4 “ κας. Εἰ μέν νυν [g] δοκέει, αὐτίκα πειρώμεθα τῆς
“ Πελοποννήσου· εἰ δὲ καὶ δοκέει ἐπισχεῖν, [h] παρέχει
“ ποιέειν ταῦτα. μὴ δὲ δυσθύμει· οὐ [i] γάρ ἐστι Ἕλλησι
“ οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν
5 “ νῦν τε καὶ πρότερον εἶναι [k] σοὺς δούλους. μάλιστα
“ μέν νυν ταῦτα [l] ποίεε. Εἰ δ' ἄρα τοι βεβούλευται,
“ αὐτὸν ἀπελαύνοντα [m] ἀπαγειν τὴν στρατιὴν, ἄλ-
“ λην ἔχω καὶ ἐκ τῶνδε βουλήν. σὺ Πέρσας, βασι- 666
“ λεῦ, μὴ [n] ποιήσῃς καταγελάστους γενέσθαι Ἕλ-
6 “ λησι. οὐδὲν γὰρ [o] ἐν τοῖσι Πέρσῃσι δεδήληται
“ τῶν πρηγμάτων, [p] οὐδὲ ἐρεῖς ὅκου ἐγενόμεθα ἄνδρες
“ κακοί. [q] εἰ δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι, καὶ
“ Κύπριοί τε καὶ Κίλικες κακοὶ ἐγένοντο, οὐδὲν

[c] Sic P.V.S.K.F. e corr. πλέων F. pr. πλέω olim. [d] οἱ om. P. ἡ om. S. [e] μηδεμίην] μηδεμίαν S.K.V.F. [f] Sic F.a.c. κατεργάσασθαι S. Wessel. al. [g] δοκέειν S. [h] πάρεχε S. παρέχειν F. παρέχεις b. [i] γὰρ ἔτι b. [k] τοὺς, δ. S. in qua lectione τεοὺς latere suspicatur Schweighæuserus. [l] ποιέειν] Sic Schæfer. Bekker. quam lectionem ex S. laudaverat Wesselingius. Is tamen codex perspicue habet ποίεεν. ποίεε al. Infinitivi exempla ex V. 24. coll. c. 67. et IV. 126. profert Wesseling. [m] ἀπαγαγεῖν S. Schæfer. [n] ποιήσεις c. [o] ἐν Πέρσῃσι τοῖσι omnes præter S. qui ἐν τοῖσι Πέρσῃσι, et sic ed. Bekker. ἐν Πέρσῃσι τεοῖσι Schweighæuser. [p] οὐδέ τινος ἔργου ὅκου d. [q] οἱ δὲ b.

7 " πρὸς Πέρσας τοῦτο προσήκει τὸ πάθος. Ἤδη
" ὦν, ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί εἰσι, ἐμοὶ πείθεο.
" εἴ τοι δέδοκται μὴ [r] παραμένειν, σὺ μὲν ἐς ἤθεα
" τὰ [s] σεωυτοῦ ἀπέλαυνε, τῆς στρατιῆς ἀπάγων τὸ
" πολλόν· ἐμὲ δέ σοι χρὴ τὴν Ἑλλάδα παρασχεῖν
" δεδουλωμένην, τριήκοντα μυριάδας τοῦ στρατοῦ
101 " ἀπολεξάμενον." Ταῦτα ἀκούσας Ξέρξης, ὡς ἐκ
κακῶν ἐχάρη τε καὶ ἥσθη· πρὸς Μαρδόνιόν τε, βου-
λευσάμενος, ἔφη, [a] ἀποκρινεῖσθαι, ὁκότερον ποιήσει

Artemisia sententiam rogata,

2 τούτων. ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπι-
κλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην [b] ἐς συμβουλίην
μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο [c] μούνη νοέ-
3 ουσα τὰ ποιητέα ἦν. ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη,
μεταστησάμενος τούς ἄλλους, τούς τε συμβούλους
Περσέων καὶ [d] τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε·
" Κελεύει με Μαρδόνιος, μένοντα αὐτοῦ, [e] πειρᾶσθαι
" τῆς Πελοποννήσου· λέγων ὥς μοι Πέρσαι τε
" καὶ ὁ πεζὸς στρατὸς οὐδενὸς μεταίτιοι πάθεός εἰσι,
4 " ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. ἐμὲ
" ὦν ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει τριή-
" κοντα μυριάδας ἀπολεξάμενος τοῦ στρατοῦ, παρα-
" σχεῖν μοι τὴν Ἑλλάδα δεδουλωμένην· αὐτὸν δέ
" με κελεύει ἀπελαύνειν σὺν τῷ λοιπῷ στρατῷ ἐς
5 " ἤθεα [f] τὰ ἐμά. Σὺ ὦν ἐμοὶ, καὶ γὰρ περὶ τῆς ναυ-
" μαχίης εὖ συνεβούλευσας τῆς γενομένης, οὐκ ἐῶσα
" ποιέεσθαι, νῦν τε συμβούλευσον, ὁκότερα [g] ποιέων
" ἐπιτύχω εὖ βουλευσάμενος." Ὁ μὲν ταῦτα συνε-

[r] παραμενέειν S. μὴ om. F. [s] ἑωυτοῦ S.

101. [a] ἀποκρίνασθαι Ald. ἀποκρινέεσθαι, et mox ποιήσῃ malit Valckenærius. [b] Sic M.K.P.F. ἐπὶ συμβουλὴν S. edd. vett. [c] μούνη om. S. [d] τῶν δορυφόρων b. [e] Sic S.V.M.K.P.F. Paris. ἀποπειρᾶσθαι olim. Mox ἐμοὶ S. [f] Sic S.V.K.F. Paris. τἀμὰ al. [g] ποιέω F.

102 βουλεύετο. Ἡ δὲ λέγει τάδε· “Βασιλεῦ, χαλεπὸν quid suaserit.
“μέν ἐστι συμβουλευομένῳ τυχεῖν τὰ ἄριστα εἴπα-
2 “σαν. ἐπὶ μέντοι τοῖσι κατήκουσι πρήγμασι, δοκέει
“μοι αὐτὸν μέν σε ἀπελαύνειν ὀπίσω· Μαρδόνιον
“δὲ, εἰ [a] ἐθέλει τε καὶ [b] ὑποδέκεται ταῦτα ποιήσειν,
3 “αὐτοῦ καταλιπεῖν σὺν τοῖσι ἐθέλει. τοῦτο μὲν γὰρ,
“ἢν καταστρέψηται τά φησι [c] ἐθέλειν, καί οἱ [d] προ-
“χωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ ἔργον, ὦ δέσποτα, 667
4 “γίνεται· οἱ γὰρ σοὶ δοῦλοι [e] κατεργάσαντο. τοῦτο
“δὲ, ἢν τὰ ἐναντία τῆς Μαρδονίου γνώμης γένηται,
“οὐδεμία συμφορὴ μεγάλη ἔσται, σέο τε περιεόντος,
“καὶ ἐκείνων τῶν πρηγμάτων περὶ οἶκον τὸν σόν.
“ἢν γὰρ σύ τε περιῇς, καὶ οἶκος ὁ σὸς, πολλοὺς
“πολλάκις ἀγῶνας δραμέονται περὶ σφέων αὐτῶν
5 “οἱ Ἕλληνες. Μαρδονίου δὲ, ἤν τι [f] πάθῃ, λόγος
“οὐδεὶς γίνεται· οὐδέ τι νικῶντες οἱ Ἕλληνες νικῶσι,
“δοῦλον σὸν ἀπολέσαντες. σὺ δὲ, τῶν εἵνεκα τὸν
“στόλον ἐποιήσω, πυρώσας τὰς Ἀθήνας ἀπελᾷς.”

103 Ἥσθη τε [a] δὴ τῇ [b] συμβουλίῃ Ξέρξης· λέγουσα Probato Mardonii consilio, rex ante omnia nothos in expeditionem secum profectos Ephesum cum Artemisia præmittit.
γὰρ ἐπετύγχανε τάπερ αὐτὸς [c] ἐνόεε. οὐδὲ γὰρ, εἰ
πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ [d] μένειν, ἔμενε
2 ἂν, δοκέειν ἐμοί· οὕτω καταρρωδήκεε. ἐπαινέσας δὲ
[e] τὴν Ἀρτεμισίην, ταύτην μὲν ἀποστέλλει ἄγουσαν
αὐτοῦ [f] τοὺς παῖδας ἐς Ἔφεσον· νόθοι γάρ τινες
104 παῖδές οἱ [g] συνέσποντο. Συνέπεμπε δὲ τοῖσι παισὶ
φύλακον Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φε- Additur iis custos Her-

102. [a] ἐθέλοι Ald. [b] ὑποδεδέκται S. [c] θέλει P.K. ἐθέλει S. Ald. τά σφισι θέλει F.a.c. [d] Sic Steph. F. al. προχωρήσει S. προχωρήσοι Ald. [e] κατεργάσαιντο Abresch. [f] πάθοι S.

103. [a] δὴ om. S. [b] Sic M.P.K.F. Paris. συμβουλῇ S. al. [c] Sic S.V.P.K.F.a.b.c. Schæfer. ἐπενόεε Ald. Wessel. [d] μενέειν F. cf. 100. [e] τὴν Ἀρτεμισίην ταύτην, τὴν μὲν S. [f] τοὺς om. F. [g] Sic M.P.b. συνείποντο S.V.a.c. Ald. συνέποντο K.F.

motimus Pedasensis, archieunuchus. Pedasenses ubi siti. Sacerdos Minervæ apud eos quando barbata [1, 175.]. Digressio de Hermotimo. A Panionio mangone olim emtus exsectusque, Susa deducitur, ubi Xerxis favorem præ cæteris sibi eunuchis conciliat.

ρόμενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ
βασιλέϊ. Οἱ δὲ Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρ-
2 νησσοῦ. ἐν δὲ τοῖσι [a] Πηδάσοισι [b] τούτοισι τοιόνδε
[c] φέρεται πρῆγμα γίνεσθαι. ἐπεὰν τοῖσι [d] ἀμφικτίοσι
πᾶσι, τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πόλιος, μέλλῃ
τι ἐντὸς χρόνου ἔσεσθαι χαλεπὸν, τότε ἡ [e] ἱρείη αὐ-
τόθι τῆς Ἀθηναίης φύει πώγωνα μέγαν. τοῦτο δέ
105 σφι [f] δὶς ἤδη ἐγένετο. Ἐκ τούτων δὴ τῶν [a] Πηδα-
σέων ὁ Ἑρμότιμος ἦν· τῷ μεγίστη τίσις ἤδη ἀδι- 668
κηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. ἁλόντα
γὰρ αὐτὸν ὑπὸ πολεμίων, καὶ πωλεόμενον, ὠνέεται
[b] Πανιώνιος, ἀνὴρ Χῖος, ὃς τὴν [c] ζόην κατεστήσατο
2 ἀπ' ἔργων ἀνοσιωτάτων. ὅκως γὰρ κτήσαιτο παῖδας
εἴδεος ἐπαμμένους, ἐκτάμνων, ἀγινέων ἐπώλεε ἐς
3 Σάρδις τε [d] καὶ Ἔφεσον χρημάτων μεγάλων. παρὰ
γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰσι οἱ εὐνοῦχοι,
πίστιος εἵνεκα τῆς πάσης, τῶν [e] ἐνορχίων. ἄλλους
τε δὴ ὁ Πανιώνιος ἐξέταμε πολλοὺς, ἅτε ποιεύμενος
4 [f] ἐκ τούτου τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. καὶ οὐ γὰρ
τὰ πάντα ἐδυστύχεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν
Σαρδίων παρὰ βασιλέα μετ' ἄλλων δώρων· χρόνου
δὲ προϊόντος, πάντων τῶν εὐνούχων [g] ἐτιμήθη μά-

104. [a] Sic P.V. Schæfer. Πηδάσισι S. Πηδασέοισι Ald. Wessel. Πηδασέεσσι Leopard. Em. VII. 11. Πηδασεῦσι supra VI. 20. [b] τουτέοισι] Sic P.F. Schæfer. τούτοισι Wessel. S. al. Cæterum in F. quædam misere deformata sunt hunc in modum; τῶν εὐνούχων παραδράσοισι τουτέοισι τοιόνδε συμφέρεται etc. [c] συμφέρεται M.K.P.F. b. φέρεται Ald. S.V.a c.d. [d] ἀμφικτίοσι (vel ἀμφικτιόσι) K.a.F. ἀμφικτύοσι P.V.S. Ald. [e] ἱρέη S. cf. Strabo XIII. p. 909=611. ἱερείη F. [f] τρὶς I. 175.

105. [a] Πηδασίων K. [b] Sic vulg. cum Athenæo VI. p. 266 E. Παιώνιος S.V. Vall. et mox. [c] ζωὴν S.V. ζώην F. et infra. [d] καὶ ἐς Εφ. S.V. Supra Σάρδιας S. [e] Sic P.K.F.b.d. cf. VI. 32. ἐνορχιέων S. ἐνορχέων a.c. vulg. [f] ἐκ τουτέων] ἐκ τούτου S.V.P.K.F.a. [g] μάλιστα ἐτιμήθη παρὰ βασιλεῖ Ξέρξῃ S.V. Vall.

106 λιστα παρὰ Ξέρξῃ. Ὡς δὲ τὸ στράτευμα τὸ Περ-
σικὸν [a] ὅρμα [b] ὁ βασιλεὺς ἐπὶ τὰς Ἀθήνας, ἐὼν ἐν
Σάρδισι, ἐνθαῦτα καταβὰς κατὰ δή τι πρῆγμα ὁ
Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι [c] μὲν νέμον-
ται, [d] Ἀταρνεὺς δὲ καλέεται, εὑρίσκει τὸν [e] Πανιώ-
2 νιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ, ἔλεγε πρὸς αὐτὸν πολ-
λοὺς καὶ φιλίους λόγους· πρῶτα μέν οἱ καταλέγων
ὅσα αὐτὸς δι' ἐκεῖνον ἔχοι ἀγαθά· δεύτερα δέ οἱ
ὑπισχνεύμενος ἀντὶ τούτων ὅσα μιν ἀγαθὰ [f] ποιήσει,
ἢν [g] κομισάμενος [h] τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ· ὥστε
ὑποδεξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον,
3 κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα. ὡς δὲ ἄρα
πανοικίῃ μιν περιέλαβε, ἔλεγε ὁ Ἑρμότιμος τάδε·
"Ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ' ἔργων ἀνο-
"σιωτάτων τὸν βίον κτησάμενε, τί σὲ ἐγὼ κακὸν
"ἢ αὐτὸς ἢ τῶν [i] ἐμῶν τις ἐργάσατο ἢ σὲ, ἢ τῶν
"σῶν τινα, ὅτι με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μηδὲν
4 "εἶναι; ἐδόκεές τε θεοὺς λήσειν οἷα ἐμηχανῶ τότε·
"οἵ σε ποιήσαντα ἀνόσια, νόμῳ δικαίῳ χρεώμενοι,
"ὑπήγαγον ἐς χέρας τὰς ἐμὰς, ὥστε σε μὴ μέμ-
5 "ψασθαι τὴν ἀπ' ἐμέο τοι ἐσομένην δίκην." Ὡς δέ
οἱ ταῦτα [k] ὠνείδισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν, 669
ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑωυτοῦ παίδων, τεσ-
σέρων ἐόντων, τὰ αἰδοῖα ἀποτάμνειν· ἀναγκαζόμενος

Post regem Græciam invasurum comitans, Panionii cum tota familia per dolum potitur, atrocissimamque ab eo pœnam repetit.

106. [a] Sic S.V. Schæfer. ὥρμα al. [b] ὁ om. P.K.F.a. Schæfer. Bekker. Mox ἐνθαῦτα δὴ καταβὰς S. qui δὴ retinet infra. [c] μὲν om. S. [d] Ἀταρνέος S.V. cf. I. 160. [e] Παιώνιον S.V. Vall. Tum ἔλεγεν ἄρα πρὸς S. [f] Sic S.V. Schæfer. ποιήσειεν ἢν Ald. Wessel. [g] Sic S.V. κομίσας Bekker. vulg. cum Thoma Mag. in Οἰκέται. [h] Sic M.S.V.P.K. Thomas Mag. Vall. τοὺς παῖδας F.a. Ald. Mox Παιώνιον S. et infra. [i] Sic S.V. Vall. Wessel. ἐμῶν τίς σε προγόνων ἐργ. F.a.d. Ald. ἐμῶν τις προγόνων ἐργ. b. Infra ὑπήγαγον χεῖρας S. absque ἐς. qui tum ἐμέό του. [k] Sic P.K.S.V. Schæfer. ὠνείδιζε vulg. Mox ἐόντων τεσσάρων S.

δὲ, ἐποίεε ταῦτα· αὐτοῦ τε, ὡς ταῦτα ἐργάσατο, οἱ
6 παῖδες ἀναγκαζόμενοι ἀπέταμνον. Πανιώνιον μέν νυν
οὕτω περιῆλθε ἥ [1] τε τίσις καὶ ὁ Ἑρμότιμος.

107 Artemisia cum pueris regiis amandata, Xerxes classiariis imperat, ut in Hellespontum protinus revertantur.

Ξέρξης δὲ, ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε
ἀπάγειν ἐς Ἔφεσον, καλέσας Μαρδόνιον, [a] ἐκέλευέ
μιν τῆς στρατιῆς διαλέγειν [b] τοὺς βούλεται, καὶ
ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρώμενον ὁμοῖα.
2 Ταύτην μὲν τὴν ἡμέρην ἐς [c] τοσοῦτο ἐγίνετο. τῆς
δὲ νυκτὸς, κελεύσαντος βασιλέος, τὰς νῆας οἱ στρα-
τηγοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλ-
λήσποντον, ὡς [d] τάχεος [e] εἶχε ἕκαστος, [f] διαφυλαξού-
3 σας τὰς σχεδίας πορευθῆναι [g] βασιλέϊ. ἐπεὶ δὲ ἀγχοῦ
ἦσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι
γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου, [h] ταύτας ἔδοξάν τε
νῆας εἶναι, καὶ ἔφευγον ἐπὶ πολλόν. χρόνῳ δὲ μα-
θόντες ὅτι οὐ νῆες εἶεν, ἀλλ' ἄκραι, συλλεχθέντες,
ἐκομίζοντο.

108 Fugientem barbarorum classem persequuntur Græci ad Andrum usque. Ibi de bello deliberantibus quid Themisto-

Ὡς δὲ ἡμέρη [a] ἐγένετο, [b] ὁρέοντες οἱ Ἕλληνες κατὰ
χώρην μένοντα τὸν στρατὸν τὸν πεζὸν, ἤλπιζον καὶ
τὰς νῆας εἶναι περὶ Φάληρον· ἐδόκεόν τε ναυμαχή-
2 σειν σφέας, παραρτέοντό τε ὡς ἀλεξησόμενοι. Ἐπεὶ
δὲ ἐπύθοντο τὰς νῆας [c] οἰχωκυίας, αὐτίκα μετὰ ταῦτα
ἐδόκεε ἐπιδιώκειν. τὸν μέν [d] νυν ναυτικὸν τὸν Ξέρξεω
3 στρατὸν οὐκ ἐπεῖδον διώξαντες μέχρι Ἄνδρου. ἐς δὲ

[1] τε om. S.V. qui ὁ om. ante Ἑρμότ.

107. [a] Sic P.K.S.V.b.c.d. Wessel. ἐκέλευσέ μιν F.a. vulg. Schæfer. Bekker. Supra ἐπέτρεψεν Ἀρτεμησίῃ S. [b] Sic P.K.S.V.F.a.c. τοὺς ἂν βούληται Ald. al. [c] Sic P.F.a. Schæfer. τοσοῦτον S. al. ἐγένετο S. [d] Sic V.F.a.b.c. Wessel. ταχέως olim cum S. [e] ἔσχε S.V. [f] φυλαξ. S.V. [g] Ita F. Schæfer. βασιλεῖ M.P.K.V.S. βασιλῆα Ald. al. quod sine necessitate reposuerit Valckenær. [h] Sic S.V. Schæfer. ἠπείρου ταύτης, ἔδοξάν τε edd. al.

108. [a] ἐγίνετο P.S. [b] ὁρέωντες F. [c] ὠχωκ. S.V. [d] νυν om. S.V. στρατὸν τὸν Ξέρξεω S.

τὴν Ἄνδρον ἀπικόμενοι, ἐβουλεύοντο. Θεμιστοκλέης
μέν νυν [e] γνώμην ἀπεδείκνυτο διὰ νήσων τραπο-
μένους, καὶ ἐπιδιώξαντας τὰς νῆας, πλώειν ἰθέως ἐπὶ
4 τὸν Ἑλλήσποντον, λύσοντας τὰς γεφύρας. Εὐρυ-
βιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτίθετο, λέγων,
ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων
5 [f] σφεῖς [g] κακὸν τὴν Ἑλλάδα [h] ἐργάσαιντο. εἰ γὰρ
ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ
Εὐρώπῃ, πειρῷτο ἂν ἡσυχίην μὴ ἄγειν· ὡς ἄγοντι
μέν οἱ ἡσυχίην, οὔτε τι [i] προχωρέειν οἷόν τε ἔσται
τῶν πρηγμάτων, οὔτε τις κομιδὴ τὸ ὀπίσω φανή-
6 σεται, λιμῷ τέ οἱ ἡ στρατιὴ [k] διαφθαρέεται. ἐπι-
χειρέοντι δὲ αὐτῷ καὶ ἔργου ἐχομένῳ, πάντα τὰ κατὰ
τὴν Εὐρώπην οἷά τε ἔσται [l] προσχωρῆσαι κατὰ πό-
λιάς τε καὶ κατὰ ἔθνεα, ἤτοι ἁλισκομένων γε, ἢ πρὸ
τούτου ὁμολογεόντων· τροφήν τε ἕξειν σφέας τὸν
7 ἐπέτειον αἰεὶ τῶν Ἑλλήνων καρπόν. [m] ἀλλὰ δοκέειν 670
γὰρ, νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ
τὸν Πέρσεα· ἐατέον ὦν [n] εἶναι φεύγειν ἐς ὃ [o] ἔλθῃ
8 φεύγων ἐς τὴν ἑωυτοῦ. τὸ ἐνθεῦτεν δὲ περὶ τῆς
ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. Ταύτης
δὲ εἴχοντο τῆς γνώμης [p] καὶ Πελοποννησίων τῶν
ἄλλων οἱ στρατηγοί. Ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει
τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ
Θεμιστοκλέης, μεταβαλὼν, [a] πρὸς τοὺς Ἀθηναίους

cles, quid Eurybiades suaserit. Hujus ratione plerisque probata,

quibus argumentis Themistocles Athenienses, ut

[e] γνώμην om. K. tum ἐπεδείκνυτο S.V. Vulg. ex III. 160. defendit Wesselingius. [f] σφι P.K.F.a.b.c.d. σφέας V.S. [g] κακὸν S.V. Schæfer. κακῶν al. [h] ἐργάσαιτο V.P.K.F.a.b.c. Vulg. habet S. qui mox ἐν τῇ Εὐρώπῃ μένειν. [i] προσχωρέειν S. [k] Sic M.P.K.F.S.b. διαφθερέεται a.c. vulg. Mox ἐπιχωρέοντι S. [l] προχωρ. F. [m] ἀλλ' οὐ δοκεῖν F. qui mox οὐ μένειν, et post, Πέρσην. [n] εἶναι om. d. [o] ἔλθοι K.M.P.F. Paris. ἔλθῃ S. al. Schæfer. [p] καὶ οἱ Πελοπ. S.

109. [a] ἔλεγε πρὸς S. Mox ὁρμέατο S.V. ὡρμέατο F. al. Tum πλέειν F.

et ipsi assentirentur, permoverit.

(οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον, ὁρ-
μέατό τε ἐς τὸν Ἑλλήσποντον πλώειν καὶ ἐπὶ σφέων
αὐτῶν [b] βαλλόμενοι, εἰ [c] ὦλλοι μὴ βουλοίατο) ἔλεγέ
2 σφι τάδε· "Καὶ αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην,
"καὶ πολλῷ [d] πλέω ἀκήκοα τοιάδε γενέσθαι· ἄνδρας
"ἐς ἀναγκαίην ἀπειληθέντας, νενικημένους ἀναμά-
"χεσθαί τε καὶ ἀναλαμβάνειν τὴν προτέρην κακό-
3 "τητα. ἡμεῖς δὲ, (εὕρημα γὰρ εὑρήκαμεν ἡμέας τε
"αὐτοὺς καὶ τὴν Ἑλλάδα, νέφος [e] τοσοῦτο ἀνθρώπων
"[f] ἀνωσάμενοι,) μὴ διώκωμεν ἄνδρας φεύγοντας.
4 "τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε
"καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης
"καὶ τῆς Εὐρώπης βασιλεῦσαι, ἐόντα ἀνόσιόν τε καὶ
"ἀτάσθαλον· ὃς [g] τά τε ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ
"ἐποιέετο, [h] ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν
"τὰ ἀγάλματα· ὃς καὶ τὴν θάλασσαν ἀπεμαστί-
5 "γωσε, πέδας τε κατῆκε. ἀλλ' εὖ γὰρ [i] ἔχει ἐς τὸ
"παρεὸν ἡμῖν, νῦν μὲν ἐν τῇ Ἑλλάδι [k] καταμεί-
"ναντες, ἡμέων τε αὐτῶν [l] ἐπιμεληθῆναι καὶ τῶν
"οἰκετέων· καί τις οἰκίην τε [m] ἀναπλασάσθω, καὶ
"[n] σπόρου ἀνακῶς ἐχέτω, [o] παντελέως [p] ἀπελάσας τὸν
"βάρβαρον· ἅμα δὲ τῷ ἔαρι καταπλέωμεν ἐπὶ [q] Ἑλ-

[b] βουλόμενοι S.V. βαλόμενοι c. [c] ὦλλοι S.V. οἱ ἄλλοι vulg. Mox σφι om. S. [d] πλείω S.V. Mox ἐς om. S. [e] Sic F. τοσοῦτον S. vulg. [f] ἀνασωσάμενοι M.P.K.F. [g] Sic F. τε vulgo om. cum S. Bekker. [h] ἐμπιπρείς τε M.P.K. ἐμπιπρήσας τε F. [i] ἔχει om. S.V. [k] Sic Ald. S.c. Schæfer. καταμείναντας P.K.V.F.a.b.d. Bekker. Ib. καταμείναντες vereor ne in syntaxin peccet: nam ubi infinitivus pro prima persona conjunctivi ponitur, subjecti, quod vocant, eorumque quæ huic adjuncta sunt, accusativus additur. Vid. infra IX. 60. et Gramm. Gr. §. 546. ed. sec. Hoc vero loco ἐπιμεληθῆναι commode e verbis εὖ γὰρ ἔχει necti potest. Matth. [l] Sic mss. fere omnes. ἐπιμεληθῶμεν Ald. [m] Sic S.V.F. Eustath. Od. p. 1425, 61=67, 47. ἀναπλασσάσθω olim. [n] σπορᾶς Eustath. σπόρους F. [o] Sic M.K.P. παντελῶς S. al. [p] ἀναπελάσας S. [q] Ἑλλήσποντον F.

6 " λησπόντου καὶ Ἰωνίης." Ταῦτα ἔλεγε, [r] ἀποθήκην 671
μέλλων [s] ποιήσεσθαι ἐς τὸν [t] Πέρσεα· ἵνα, ἢν ἄρα τί
μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀπο-
στροφήν· τάπερ ὦν καὶ ἐγένετο.

110 Θεμιστοκλέης [a] μὲν ταῦτα λέγων, [b] διέβαλλε· Ἀθη-
2 ναῖοι δὲ ἐπείθοντο. ἐπειδὴ γὰρ, καὶ πρότερον δεδο-
γμένος εἶναι σοφὸς, ἐφάνη ἐὼν ἀληθέως σοφός τε
καὶ εὔβουλος, πάντως ἑτοῖμοι ἦσαν λέγοντι πεί-
3 θεσθαι. Ὡς δὲ οὗτοί [c] οἱ ἀνεγνωσμένοι ἦσαν, αὐτίκα
μετὰ ταῦτα ὁ Θεμιστοκλέης ἄνδρας ἀπέπεμπε ἔχον-
τας πλοῖον, τοῖσι [d] ἐπίστευσε σιγᾶν, ἐς πᾶσαν βά-
σανον [e] ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλέϊ
φράσαι· τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο.
4 οἳ [f] ἐπεί τε ἀπίκοντο πρὸς τὴν Ἀττικὴν, οἱ μὲν κατέ-
μενον ἐπὶ τῷ πλοίῳ, [g] Σίκιννος δὲ ἀναβὰς παρὰ
5 Ξέρξεα, ἔλεγε τάδε· " Ἔπεμψέ με Θεμιστοκλέης ὁ
" Νεοκλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ δὲ τῶν
" συμμάχων πάντων ἄριστος καὶ σοφώτατος, φρά-
" σοντά τοι, [h] ὅτι Θεμιστοκλέης ὁ Ἀθηναῖος, σοὶ
" βουλόμενος [i] ὑπουργέειν, ἔσχε τοὺς Ἕλληνας, τὰς
" νῆας βουλομένους διώκειν, καὶ τὰς ἐν Ἑλλησπόντῳ
6 " γεφύρας λύειν. καὶ νῦν κατ' ἡσυχίην πολλὴν
" κομίζεο." Οἱ μὲν, ταῦτα σημήναντες, [k] ἀπέπλωον
ὀπίσω. 672

Themistocles gratiam regis ambiens quo astu usus.

[r] Sic M.S.P.K.F. Paris. ὑποθήκην al. [s] ποιήσασθαι P.S. [t] Πέρσην F. qui mox εἰ pro ἤν.

110. [a] Sic S.V.F.a. Schæfer. ταῦτα μὲν Wessel. al. [b] διέβαλε Ald. [c] οἱ om. S.V. Mox ὁ om. S. ante Θεμιστοκλέης. [d] Sic S.V. P.K.F. forte alii. Schæfer. ἐπέτελλε edd. vett. [e] ἀπικνεομένοισι M.P.K. ἀφικνεομένοισι F. ἀπικομένοισι Ald. a.c. ἀπικομένοισιν ὧν τούτοισιν ἐνετείλ. S. [f] Sic F.b. ἐπειδὴ S. vulg. [g] Σίκυννος F. qui mox Ξέρξην. [h] ὅτι Θεμιστοκλέης τοι Ἀθην. absque σοὶ S.V. ὁ Θεμιστ. ὁ Ἀθην. σὺ βουλόμ. F. [i] ὑποργ. K.P. [k] Sic S.V. ἀπέπλεον Ald. al.

111 Οἱ δὲ Ἕλληνες, ἐπεί τε σφι ἀπέδοξε μήτ' ἐπι-
διώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νῆας,
μήτε [a] ἐπιπλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν
πόρον, τὴν Ἄνδρον [b] περικατέατο, [c] ἐξελέειν ἐθέλοντες.
2 πρῶτοι γὰρ Ἄνδριοι νησιωτέων [d] αἰτηθέντες πρὸς
Θεμιστοκλέος χρήματα, οὐκ ἔδοσαν· ἀλλὰ προϊσχο-
μένου Θεμιστοκλέος [e] λόγον τόνδε, ὡς ἥκοιεν Ἀθη-
ναῖοι περὶ ἑωυτοὺς ἔχοντες δύο θεοὺς μεγάλους,
[f] Πειθώ τε καὶ Ἀναγκαίην, οὕτω τέ σφι κάρτα δοτέα
3 εἶναι χρήματα· ὑπεκρίναντο [g] πρὸς ταῦτα, λέγοντες
ὡς κατὰ λόγον [h] ἦσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ
εὐδαίμονες, καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ· ἐπεὶ [i] Ἀν-
δρίους γε εἶναι γεωπείνας, [k] ἐς τὰ μέγιστα ἀνήκοντας,
καὶ θεοὺς δύο [l] ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν
νῆσον, ἀλλ' αἰεὶ φιλοχωρέειν, Πενίην τε καὶ Ἀμη-
χανίην· καὶ τούτων τῶν θεῶν [m] ἐπηβόλους ἐόντας
4 Ἀνδρίους, οὐ δώσειν χρήματα. οὐδέκοτε γὰρ τῆς
ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι
κρέσσω. Οὗτοι μὲν δὴ ταῦτα ὑποκρινάμενοι, καὶ
οὐ δόντες [n] τὰ χρήματα, ἐπολιορκέοντο.

Andrii, quod pecuniam pendere recusarent, a Græcis obsessi.

112 Θεμιστο-
κλέης δὲ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων
ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους, αἴτεε
χρήματα διὰ τῶν αὐτῶν ἀγγέλων, [a] χρεώμενος [b] λό-
γοισι τοῖσι καὶ πρὸς Ἀνδρίους ἐχρήσατο· λέγων, ὡς

Ab aliis quoque insulanis pecuniæ exactæ.

111. [a] Sic S.V. Schæfer. πλώειν Wessel. Bekker. al. πλέειν F. [b] περικατέατο S. Schæfer. περιεκατέατο Wessel. al. [c] Sic S.V. ἐξελεῖν olim. [d] Sic S.V.P.K.F. χρήμ. αἰτ. πρὸς Θεμιστ. vulg. Θεμιστοκλέους S. sed mox Θεμιστοκλέος. [e] τὸν λόγον τόνδε S.V. [f] Citat Plutarch. Themist. p. 122. [g] πρὸς τάδε S. [h] ἄρα ἦσαν Ἀθῆναι S.V. [i] ἀνδρείους F. et sic mox. [k] Sic M.P.F.S. ἐς τὰ μάλιστα K.V.a. Ald. [l] χρηστοὺς S. Vall. [m] ἐπιβούλους S.V. ἐπηβούλους F. [n] Sic F., interprete Schweighæusero, *pecuniam quam ille postulaverat*. Vulgo om. τά. et sic Bekker.

112. [a] χρεωμένους M. [b] τοῖσι καὶ πρὸς βασιλέα ἐχρ. M.P.K.F. absque λόγοισι, quam vocem deleverit Schweighæuser.

εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, [c] ἐπάξει τὴν στρατιὴν 673
2 τῶν Ἑλλήνων, καὶ πολιορκέων ἐξαιρήσει. λέγων ὦν
ταῦτα, συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων
τε καὶ Παρίων· οἳ πυνθανόμενοι τήν τε Ἄνδρον, ὡς
πολιορκέοιτο [d] διότι ἐμήδισε, καὶ [e] Θεμιστοκλέα, ὡς
εἴη ἐν [f] αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες
3 ταῦτα, ἔπεμπον χρήματα. Εἰ δὲ δή τινες καὶ [g] ἄλλοι
ἔδοσαν νησιωτέων, οὐκ ἔχω [h] εἰπεῖν· δοκέω δέ τινας
4 καὶ ἄλλους δοῦναι, καὶ οὐ τούτους μούνους. καίτοι
[i] Καρυστίοισί γε οὐδὲν, τούτου εἵνεκα, τοῦ κακοῦ
ὑπερβολὴ ἐγένετο· Πάριοι δὲ Θεμιστοκλέα χρήμασι
5 ἱλασάμενοι, [k] διέφυγον τὸ στράτευμα. Θεμιστοκλέης
μέν νυν, ἐξ Ἄνδρου ὁρμεώμενος, χρήματα παρὰ νη-
σιωτέων [l] ἐκτέετο λάθρῃ τῶν ἄλλων στρατηγῶν.

113 Οἱ δ' ἀμφὶ [a] Ξέρξεα, ἐπισχόντες ὀλίγας ἡμέρας
μετὰ τὴν ναυμαχίην, ἐξέλαυνον ἐς Βοιωτοὺς τὴν
αὐτὴν ὁδόν. ἔδοξε γὰρ [b] καὶ Μαρδονίῳ, ἅμα μὲν
προπέμψαι βασιλέα, ἅμα δὲ [c] ἀνωρίην εἶναι τοῦ ἔτεος
πολεμέειν· [d] χειμερίσαι τε ἄμεινον εἶναι ἐν [e] Θεσ-
σαλίῃ, καὶ ἔπειτα ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελο-
2 ποννήσου. Ὡς δὲ [f] ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐν-
θαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους [g] μὲν Πέρσας
πάντας τοὺς Ἀθανάτους καλεομένους, πλὴν Ὑδάρ-

Copiæ Xerxis terrestres, paucis diebus post pugnam Salaminiam, cum ipso rege Bœotiam, inde Thessaliam repetunt. Data ibi Mardonio ccc millia militum lectissimo-

[c] ἐπάξειν F. ἀπάξει S. Mox ὦν post λέγων om. S. Ald. et τε post Καρυστίων om. S. [d] ὅτι S. [e] Θεμιστοκλέα F.S. [f] τιμῇ F.S. [g] ἄλλων ν. ἔδοσαν S.V. [h] εἶπαι] εἰπεῖν F. qui mox μόνους. [i] Sic P.F. Schæfer. Καρυστίοισί τε K. Particulam om. edd. vett. cum S. qui mox εἵνεκεν. [k] ἔφυγον M.P.K.F. [l] Sic S. Wessel. ἐκτέατο M.P.K.F. ἠτέετο Ald. al.

113. [a] Ξέρξην F. Mox ἐξήλαυνον S. Ald. [b] Sic F. καὶ vulg. et Bekker. om. [c] Sic S.V.B. edd. vett. ἀνωρίῃ M.P.K.F. Stegerus. [d] Sic F.S.a. χειμ. δὲ al. [e] Sic K.P.S.V.F. Paris. Θετταλ. edd. vett. [f] Sic M.P.K.F.a.c.d. ἀπίκετο S.b. Ald. al. [g] μὲν τοὺς Πέρ. K.P. μὲν τοὺς μυρίους II. S. Vall. μυρίους ex VII. 83. irrepsisse suspicatur Wesseling.

rum, quibuscum, hieme in Thessalia et Macedonia [c. 126.] transacta, vere proximo Peloponnesum invaderet.

νεος τοῦ στρατηγοῦ· (οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι
βασιλέος·) μετὰ δὲ, τῶν ἄλλων Περσέων τοὺς θωρη-
κοφόρους, καὶ τὴν ἵππον τὴν χιλίην· καὶ Μήδους τε
καὶ Σάκας, καὶ [h] Βακτρίους τε καὶ Ἰνδοὺς, καὶ τὸν
3 [i] πεζὸν, καὶ τὴν ἵππον. ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο·
ἐκ δὲ τῶν [k] ἄλλων συμμάχων ἐξελέγετο κατ' ὀλίγους,
τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ [l] εἰ τέοισί τι
4 χρηστὸν [m] συνείδεε πεποιημένον. ἐν δὲ, πλεῖστον
ἔθνος Πέρσας αἱρέετο, ἄνδρας στρεπτοφόρους τε καὶ
ψελιοφόρους· ἐπὶ δὲ, Μήδους. οὗτοι δὲ [n] πλῆθος μὲν
οὐκ ἐλάσσονες ἦσαν τῶν Περσέων, ῥώμῃ δὲ [o] ἕσ-
σονες. ὥστε σύμπαντας τριήκοντα μυριάδας γενέ-
σθαι σὺν ἱππεῦσι.

114

Interim Spartani, oraculi Delphici jussu, ad Xerxem mittunt, qui pœnam cædis Leonidæ poscat. Legato quid Xerxes responderit. [cf. 9, 64.]

[a] Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ Μαρδόνιός τε τὴν
στρατιὴν διέκρινε, καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην,
χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι,
[b] Ξέρξεα αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου, καὶ τὸ 674
2 διδόμενον ἐξ ἐκείνου δέκεσθαι. πέμπουσι δὴ κήρυκα
τὴν ταχίστην [c] Σπαρτιῆται· ὃς ἐπειδὴ κατέλαβε ἐοῦ-
σαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς
3 ὄψιν τὴν Ξέρξεω, ἔλεγε τάδε· "Ὦ βασιλεῦ Μήδων,
"Λακεδαιμόνιοί [d] τε σε, καὶ Ἡρακλεῖδαι οἱ ἀπὸ
"Σπάρτης, αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν
4 "βασιλέα ἀπέκτεινας, ῥυόμενον τὴν Ἑλλάδα." Ὁ
δὲ, γελάσας τε, καὶ κατασχὼν πολλὸν χρόνον, [e] ὥς
οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον,
εἶπε· "[f] Τοιγάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει

[h] Sic P.K.F. τε S. vulgo om. [i] Sic S.V. Vall. Schæfer. π. καὶ τὴν ἄλλην ἵππον alii. Mox εἵλατο S. [k] ἄλλων om. M.P.K.F. [l] εἴ τι οἱ S. τε pro τι F. [m] Sic S.P.F. συνήδεε Bekker. vulg. [n] τὸ πλῆθος P.K.F. [o] ἥσσονες S.V.K.F.

114. [a] ἐν τούτῳ δὲ K. [b] Ξέρξην F. [c] Σπαρτιήτην b. [d] τε γε b. [e] ὡς ἔτυχε S.V. [f] τοιγάρ τοι Μαρδόνιος S.

“ τοιαύτας οἵας ἐκείνοισι πρέπει.” Ὁ μὲν [g] δὴ, δεξά-
115 μενος τὸ ῥηθὲν, ἀπαλλάσσετο. Ξέρξης δὲ, Μαρ-
δόνιον ἐν Θεσσαλίῃ καταλιπὼν, αὐτὸς ἐπορεύετο
κατὰ τάχος ἐς τὸν Ἑλλήσποντον· καὶ ἀπικνέεται ἐς
τὸν πόρον τῆς διαβάσιος [a] ἐν πέντε καὶ τεσσεράκοντα
ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος, ὡς [b] εἰ-
2 πεῖν. ὅκου δὲ πορευόμενοι γινοίατο, καὶ κατ’ οὕστινας
ἀνθρώπους, τὸν τούτων καρπὸν [c] ἁρπάζοντες [d] ἐσι-
3 τέοντο. εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην
τὴν ἐκ τῆς γῆς ἀναφυομένην, καὶ τῶν [e] δενδρέων τὸν
φλοιὸν περιλέποντες, καὶ τὰ φύλλα [f] καταδρέποντες
κατήσθιον, ὁμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων,
καὶ [g] ἔλειπον οὐδέν· ταῦτα δ’ [h] ἐποίευν ὑπὸ λιμοῦ.
4 ἐπιλαβὼν δὲ [i] λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη,
κατ’ ὁδὸν [k] διέφθειρε. τοὺς δὲ καὶ νοσέοντας αὐτῶν
[l] κατέλιπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε
[m] γίνοιτο ἐλαύνων, [n] μελεδαίνειν τε καὶ τρέφειν· ἐν
Θεσσαλίῃ τέ τινας, καὶ ἐν Σίρι τῆς [o] Παιονίης, καὶ
5 ἐν Μακεδονίῃ. ἔνθα καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν
τοῦ Διὸς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε, ἀπιὼν οὐκ
ἀπέλαβε· ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήϊξι,
[p] ἀπαιτέοντος Ξέρξεω, ἔφασαν νεμομένας ἁρπαχθῆναι
ὑπὸ τῶν ἄνω Θρηΐκων [q] τῶν περὶ τὰς πηγὰς τοῦ
116 Στρυμόνος [r] οἰκημένων. Ἔνθα καὶ ὁ τῶν Βισαλτέων

Xerxis cum cætero exercitu iter versus Hellespontum. Maxima harum copiarum pars fame morbisque absumta. Currus Jovi sacer [7. 40.] a Thracibus surreptus.

Bisaltarum rex quo-

[g] δὴ om. S.

115. [a] ἐν om. S. [b] εἶπαι] εἰπεῖν S.V.P.K.F. [c] ἀναρπάζοντες S. [d] ἐσιτεύοντο F. [e] δένδρων S.V. Citat h. l. Suidas in Περιλέποντες. περιβλ. F. [f] καταδιέποντες P. Mox ἤσθιον Suid. in Δρέπου. [g] Sic S.a. ἔλιπον vulg. [h] ἐποίεον F.S. [i] Sic M.V.P.K.S.F.a.b.d. λιμὸς τότε τὸν Ald. λοιμὸς τότε τ. al. [k] Sic S. Schæfer. ἔφθειρε Ald. Wessel. [l] κατέλειπεν S.a. Bekker. κατελεἰπον F. αὐτέων S. vulg. Mox ἑκάστοθι S. [m] Sic S.V.M.P.K.F. γίνηται olim. [n] τε om. P.K.F. Citat Suid. in Μελεδαίνειν. [o] Παιονίας F. [p] ἀπαιτεόντων τῶν περὶ S. omissis mediis. [q] καὶ τῶν περὶ F. [r] Sic S.V.P.K.F. οἰκεομένων edd. vett. cf. III. 96.

modo tum filios, Xerxem invito patre in Græciam secutos, ultus.

βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς, Θρήϊξ, ἔργον
ὑπερφυὲς [a] ἐργάσατο· ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ
ἑκὼν εἶναι δουλεύσειν, ἀλλ' [b] οἴχετο ἄνω ἐς τὸ [c] οὖρος
τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε μὴ στρα-
2 τεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ [d] ἀλογήσαντες, ἢ
ἄλλως σφι θυμὸς ἐγένετο θεήσασθαι τὸν πόλεμον, 67
3 ἐστρατεύοντο ἅμα τῷ [e] Πέρσῃ. ἐπεὶ δὲ ἀνεχώρησαν
ἀσινέες πάντες, ἓξ ἐόντες, ἐξώρυξε [f] αὐτῶν ὁ πατὴρ
τοὺς ὀφθαλμοὺς διὰ τὴν αἰτίην ταύτην. καὶ οὗτοι
μὲν τοῦτον τὸν μισθὸν ἔλαβον.

117

Pontibus Hellesponti per tempestatem ruptis, Xerxes cum suis Abydum navibus transvehitur, indeque Sardes movet.

Οἱ δὲ Πέρσαι ὡς
ἐκ τῆς Θρηΐκης πορευόμενοι ἀπίκοντο ἐπὶ τὸν πόρον,
[a] ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβησαν
ἐς Ἄβυδον· τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι [b] ἐντετα-
2 μένας, ἀλλ' ὑπὸ χειμῶνος διαλελυμένας. [c] Ἐνθαῦτα
δὲ κατεχόμενοι, [d] σιτία τε πλέω ἢ κατ' ὁδὸν ἐλάγ-
χανον· οὐδένα τε κόσμον ἐμπιπλάμενοι, καὶ ὕδατα
μεταβάλλοντες, ἀπέθνησκον τοῦ στρατοῦ τοῦ περιε-
όντος πολλοί. οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται
ἐς Σάρδις.

118

Alia de Xerxis reditu narratio,

Ἔστι δὲ καὶ ἄλλος [a] ὅδε λόγος λεγόμενος, ὡς ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ [b] Ἀθηνέων ἀπίκετο ἐπ' Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, [c] ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι [d] διεχρέετο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτρέπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον, αὐτὸς δ' ἐπὶ νηὸς Φοινίσσης ἐπιβὰς, ἐκομίζετο ἐς τὴν Ἀσίην.

116. [a] Sic P.K.S.V.F. εἰργάσατο edd. vett. Supra Θρῆξ S. [b] ὤχετο K.P. ᾤιχετο F. Supra τῷ ante Ξέρξῃ om. S. et deinde habet δουλεύσει. [c] ὄρος S.V.F. [d] ἀλογίσαντες Ald. [e] Ξέρξῃ S.V. Vall. [f] Sic F. αὐτέων S. vulg.

117. [a] ἐπειγόμενοι om. b. [b] ἐντεταγμένας F. [c] Sic P.F.a.b.c. vulgo. ἐνθ. δή. [d] Sic P.K.F. Schæfer. τε vulgo om. cum S.

118. [a] Sic P.K.S.F. ὅδε λεγόμενος λόγος al. [b] Omnes præter Vallam Ἀθηναίων. [c] ἐνθεῦτεν om. S. [d] Sic Ald. S.V.A.B. διεχρῆτο M.P.K.F.

2 [e] πλώοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβεῖν
μέγαν καὶ κυματίην· καὶ δὴ, μᾶλλον [f] γάρ τι χειμαί-
νεσθαι, γεμούσης τῆς νηὸς, ὥστε ἐπὶ τοῦ καταστρώ-
ματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ
κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλέα,
εἴρεσθαι βώσαντα τὸν [g] κυβερνήτεα, εἴ τις ἐστί [h] σφι
3 σωτηρίη. καὶ τὸν [i] εἶπαι· "Δέσποτα, οὐκ ἔστιν οὐδε-
"μία, [k] ἢν μὴ τούτων ἀπαλλαγή τις γένηται τῶν
"πολλῶν ἐπιβατέων." καὶ Ξέρξεα λέγεται ἀκού-
4 σαντα ταῦτα εἶπαι· "Ἄνδρες Πέρσαι, νῦν τις δια-
"δεξάτω ὑμέων βασιλέος κηδόμενος· ἐν ὑμῖν γὰρ
5 "[l] οἶκε εἶναι ἐμοὶ ἡ σωτηρίη." τὸν μὲν ταῦτα λέγειν·
τοὺς δὲ, προσκυνέοντας, [m] ἐκπηδέειν ἐς τὴν θάλασσαν·
καὶ τὴν νῆα [n] ἐπικουφισθεῖσαν, οὕτω δὴ ἀποσωθῆναι
6 ἐς τὴν Ἀσίην. Ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν
Ξέρξεα, ποιῆσαι τοιόνδε· ὅτι μὲν ἔσωσε βασιλέος
τὴν ψυχὴν, [o] δωρήσασθαι [p] χρυσέῃ στεφάνῃ τὸν
κυβερνήτεα· ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀπο-
119 ταμεῖν τὴν κεφαλὴν αὐτοῦ. Οὗτος δὲ [a] ἄλλος λέ- sed parum illa credibilis Herodoto visa.
γεται λόγος περὶ τοῦ Ξέρξεω νόστου, οὐδαμῶς ἔμοιγε 676
πιστὸς, οὔτε ἄλλως, οὔτε τὸ Περσέων τοῦτο πάθος.
2 εἰ γὰρ δὴ ταῦτα οὕτω [b] εἰρέθη ἐκ τοῦ κυβερνήτεω

[e] Sic S.V. πλέοντα alii. [f] γάρ τοι S. [g] κυβερνίτην P. κυβερνήτην F.f. Mox εἴ τι ἔστι S. [h] σφι om. a.b.d. [i] εἰπεῖν f. et sic paullo post F.f. [k] εἰ μὴ] ἢν μὴ S. perspicue, ut conj. Werfer. Act. Phil. Monac. I. p. 100. Sed vulg. tuetur Hermannus de part. ἂν II. 7. et sic ed. Bekker. Mox ταῦτα ἀκούσαντα S. [l] Sic P.F.f. οἶκε ἐμοὶ εἶναι M.K.P. Ald. Wessel. Bekker. ἔοικε ἐμοὶ εἶ. al. ἔοικεν εἶναι ἐμοὶ σωτηρίη S. [m] Sic S.V. Schæfer. ἐκπηδᾷν vulg. Mox νέα S. [n] ἐπικουφισθῆναι F. in textu. [o] δωρῆσαι S. [p] χρυσέῳ στεφάνῳ S.V.

119. [a] Ita Wesseling. et Schæfer. edd. vett. ἄλλως λέγεται ὁ λόγος. S. ἄλλος λόγος λέγεται. V. etiam ἄλλος. et λόγος P. absque ὁ. Schweighæuserus ex F.a.b.c. ἄλλως λέγεται ὁ λόγος—οὔτε ἄλλος. Tum οὔτε Πέρσεων τοῦτο τὸ πάθος S. [b] Sic P. ἠρέθη F. cf. IV. 77. 156. ἐρρέθη V.S. ἐρρήθη edd.

πρὸς [c] Ξέρξεα, ἐν μυρίῃσι γνώμῃσι μίαν οὐκ ἔχω ἀντίξοον, [d] μὴ οὐκ ἂν ποιῆσαι βασιλέα τοιόνδε· τοὺς μὲν [e] ἐκ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νῆα, [f] ἐόντας Πέρσας, καὶ Περσέων τοὺς πρώτους· [g] τῶν δ' ἐρετέων, ἐόντων Φοινίκων, ὅκως οὐκ ἂν ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν.
3 Ἀλλ' ὁ μὲν, ὡς καὶ πρότερόν [h] μοι εἴρηται, ὁδῷ χρεώμενος ἅμα τῷ ἄλλῳ [i] στρατῷ, ἀπενόστησε ἐς τὴν Ἀσίην.

120 Munera Abderitis a Xerxe Asiam repetente data.

Μέγα δὲ καὶ τόδε μαρτύριον· φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα, καὶ ξεινίην τέ σφι [a] συνθέμενος, καὶ δωρησάμενος αὐτοὺς ἀκινάκῃ τε χρυσέῳ καὶ [b] τιήρῃ χρυσοπάστῳ.
2 καὶ ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες [c] ἐμοί γε οὐδαμῶς πιστὰ, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων
3 ἐξ [d] Ἀθηνέων ὀπίσω, ὡς ἐν ἀδείῃ ἐών. [e] τὰ δὲ Ἄβδηρα [f] ἵδρυται πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον [g] ἢ τοῦ Στρυμόνος καὶ τῆς Ἠϊόνος, ὅθεν δή μιν φασὶ ἐπιβῆναι ἐπὶ τὴν νῆα.

121 Omissa Andri obsidione [c. 111.], quod incolæ fortissime resisterent, classis Græ-

Οἱ δὲ Ἕλληνες, ἐπεί τε οὐκ οἷοί τε [a] ἐγένοντο [b] ἐξελέειν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον, καὶ δηϊώσαντες αὐτῶν τὴν χώρην, ἀπαλλάσσοντο ἐς Σαλαμῖνα.
2 Πρῶτα μέν [c] νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια, ἄλλα τε, καὶ τριήρεας τρεῖς Φοινίσσας· τὴν

[c] Ξέρξην F. τὸν Ξέρξεα S. [d] μὴ om. S.V. [e] Sic S.V. Vall. Schæfer. ἐπὶ τοῦ καταστ. vulg. [f] ἐόντας Πέρσας om. d. [g] καὶ τῶν δ' ἐρετριέων S. [h] Sic M.P.K. μοι om. F.a.S. Ald. al. [i] στρατοπέδῳ S.

120. [a] θέμενος d. Supra ξενίην S. [b] τιήρῃ S.V. Vall. τιήρεϊ M.K.P. τριήρεϊ F.a. Ald. al. Supra τε om. S. [c] ἐμοί γε οὐδαμῶς πιστὰ P.K.V.F.a. μὲν οὐδαμῶς ἐμοὶ πιστὰ edd. vett. οὐδαμῶς ἔμοιγε π. S. [d] Omnes fere Ἀθηναίων. [e] Sic P.K.S.V.F.a.b.d. πρὸς τοῦ Ἑλλησπόντου δὲ μᾶλλον τὰ Ἄβδηρα ἵδρυται vulgo. [f] εἴρηται b. [g] ἢ om. S.

121. [a] ἐγίνοντο P.V.S. [b] ἐξελέειν S.V. Schæfer. Vulg. ἐξελεῖν. [c] νυν om. K.

μὲν, ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι [d] καὶ ἐς ἐμὲ ἦν·
τὴν δὲ, ἐπὶ Σούνιον· τὴν δὲ, τῷ Αἴαντι, [e] αὐτοῦ ἐς
3 Σαλαμῖνα. μετὰ δὲ τοῦτο [f] διεδάσαντο τὴν ληΐην, καὶ
τὰ ἀκροθίνια [g] ἀπέπεμψαν ἐς Δελφούς· ἐκ τῶν ἐγέ-
νετο ἀνδριὰς, ἔχων ἐν τῇ [h] χερὶ ἀκρωτήριον νηὸς, ἐὼν
μέγαθος [i] δυωκαίδεκα πήχεων· [k] ἑστήκεε δὲ οὗτος τῇ-
122 περ ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύσεος. [a] Πέμψαντες
δὲ ἀκροθίνια [b] οἱ Ἕλληνες ἐς Δελφοὺς, [c] ἐπειρώτεον
τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ
ἀκροθίνια. ὁ δὲ, παρ' Ἑλλήνων μὲν τῶν ἄλλων, 677
ἔφησε, ἔχειν· παρ' Αἰγινητέων δὲ, οὔ· ἀλλὰ ἀπαίτεε
αὐτοὺς τὰ ἀριστήϊα τῆς ἐν Σαλαμῖνι ναυμαχίης.
2 Αἰγινῆται δέ πυθόμενοι, ἀνέθεσαν ἀστέρας χρυσέους,
οἳ ἐπὶ ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης,
123 ἀγχοτάτω τοῦ [d] Κροίσεω κρητῆρος. Μετὰ δὲ τὴν
διαίρεσιν τῆς ληΐης [a] ἔπλωον οἱ Ἕλληνες ἐς τὸν
Ἰσθμὸν, ἀριστήϊα δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ
2 Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. ὡς δὲ ἀπικό-
μενοι οἱ στρατηγοὶ [b] διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ
Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον
κρίνοντες ἐκ πάντων· ἐνθαῦτα πᾶς τις [c] αὐτῶν ἑωυ-
τῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος
γενέσθαι· δεύτερα [d] δὲ, οἱ πολλοὶ συνεξέπιπτον
3 [e] Θεμιστοκλέα κρίνοντες. οἱ μὲν δὴ [f] ἐμουνοῦντο·

corum Carystum depopulata [c. 112.], Salaminem revertitur. Dona diis data: prædæ divisæ.

Quid Æginetæ deo Delphico petenti donaverint.

Per cæterorum ducum livorem stetisse, ne Themistocli, cum in Isthmo ad Neptuni aram suffragia de hac re ferrent, ob res bene gestas primæ darentur.

[d] καὶ om. F. [e] αὐτῷ b. [f] ἐδάσαντο K. Mox τὰ om. S. [g] Sic M.P.K.F. Paris. ἔπεμψαν S. al. [h] χειρὶ F. qui mox νεώς. ἀκρωτήριον ἐν τῇ χειρὶ νεὼς S. [i] Sic M.K.P.F. δυώδεκα S. al. [k] ἕστηκε S.V. Schæfer. Bekker.

122. [a] Citat Plutarch. II. p. 871. [b] οἱ Ἕλληνες om K. [c] Sic K.P. ἐπηρώτων F.S. ἐπηρώτεον edd. vett. [d] Sic M.P.K.F. χρυσοῦ S. Κροίσου al. cf. I. 51.

123. [a] ἔπλεον F. [b] Sic Paris. Ald. Schæfer. διένεμον M.P.K.F. ἔφερον S.V. [c] αὐτῶν om. S.V. [d] δὲ om. F. Tum ξυνεξέπιπτον S. [e] Θεμιστοκλῆα] Θεμιστοκλέα S.V.K.F. [f] ἐμιοῦντο ex F. citat Schweighæuser. Voluit credo ἐμονοῦντο.

Θεμιστοκλέης δὲ δευτερείοισι [g] ὑπερεβάλλετο πολλόν.
124 Οὐ βουλομένων δὲ ταῦτα κρίνειν τῶν Ἑλλήνων
φθόνῳ, ἀλλ' [a] ἀποπλωόντων ἑκάστων ἐς τὴν ἑωυτῶν
ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐβώσθη τε καὶ [b] ἐδο-
ξώθη εἶναι ἀνὴρ [c] πολλὸν Ἑλλήνων σοφώτατος ἀνὰ
2 πᾶσαν τὴν Ἑλλάδα. Ὅτι δὲ νικῶν οὐκ ἐτιμήθη
πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ
ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο, θέλων τιμηθῆναι.
καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγά-
3 λως δὲ ἐτίμησαν. ἀριστήϊα μέν νυν ἔδοσαν Εὐρυ-
βιάδῃ, ἐλαίης στέφανον· σοφίης δὲ καὶ δεξιότητος,
4 Θεμιστοκλέϊ, καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρή-
σαντο [d] δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ [e] καλλιστεύσαντι·
αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν [f] ἀπιόντα τριη-
κόσιοι Σπαρτιητέων λογάδες, οὗτοι οἵπερ ἱππέες
καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν. μοῦνον δὴ 678
τοῦτον πάντων ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, Σπαρ-
125 τιῆται προέπεμψαν. Ὡς δὲ ἐκ τῆς Λακεδαίμονος
ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος [a] Ἀφι-
δναῖος, τῶν ἐχθρῶν μὲν τῶν Θεμιστοκλέος ἐὼν, ἄλλως
δὲ οὐ τῶν [b] ἐπιφανέων ἀνδρῶν, φθόνῳ [c] καταμαρ-
γέων, ἐνείκεε τὸν Θεμιστοκλέα, τὴν [d] ἐς Λακεδαί-
μονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας [e] ἔχοι τὰ
γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωυτόν.
2 ὁ δὲ, [f] ἐπεί τε οὐκ ἐπαύετο [g] ταῦτα λέγων ὁ Τιμόδη-

Honor insignis paulo post Spartæ eidem habitus.

Timodemus Themistoclis obtrectator quomodo confutatus.

[g] ὑπερέβαλλε S. cf. I. 61.

124. [a] ἀποπλεόντων F. qui mox ἐβοήθη. [b] ἐδοξώσθη Ald. [c] πολλῶν F. Ald. forte alii. [d] γέ μιν K. τέ μιν S. [e] καλλιστεύοντι V.S. [f] Sic S.V.P.K.F. ἀνιόντα Paris. Ald.

125. [a] Ἀθηναῖος S. neutrum habet Vall. Mox μὲν om. S. [b] Sic S.V.P. Vall. F. Paris. ἀνδρῶν om. vulg. [c] Sic S.V.a. Vall. Wessel. Schæfer. καταμαρπτέων F.b.c.d. al. [d] ἐς Σπάρτην S.V. Vall. [e] Sic M.P.V.K.F.a.c.d. ἔχει S.b. Ald. Schæfer. [f] Sic M.P.K.F. Paris. S.V. Vall. ἐπεί τε ἐνέκειτο καὶ οὐκ edd. vett. [g] λέγων ταῦτα F.S. mox δημότιμος S.

μος, εἶπε· "Οὕτω ἔχει τοι· οὔτ' ἂν ἐγὼ, ἐὼν Βελ-"βινίτης, ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων· [h]οὔτ' "ἂν σὺ, ὤνθρωπε, ἐὼν Ἀθηναῖος." Ταῦτα μέν [i]νυν ἐς [k]τοσοῦτο ἐγένετο.

126 Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος, ἀνὴρ ἐν Πέρσῃσι λόγιμος καὶ πρόσθε ἐὼν, ἐκ δὲ τῶν Πλαταιϊκῶν καὶ μᾶλλον ἔτι γενόμενος, ἔχων ἓξ μυριάδας στρατοῦ [a]τὸν Μαρδόνιος ἐξελέξατο, προέπεμπε βασιλέα
2 μέχρι τοῦ πόρου. ὡς δὲ ὁ μὲν [b]ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ, ὀπίσω πορευόμενος, κατὰ τὴν Παλλήνην [c]ἐγίνετο· ἅτε Μαρδονίου τε χειμερίζοντος περὶ Θεσσαλίην τε καὶ Μακεδονίην, καὶ οὐδέν κω κατεπείγοντος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον· οὐκ ἐδικαίου, ἐντυχὼν ἀπεστεῶσι Ποτιδαιήτῃσι, μὴ οὐκ
3 ἐξανδραποδίσασθαί σφεας. Οἱ γὰρ Ποτιδαιῆται, ὡς βασιλεὺς παρεξεληλάκεε, καὶ ὁ ναυτικὸς τοῖσι Πέρσῃσι οἰχώκεε φεύγων ἐκ [d]Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ ἀπέστασαν ἀπὸ τῶν βαρβάρων· ὣς δὲ καὶ [e]ὦλλοι οἱ τὴν Παλλήνην ἔχοντες. Ἐνθαῦτα δὴ [f]ὁ

Expeditio Persarum Pallenensis. Artabazus cum parte copiarum Mardonii regem ad Hellespontum prosecutus, indeque rediens, Pallenenses, qui interea Persarum se 679 jugo subtraxerant, expugnare constituit.

127 Ἀρτάβαζος ἐπολιόρκεε τὴν [g]Ποτιδαίην. Ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους ἀπίστασθαι ἀπὸ βασιλέος, καὶ ταύτην ἐπολιόρκεε. εἶχον δὲ αὐτὴν Βοττιαῖοι, [a]οἱ ἐκ τοῦ Θερμαίου κόλπου ἐξαναστάντες
2 ὑπὸ Μακεδόνων. ἐπεὶ δέ σφεας εἷλε πολιορκέων, κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην· τὴν δὲ πόλιν παρα-

Primum Olynthii, quod et horum fides dubia videretur, oppressi: Olynthus tradita Chalcidensibus.

[h] οὔτε σὺ S.V. [i] νυν om. K.M.F.b. cf. Misc. Obs. III. p. 146. [k] Sic V.P.F. Schæfer. τοσοῦτον S. Wessel. al.

126. [a] Sic V. Wessel. τοῦ Μαρδ. M.P.K.F.S. Bekker. ὃν Ald. al. Mox τοῦ ante πόρου om. S. [b] ἦν om. P.M.F.b. [c] Sic P.V.F.a. ἐγένετο S. al. [d] Sic S.V.P.F.a. τῆς Σάλ. Wessel. Bekker. al. [e] ὦλλοι S.V. οἱ ἄλλοι F. Ald. al. [f] Sic F. ὁ om. al. δὲ pro δὴ S. [g] Ποτίδαιαν a. τὴν Π.—ἐπολιόρκεε om. F.

127. [a] οἱ om. P.F.c.

διδοῖ Κριτοβούλῳ [b] Τορωναίῳ ἐπιτροπεύειν, καὶ τῷ
Χαλκιδικῷ γένεϊ. καὶ οὕτω Ὄλυνθον Χαλκιδέες
128 ἔσχον. Ἐξελὼν δὲ ταύτην ὁ Ἀρτάβαζος, τῇ Ποτι-
δαίῃ ἐντεταμένως προσεῖχε. προσέχοντι δέ οἱ προ-
θύμως [a] συντίθεται προδοσίην Τιμόξεινος, ὁ τῶν
Σκιωναίων στρατηγός· ὅντινα μὲν τρόπον ἀρχὴν,
ἔγωγε οὐκ ἔχω [b] εἰπεῖν, (οὐ γὰρ ὦν λέγεται·) τέλος
2 μέντοι [c] τοιάδε ἐγίνετο. ὅκως [d] βυβλίον γράψειε ἢ
[e] Τιμόξεινος, ἐθέλων παρὰ Ἀρτάβαζον πέμψαι, ἢ
Ἀρτάβαζος παρὰ Τιμόξεινον, τοξεύματος [f] περὶ τὰς
[g] γλυφίδας περιειλίξαντες καὶ πτερώσαντες τὸ βυ-
3 βλίον, ἐτόξευον ἐς συγκείμενον χωρίον. ἐπάϊστος δὲ
[h] ἐγίνετο ὁ Τιμόξεινος [i] προδιδοὺς τὴν Ποτίδαιαν.
τοξεύων γὰρ [k] ὁ Ἀρτάβαζος ἐς τὸ συγκείμενον, ἁμαρ-
τὼν τοῦ χωρίου τούτου, βάλλει ἀνδρὸς Ποτιδαιήτεω
4 τὸν ὦμον. τὸν δὲ βληθέντα [l] περιέδραμε ὅμιλος, οἷα
φιλέει γίνεσθαι ἐν πολέμῳ· οἳ αὐτίκα τὸ τόξευμα
λαβόντες, ὡς ἔμαθον τὸ βυβλίον, ἔφερον ἐπὶ τοὺς
στρατηγούς. [m] παρῆν δὲ καὶ τῶν ἄλλων Παλλη-
5 ναίων συμμαχίη. τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξα-
μένοισι τὸ βυβλίον, καὶ μαθοῦσι τὸν αἴτιον τῆς προ-
δοσίης, ἔδοξε μὴ [n] καταπλέξαι Τιμόξεινον προδοσίῃ,
τῆς Σκιωναίων πόλιος εἵνεκα, μὴ νομιζοίατο εἶναι
Σκιωναῖοι ἐς τὸν μετέπειτα χρόνον αἰεὶ προδόται. ὁ
129 μὲν δὴ τοιούτῳ τρόπῳ ἐπάϊστος [o] ἐγεγόνεε. Ἀρτα-

Tum Potidæa oppugnata. Timoxeni proditionem urbis cum Persis pacti fraus qua re detecta.

[b] Τορωναίῳ om. M.P.K.F.b. qui mox ἐπιτρέπειν.
128. [a] Sic V.S.P.K.F. Paris. συνετίθετο olim. Mox Τιμόξενος S. [b] εἶπαι] εἰπεῖν S.V.P.F. [c] τάδε c. [d] Sic S.P.F.c. Schæfer. βιβλίον Wessel. al. γράψοιεν S. [e] Τιμόξενος S.V. et sic infra, qui et θελων pro ἐθέλων. [f] Ita Æneas Tact. c. 31. Vulgo παρὰ τάς. [g] Suid. in v. [h] Sic F. ἐγένετο S. vulg. [i] παραδιδοὺς K. [k] ὁ om. P.S. [l] περιέβαλλεν b. [m] Sic P.K.V.S.F. Paris. Ald. παρῆσαν M. Gronov. Mox τὸ αἴτιον S. [n] Sic S. Alii cum Bekkero καταπλῆξαι. [o] Sic S.V.P.F. ἐγένετο Wess. Bekker. al.

βάζῳ δὲ ἐπειδὴ πολιορκέουντι ἐγεγόνεσαν τρεῖς μῆνες, 680
γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη, καὶ χρόνον
2 ἐπὶ πολλόν. ἰδόντες δὲ οἱ βάρβαροι [a] τέναγος γενό-
μενον, [b] παρήϊσαν ἐς τὴν Παλλήνην. ὡς δὲ τὰς [c] δύο
μὲν μοίρας [d] διοδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι
ἦσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ,
ἐπῆλθε πλημμυρὶς τῆς θαλάσσης μεγάλη, [e] ὅση οὐ-
δαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις [f] γινο-
3 μένη. οἱ μὲν δὴ νέειν αὐτῶν οὐκ ἐπιστάμενοι διεφθεί-
ροντο· τοὺς δὲ ἐπισταμένους [g] οἱ Ποτιδαιῆται ἐπι-
4 πλώσαντες πλοίοισι ἀπώλεσαν. Αἴτιον δὲ λέγουσι
οἱ Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημμυρίδος
καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, [h] ὅτι τοῦ
Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα [i] τὸ ἐν τῷ
προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων [k] τοίπερ
καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης· αἴτιον δὲ τοῦτο
5 λέγοντες, εὖ λέγειν ἔμοιγε δοκέουσι. τοὺς δὲ περι-
γενομένους ἀπῆγε Ἀρτάβαζος ἐς Θεσσαλίην παρὰ
Μαρδόνιον. Οὗτοι μὲν οἱ προπέμψαντες βασιλέα,
[l] οὕτω ἔπρηξαν.

Post mensium trium obsidionem magna clade accepta rebusque infectis Artabazus in Thessaliam revertitur.

130 Ὁ δὲ [a] ναυτικὸς ὁ Ξέρξεω περιγενόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ φεύγων ἐκ Σαλαμῖνος, καὶ βα-

Classis Persarum cum Cymæ,

129. [a] τοῦτο b. [b] Ita Schæfer. παρῆσαν K. παρῆσαν F.S. παρίεσαν vulg. [c] μὲν δύο S. [d] Sic V.F. Schæfer. διωδοιπ. Wessel. al. διοδοιπαρήκεσαν S. [e] ὅσην S. qui mox om. ὡς. [f] γινομένη P.K.F.a. γενομένης S. γενομένη Wessel. Bekker. al. [g] Sic K.F. οἱ Bekker. vulg. om. cum S. οἱ item infra om. S. Ald. [h] ὅτι ἐς τοῦ Ποσειδ. τὸν νηὸν S. [i] τὸ ἐν τῷ πρ. om. S. [k] οἵπερ S.V.P.K.F.a. Bekker. Mox ἐμοὶ S. pro ἔμοιγε. [l] οὕτω ἔπρηξαν om. M.P.K.F.b.

130. [a] ναυτικὸς στρατὸς Ald. necnon V.S. apud Wessel. quod ad S. quidem perperam. στρατὸς om. M.P.K.F. Paris. et S. Substantivus similiter deest 131. IX. 96. Supra tamen VII. 203. στρατὸν habent Ald. Wessel. et reliqui credo libri. Tacite omisit Schweighæuser.

partimque Sami hibernasset, vere ineunte [a. 479.] ad Samum tota colligitur, Ioniam inde, ne deficeret, observatura. Ejus præfecti.

σιλέα τε καὶ τὴν στρατιὴν [b] ἐκ Χερσονήσου [c] διε-
2 πόρθμευσε ἐς Ἄβυδον, [d] ἐχειμέριζε ἐν Κύμῃ. ἔαρος
δὲ ἐπιλάμψαντος, [e] πρῴϊος συνελέγετο ἐς Σάμον· αἱ
3 δὲ τῶν νηῶν καὶ ἐχειμέρισαν αὐτοῦ. Περσέων δὲ
καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον· στρατηγοὶ [f] δέ
σφι ἐπῆλθον, Μαρδόντης τε ὁ Βαγαίου, καὶ Ἀρ-
ταΰντης ὁ Ἀρταχαίου· συνῆρχε δὲ [g] τούτοισι καὶ
ἀδελφιδέος, αὐτοῦ Ἀρταΰντεω [h] προσελομένου, [i] Ἰθα- 681
4 μίτρης. Ἅτε δὲ μεγάλως πληγέντες, οὐ [k] προήϊσαν
ἀνωτέρω [l] τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε [m] οὐδείς·
ἀλλ' ἐν τῇ Σάμῳ κατήμενοι, ἐφύλασσον τὴν Ἰωνίην
μὴ ἀποστῇ, νῆας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας.
5 [n] οὐ μὴν οὐδὲ προσεδέκοντο τοὺς Ἕλληνας [o] ἐλεύ-
σεσθαι ἐς τὴν Ἰωνίην, ἀλλ' ἀποχρήσειν σφι τὴν
ἑωυτῶν φυλάσσειν· σταθμεύμενοι ὅτι σφέας οὐκ
ἐπεδίωξαν [p] φεύγοντας ἐκ Σαλαμῖνος, ἀλλ' ἄσμενοι
6 ἀπαλλάσσοντο. Κατὰ μέν νυν τὴν θάλασσαν ἑσσω-
μένοι ἦσαν τῷ θυμῷ, πεζῇ δὲ ἐδόκεον [q] πολλὸν κρα-
7 τήσειν τὸν Μαρδόνιον. ἐόντες δὲ ἐν Σάμῳ, ἅμα μὲν
[r] ἐβουλεύοντο εἴ τι [s] δυναίατο κακὸν τοὺς πολεμίους
ποιέειν, ἅμα δὲ καὶ ὠτακούστεον [t] ὅκῃ πεσέεται τὰ
Μαρδονίου πρήγματα.

[b] ἐκ Χερσονήσου om. K. [c] διεπόρθμευεν S. [d] Sic P.K.F.S. ἐχειμέρισε vulg. [e] πρῶτον. S.V.d. Mox καὶ στρατηγοὶ δέ S. [f] δὲ ἐπῆλθόν σφι F. qui mox Ἀρταΰτης et Ἀρταΰτεω. [g] Sic a.S. τοῖσι vulg. [h] προελομ. S. [i] Ita Wessel. ex IX. 102. Vulgo ὁ Ἀμίτρης cum S. Fueritne Ἀρτύντης Ἰθαμάτρεω VII. 67. hujus frater, et patris hinc corrigendum nomen, non adfirmaverit Wesseling. [k] Sic P. Wessel. προήεσαν S.V.a. προῇσαν K. προσῆσαν F. προΐεσαν vulg. [l] Sic P.K.F. τὰ πρὸς a.b.S. al. [m] οὐδὲ εἷς S.V. Schæfer. Bekker. [n] Sic K.F.b. οὐ μὲν S. Wessel. Bekker. al. [o] Sic P.K.S.V.F. Paris. προσελεύ. olim. Mox τὴν om. S. et paulo post ἀποχρήσει. [p] φεύγοντες F. [q] Sic S.V. cf. 13. et VII. 7. Schæfer. πολλῷ al. [r] ἐβουλεύσαντο P. [s] Sic P.K.M.S.V.F.a.c.d. δυνέατο b. δύναιντο olim. [t] ὅση F. Supra καὶ om. S.

131 Τοὺς δὲ Ἕλληνας τό τε ἔαρ [a] γινόμενον ἤγειρε, καὶ Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. ὁ μὲν δὴ πεζὸς [b] οὔκω συνελέγετο· ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν,
2 νῆες ἀριθμὸν δέκα καὶ ἑκατόν. στρατηγὸς δὲ καὶ ναύαρχος ἦν Λευτυχίδης ὁ [c] Μενάρεος, τοῦ [d] Ἡγησίλεω, τοῦ Ἱπποκρατίδεω, τοῦ Λευτυχίδεω, τοῦ Ἀναξίλεω, τοῦ Ἀρχιδήμου, τοῦ Ἀναξανδρίδεω, τοῦ Θεοπόμπου, τοῦ Νικάνδρου, τοῦ [e] Χαρίλλου, τοῦ Εὐνόμου, τοῦ Πολυδέκτεος, τοῦ Πρυτάνιος, τοῦ Εὐρυφῶντος, τοῦ Προκλέος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, [f] τοῦ Ἡρακλέος· ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλέων.
3 οὗτοι πάντες, πλὴν τῶν [g] δυῶν τῶν μετὰ Λευτυχίδεα [2] πρώτων καταλεχθέντων, οἱ ἄλλοι, βασιλέες ἐγένοντο Σπάρτης. Ἀθηναίων δὲ ἐστρατήγεε Ξάνθιππος, ὁ
132 Ἀρίφρονος. Ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νῆες, ἀπίκοντο Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων· οἳ καὶ ἐς [a] τὴν Σπάρτην ὀλίγῳ πρότερον τούτων ἀπικόμενοι, ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην· τῶν καὶ Ἡρόδοτος
2 ὁ Βασιληΐδεω ἦν. οἳ [b] στασιῶταί σφι γενόμενοι, ἐπεβούλευον θάνατον [c] Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά· ἐπιβουλεύοντες δὲ ὡς φανεροὶ [d] ἐγένοντο, ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, [e] οὕτω δὴ οἱ λοιποὶ, ἓξ ἐόντες, ὑπεξέσχον ἐκ [f] τῆς Χίου, καὶ ἐς [g] Σπάρτην τε ἀπίκοντο, καὶ δὴ καὶ τότε

Sub idem tempus et Græci ad res se gerendas parant. Et naves quidem, duce Leotychide Spartiata [6, 65. 67.], cujus hic stemma ab Hercule repetitum traditur, Æginam tendunt. Atheniensium dux Xanthippus [6. 131.]. 682

Ibi dum in ancoris stant, duces a legatis Ionum sollicitantur, ut Ioniæ liberandæ animum adjiciant. Sic classis ad Delum usque provecta, Græcis ob metum barbarorum ulterius ire recusantibus.

131. [a] Sic F. γενόμενον S. vulg. [b] ὄκου F. [c] Μενάριος F. [d] Ἡσίλεω S. Vall. [e] Sic S. Vall. Wessel. Χαρίλου F.a.b.c. al. τοῦ Ἡρακλέος inserit F. qui mox om. τοῦ Πρυτάνιος. [f] τοῦ Ἡρακλέος h. l. om. F. [g] Sic S.F. Schæfer. δυῷν Wessel. al.

132. [a] τὴν om. S.P.V.F. In pr. ὡς παρεγένοντο δὲ S. [b] στρατιῶται S. Mox σφίσι F. Bekker. [c] Στάττι S. Vall. [d] ἐγίνοντο K.P.F. [e] οὗτοι οἱ S. [f] τῆς om. K. ὑπερέσχον τῆς Χίου S. [g] Sic F. τε vulg. om. cum S.

ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεόμενοι καταπλῶσαι
ἐς τὴν Ἰωνίην· [h] οἳ προήγαγον αὐτοὺς μόγις μέχρι
3 Δήλου. τὸ γὰρ [i] προσωτέρω πᾶν δεινὸν ἦν τοῖσι
Ἕλλησι, οὔτε τῶν χώρων ἐοῦσι [k] ἐμπείροισι, στρα-
τιῆς τε πάντα πλέα ἐδόκεε εἶναι· τὴν δὲ Σάμον
[l] ἐπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέ-
4 χειν. συνέπιπτε δὲ [m] τοιοῦτο, ὥστε τοὺς μὲν βαρ-
βάρους τὸ πρὸς ἑσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾶν
καταπλῶσαι, καταρρωδηκότας· τοὺς δὲ Ἕλληνας,
χρηΐζόντων Χίων, τὸ πρὸς ἠῶ κατωτέρω [n] Δήλου.
οὕτω [o] δέος τὸ μέσον [p] ἐφύλασσέ σφεων.

133 Consulta inter hibernandum a Mardonio oracula, adhibitusque ad hanc rem Mys natione Car.

Οἱ μὲν δὴ Ἕλληνες ἔπλωον ἐς τὴν Δῆλον· Μαρ-
δόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. ἐνθεῦτεν δὲ
[a] ὁρμεώμενος, ἔπεμπε κατὰ [b] τὰ χρηστήρια ἄνδρα
Εὐρωπέα γένος, τῷ οὔνομα ἦν Μῦς· ἐντειλάμενος
πανταχῇ μιν [c] χρησόμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι
2 ἀποπειρήσασθαι. ὅ τι μὲν βουλόμενος [d] ἐκμαθέειν
πρὸς τῶν χρηστηρίων ταῦτα ἐνετέλλετο, οὐκ ἔχω
φράσαι· οὐ γὰρ ὦν λέγεται· δοκέω δ' ἔγωγε περὶ
τῶν παρεόντων πρηγμάτων, καὶ οὐκ ἄλλων πέρι
πέμψαι.

134 Quæ Bœotiæ Phocidisque oracula Mys adierit. Amphiaraum interrogare cur

Οὗτος ὁ Μῦς ἔς τε [a] Λεβάδειαν [b] φαίνεται
ἀπικόμενος, καὶ μισθῷ πείσας τῶν ἐπιχωρίων ἄνδρα, 683
καταβῆναι παρὰ Τροφώνιον· καὶ ἐς Ἄβας τὰς Φω-
2 κέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον. καὶ δὴ [c] καὶ ἐς
Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μέν, τῷ [d] Ἰσμηνίῳ

[h] προήγαγον δὲ S.V. [i] πορρωτέρω S. [k] ἀπείροισι S. [l] Sic V.F. Schæfer. ἠπιστ. S. Wessel. al. [m] Sic F.a.b. Schæfer. τοιοῦτον S. τοιούτῳ edd. vett. [n] Δῆλος P. Supra τῶν Χίων S. [o] δὲ ἐς τὸ P.K.F. [p] Sic P.K.S.V.F. Paris. Vall. ἐφύλασσον edd. vett.

133. [a] ὁρμεόμενος S. [b] τὰ om. S. [c] Sic S.V. Schæfer. et probavit Wessel. χρησάμενον al. [d] ἐκμαθεῖν S.

134. [a] Λαβάδειαν F. [b] φαίνεται ἀπικόμενος K.S.P.F. ἀπικ. φαίν. vulg. [c] καὶ om. S.V. [d] Ἰσμινίῳ S.

Ἀπόλλωνι ἐχρήσατο· (ἔστι δὲ, κατάπερ ἐν Ὀλυμ-
πίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι·) τοῦτο δὲ, ξεῖνόν
τινα καὶ οὐ Θηβαῖον χρήμασι πείσας, [c] κατεκοίμησε
3 ἐς [f] Ἀμφιάρεω. Θηβαίων δὲ οὐδενὶ ἔξεστι μαν-
τεύεσθαι αὐτόθι, διὰ τόδε. [g] ἐκέλευσέ σφεας ὁ [h] Ἀμ-
φιάρεως, διὰ χρηστηρίων ποιεύμενος, ὁκότερα βού-
λονται ἑλέσθαι τούτων, ἑωυτῷ ἢ ἅτε μάντι χρέεσθαι,
ἢ ἅτε συμμάχῳ, τοῦ ἑτέρου ἀπεχομένους· οἱ δὲ σύμ-
μαχόν μιν εἵλοντο εἶναι· διὰ τοῦτο μὲν οὐκ ἔξεστι
135 Θηβαίων οὐδενὶ αὐτόθι [i] ἐγκατακοιμηθῆναι. Τόδε δὲ
[a] θῶμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων.
2 ἐλθεῖν ἄρα τὸν Εὐρωπέα Μῦν, περιστρωφώμενον
πάντα τὰ χρηστήρια, καὶ ἐς τοῦ Πτώου Ἀπόλλωνος
3 τὸ τέμενος. τοῦτο δὲ τὸ ἱρὸν καλέεται μὲν Πτῶον,
ἔστι δὲ Θηβαίων, [b] κέεται δὲ ὑπὲρ τῆς Κωπαΐδος
λίμνης πρὸς οὔρεϊ, ἀγχοτάτω [c] Ἀκραιφίης πόλιος. ἐς 684
τοῦτο τὸ ἱρὸν ἐπεί τε παρελθεῖν τὸν καλεόμενον τοῦ-
τον Μῦν, [d] ἕπεσθαί οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας
τρεῖς ἀπὸ τοῦ κοινοῦ, ὡς ἀπογραψομένους τὰ [e] θε-
4 σπιέειν ἔμελλε. καὶ πρόκα τε [f] τὸν πρόμαντιν βαρ-
βάρῳ γλώσσῃ χρᾶν· καὶ τοὺς μὲν ἑπομένους τῶν
Θηβαίων ἐν [g] θώματι ἔχεσθαι ἀκούοντας βαρβάρου
γλώσσης ἀντὶ Ἑλλάδος, οὐδὲ ἔχειν ὅ τι [h] χρήσονται
τῷ παρεόντι [i] πρήγματι· τὸν δὲ Εὐρωπέα Μῦν ἐξαρ-

Thebani vetiti.

Apollo Ptous, Myï lingua Carica respondens.

[c] κατεκοίμησε F. κατεκοίμισε S. vulg. [f] Sic M.S.V.P.K.a.b.d.F. Ἀμφιάραον c. al. [g] ἐκέλευε Ald. F.b. [h] Sic K.F. Paris. Wessel. Ἀμφιάραος olim. Ἀμφιάρεος S. [i] Sic P.K. κατακοιμηθῆναι vulg. οὐδενὶ—Θηβαίων om. F.

135. [a] Sic S. Vulgo θῶυμα. Supra τότε Ald. [b] κεῖται F. Mox ὄρει S. [c] Ἀκριφίης S. Vall. Ἀκραιφνίης F.b.d. cf. Sylburg. ad Pausan. IX. 23. [d] ἕπεσθαι δὲ M.P.K.F. Wessel. [e] Sic S.V. θεσπιεῖν vulg. [f] Sic P.V.F. τὸν μάντιν S. τὴν πρόμαντιν edd. [g] Sic F. θωΰματι edd. S. [h] χρήσωνται a. [i] χρήματι F.

πάσαντα παρ' αὐτῶν τὴν [k] ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω [l] γράφειν ἐς αὐτήν· φάναι δὲ, Καρίῃ μιν [m] γλώσσῃ χρᾶν· συγγραψάμενον δὲ, οἴχεσθαι ἀπιόντα ἐς Θεσσαλίην.

136 Accepits oraculorum responsis, Mardonius Alexandrum Amyntæ fil. [5, 19.] cum pacis conditionibus Athenas mittit. Alexandri cum Persis necessitudo [5, 21.].

Μαρδόνιος δὲ ἐπιλεξάμενος ὅ τι δὴ [a] ἦν λέγοντα
τὰ χρηστήρια, μετὰ ταῦτα ἔπεμψε ἄγγελον ἐς Ἀθή-
νας Ἀλέξανδρον τὸν Ἀμύντεω, ἄνδρα Μακεδόνα·
ἅμα μὲν [b] ὅτι οἱ προσκηδέες οἱ Πέρσαι ἦσαν· (Ἀλεξ-
άνδρου γὰρ ἀδελφεὴν Γυγαίην, Ἀμύντεω δὲ θυγα-
τέρα, Βουβάρης ἀνὴρ Πέρσης ἔσχε, ἐκ τῆς οἱ ἐγε-
γόνεε Ἀμύντης ὁ ἐν τῇ Ἀσίῃ, ἔχων τὸ οὔνομα [c] τοῦ
μητροπάτορος· τῷ δὴ ἐκ βασιλέος τῆς Φρυγίης ἐδόθη
[d] Ἀλάβανδα πόλις μεγάλη νέμεσθαι·) [e] ἅμα δὲ ὁ
Μαρδόνιος, πυθόμενος ὅτι [f] πρόξενός τε εἴη καὶ εὐερ-
2 γέτης ὁ Ἀλέξανδρος, ἔπεμπε. τοὺς γὰρ Ἀθηναίους
οὕτω ἐδόκεε μάλιστα προσκτήσεσθαι, λεών τε πολ-
λὸν ἄρα ἀκούων εἶναι καὶ ἄλκιμον· τά τε κατὰ τὴν
θάλασσαν συντυχόντα σφι παθήματα κατεργασα-
3 μένους μάλιστα Ἀθηναίους [g] ἐπίστατο. τούτων δὲ
προσγενομένων, κατήλπιζε εὐπετέως τῆς θαλάσσης
κρατήσειν, τάπερ ἂν καὶ ἦν· πεζῇ τε ἐδόκεε [h] πολλὸν
εἶναι κρέσσων· οὕτω τε ἐλογίζετο κατύπερθέ οἱ τὰ
4 πρήγματα ἔσεσθαι τῶν [i] Ἑλληνικῶν. τάχα [k] δ' ἂν
καὶ τὰ χρηστήρια ταῦτά οἱ [l] προλέγοι, συμβουλεύ-

[k] ἔφερον S. [l] γράφην P. [m] φωνῇ S.V.
136. [a] λέγοντα ἦν F.S. λέγοντα om. K. [b] ὅτι οἱ Π. προσκηδέες οἱ K. Hinc Pollux III. 7. 30. [c] τὸ μητρ. S.V. τὸ ante οὔνομα om. F. [d] Ἀλάβαστρα Steph. Byz. [e] Sic K. Wessel. ἅμα τε S.F.c. edd. vett. [f] προξείνους VI. 57. πρόξεινον VIII. 143. Mox προσκτήσασθαι S. [g] Sic V.F.b. ἠπίστατο Wessel. al. ἐπιστέατο S. Ἀθηναίοισι b. Mox προγενομένων S. [h] Sic S. Wessel. πολλῷ al. Tum κρείσσων S. [i] Ἑλλήνων S. τῶν om. F. τὰ τῶν Ἑλληνικῶν d. [k] δὲ τὰ S.V. [l] Sic M.P.K.F.a.e.d. προλέγουσι S.V. προλέγει b. Ald. Mox τὸν Ἀθην. S. Ald.

οντα σύμμαχον τὸ Ἀθηναῖον [m] οἱ ποιήσασθαι· τοῖσι δὴ πειθόμενος ἔπεμπε.

137 Τοῦ δὲ Ἀλεξάνδρου τούτου ἕβδομος γενέτωρ [a] Περδίκκης ἐστὶ, ὁ κτησάμενος τῶν Μακεδόνων τὴν
2 τυραννίδα τρόπῳ τοιῷδε. Ἐξ Ἄργεος ἔφυγον ἐς [b] Ἰλλυριοὺς τῶν Τημενοῦ ἀπογόνων τρεῖς ἀδελφεοὶ, [c] Γαυάνης τε καὶ Ἀέροπος καὶ Περδίκκης· [d] ἐκ δὲ Ἰλλυριῶν ὑπερβαλόντες ἐς τὴν ἄνω Μακεδονίην,
3 ἀπίκοντο ἐς Λεβαίην πόλιν. [e] ἐνθαῦτα δὲ ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ βασιλέϊ· ὁ μὲν, ἵππους νέμων· ὁ δὲ, βοῦς· ὁ δὲ νεώτατος αὐτῶν Περδίκκης, τὰ λεπτὰ τῶν προβάτων. ἦσαν [f] δὲ τὸ πάλαι καὶ αἱ τυραννίδες τῶν ἀνθρώπων ἀσθενέες χρήμασι, οὐ [g] μοῦνον ὁ δῆμος· ἡ δὲ γυνὴ τοῦ βασιλέος, αὐτὴ τὰ σιτία σφι
4 ἔπεσσε. ὅκως δὲ [h] ὀπτῷτο ὁ ἄρτος τοῦ παιδὸς τοῦ θητὸς [i] Περδίκκεω, διπλήσιος ἐγίνετο αὐτὸς [k] ἑωυτοῦ.
5 ἐπεὶ δὲ αἰεὶ τὠυτὸ τοῦτο ἐγίνετο, εἶπε πρὸς [l] τὸν ἄνδρα τὸν ἑωυτῆς. [m] τὸν δὲ ἀκούσαντα ἐσῆλθε αὐτίκα, ὡς εἴη τέρας, καὶ φέροι [n] ἐς μέγα τι. καλέσας δὲ τοὺς θῆτας, προηγόρευέ σφι ἀπαλλάσσεσθαι ἐκ [o] γῆς τῆς
6 ἑωυτοῦ. οἱ δὲ τὸν μισθὸν ἔφασαν δίκαιοι εἶναι [p] ἀπολαβόντες, οὕτω ἐξιέναι. ἐνθαῦτα ὁ βασιλεὺς, τοῦ μισθοῦ πέρι ἀκούσας, ἦν γὰρ κατὰ τὴν καπνοδόκην

Digressio de Macedoniæ regibus Argivis [5, 22.]. Perdiccas, Temenida, primus ex hac familia Macedonum rex, quomodo 685 regnum adeptus.

[m] Sic S.V. ποιέεσθαι al. absque οἱ. Hoc caret Bekker.

137. [a] Περδίκης S.K. perpetuo: et sic F. qui 139. Περιδίκης. [b] Ἰλλυρικοὺς S.V. Vall. [c] Γαβάνης K. [d] ἐκ δὲ—ἀπίκοντο ἐς om. F. [e] Sic S.V.F.a.b.c. Schæfer. ἐνθαῦτα δὴ P. ἐνθαῦτα καὶ edd. vett. [f] Sic S.V. Alii γάρ. [g] Sic P. μόνον F.S. et alii. Mox σφι τὰ σιτία S. [h] Sic S.V.F. Paris. Ald. ὀπτῴη M.P.K. Gronov. [i] Sic F. Vulgo cum Bekker. τοῦ Περ. [k] ἑωυτῷ Ald. [l] Sic S.P.K.V.F.a. τὸν sec. om. al. [m] Sic S.V.P.K.F.a.b. Wessel. ὡς δὲ ἤκουσε, ἐπῆλθε οἱ αὐτ. edd. vett. ὡς δὲ ἤκουσε ἐσῆλθε αὐτ. c.d. [n] ἐς om. P.F.a. [o] γῆς om. S.V. Mox ἔφασαν τὸν μισθὸν εἶναι δίκαιον S. δίκαιον Ald. [p] ἀπολαβόντες P.K.M.F. Paris. ἀπολαβόντας S.V. Ald.

ἐς τὸν οἶκον ἐσέχων ὁ ἥλιος, εἶπε, θεοβλαβὴς γενό-
μενος· "Μισθὸν δὲ ὑμῖν ἐγὼ ὑμέων ἄξιον [q] τόνδε
7 "ἀποδίδωμι·" δείξας τὸν ἥλιον. ὁ μὲν δὴ Γαυάνης
τε καὶ [r] ὁ Ἀέροπος, οἱ πρεσβύτεροι, ἔστασαν ἐκπε-
πληγμένοι, ὡς ἤκουσαν ταῦτα. ὁ δὲ παῖς, ἐτύγχανε
γὰρ ἔχων μάχαιραν, εἴπας [s] τάδε· "Δεκόμεθα ὦ
"[t] βασιλεῦ, τὰ διδοῖς·" περιγράφει τῇ μαχαίρῃ ἐς
[v] τὸ ἔδαφος τοῦ οἴκου τὸν ἥλιον· περιγράψας δὲ, ἐς
τὸν κόλπον τρὶς ἀρυσάμενος [w] τοῦ ἡλίου, ἀπαλλάσ-
138 σετο αὐτός τε καὶ οἱ [x] μετ' ἐκείνου. Οἱ μὲν δὴ [a] ἀπή-
ϊσαν· τῷ δὲ βασιλέϊ σημαίνει τις τῶν παρέδρων,
οἷόν τι χρῆμα ποιήσειε ὁ παῖς, καὶ ὡς [b] σὺν νόῳ
2 [c] κείνων ὁ νεώτατος λάβοι τὰ [d] διδόμενα. ὁ δὲ ταῦτα
ἀκούσας, καὶ ὀξυνθεὶς, πέμπει ἐπ' αὐτοὺς ἱππέας ἀπο- 686
λέοντας. ποταμὸς δέ ἐστι ἐν τῇ χώρῃ ταύτῃ, τῷ
θύουσι οἱ τούτων τῶν ἀνδρῶν ἀπ' Ἄργεος ἀπόγονοι
3 [e] Σωτῆρι. οὗτος, ἐπεί τε διέβησαν οἱ Τημενίδαι, μέ-
γας οὕτω ἐρρύη ὥστε τοὺς ἱππέας μὴ οἵους τε γενέ-
4 σθαι διαβῆναι. Οἱ δὲ, ἀπικόμενοι ἐς ἄλλην γῆν τῆς
Μακεδονίης, οἴκησαν πέλας τῶν κήπων τῶν λεγο-
μένων εἶναι Μίδεω τοῦ Γορδίεω· ἐν τοῖσι φύεται
αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα,
ὀδμῇ τε ὑπερφέροντα τῶν ἄλλων. ἐν [f] τούτοισι καὶ ὁ
[g] Σιληνὸς τοῖσι κήποισι ἥλω, [h] ὡς λέγεται ὑπὸ Μακε-

Horti Midæ: ubi Silenus captus. Mons Bermius.

[q] τόδε F. [r] ὁ om. S. qui πρεσβύτατοι cum V. [s] τάδε ὧδε M.P.K.F. [t] βασιλεὺς F. [v] Sic V.S.K.P.F. Paris. Wessel. τοὔδαφος edd. vett. [w] Sic M.V.S.K.P.F. Paris. ἐκ τοῦ ἡλ. Ald. al. [x] Sic M.P.K.S.V.F. Paris. μετ' αὐτοῦ edd. vett.

138. [a] Sic P. Wessel. ἀπῇσαν K. ἀπῆσαν F. ἀπήεσαν a. ἀπίεσαν S. edd. vett. Mox σημαίναι S. [b] συνόῳ F. [c] Sic P. Wessel. κακείνων F. Vulgo ἐκείνων cum S. [d] Sic S.V.K.P.F. δεδόμενα Wessel. al. [e] σωτῆρι S.V.P.K.F. Paris. σωτήρια edd. vett. Mox τε post οἵους om. S. [f] τούτοισι V.S. [g] Σηληνὸς S. Δηλινὸς c. [h] ὥστε λ. P. Mox ὅρος S.

δόνων. ὑπὲρ δὲ τῶν κήπων οὖρος κέεται, [i] Βέρμιον οὔνομα, ἄβατον ὑπὸ χειμῶνος. ἐνθεῦτεν δὲ ὁρμεώμενοι, ὡς ταύτην ἔσχον, κατεστρέφοντο καὶ τὴν ἄλλην Μακεδονίην.

139 Ἀπὸ τούτου δὴ τοῦ Περδίκκεω Ἀλέξανδρος ὧδε [a] ἐγεγόνεε. Ἀμύντεω [b] παῖς ἦν Ἀλέξανδρος· Ἀμύντης δὲ, [c] Ἀλκέτεω· Ἀλκέτεω δὲ πατὴρ ἦν Ἀέροπος· τοῦ δὲ, Φίλιππος· Φιλίππου δὲ, [d] Ἀργαῖος· τοῦ δὲ, Περδίκκης ὁ κτησάμενος τὴν ἀρχήν. ἐγεγόνεε μὲν δὴ ὧδε [e] Ἀλέξανδρος ὁ Ἀμύντεω.

Stemma illorum regum a Perdicca ad Alexandrum.

140 1 Ὡς δὲ ἀπίκετο ἐς τὰς Ἀθήνας [a] ἀποπεμφθεὶς ὑπὸ Μαρδονίου, [b] ἔλεγε τάδε. "Ἄνδρες Ἀθηναῖοι, Μαρ-"δόνιος τάδε λέγει· Ἐμοὶ ἀγγελίη [c] ἥκει παρὰ βα-"σιλέος, λέγουσα οὕτω· Ἀθηναίοισι τὰς ἁμαρτάδας "τὰς [d] ἐς ἐμὲ ἐξ ἐκείνων γενομένας πάσας [e] μετίημι· 2 "νῦν τε ὧδε, Μαρδόνιε, ποίεε. τοῦτο μὲν, τὴν γῆν "σφι ἀπόδος· τοῦτο δὲ, ἄλλην πρὸς ταύτῃ ἑλέσθων "αὐτοὶ, ἥντινα ἂν [f] ἐθέλωσι, ἐόντες αὐτόνομοι· ἱρά τε "πάντα σφι, ἢν δὴ βούλωνταί γε ἐμοὶ ὁμολογέειν, 3 "ἀνόρθωσον, ὅσα ἐγὼ ἐνέπρησα. Τούτων δὲ ἀπι-"γμένων, ἀναγκαίως ἔχει μοι ποιέειν ταῦτα, ἢν μὴ "τὸ ὑμέτερον [g] ἀντίον γένηται. Λέγω δὲ ὑμῖν τάδε. "νῦν τί μαίνεσθε, πόλεμον βασιλέϊ [h] ἀνταειρόμενοι;

Alexandri pacem ac fœdus cum Persis sua- 687 dentis apud Athenienses concio.

[i] Βέρβιον S.K. Κέρμιον d. *fons Berbinus* Vall. cf. Schurzfleisch. ad Diodor. II. p. 643. Mox ὁρμώμενοι S.

139. [a] Sic Ald. S.V. ἐγένετο M.P.K.F.a.b. [b] πατὴρ K. [c] Ἀλκέτης K. Ἀλκίτεω S. bis. [d] Sic S.V. Vall. b.d. Ἀρραῖος P.F.a. Ἀραῖος c. al. [e] ὁ Ἀλεξ. ὁ Ἀμ. F.

140. [a] Sic S.V.P.K.F. Paris. πεμφθεὶς olim. [b] λέγει K. qui mox om. Ἄνδρες—ἐμοί. [c] Sic S. (ubi mutato ordine παρὰ βασιλέος ἥκει) V.P.K.F.a.b. ἧκε Wessel. al. [d] Sic F. ἐξ ἐκ. ἐς ἐμὲ S. Wessel. Bekker. al. [e] μετίειμι F. Mox Μαρδόνιε ὧδε S. [f] θέλωσι S.V. [g] Ita Schæfer. ex em. Valckenærii. αἴτιον F.S. et reliqui. [h] ἀειρόμενοι P.K.F.a.c.b.

“ [i] οὔτε γὰρ ἂν ὑπερβάλοισθε, οὔτε οἷοί τε ἐστὲ ἀν-
4 “ τέχειν τὸν πάντα χρόνον. εἴδετε μὲν γὰρ τῆς
“ Ξέρξεω στρατηλασίης τὸ πλῆθος, καὶ τὰ ἔργα·
“ πυνθάνεσθε δὲ καὶ τὴν νῦν [k] παρ' ἐμὲ ἐοῦσαν δύνα-
“ μιν· ὥστε καὶ ἢν ἡμέας ὑπερβάλησθε, καὶ νική-
“ σητε, ([l] τοῦπερ ὑμῖν οὐδεμία ἐλπὶς εἴπερ εὖ [m] φρο-
5 “ νέετε,) ἄλλη [n] παρέσται πολλαπλησίη. μὴ ὦν
“ [o] βούλεσθε [p] παρισεύμενοι βασιλέϊ, στέρεσθαι μὲν
“ τῆς χώρης, θέειν δὲ αἰεὶ περὶ ὑμέων αὐτῶν· ἀλλὰ
6 “ [q] καταλύσασθε. παρέχει δὲ ὑμῖν κάλλιστα κατα-
“ λύσασθαι, βασιλέος ταύτῃ ὡρμημένου. ἔστε ἐλεύ-
“ θεροι, ἡμῖν ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου καὶ
7 “ ἀπάτης. Μαρδόνιος μὲν ταῦτα, ὦ Ἀθηναῖοι, ἐνε-
“ τείλατό μοι [r] εἰπεῖν πρὸς ὑμέας. ἐγὼ δὲ περὶ μὲν
“ εὐνοίης τῆς πρὸς ὑμέας ἐούσης ἐξ ἐμεῦ οὐδὲν λέξω·
“ (οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε.) [s] προσχρηΐζω
8 “ δὲ ὑμέων, πείθεσθαι Μαρδονίῳ. [t] ἐνορέω γὰρ ὑμῖν
“ οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολε-
“ μέειν Ξέρξῃ. εἰ γὰρ ἐνώρων τοῦτο [v] ἐν ὑμῖν, οὐκ
9 “ ἄν κοτε ἐς ὑμέας ἦλθον ἔχων λόγους [w] τούσδε. καὶ
“ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ, καὶ
10 “ χεὶρ ὑπερμήκης. ἢν [x] ὦν μὴ αὐτίκα ὁμολογήσητε,
“ μεγάλα προτεινόντων [y] ἐπ' οἷσι ὁμολογέειν ἐθέ-

[i] οὗτοι γὰρ F. qui mox ὑπερβάλλοισθε. Hoc habet S. [k] Sic S.V.P.K.F.b.d. παρεοῦσαν μοι c. Ald. παρ' ἐμοὶ ἐοῦσαν a. [l] τό περ S.P.K.F.a. [m] Sic M.P.K.S.V.F. Paris. φρονέοιτε al. [n] πάρα ἔσται K. Tum παραπλησίη S. [o] βούλεσθε F.S. βούλησθε vulg. [p] Sic S.V. Wessel. cf. IV. 166. παρισούμενοι F. et olim. [q] Sic S.V.M.P.K.F. Paris. καταλλάσεσθε Ald. qui paulo ante ἑωυτέων. Mox ὁρμημένου S. [r] εἶπαι] εἰπεῖν S.V.P.F. Mox ἐξ ἐμεῦ ἐούσης S. [s] προσχρήζω F.S. Ald. [t] ἐνορῶ F. Infra ἐνόρων S. [v] Sic mss. omnes. ἐνὸν ὑμῖν edd. vett. [w] Sic mss. τοιούσδε edd. vett. [x] ὦν om. S. [y] ἐποίσει S.

" λουσι, δειμαίνω ὑπὲρ ὑμέων, ἐν τρίβῳ τε μάλιστα
" οἰκημένων τῶν συμμάχων πάντων, αἰεί τε φθειρο- 688
" μένων [z] μούνων, ἐξαίρετόν τι μεταίχμιον τὴν γῆν
11 " [a] κεκτημένων. ἀλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν
" ἄξια ταῦτα, εἰ βασιλεύς γε ὁ μέγας μούνοισι ὑμῖν
" Ἑλλήνων τὰς ἁμαρτάδας [b] ἀπιεὶς, ἐθέλει φίλος
" γενέσθαι."

12 Ἀλέξανδρος μὲν [c] ταῦτα ἔλεξε. Λακεδαιμόνιοι δὲ,
141 πυθόμενοι ἥκειν Ἀλέξανδρον ἐς Ἀθήνας ἐς ὁμολογίην
ἄξοντα τῷ βαρβάρῳ [a] Ἀθηναίους, ἀναμνησθέντες τῶν
λογίων, ὥς σφεας [b] χρεόν ἐστι ἅμα τοῖσι ἄλλοισι
Δωριεῦσι ἐκπίπτειν [c] ἐκ Πελοποννήσου ὑπὸ Μήδων
τε καὶ Ἀθηναίων, κάρτα [d] τε ἔδεισαν μὴ ὁμολογή-
σωσι τῷ Πέρσῃ Ἀθηναῖοι, αὐτίκα τέ σφι ἔδοξε πέμ-
2 πειν ἀγγέλους. καὶ δὴ συνέπιπτε ὥστε ὁμοῦ σφέων
γίνεσθαι τὴν κατάστασιν. ἐπανέμειναν γὰρ οἱ Ἀθη-
ναῖοι διατρίβοντες, εὖ ἐπιστάμενοι ὅτι ἔμελλον Λα-
κεδαιμόνιοι πεύσεσθαι ἥκοντα παρὰ τοῦ βαρβάρου
ἄγγελον [e] ἐπ' ὁμολογίῃ, πυθόμενοί τε πέμψειν κατὰ
3 τάχος ἀγγέλους. ἐπίτηδες ὦν ἐποίευν, ἐνδεικνύμενοι
142 τοῖσι Λακεδαιμονίοισι τὴν ἑωυτῶν γνώμην. Ὡς δὲ
ἐπαύσατο λέγων Ἀλέξανδρος, διαδεξάμενοι ἔλεγον
οἱ ἀπὸ Σπάρτης ἄγγελοι· "Ἡμέας δὲ ἔπεμψαν
" Λακεδαιμόνιοι δεησομένους ὑμέων, μήτε νεώτερον
" ποιέειν μηδὲν κατὰ τὴν Ἑλλάδα, μήτε λόγους ἐν-
2 " δέκεσθαι παρὰ τοῦ βαρβάρου. οὔτε γὰρ δίκαιον

Missi et a Spartanis Athenas, qui Athenienses in fide retineant.

Eorum ad populum oratio.

[z] μοῦνον F.b. Tum ἐξαίρετον μεταίχμιόν τε K.P.V.F.a.b. ἐξαίρετον, μεταίχμιόν τε S. [a] Sic S.V.P.K.F.c.b. ἐκτημ. Wessel. Bekker. al. [b] ἀφεὶς F.a.d. [c] τοσαῦτα S.V.

141. [a] ἐς Ἀθ. F. [b] Sic S. χρεὼν vulg. [c] ἀπὸ Πελ. S.V. [d] τε om. S.V. qui dein αὐτίκα δέ. [e] ἐπομολογίην F.

“ οὐδαμῶς, οὔτε κόσμον φέρον οὔτε [a] γε ἄλλοισι
“ Ἑλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων
3 “ ἥκιστα, πολλῶν εἵνεκα. [b] ἐγείρατε γὰρ τόνδε τὸν
“ πόλεμον ὑμεῖς, οὐδὲν ἡμέων βουλομένων, καὶ περὶ
“ τῆς ὑμετέρης [c] ἀρχῆς ὁ ἀγὼν ἐγένετο· νῦν δὲ φέρει
4 “ καὶ ἐς πᾶσαν τὴν Ἑλλάδα. ἄλλως τε τούτων
“ [d] ἁπάντων αἰτίους γενέσθαι δουλοσύνης τοῖσι Ἕλ-
“ λησι Ἀθηναίους, οὐδαμῶς ἀνασχετόν· οἵτινες αἰεὶ
“ [e] καὶ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες
5 “ ἀνθρώπων. [f] Πιεζευμένοισι μέντοι ὑμῖν συναχθό-
“ μεθα, καὶ ὅτι καρπῶν [g] ἐστερήθητε διξῶν ἤδη, καὶ
6 “ ὅτι οἰκοφθόρησθε χρόνον ἤδη πολλόν. ἀντὶ τούτων 689
“ δὲ ὑμῖν Λακεδαιμόνιοί τε καὶ [h] οἱ σύμμαχοι ἐπαγ-
“ γέλλονται γυναῖκάς τε καὶ τὰ ἐς πόλεμον ἄχρηστα
“ οἰκετέων ἐχόμενα πάντα [i] ἐπιθρέψειν, ἔστ' ἂν ὁ
7 “ πόλεμος ὅδε [k] συνεστήκῃ. [l] Μὴ δὲ ὑμέας Ἀλέξαν-
“ δρος ὁ Μακεδὼν ἀναγνώσῃ, λεήνας τὸν Μαρδονίου
“ λόγον. τούτῳ μὲν γὰρ ταῦτα ποιητέα ἐστί· τύραν-
8 “ νος γὰρ ἐὼν, τυράννῳ συγκατεργάζεται. [m] ὑμῖν δέ
“ γε οὐ ποιητέα, εἴπερ εὖ [n] τυγχάνετε φρονέοντες,
“ ἐπισταμένοισι ὡς βαρβάροισί ἐστι [o] οὔτε πιστὸν,
“ οὔτε ἀληθὲς οὐδέν.” Ταῦτα ἔλεξαν οἱ ἄγγελοι.

142. [a] γε om. S.V. οὔ τι γε Werfer. in Act. Phil. Monac. I. p. 62. conferens IV. 76. Mox δὴ om. S. [b] ἠγείρατε S.V.F.a. Tum πόλεμον τόνδε absque τὸν S. Mox ὑμέων F. Dein βουλευομένων P. [c] ἀρχὴν Schæferus, Schweighæuserus et Bekkerus pro vulg. ἀρχῆς. [d] ἀπαντώντων Schæferus probante Schweighæusero. τουτέων πάντων S.V. ἁπάντων reliqui. [e] Sic M.K.P.S.F. Paris. κατὰ τὸ πάλαι vulg. [f] Sic S.V. πιεζομένοισι F. Ald. [g] Sic M.P.K.S.V.F. Paris. ἐστέρησθε Ald. al. [h] οἱ λοιποὶ σύμ. S. Vall. [i] ἐπιτρέψειν b. [k] συνέστηκε S. [l] Sic F.S. Vulgo μηδέ. [m] Sic S.V. Wessel. γε om. F.a. [n] τυγχάνεσθε a. [o] οὔτε ἀληθὲς οὐδὲν οὔτε βέβαιον absque οὔτε πιστὸν unus ms. apud Wesseling.

Athenienses quid Alexandro,

143 Ἀθηναῖοι δὲ πρὸς μὲν Ἀλέξανδρον ὑπεκρίναντο
[a] τάδε· "Καὶ αὐτοὶ τοῦτό γε ἐπιστάμεθα, ὅτι πολλα-
"πλησίη ἐστὶ [b] τῷ Μήδῳ δύναμις ἤπερ ἡμῖν· ὥστε
2 "οὐδὲν [c] δέει τοῦτό γε ὀνειδίζειν. ἀλλ' ὅμως, [d] ἐλευ-
"θερίης γλιχόμενοι, [e] ἀμυνεύμεθα οὕτω ὅκως ἂν [f] καὶ
"δυνώμεθα. ὁμολογῆσαι δὲ τῷ βαρβάρῳ μήτε σὺ
"ἡμέας πειρῶ ἀναπείθειν, οὔτε ἡμέες πεισόμεθα.
3 "[g] Νῦν δὲ ἀπάγγελλε Μαρδονίῳ, ὡς Ἀθηναῖοι λέ-
"γουσι, ἔστ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ τῇπερ
"[h] καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας
"Ξέρξῃ· ἀλλὰ θεοῖσί τε συμμάχοισι [i] πίσυνοί μιν
"ἐπέξιμεν ἀμυνόμενοι, καὶ τοῖσι ἥρωσι· τῶν ἐκεῖνος
"οὐδεμίαν ὄπιν ἔχων, ἐνέπρησε τούς τε οἴκους καὶ
4 "τὰ ἀγάλματα. σύ τε τοῦ λοιποῦ λόγους ἔχων τοι-
"οῦσδε μὴ ἐπιφαίνεο Ἀθηναίοισι· μηδὲ δοκέων
"χρηστὰ ὑπουργέειν, [k] ἀθέμιστα [l] ἔρδειν παραίνεε.
"οὐ γάρ σε βουλόμεθα οὐδὲν ἄχαρι πρὸς Ἀθηναίων
144 "[m] παθέειν, ἐόντα πρόξεινόν τε καὶ φίλον." Πρὸς
μὲν Ἀλέξανδρον ταῦτα ὑπεκρίναντο· πρὸς δὲ τοὺς
ἀπὸ Σπάρτης ἀγγέλους, τάδε· "Τὸ μὲν δεῖσαι
"Λακεδαιμονίους μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ,
2 "[a] κάρτα ἀνθρωπήϊον ἦν. ἀτὰρ αἰσχρῶς γε οἴκατε,
"ἐξεπιστάμενοι [b] τῶν Ἀθηναίων τὸ φρόνημα, ἀρρω-

quid Spartanis responderint.

143. [a] τοιάδε S.V. [b] τῶν Μήδων S. Vall. [c] Sic S.V.P. Ald. F. δέῃ Steph. 2. Wessel. [d] Sic P.K.F.b. Schæfer. ελευθερίην σκεπτόμενοι S. reliqui. [e] ἀμύνεσθαι F. [f] καὶ om. S.V. [g] Sic S.V. Wessel. νῦν τε F.a.c. edd. vett. Bekker. [h] περ om. M.P.K.F.b. Bekker. [i] πίσσυνοι S. qui mox ὅπιν οὐδεμίην. Dedit οὐδεμιαν F. Tum ἐνέπρησέ τε τοὺς S. [k] ἀθέμιτα b. Bekker. Cum vulg. consentit S. [l] ῥέζειν S.V. [m] Sic S.V. Wessel. παθεῖν vulgo.

144. [a] κάρτα μὲν ἀνθ. S.V. [b] Sic S. Vulgo cum Bekkero τὸ Ἀθ. φρόν.

“ δῆσαι· ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦ-
“ τος, οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ [c] μέγα ὑπερφέ-
“ ρουσα, τὰ ἡμεῖς δεξάμενοι, ἐθέλοιμεν ἂν μηδίσαν-
3 “ τες καταδουλῶσαι τὴν Ἑλλάδα. Πολλά τε γὰρ
“ καὶ μεγάλα ἐστὶ τὰ διακωλύοντα ταῦτα μὴ ποιέειν,
“ μηδ' ἢν [d] ἐθέλωμεν. πρῶτα μὲν καὶ μέγιστα, τῶν
“ θεῶν τὰ ἀγάλματα καὶ τὰ οἰκήματα [e] ἐμπεπρησμένα
“ [f] τε καὶ συγκεχωσμένα· τοῖσι ἡμέας ἀναγκαίως
“ ἔχει τιμωρέειν ἐς τὰ [g] μέγιστα μᾶλλον, ἤπερ ὁμο-
4 “ λογέειν [h] τῷ ταῦτα ἐργασαμένῳ. αὖτις δὲ, τὸ Ἑλ-
“ ληνικὸν [i] ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον, καὶ θεῶν
“ ἱδρύματά τε κοινὰ καὶ θυσίαι, ἤθεά τε ὁμότροπα·
“ [k] τῶν προδότας γενέσθαι Ἀθηναίους οὐκ ἂν εὖ
5 “ ἔχοι. ἐπίστασθέ τε οὕτω, [l] εἰ μὴ καὶ πρότερον
“ ἐτυγχάνετε ἐπιστάμενοι, ἔστ' ἂν καὶ εἷς περιῇ
“ Ἀθηναίων, μηδαμὰ ὁμολογήσοντας ἡμέας Ξέρξῃ.
“ Ὑμέων μέντοι ἀγάμεθα τὴν προνοίην, τὴν [m] ἐς
“ ἡμέας ἔχουσαν, ὅτι προείδετε ἡμέων οἰκοφθορημέ-
“ νων οὕτω, ὥστε ἐπιθρέψαι ἐθέλειν ἡμέων τοὺς
6 “ οἰκέτας. καὶ [n] ὑμῖν μὲν ἡ χάρις ἐκπεπλήρωται·
“ [o] ἡμέες μέντοι λιπαρήσομεν οὕτω, ὅκως ἂν ἔχωμεν,
“ οὐδὲν λυπέοντες ὑμέας. Νῦν δὲ, ὡς οὕτω ἐχόντων,
7 “ στρατιὴν ὡς τάχιστα ἐκπέμπετε. ὡς γὰρ ἡμέες
“ εἰκάζομεν, οὐκ [p] ἑκὰς χρόνου παρέσται ὁ βάρβαρος
“ ἐσβαλὼν ἐς τὴν ἡμετέρην, ἀλλ' ἐπειδὰν τάχιστα

[c] μεγάλῃ S. [d] θέλωμεν S. [e] τὰ ἐμπεπρ. S.V. ἐμπεπρημένα P.F.b. [f] τε καὶ συγκεχωσ. om. b. [g] μάλιστα b. [h] τοῖσι τ. ἐργασαμένοισιν S.V. Vall. [i] Sic S.M.K.P.F. Deest Ald. a. [k] Sic S.V. ὧν προδ. M.P.K.F.a. ὧν καὶ προδ. olim. [l] εἰ μὴ καὶ πρ. S. Vulgo om. καί. [m] Sic V.S. cf. ad V. 81. πρὸς ἡμᾶς ἐοῦσαν olim. [n] ἡμῖν S. in marg. [o] Sic S.V. ἡμεῖς vulg. [p] ἐᾶς χρόνον F.

" πύθηται τὴν ἀγγελίην, ὅτι οὐδὲν ποιήσομεν τῶν
8 " ἐκεῖνος ἡμέων [q] προσεδέετο. πρὶν ὦν παρεῖναι ἐκεῖ-
" νον ἐς τὴν Ἀττικὴν, [r] ἡμέας καιρός ἐστι [s] προσβω-
" θῆσαι ἐς τὴν Βοιωτίην." [t] Οἱ μὲν, ταῦτα [v] ὑπο- 691
κριναμένων Ἀθηναίων, ἀπαλλάσσοντο ἐς Σπάρτην.

[q] *προσεδέκετο* F. [r] *ὑμέας* ed. Schæfer. secutus Wesseling. et Valcken. ad IX. 7. Haud dubie vero præstare videtur constans librorum omnium scriptura *ἡμέας nos*, nempe *Athenienses cum Lacedæmoniis*. cf. IX. 6. 7. SCHWEIGH. [s] Sic S.V. Vall. *προβοηθῆσαι* F.a.c.d. et vulg. [t] Hæc, vulgo in principio libri IX. lecta, in fine hujus libri ponunt P.M.F.b. Vall. Eadem repetit F. initio lib. IX. cf. ad fin. lib. VII. [v] *ὑποκρινάμενοι* Suidas et Photius in *Ὑποκρίνεσθαι*.

In P. adjiciuntur notæ numerales XXHHHΔΔII i. e. 2322. cf. ad finem lib. IV.

ἩΡΟΔΟΤΟΥ ἹΣΤΟΡΙΩΝ Η΄.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΝΝΑΤΗ.

ΚΑΛΛΙΟΠΗ.

1 Alexandro rebus infectis reverso [8, 143.], Mardonius e Thessalia in Atticam movet [a. 479.].

ΜΑΡΔΟΝΙΟΣ δὲ, ὥς οἱ ἀπονοστήσας Ἀλέξανδρος τὰ παρὰ Ἀθηναίων ἐσήμηνε, ὁρμηθεὶς ἐκ Θεσσαλίης, ἦγε τὴν στρατιὴν σπουδῇ ἐπὶ τὰς Ἀθήνας· ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε. 2 τοῖσι δὲ Θεσσαλίης ἡγεομένοισι οὔτε τὰ πρὸ τοῦ πεπρηγμένα μετέμελε οὐδὲν, πολλῷ τε μᾶλλον ἐπῆγον τὸν Πέρσην· καὶ συμπροέπεμψέ [a] τε Θώρηξ ὁ Ληρισσαῖος [b] Ξέρξεα φεύγοντα, καὶ τότε ἐκ τοῦ φανεροῦ [c] παρῆκε Μαρδόνιον ἐπὶ τὴν Ἑλλάδα.

2 Consilium ei a Thebanis datum.

Ἐπεὶ δὲ πορευόμενος γίνεται ὁ στρατὸς ἐν Βοιωτοῖσι, οἱ Θηβαῖοι κατελάμβανον [a] τὸν Μαρδόνιον, καὶ συνεβούλευον αὐτῷ, λέγοντες ὡς οὐκ εἴη χῶρος ἐπιτηδεώ- 692
τερος [b] ἐνστρατοπεδεύεσθαι ἐκείνου, οὐδὲ ἔων ἰέναι ἑκαστέρω, ἀλλ' αὐτοῦ ἱζόμενον, ποιέειν ὅκως ἀμαχητὶ 2 τὴν πᾶσαν Ἑλλάδα [c] καταστρέψηται. Κατὰ μὲν γὰρ τὸ ἰσχυρὸν Ἕλληνας [d] ὁμοφρονέοντας, οἵπερ καὶ πά-

LIB. IX. 1. [a] τε om. F.a.c. [b] Ξέρξην F. qui Ληρισαῖος. [c] Sic S.P.V.F. cf. III. 77. IV. 146. παρεῖκε al.
2. [a] τὸν om. S.V. Mox ἐπιτηδεότερος S. [b] ἐνστρατεύεσθαι F. Mox ἑκατέρω S. [c] καταστρέψεται Stegerus, conferens I. 8. 9. III. 36. 135. V. 109. VII. 181. IX. 91. et sic Bekker. [d] ὁμοφρονέοντας ῥηϊδίως μετὰ τῶν στασιωτέων F. Mox περιγενέσθαι S.V.

ρος ταὐτὰ ἐγίνωσκον, χαλεπὰ εἶναι περιγίνεσθαι καὶ
3 ἅπασι ἀνθρώποισι. "Εἰ δὲ [e] ποιήσεις τὰ ἡμεῖς
"παραινέομεν," ἔφασαν λέγοντες, "ἕξεις ἀπόνως
"[f] ἅπαντα τὰ κείνων [g] βουλεύματα. πέμπε χρήματα
"ἐς τοὺς δυναστεύοντας ἄνδρας ἐν τῇσι πόλισι.
4 "πέμπων δὲ, τὴν Ἑλλάδα διαστήσεις· ἐνθεῦτεν δὲ
"τοὺς μὴ τὰ σὰ φρονέοντας ῥηϊδίως [h] μετὰ τῶν στα-
3 "σιωτέων [i] καταστρέψεαι." Οἱ μὲν ταῦτα συνεβού-
λευον· ὁ δὲ οὐκ ἐπείθετο, ἀλλά οἱ [a] δεινός τις ἐνέ-
στακτο ἵμερος τὰς Ἀθήνας δεύτερα [b] ἑλέειν· ἅμα μὲν
ὑπ' ἀγνωμοσύνης, ἅμα δὲ πυρσοῖσι διὰ νήσων ἐδόκεε
βασιλέϊ δηλώσειν ἐόντι ἐν Σάρδισι, ὅτι [c] ἔχοι [d] Ἀθή-
2 νας. ὃς οὐδὲ τότε ἀπικόμενος ἐς τὴν Ἀττικὴν εὗρε
τοὺς Ἀθηναίους, ἀλλ' ἔν τε Σαλαμῖνι τοὺς πλείστους
ἐπυνθάνετο εἶναι, ἔν τε τῇσι νηυσί· αἱρέει τε ἐρῆμον
τὸ ἄστυ. ἡ δὲ βασιλέος αἵρεσις ἐς τὴν [e] ὑστεραίην
τὴν Μαρδονίου ἐπιστρατηΐην δεκάμηνος ἐγένετο.

Athenæ vacuæ a Persis iterum captæ.

4 Ἐπεὶ δὲ [a] ἐν Ἀθήνῃσι ἐγένετο [b] ὁ Μαρδόνιος,
πέμπει ἐς Σαλαμῖνα [c] Μουρυχίδην, ἄνδρα Ἑλλη-
σπόντιον, φέροντα τοὺς αὐτοὺς λόγους [d] τοὺς καὶ
Ἀλέξανδρος ὁ Μακεδὼν τοῖσι Ἀθηναίοισι διεπόρ-
2 θμευσε. ταῦτα δὲ τὸ δεύτερον ἀπέστελλε, προέχων
μὲν τῶν Ἀθηναίων οὐ φιλίας γνώμας, [e] ἐλπίζων δέ

Inde Mardonius in Salaminem Murichidem mittit, qui Athenienses ad pacem cum rege faciendam cohortetur.

[e] Sic S.V.K.F.a.b. Schæfer. ποιήσειε c. ποιήσειας Ald. Wessel. [f] πάντα τὰ ἐκείνων F.b. ἐκείνων S. [g] ἰσχυρὰ βουλ. vulg. Sed ἰσχυρὰ om. M.P.K.F. [h] μετὰ στρατιωτέων S.V. Vall. [i] καταστρέψεις S. κατάστρεψαι F.

3. [a] Sic S.V. Vall. τις om. vulgo. [b] Sic V. Schæfer. ἑλεῖν vulg. cum S. [c] ἔχει b. [d] τὰς Ἀθήνας S.V. Wessel. Mox ἐν τῇσι νηυσὶν S. [e] Sic Ald. F.a.S. ὑστέρην M.P.K.V. Wessel. Bekker. Conf. Schæfer. ad Demosth. Fals. Leg. p. 428.

4. [a] ἐν om. S. Unus ms. apud Wessel. ἐν Ἀθηναίοισι. [b] Sic F.S. ὁ vulgo om. [c] Sic P.S. Vall. c.f. Βουργίδην F. hoc loco, sed deinde Μουρυχ. Edd. Μουριχ. [d] οὓς F. [e] ἐλπίσας S.

σφεας ὑπήσειν τῆς ἀγνωμοσύνης, ὡς [f] δοριαλώτου ἐούσης [g] πάσης τῆς Ἀττικῆς χώρης, καὶ ἐούσης [h] ἤδη ὑπ' ἑωυτῷ. τούτων μὲν [i] εἵνεκα ἀπέπεμψε Μουρυχίδην ἐς Σαλαμῖνα.

5 Ὁ δὲ, ἀπικόμενος ἐπὶ τὴν βουλὴν, ἔλεγε τὰ παρὰ Μαρδονίου. τῶν δὲ βουλευτέων Λυκίδης εἶπε γνώμην, [a] ὥς οἱ ἐδόκεε ἄμεινον εἶναι, δεξαμένους τὸν λόγον τόν σφι Μουρυχίδης προφέρει, 2 ἐξενεῖκαι ἐς τὸν δῆμον. ὁ μὲν δὴ ταύτην τὴν γνώμην ἀπεφαίνετο, εἴ τε δὴ δεδεγμένος χρήματα παρὰ Μαρ-3 δονίου, [b] εἴ τε οἱ καὶ ταῦτα [c] ἑάνδανε. Ἀθηναῖοι δὲ αὐτίκα δεινὸν ποιησάμενοι, οἵ τε ἐκ τῆς βουλῆς καὶ οἱ ἔξωθεν, ὡς ἐπύθοντο, περιστάντες [d] Λυκίδεα κατέλευσαν βάλλοντες, τὸν δὲ Ἑλλησπόντιον [e] Μουρυχίδεα 4 ἀπέπεμψαν ἀσινέα. γενομένου δὲ θορύβου ἐν τῇ Σα- 693 λαμῖνι περὶ τὸν Λυκίδεα, πυνθάνονται [f] τὸ γινόμενον αἱ γυναῖκες τῶν Ἀθηναίων· διακελευσαμένη δὲ γυνὴ γυναικὶ, καὶ παραλαβοῦσα, ἐπὶ τὴν Λυκίδεω οἰκίην [g] ἤϊσαν [h] αὐτοκελέες, καὶ [i] κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα.

Lycidas, senator Atheniensis, cum uxore liberisque lapidibus obrutus, quod pacem suasisset.

6 Ἐς δὲ τὴν Σαλαμῖνα διέβησαν [a] οἱ Ἀθηναῖοι ὧδε. ἕως μὲν προσεδέκοντο [b] ἐκ τῆς Πελοποννήσου στρατὸν ἥξειν τιμωρήσοντά σφι, οἱ δὲ ἔμενον ἐν τῇ Ἀττικῇ· ἐπεὶ δὲ οἱ μὲν μακρότερά [c] τε καὶ σχολαίτερα

Cur Athenienses tunc astu relinquere coacti. Eorum legati

[f] Sic F.S. Vulg. δορυαλώτου. [g] Sic S.V. Vall. Schæfer. πάσης om. Wessel. al. [h] Sic S.V. Schæfer. Alii om. [i] εἵνεκεν S.

5. [a] Sic f. Schæfer. οἱ vulgo om. [b] εἴ τε καὶ ταῦτά οἱ S.K.P.F. Bekker. [c] ἅνδανε b. [d] Λυκίδην F.f. [e] Sic S. Μουριχίδεα V. edd. Μουριχίδην F.f. Alii Μουριχίδην. [f] Sic K.P.S. et F. qui om. αἱ. Vulgo τῶν Ἀθ. αἱ γυν. τὸ γιν. [g] Sic Schæfer. suggerente Wesselingio et conferente III. 77. ἦσαν K.F.f. ἤεσαν S. vulgo. [h] αὐτομολέες f. [i] Citat Eustath. Hom. p. 601, 24=457, 49.

6. [a] Sic S.P.K.F. οἱ om. edd. vett. [b] Sic F.a.b.c.S. τὸν ἐκ τῆς al. προσεδόκουν τὸν ἐκ τῆς d. [c] τε om. S.V.K.F. Mox σχολαιότερα S.

ἐποίεον, ὁ δὲ ἐπιὼν καὶ δὴ [d] ἐν τῇ Βοιωτίῃ ἐλέγετο
εἶναι, οὕτω δὴ ὑπεξεκομίσαντό τε πάντα, καὶ αὐτοὶ
2 διέβησαν ἐς Σαλαμῖνα· ἐς Λακεδαίμονά τε [e] ἔπεμπον
ἀγγέλους, ἅμα μὲν [f] μεμψομένους τοῖσι Λακεδαιμο-
νίοισι ὅτι περιεῖδον [g] ἐμβαλόντα τὸν βάρβαρον ἐς τὴν
Ἀττικὴν, ἀλλ' οὐ μετά σφεων ἠντίασαν ἐς τὴν Βοι-
ωτίην. ἅμα δὲ ὑπομνήσοντας ὅσα σφι ὑπέσχετο ὁ
Πέρσης μεταβαλοῦσι δώσειν· [h] προεῖπαί τε, ὅτι εἰ μὴ
ἀμυνεῦσι Ἀθηναίοισι, ὡς [i] καὶ αὐτοί τινα ἀλεωρὴν
7 εὑρήσονται. Οἱ γὰρ δὴ Λακεδαιμόνιοι [a] ὅρταζόν τε
τοῦτον τὸν χρόνον, καί σφι ἦν Ὑακίνθια· περὶ
[b] πλείστου δ' ἦγον τὰ τοῦ θεοῦ πορσύνειν· ἅμα δὲ τὸ
τεῖχός σφι τὸ ἐν τῷ Ἰσθμῷ ἐτείχεον, [c] καὶ ἤδη
ἐπάλξεις ἐλάμβανε.

Spartam profecti, ad ephoros orationem habent plenam querelarum ob auxilia nondum missa.

2 Ὡς δὲ ἀπίκοντο ἐς τὴν Λακεδαίμονα οἱ ἄγγελοι
[d] οἱ ἀπ' Ἀθηναίων ἅμα ἀγόμενοι ἔκ τε Μεγάρων ἀγ-
γέλους καὶ ἐκ Πλαταιέων, ἔλεγον τάδε ἐπελθόντες
1 3 [e] ἐπὶ τοὺς ἐφόρους· "Ἔπεμψαν ἡμέας Ἀθηναῖοι,
"λέγοντες ὅτι ἡμῖν βασιλεὺς ὁ Μήδων, τοῦτο μὲν,
"τὴν χώρην ἀποδιδοῖ· τοῦτο δὲ, συμμάχους ἐθέλει
"ἐπ' ἴσῃ τε καὶ ὁμοίῃ ποιήσασθαι, ἄνευ τε δόλου καὶ
"ἀπάτης· ἐθέλει δὲ καὶ ἄλλην χώρην πρὸς τῇ ἡμε-
4 "τέρῃ διδόναι, τὴν ἂν αὐτοὶ ἑλώμεθα, ἡμεῖς δὲ, Δία
"τε Ἑλλήνιον αἰδεσθέντες, καὶ τὴν Ἑλλάδα δεινὸν 694
"ποιεύμενοι προδοῦναι, οὐ καταινέσαμεν, [f] ἀλλὰ ἀπει-

[d] Sic M.P.K.F. ἐς τὴν Βοιωτίην S.V.A.B. Ald. cf. ad I. 21. [e] ἔπεμψαν S. Schæfer. Bekker. [f] Sic S.V. μεμφομένους F.a.d. Ald. [g] Sic M.P.K.S.a.b.d. ἐσβαλόντα c. edd. vett. ἐσβάλλοντα F. Mox ὑπομνήσαντας S. [h] προεῖπαί τε M.P.K.S. Paris. Ald. προεῖπέ τε F. al. [i] καὶ om. d.

7. [a] Sic K. Schæfer. ὥρταζον S. Wessel. al. [b] πλεῖστον d. [c] καὶ δὴ Schæfer. Bekker. [d] οἱ om. S.V. Mox Ἀθηνέων a.c. Bekker. [e] ἐς τοὺς ἐ. S.V. [f] Sic P.K.S.V.F. ἀλλὰ πάντα τε ἀπ. edd. vett. ἀλλὰ ἀπειπάμενοι d.

“ πάμεθα, καίπερ ἀδικεόμενοι ὑπ’ Ἑλλήνων καὶ κα-
“ ταπροδιδόμενοι, ἐπιστάμενοί τε ὅτι κερδαλεώτερόν
“ ἐστι ὁμολογέειν τῷ Πέρσῃ μᾶλλον [g] ἤπερ πολεμέ-
2 5 “ ειν· οὐ μὲν οὐδὲ ὁμολογήσομεν ἑκόντες εἶναι. καὶ
“ [h] τὸ μὲν ἀπ’ ἡμέων [i] οὕτω ἀκίβδηλον [k] ἐὸν, νέμεται
“ ἐπὶ τοὺς Ἕλληνας. Ὑμεῖς δὲ, ἐς πᾶσαν ἀρρωδίην
“ τότε ἀπικόμενοι [l] μὴ ὁμολογήσωμεν τῷ Πέρσῃ,
“ ἐπεί τε ἐξεμάθετε τὸ ἡμέτερον φρόνημα σαφέως,
“ ὅτι οὐδαμὰ προδώσομεν τὴν Ἑλλάδα, [m] καὶ διότι
“ τεῖχος ὑμῖν διὰ τοῦ Ἰσθμοῦ ἐλαυνόμενον [n] ἐν τέλεϊ
“ ἐστι, [o] καὶ δὴ λόγον οὐδένα τῶν Ἀθηναίων ποιέ-
“ εσθε· συνθέμενοί τε ἡμῖν τὸν Πέρσην ἀντιώσεσθαι
“ ἐς τὴν Βοιωτίην, προδεδώκατε, περιείδετέ τε [p] ἐσβα-
6 “ λόντα ἐς τὴν Ἀττικὴν τὸν βάρβαρον. Ἐς μέν νυν
“ τὸ παρεὸν Ἀθηναῖοι ὑμῖν [q] μηνίουσι· οὐ γὰρ ἐποι-
“ ήσατε ἐπιτηδέως· νῦν δὲ ὅτι τάχος στρατιὴν ἅμα
“ ἡμῖν ἐκέλευσαν ὑμέας ἐκπέμπειν, ὡς ἂν τὸν βάρ-
7 “ βαρον δεκώμεθα ἐν τῇ Ἀττικῇ. [r] ἐπειδὴ γὰρ ἡμάρ-
“ τομεν τῆς Βοιωτίης, τῆς γε ἡμετέρης [s] ἐπιτηδεώτα-
8 “ τόν ἐστι [t] ἐμμαχέσασθαι τὸ Θριάσιον πεδίον.” Ὡς
δὲ [a] ἄρα [b] ἤκουσαν οἱ ἔφοροι ταῦτα, [c] ἀνεβάλλοντο ἐς
τὴν ὑστεραίην [d] ὑποκρίνασθαι· τῇ δὲ ὑστεραίῃ, ἐς
τὴν ἑτέρην. [e] τοῦτο καὶ ἐπὶ δέκα ἡμέρας ἐποίεον, ἐξ
2 ἡμέρης ἐς ἡμέρην ἀναβαλλόμενοι. ἐν δὲ τούτῳ τῷ

Spartanorum tergiversatio. Quid Herodoto de ea videatur.

[g] εἴπερ F. [h] Sic M.P.S.V.K.F. Olim τὸ μὲν ἡμέτερον cum Paris. [i] οὕτως S. [k] ἐὸν om. P.S.V.K. Wessel. [l] ἤτε μὴ S. [m] καὶ ὅτι S.V. [n] Sic S.V.P.K.F. Paris. ἐντελὲς Ald. [o] καὶ δεῖ F. [p] προσβαλόντα K.P. προσβάλλοντα absque τε F. [q] μηνύουσι S. qui mox cum vulg. δεκώμεθα, non, ut ex eo Galeus, ἐκδεκώμεθα. [r] ἐπεὶ F. [s] ἐπιτηδέστατον S.V. [t] Sic S.V. Wessel. μαχέσασθαι Ald. M.F.a.b. μαχήσασθαι d.

8. [a] ἄρα om. S.V. [b] ἄκουσαν] ἤκουσαν P.K.S.V.F. ἄκουσαν Bekker. [c] ἀνεβάλοντο V.F. ἐνεβάλλοντο P. [d] ὑποκρίνεσθαι K. [e] Sic P.S.V. Ald. F.a.c.d. τοῦτο δὲ καὶ Steph. et al. καὶ ἐπὶ δέκα τοῦτο ἡμέρας b. Mox ἐν τούτῳ δὲ τῷ S.

χρόνῳ τὸν Ἰσθμὸν ἐτείχεον, σπουδὴν ἔχοντες πολλὴν 3 πάντες Πελοποννήσιοι· καί σφι ἦν πρὸς τέλεϊ. οὐδ' ἔχω [f] εἶπαι τὸ αἴτιον, διότι ἀπικομένου μὲν Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐς Ἀθήνας σπουδὴν μεγάλην ἐποιήσαντο μὴ μηδίσαι Ἀθηναίους, τότε δὲ ὤρην ἐποιήσαντο οὐδεμίαν, ἄλλο γε ἢ ὅτι ὁ Ἰσθμός σφι ἐτετείχιστο, καὶ ἐδόκεον Ἀθηναίων ἔτι [g] δέεσθαι [h] οὐδέν· ὅτε δὲ [i] ὁ Ἀλέξανδρος ἀπίκετο ἐς τὴν Ἀττικὴν, [k] οὔκω ἀπετετείχιστο, ἐργάζοντο δὲ, μεγάλως καταρρωδηκότες τοὺς Πέρσας.

9 Τέλος δὲ, τῆς τε ὑποκρίσιος καὶ ἐξόδου τῶν Σπαρτιητέων ἐγένετο τρόπος τοιόσδε. τῇ προτεραίῃ τῆς ὑστάτης καταστάσιος μελλούσης ἔσεσθαι, [a] Χίλεος, ἀνὴρ Τεγεήτης, δυνάμενος ἐν Λακεδαίμονι [b] μέγιστα ξείνων, τῶν [c] ἐφόρων ἐπύθετο πάντα λόγον τὸν δὴ οἱ Ἀθηναῖοι ἔλεγον. [d] ἀκούσας δὲ ὁ Χίλεος, ἔλεγε ἄρα 2 σφι τάδε· "Οὕτω ἔχει, ἄνδρες ἔφοροι. Ἀθηναίων "ἡμῖν [e] ἐόντων μὴ ἀρθμίων, [f] τῷ δὲ βαρβάρῳ συμ"μάχων, καίπερ τείχεος διὰ τοῦ Ἰσθμοῦ [g] ἐληλαμένου "[h] καρτεροῦ, μεγάλαι [i] κλισιάδες ἀναπεπτέαται ἐς "τὴν Πελοπόννησον τῷ Πέρσῃ. ἀλλ' [k] ἐσακούσατε, "πρίν τι ἄλλο Ἀθηναίοισι δόξαι, σφάλμα [l] φέρον 10 "τῇ Ἑλλάδι." Ὁ μέν σφι ταῦτα συνεβούλευε. οἱ

Admoniti a Chileo 695 ephori, alienatis Atheniensibus fore, ut ipsa Peloponnesus periclitetur,

[f] εἰπεῖν F. Mox οὐδεμίαν F. οὐδεμίην S. vulg. [g] Sic S.V. Wessel. δεῖσθαι F. et vulg. [h] οὐδενὸς S.V. [i] ὁ om. S.P. [k] οὐκ ἔχω εἰπεῖν εἰ ἀπετετείχ. b.

9. [a] Sic mss. Χίλεος οὐνόματι edd. vett. [b] Sic S. Schæfer. μέγιστον Bekker. et vulg. [c] ἐφόρων ἕνα edd. vett. contra mss. [d] Sic M.P.K.F. Paris. ἀκούσας δὲ ταῦτα S. al. [e] μὴ ἐόντων S.V. Suid. in Ἄρθμια ubi ἄμμιν. ἀριθμίων pro ἀρθμίων K.b. [f] τῷδε τῷ β. S. τῷ δὲ τῷ β. V. [g] ἐξεληλ. S. [h] Sic S.P.K.F. κρατεροῦ vulg. [i] Citat Eustath. Il. p. 78, in.=58, 40. ubi ἀναπέπτανται. [k] ἐσακούσετε P. [l] φέρον τῇ Ἑλλάδι F.S. τῇ Ἑλλάδι φέρον vulg.

tandem auxilia, Pausania duce, mittunt.

δὲ, [a] φρενὶ λαβόντες τὸν λόγον, αὐτίκα, φράσαντες οὐδὲν τοῖσι ἀγγέλοισι τοῖσι ἀπιγμένοισι ἀπὸ τῶν πολίων, νυκτὸς ἔτι [b] ἐκπέμπουσι πεντακισχιλίους Σπαρτιητέων, [c] καὶ ἑπτὰ περὶ ἕκαστον τάξαντες τῶν εἱλώτων, Παυσανίῃ τῷ Κλεομβρότου [d] ἐπιτρέψαντες
2 ἐξάγειν. [e] Ἐγένετο μέν [f] νυν ἡ ἡγεμονίη Πλειστάρχου τοῦ Λεωνίδεω· ἀλλ' ὁ μὲν ἦν ἔτι παῖς, ὁ δὲ τού-
3 του ἐπίτροπός τε καὶ ἀνεψιός. Κλεόμβροτος γὰρ, ὁ Παυσανίεω μὲν πατὴρ Ἀναξανδρίδεω δὲ παῖς, οὐκέτι περιῆν· ἀλλὰ ἀπαγαγὼν ἐκ τοῦ Ἰσθμοῦ τὴν στρατιὴν [g] τὴν τὸ τεῖχος δείμασαν, μετὰ ταῦτα οὐ πολλὸν
4 χρόνον τινὰ βιοὺς ἀπέθανε. ἀπῆγε δὲ [h] τὴν στρατιὴν ὁ Κλεόμβροτος ἐκ τοῦ Ἰσθμοῦ διὰ τόδε· θυομένῳ οἱ ἐπὶ τῷ Πέρσῃ, ὁ ἥλιος ἀμαυρώθη ἐν τῷ οὐρανῷ.
5 προσαιρέεται δὲ ἑωυτῷ [i] Παυσανίης Εὐρυάνακτα, τὸν Δωριέος, ἄνδρα οἰκίης ἐόντα τῆς αὐτῆς. Οἱ μὲν δὴ σὺν Παυσανίῃ [k] ἐξεληλύθεσαν ἔξω Σπάρτης.

11 Οἱ δὲ ἄγγελοι, ὡς ἡμέρη ἐγεγόνεε, οὐδὲν [a] εἰδότες περὶ τῆς ἐξόδου, ἐπῆλθον ἐπὶ τοὺς ἐφόρους, ἐν νόῳ δὴ ἔχοντες ἀπαλλάσσεσθαι καὶ αὐτοὶ [b] ἐπὶ τὴν ἑωυτοῦ ἕκαστος.
2 ἐπελθόντες δὲ, ἔλεγον τάδε· "Ὑμεῖς μὲν, ὦ Λακεδαιμόνιοι, αὐτοῦ τῇδε μένοντες, Ὑακίνθιά τε ἄγετε,

10. [a] Sic M.P.K.F.a.b.c. ἐν φρενὶ λαβ. Ald. S.d. [b] πέμπουσι S. qui mox πεντακισχιλίων. [c] καὶ ἑπτὰ—εἱλώτων om. S.V. Eton. Vall. uncis incluserunt Schæfer. et Bekker. nec Herodotea censet Wesselingius, huc e cap. 28. translata. Contra pro genuinis habet Valckenærius. [d] Sic S.V. Wessel. coll. III. 155. VII. 52. ἐπιτάξαντες Ald. F.b.c.d. ἐπέτρεψαν cum Schulzio malit Schweigh. [e] Sic S.V.P.F. ἐγίνετο vulg. Bekker. [f] Sic S.V. νυν om. Wessel. al. [g] τὴν om. F.S. Mox τινα χρόνον S. [h] ἐκ τοῦ Ἰσθμοῦ τὴν στ. ὁ Κλεομβ. S. [i] ὁ Παυσ. S. [k] Sic S.K. Wessel. ἐξεληλύθησαν F. al.

11. [a] ἰδόντες F. [b] ἐπὶ τὴν M.P.K.V.S.F.b. ἐπὶ τῆς vulg. Bekker.

“ καὶ παίζετε, καταπροδόντες τοὺς συμμάχους· Ἀθη-
“ ναῖοι δὲ, ὡς ἀδικεόμενοι ὑπὸ ὑμέων, [c] χήτι συμμά-
“ χων, καταλύσονται τῷ Πέρσῃ οὕτω ὅκως ἂν δύ-
3 “ νωνται. καταλυσάμενοι δὲ, δῆλα γὰρ [d] δὴ ὅτι σύμ- 696
“ μαχοι βασιλέος γινόμεθα, συστρατευσόμεθα ἐπὶ
“ [e] τὴν ἂν [f] ἐκεῖνοι ἐξηγέωνται. ὑμεῖς δὲ τὸ ἐνθεῦτεν
“ μαθήσεσθε ὁκοῖον ἄν τι ὑμῖν ἐξ αὐτοῦ [g] ἐκβαίνῃ.”
4 [h] Ταῦτα λεγόντων τῶν ἀγγέλων, οἱ ἔφοροι εἶπαν ἐπ’
ὅρκου, καὶ δὴ δοκέειν εἶναι ἐν [i] Ὀρεστείῳ [k] στείχον-
5 τας ἐπὶ τοὺς ξείνους. [l] ξείνους γὰρ ἐκάλεον τοὺς βαρ-
βάρους. [m] οἱ δὲ, ὡς οὐκ εἰδότες, [n] ἐπειρώτεον τὸ λε-
γόμενον· ἐπειρόμενοι δὲ, ἐξέμαθον πᾶν τὸ ἐόν· ὥστε
ἐν [o] θώματι γενόμενοι, ἐπορεύοντο τὴν ταχίστην
διώκοντες· σὺν δέ σφι, τῶν περιοίκων Λακεδαιμο-
νίων λογάδες πεντακισχίλιοι [p] ὁπλῖται τὠυτὸ τοῦτο
ἐποίεον.

12 Οἱ μὲν δὴ ἐς τὸν Ἰσθμὸν ἠπείγοντο. Ἀργεῖοι δὲ,
ἐπεί τε τάχιστα ἐπύθοντο τοὺς μετὰ Παυσανίεω ἐξε-
ληλυθότας ἐκ Σπάρτης, πέμπουσι κήρυκα, τῶν ἡμε-
ροδρόμων ἀνευρόντες τὸν ἄριστον, ἐς τὴν Ἀττικὴν,
πρότερον [a] αὐτοὶ Μαρδονίῳ ὑποδεξάμενοι σχήσειν
2 τὸν Σπαρτιήτην μὴ ἐξιέναι. ὃς [b] ἐπεί τε ἀπίκετο ἐς
τὰς Ἀθήνας, ἔλεγε τάδε· “ Μαρδόνιε, ἔπεμψάν με
“ Ἀργεῖοι φράσοντά [c] τοι ὅτι ἐκ Λακεδαίμονος [d] ἐξε-

Id Mardonius per Argivos Persarum rebus faventes edoctus,

[c] χήτεϊ τε] χήτι τε F.a. χήτι absque τε S.V. [d] δὴ om. S.V.K. P.F.c.b. qui βασιλέος, vel βασιλέως. Tum ὅτι εἰ σύμμαχοι S. Mox γενόμεθα F.S. [e] ἦν ἂν F. τῇ, ἂν S. τῇ Bekker. pro ἐπὶ τήν. [f] ἐκεῖνος ἐξηγέεται d. [g] ἐκβαίνει F. ἐκβαίη S. [h] ταῦτα δὲ λεγ. S. [i] Ὀρεσθείῳ F.c. [k] στίχοντας S. cf. III. 76. [l] Spectavit Eustath. Il. p. 423, 26=321, 25. Mox ἐκάλουν S. [m] οἱ δὲ om. F. [n] Sic S.V. Wessel. ἐπειρώτων P.K. ἐπηρώτων F. Ald. al. ἐπηρόμενοι mox F. [o] Sic F.S. θώϋματι edd. [p] ὁπλῖται om. S.V. Vall.

12. [a] αὐτῷ S. [b] ἐπεί τε om. F. τε om. S. [c] σοι F. τε S. [d] ἐλήλυθεν F.

"λήλυθε ἡ νεότης, καὶ ὡς οὐ δυνατοὶ [e] αὐτὴν [f] ἴσχειν
"εἰσὶ Ἀργεῖοι μὴ οὐκ ἐξιέναι. πρὸς ταῦτα τύγχανε
3 "εὖ βουλευόμενος." Ὁ μὲν δὴ, εἴπας ταῦτα, ἀπαλ-
λάσσετο ὀπίσω.

13 Attica devastata, Bœotiam versus regreditur.

Μαρδόνιος δὲ οὐδαμῶς ἔτι πρόθυ-
μος ἦν μένειν ἐν τῇ Ἀττικῇ, ὡς [a] ἤκουσε ταῦτα.
πρὶν μέν νυν [b] ἢ πυθέσθαι, ἀνεκώχευε, θέλων εἰδέναι
τὸ παρ' Ἀθηναίων, ὁκοῖόν τι ποιήσουσι· καὶ οὔτε
ἐπήμαινε οὔτε [c] ἐσινέετο γῆν τὴν Ἀττικὴν, ἐλπίζων
2 διὰ παντὸς [d] τοῦ χρόνου ὁμολογήσειν σφέας. ἐπεὶ
δὲ οὐκ ἔπειθε, πυθόμενος [e] τὸν πάντα λόγον, [f] πρὶν ἢ
τοὺς μετὰ Παυσανίεω ἐς τὸν Ἰσθμὸν [g] ἐμβαλεῖν, 697
ὑπεξεχώρεε, [h] ἐμπρήσας τε τὰς Ἀθήνας, καὶ εἴ κου
τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων ἢ τῶν
3 ἱρῶν, πάντα καταβαλὼν καὶ συγχώσας. [i] Ἐξή-
λαυνε δὲ τῶνδε εἵνεκεν, ὅτι οὔτε ἱππασίμη ἡ χώρη
ἦν [k] ἡ Ἀττικὴ, εἴ τε νικῷτο συμβαλὼν, ἀπάλλαξις
οὐκ ἦν, ὅτι μὴ κατὰ στεινὸν, ὥστε [l] καὶ ὀλίγους
4 σφέας ἀνθρώπους ἴσχειν. ἐβουλεύετο ὦν, ἐπαναχω-
ρήσας ἐς τὰς [m] Θήβας, [n] συμβαλεῖν πρὸς [o] πόλι τε
φιλίῃ καὶ χώρῃ [p] ἱππασίμῃ.

14 Hoc in itinere, audito manum Spartano-

Μαρδόνιος [a] μὲν δὴ [b] ὑπεξεχώρεε. ἤδη δὲ ἐν τῇ 1
ὁδῷ ἐόντι αὐτῷ ἦλθε [c] ἀγγελίη πρόδρομος, ἄλλην
στρατιὴν ἥκειν ἐς Μέγαρα, Λακεδαιμονίων χιλίους.

[e] αὐτοὶ S.d. [f] Sic S.V. cf. III. 77. et mox 13. ἔχειν F.a.c. Ald.
13. [a] ἤκουε F. [b] Sic M.P.K.F.b.d. ἢ om. S.a.c. edd. vett. [c] Sic S. cf. IV. 123. V. 81. ἐσίνετο vulg. Bekker. [d] τοῦ χρόνου om. S. [e] τὸν om. P.K.F. [f] πρηνὶ S. [g] ἐσβαλεῖν S.V. [h] ἐμπ. δὲ F. Mox ὀρθὸν ἢ τῶν S. [i] ἐξέλαυνε δὲ Schæfer. δὲ om. Ald. et al. ἐξήλαυνε absque δὲ F. ἐξήλαυνε δὲ a.S. [k] ἡ om. F. [l] καὶ om. M.P.K.F.a.b. [m] Ἀθήνας S.F. pr. [n] συμβάλλειν S.V. [o] πόλει F. [p] ἱππασίμῳ V. P.K.F.a.c. τῇ ἱππασίμῳ S.
14. [a] Sic M.P.K.V.S.F. Paris. μὲν δὴ οὕτω Ald. [b] ὑπεχώρεεν S. [c] Legendum suspicor: ἀγγελίη, πρόδρομον ἄλλην στρατιὴν, *alium exercitum præcursorem*. cf. IV. 121. 122. VII. 203. SCHWEIGH. πρόδρομον recepit Bekker.

2 πυθόμενος δὲ ταῦτα ἐβουλεύετο, [d] θέλων, εἴ κως τού-
τους πρῶτον ἕλοι. ὑποστρέψας δὲ τὴν στρατιὴν ἦγε
ἐπὶ τὰ Μέγαρα· ἡ δὲ ἵππος [e] προελθοῦσα κατιππά-
3 σατο χώρην τὴν Μεγαρίδα. ἐς ταύτην [f] δὴ ἑκαστάτω
τῆς Εὐρώπης τὸ πρὸς ἡλίου δύνοντος ἡ Περσικὴ
αὕτη στρατιὴ ἀπίκετο.
15 Μετὰ δὲ ταῦτα, Μαρδονίῳ
[a] ἦλθε ἀγγελίη ὡς ἁλέες εἴησαν οἱ Ἕλληνες ἐν τῷ
Ἰσθμῷ· οὕτω δὴ ὀπίσω ἐπορεύετο διὰ [b] Δεκελέης.
2 οἱ γὰρ βοιωτάρχαι μετεπέμψαντο τοὺς προσχώρους
τῶν Ἀσωπίων· οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέοντο
3 ἐς Σφενδαλέας· ἐνθεῦτεν δὲ, ἐς [c] Τανάγρην. ἐν Τα-
νάγρῃ δὲ νύκτα ἐναυλισάμενος, καὶ τραπόμενος τῇ
4 ὑστεραίῃ [d] ἐς Σκῶλον, ἐν γῇ τῇ Θηβαίων ἦν. ἐν-
θαῦτα δὲ τῶν Θηβαίων, καίπερ μηδιζόντων, [e] ἔκειρε
τοὺς χώρους, οὔτι κατὰ ἔχθος αὐτῶν, ἀλλ' ὑπ' ἀναγ-
καίης μεγάλης ἐχόμενος· [f] βουλόμενος ἔρυμά τε τῷ
[g] στρατῷ ποιήσασθαι, καὶ, ἢν συμβαλόντι [h] οἱ μὴ
ἐκβαίνῃ ὁκοῖόν τι [i] ἐθέλοι, κρησφύγετον τοῦτο ἐποι-
5 έετο. παρῆκε δὲ αὐτοῦ τὸ στρατόπεδον, ἀρξάμενον
ἀπὸ [k] Ἐρυθρέων, παρὰ Ὑσιάς· κατέτεινε δὲ ἐς τὴν
Πλαταιΐδα γῆν, [l] παρὰ τὸν Ἀσωπὸν ποταμὸν [m] τε-
6 ταγμένον. οὐ μέντοι τό γε τεῖχος [n] τοσοῦτον ἐποιέετο,

rum Megara venisse, deflectit in Megaridem: (is terminus expeditionis Persarum ad occasum:) sed mox certior factus, totum Peloponnesiorum exercitum jam ad Isthmum confluxisse, priorem viam repetit, inque Bœotiam reversus, castra in agro Thebano ad Asopum locat, partimque munimentis cingit. Tractus horum castrorum. Interea Attaginus Thebanus Mardonium cum nobilissimis Persarum convivio lautissimo excipit.

[d] θέλων om. c.d. unus ms. Wesselingii. Schæfer. cum Reiskio. [e] Sic S.V. Vall. Wessel. cum Porto in Κατιππάζεσθαι. προσελ. F.a. et vulg. [f] δὲ S.

15. [a] Sic S.V.M.P.K.F. cf. I. 83. et supra c. 14. ἧκε Ald. al. sicut VIII. 140. [b] Sic S. Wessel. cf. infra 73. Δεκελείης F.c. vulg. Δικελείης a. Δεκελίης d. Mox προχώρους S. [c] Sic S.V. Τανάγραν olim. [d] Sic S.P. Vall. F. cf. Polyæn. II. 1, 11. Strabo IX. p. 628 =408 C. ἐς Κῶλον edd. vett. [e] Citat Eustath. Il. p. 364, 25= 476, 3. Mox οὔτε Bekker. [f] βουλόμενος om. K.F. [g] Sic P.K.F.a. στρατοπέδῳ Wessel. S. al. [h] οὐ μὴ F. [i] Sic M.P.K.F. Paris. θέλῃ S.V. ἐθέλει Ald. [k] Sic S.F. Wessel. Ἐρυθραίων al. [l] Sic S.V.K. P.F. Paris. περὶ Ald. al. [m] τεταγμένον a. τεταμένον cum Reiskio malebat Wesseling. [n] οὕτως S.

ἀλλ' ὡς ἐπὶ δέκα σταδίους μάλιστά κη μέτωπον ἕκαστον. 698

7 Ἐχόντων δὲ τὸν πόνον τοῦτον τῶν βαρβάρων, Ἀτταγῖνος ὁ Φρύνωνος, ἀνὴρ Θηβαῖος, παρασκευασάμενος μεγάλως, ἐκάλεε ἐπὶ ξείνια αὐτόν τε Μαρδόνιον καὶ πεντήκοντα Περσέων τοὺς λογιμωτάτους· κληθέντες δὲ οὗτοι [o] ἕποντο. ἦν δὲ τὸ δεῖπνον ποιεύμενον ἐν Θήβῃσι.

16 [a] Τὰ δὲ ἤδη τὰ ἐπίλοιπα ἤκουον Θερσάνδρου, ἀνδρὸς μὲν Ὀρχομενίου, λογίμου δὲ ἐς

Sermo ibi inter Thersandrum Orchomenium Persamque de belli eventu habitus.

2 τὰ πρῶτα ἐν Ὀρχομενῷ. ἔφη δὲ ὁ Θέρσανδρος κληθῆναι καὶ αὐτὸς ὑπὸ Ἀτταγίνου ἐπὶ τὸ δεῖπνον τοῦτο· κληθῆναι δὲ καὶ Θηβαίων ἄνδρας πεντήκοντα· καί [b] σφεων οὐ χωρὶς ἑκατέρους κλῖναι, ἀλλὰ Πέρσην τε
3 καὶ Θηβαῖον ἐν κλίνῃ ἑκάστῃ. ὡς δὲ ἀπὸ δείπνου ἦσαν, διαπινόντων, τὸν Πέρσην τὸν ὁμόκλινον, Ἑλλάδα γλῶσσαν ἱέντα, εἴρεσθαι αὐτὸν [c] ὁποδαπός ἐστι, αὐτὸς δὲ [d] ὑποκρίνασθαι ὡς εἴη Ὀρχο-
4 μένιος. τὸν δὲ [e] εἰπεῖν· "Ἐπεὶ νῦν ὁμοτράπεζός "τε μοι καὶ ὁμόσπονδος ἐγένεο, μνημόσυνά [f] τοι "γνώμης τῆς ἐμῆς καταλιπέσθαι [g] θέλω· ἵνα καὶ "προειδὼς αὐτὸς περὶ [h] σεωυτοῦ βουλεύεσθαι ἔχῃς
5 "τὰ συμφέροντα. Ὁρᾷς τούτους [i] τοὺς δαινυμένους "Πέρσας, καὶ τὸν στρατὸν, τὸν ἐλίπομεν ἐπὶ τῷ "ποταμῷ στρατοπεδευόμενον; τούτων πάντων ὄψεαι, "ὀλίγου τινὸς χρόνου διελθόντος, ὀλίγους τινὰς τοὺς
6 "περιγενομένους." [k] Ταῦτά τε ἅμα τὸν Πέρσην

[o] εἵποντο S.P.V.F.a.f. cf. I. 172.

16. [a] τάδε δὲ K.P.F.f. Wessel. Bekker. τὰ δὲ S. Ald. Schæfer. [b] σφέας f. qui infra om. διαπινόντων. Mox κλίναι Ald. [c] ποδαπὸς S.V.f. cf. VII. 218. ὁκοδαπὸς Bekker. [d] ἀποκ. f. [e] εἶπαι] εἰπεῖν S.V.P.K.F.f. et sic mox F.f. [f] τε F.S. [g] ἐθέλω S. [h] ἑωυτοῦ F. [i] τοὺς om. F. [k] Sic S.V.f. Schæfer. ταῦτα ἅμα τε vulg.

λέγειν, καὶ μετιέναι [l] πολλὰ τῶν δακρύων. αὐτὸς
7 δὲ [m] θωμάσας τὸν λόγον, εἰπεῖν πρὸς αὐτόν· "Οὐκ-
"ῶν Μαρδονίῳ τε ταῦτα [n] χρεόν ἐστι λέγειν, καὶ
"τοῖσι μετ' ἐκεῖνον [o] ἐν αἴνῃ ἐοῦσι Περσέων." Τὸν
δὲ μετὰ ταῦτα εἰπεῖν· "Ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ
"τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· [p] οὐδὲ
8 "γὰρ πιστὰ λέγουσι [q] ἐθέλει πείθεσθαι οὐδείς. ταῦτα
"δὲ Περσέων συχνοὶ ἐπιστάμενοι, ἑπόμεθα ἀναγκαίῃ
"ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν ἐν ἀνθρώ-
"ποισι αὕτη, πολλὰ φρονέοντα μηδενὸς [r] κρατέειν." 669
9 Ταῦτα μὲν [s] τοῦ Ὀρχομενίου Θερσάνδρου ἤκουον·
καὶ τάδε πρὸς τούτοισι, ὡς αὐτὸς αὐτίκα [t] λέγοι ταῦτα
πρὸς ἀνθρώπους πρότερον ἢ γενέσθαι ἐν Πλαταιῇσι
τὴν μάχην.

17 Μαρδονίου δὲ ἐν τῇ Βοιωτίῃ στρατοπεδευομέ-
νου, οἱ μὲν ἄλλοι παρείχοντο ἅπαντες στρατιὴν,
καὶ [a] συνεσέβαλον ἐς Ἀθήνας ὅσοιπερ ἐμήδιζον Ἑλ-
2 λήνων τῶν ταύτῃ οἰκημένων. μοῦνοι δὲ Φωκέες
οὐ [b] συνεσέβαλον· ἐμήδιζον γὰρ δὴ [c] σφόδρα καὶ
οὗτοι οὐκ ἑκόντες, ἀλλ' ὑπ' ἀναγκαίης. ἡμέρῃσι δὲ
οὐ πολλῇσι μετὰ τὴν ἄπιξιν τὴν ἐς Θήβας ὕστερον,
ἦλθον αὐτῶν ὁπλῖται χίλιοι· ἦγε δὲ αὐτοὺς Ἁρμο-
3 κύδης, ἀνὴρ τῶν ἀστῶν [d] δοκιμώτατος. ἐπεὶ δὲ [e] ἀπί-

Phocensium partis [c. 31.] μηδισμὸς coactus. Ii quod auxilia Mardonio cæteris Græcis serius misissent,

[l] πολλοὺς Ald. [m] Sic S.K.F.f. θωυμάσας al. Mox εἶπεν S. et sic infra. [n] Sic F.S. χρέων vulg. [o] ἐν αἴνῃ om. f. et mox om. τε. [p] οὐ γὰρ f. [q] θέλει V. Stobæus 107, 10. πείθεσθαι θέλει S. Mox ἐνδεδυμένοι Stobæi mss. [r] κρατεῖν F. Supra ἔστιν post ἀνθρώποισιν habet S. [s] τοῦ om. K.P.F.a. [t] Sic S.V.F. λέγει c. vulg.

17. [a] συνέβαλον F. συνέβαλλον S. συνεσέβαλλον d. In pr. στρατευομένου S. pro στρατοπεδευομένου. [b] συνέβαλον S. συνεσέβαλλον a. Mox δὴ om. Ald. F.S. [c] Sic M.P.K.S.V.F. Paris. μεγάλως edd. vett. probantibus Valcken. et Wesseling. ob cap. 39. Mox αὐτέων ὁπλῖται S. vulg. [d] δυνατώτατος M.P.K.F. [e] Sic S.M.P.K.F. ἀπικέατο Bekker. vulg. Mox τὰς Θήβας S. et τὰς ἱππέας ὁ M.

κατο καὶ οὗτοι ἐς Θήβας, πέμψας ὁ Μαρδόνιος ἱπ-
πέας, [f] ἐκέλευσέ σφεας ἐπ' ἑωυτῶν ἐν τῷ πεδίῳ
4 ἵζεσθαι. [g] ἐπεὶ δὲ ἐποιήσαν ταῦτα, αὐτίκα παρῆν [h] ἡ
ἵππος ἅπασα. μετὰ δὲ ταῦτα, διεξῆλθε μὲν διὰ τοῦ
στρατοπέδου τοῦ Ἑλληνικοῦ τοῦ μετὰ [i] Μήδων ἐόν-
τος φήμη, ὡς κατακοντιεῖ σφέας· διεξῆλθε δὲ δι'
5 αὐτῶν [k] Φωκέων τὠυτὸ τοῦτο. Ἔνθα δή σφι ὁ
στρατηγὸς Ἁρμοκύδης παραίνεε, λέγων τοιάδε· "Ὦ
" Φωκέες, πρόδηλα γὰρ ὅτι ἡμέας οὗτοι οἱ ἄνθρωποι
" μέλλουσι προόπτῳ θανάτῳ [l] δώσειν, διαβεβλη-
" μένους ὑπὸ Θεσσαλῶν, ὡς ἐγὼ εἰκάζω· νῦν [m] ὦν
" ἄνδρα [n] πάντα τινὰ ὑμέων [o] χρεόν ἐστι γενέσθαι
" ἀγαθόν· [p] κρέσσον γὰρ, ποιεῦντάς τι καὶ ἀμυνο-
" μένους τελευτῆσαι τὸν αἰῶνα, ἤπερ παρέχοντας
6 " διαφθαρῆναι αἰσχίστῳ μόρῳ. ἀλλὰ μαθέτω τις
" αὐτῶν ὅτι ἐόντες βάρβαροι ἐπ' Ἕλλησι ἀνδράσι
18 " φόνον ἔρραψαν." [a] Ὁ μὲν ὦν ταῦτα παραίνεε.
quomodo tractati. οἱ δὲ ἱππέες, [b] ἐπεί τέ σφεας ἐκυκλώσαντο, ἐπήλαυνον
ὡς [c] ἀπολεῦντες, καὶ [d] δὴ διετείνοντο τὰ βέλεα ὡς
[e] ἀπήσοντες· καί κου τις καὶ ἀπῆκε. καὶ οἱ ἀντίοι
[f] ἔστασαν, [g] πάντῃ [h] συστρέψαντες ἑωυτοὺς καὶ [i] πυ-
2 κνώσαντες ὡς μάλιστα. ἐνθαῦτα οἱ ἱππόται ὑπέστρε-
φον, καὶ ἀπήλαυνον ὀπίσω. Οὐκ ἔχω δ' ἀτρεκέως

[f] ἐκέλευε S. qui mox ἀπ' ἑωυτῶν. [g] ὡς S.V. [h] ἵππος ἡ ἅπασα F. [i] Μήδου S. [k] Φωκέων om. S. qui mox ἐνθά δέ σφι. [l] παραδώσειν K. προδώσειν Suidas in Προόπτος, ubi παραδώσειν ms. Voss. [m] ὦν om. M.P.K.F.c. Bekker. [n] πάντα τινα P.K. πάντά τινα ἄνδρα S. τινὰ πάντα F.a.M. Ald. [o] Sic S. Vulgo χρεών. Mox γίνεσθαι S. [p] Citat Suidas in Παρέχοντας.

18. [a] Sic M.P.K. ὦν om. F.a.S. et al. [b] Sic S.V. Schæfer. τε om. vulg. [c] Sic S.V. Wessel. ἀπολέοντες F. edd. vett. [d] δὴ om. F.S. [e] ἀφήσοντες F. qui mox ἀφῆκε. ubi ἀπήκετο Ald. [f] ἕστησαν S.V.P.K. ἕστασαν F. [g] πάντες S. [h] Sic S.V.A.B. Ald. στρέψαντες M.P.K.F.b. [i] κυκλώσαντες S.V. Mox ὑπέστρεφον S.

[k] εἰπεῖν, οὔτε εἰ ἦλθον μὲν ἀπολέοντες τοὺς Φωκέας,
δεηθέντων Θεσσαλῶν· ἐπεὶ δὲ [l] ὥρων πρὸς ἀλέξησιν
τραπομένους, δείσαντες μὴ καὶ σφίσι γένηται τρώ-
ματα, οὕτω δὴ ἀπήλαυνον ὀπίσω· (ὣς γάρ σφι ἐνε-
τείλατο Μαρδόνιος·) [m] οὔτ' εἰ αὐτῶν πειρηθῆναι ἠθέ-
3 λησε εἴ τι ἀλκῆς [n] μετέχουσι. Ὡς δὲ ὀπίσω ἀπή-
λασαν οἱ ἱππόται, πέμψας Μαρδόνιος κήρυκα, ἔλεγε
τάδε· "Θαρσέετε, ὦ Φωκέες· ἄνδρες γὰρ ἐφάνητε
4 " ἐόντες ἀγαθοὶ, οὐκ ὡς ἐγὼ ἐπυνθανόμην. καὶ νῦν
" προθύμως φέρετε τὸν πόλεμον τοῦτον· εὐεργεσίῃσι
" γὰρ οὐ νικήσετε οὔτε ὦν ἐμὲ, οὔτε βασιλέα." Τὰ
περὶ Φωκέων μὲν ἐς [o] τοσοῦτο ἐγένετο.

Græci ad Eleusinem undique collecti, inde in Bœotiam movent: ubi propter Erythras exadversus barbaros castra metantur.

19 Λακεδαιμόνιοι δὲ, ὡς ἐς τὸν Ἰσθμὸν ἦλθον, ἐν
τούτῳ ἐστρατοπεδεύοντο. πυνθανόμενοι δὲ ταῦτα οἱ
[a] λοιποὶ Πελοποννήσιοι τοῖσι τὰ ἀμείνω ἑάνδανε, οἱ
δὲ καὶ [b] ὁρέοντες ἐξιόντας Σπαρτιήτας, οὐκ ἐδικαίευν
2 λείπεσθαι τῆς ἐξόδου Λακεδαιμονίων. Ἐκ δὴ ὦν
τοῦ Ἰσθμοῦ, καλλιερησάντων τῶν ἱρῶν, ἐπορεύοντο
3 πάντες, καὶ ἀπικνέονται ἐς Ἐλευσῖνα. ποιήσαντες δὲ
καὶ ἐνθαῦτα ἱρὰ, ὥς σφι [bb] ἐκαλλιερέετο, πρόσω ἐπο-
ρεύοντο· Ἀθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες μὲν ἐκ
4 Σαλαμῖνος, συμμιγέντες δὲ ἐν Ἐλευσῖνι. [c] Ὡς δὲ
ἄρα ἀπίκοντο τῆς Βοιωτίης ἐς Ἐρυθρὰς, ἔμαθόν τε
δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ἀσωπῷ στρατοπεδευο-
μένους, φρασθέντες [d] δὲ τοῦτο, ἀντετάσσοντο ἐπὶ τῆς
20 ὑπωρείης τοῦ Κιθαιρῶνος. Μαρδόνιος δὲ, ὡς οὐ

Pugna Persarum e-

[k] εἶπαι] εἰπεῖν F.S. εἰ post οὔτε om. F. [l] ἑώρων F. [m] οὔ τοι d.
[n] ἔχουσι b.d. probante Valckenærio. Infra οὔτε ὦν M.P.K.S.F. Paris. Vulgo om. ὦν. [o] Sic P.F. Schæfer. Al. τοσοῦτον cum S.

19. [a] λοιποὶ om. S. [b] ὁρῶντες S. [bb] ἐκαλλίρεε, τὸ πρόσω Bekker. ex Suverni em. [c] ἐκ δὲ S. (ἐπεὶ suspicatur Schweigh. conferens 17.) [d] τε] δὲ F.S. vulg. tenet Bekker.

questris in Græcos.

κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει [a] ἐς
αὐτοὺς πᾶσαν τὴν ἵππον, τῆς ἱππάρχεε Μασίστιος,
εὐδοκιμέων παρὰ Πέρσῃσι, (τὸν Ἕλληνες [b] Μακί-
στιον καλέουσι,) ἵππον ἔχων [c] Νισαῖον, χρυσοχά-
2 λινόν [d] τε καὶ ἄλλως κεκοσμημένον καλῶς. ἐνθαῦτα
ὡς προσήλασαν οἱ ἱππόται πρὸς [e] τοὺς Ἕλληνας,
[f] προσέβαλλον κατὰ τέλεα· [g] προσβάλλοντες δὲ, κακὰ
μεγάλα ἐργάζοντο, καὶ γυναῖκάς σφεας ἀπεκάλεον.
21 Κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες [a] ᾗ
τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντός· καὶ πρόσο-
2 δος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ. προσβαλούσης
ὦν τῆς ἵππου, οἱ Μεγαρέες πιεζόμενοι ἔπεμπον ἐπὶ
3 τοὺς στρατηγοὺς τῶν Ἑλλήνων κήρυκα. ἀπικόμενος
δὲ ὁ κήρυξ πρὸς αὐτοὺς ἔλεγε τάδε· "Μεγαρέες λέ-
"γουσι, Ἡμεῖς, ἄνδρες σύμμαχοι, οὐ δυνατοί εἰμεν
"τὴν Περσέων ἵππον δέκεσθαι μοῦνοι, ἔχοντες στά-
4 "σιν ταύτην [b] ἐς τὴν ἔστημεν ἀρχήν. ἀλλὰ καὶ ἐς
"τόδε λιπαρίῃ τε καὶ ἀρετῇ ἀντέχομεν, καίπερ [c] πιε-
"ζεύμενοι. νῦν τε, εἰ μή τινας ἄλλους [d] πέμψετε
"διαδόχους τῆς τάξιος, ἴστε ἡμέας ἐκλείψοντας τὴν
5 "τάξιν." ὁ μὲν δή σφι ταῦτα [e] ἀπήγγειλε. Παυσα-
νίης δὲ ἀπεπειρᾶτο τῶν Ἑλλήνων, εἴ τινες ἐθέλοιεν
ἄλλοι ἐθελονταὶ ἰέναι [f] τε ἐς τὸν χῶρον τοῦτον, καὶ 701
6 τάσσεσθαι διάδοχοι [g] Μεγαρεῦσι. οὐ βουλομένων δὲ
τῶν ἄλλων, Ἀθηναῖοι ὑπεδέξαντο, καὶ Ἀθηναίων οἱ

20. [a] Sic M.P.K.V.S.F. Paris. ἐπ' αὐτοὺς olim. [b] Sic S.V.P. K.F.a.c.d. Schæfer. Μακίσιον edd. vett. [c] Νησαῖον S.F.c. Ald. cf. VII. 40. [d] τε om. F. [e] τοὺς om. F. [f] προσέβαλον S.a.c. Bekker. [g] Sic V. προσβαλόντες S. al. Bekker.

21. [a] ᾗ τε S.V. qui mox καὶ ἡ πρόσοδος. Bekkerus τῇ τε, et ἡ πρ. Paulo post προσβαλλούσης S. [b] ἐπ' ἣν S.V. [c] Sic S.V. πειζόμενοι F. vulg. [d] πέμψητε V. Wessel. διαδόχους πέμψητε S. [e] ἀπήγγελε V.P.K. ἀπήγγελλε S. [f] τε om. K. [g] Μεγαρεεῦσι F.

τριηκόσιοι λογάδες, τῶν ἐλοχήγεε Ὀλυμπιόδωρος ὁ
22 Λάμπωνος. Οὗτοι ἦσαν οἵ [a] τε ὑποδεξάμενοι, καὶ
οἱ πρὸ τῶν ἄλλων τῶν παρεόντων Ἑλλήνων ἐς
Ἐρυθρὰς ταχθέντες, τοὺς τοξότας [b] προσελόμενοι.
2 μαχομένων δέ σφεων ἐπὶ χρόνον, τέλος τοιόνδε [c] ἐγέ-
νετο [d] τῆς μάχης. [e] Προσβαλλούσης τῆς ἵππου κατὰ
τέλεα, ὁ Μασιστίου προέχων τῶν ἄλλων ἵππος βάλ-
λεται τοξεύματι τὰ πλευρά· ἀλγήσας δὲ, [f] ἵσταταί
3 τε ὀρθὸς, καὶ ἀποσείεται τὸν Μασίστιον. πεσόντι
δὲ αὐτῷ οἱ Ἀθηναῖοι αὐτίκα ἐπεκέατο· [g] τόν τε δὴ
ἵππον αὐτοῦ λαμβάνουσι, καὶ αὐτὸν ἀμυνόμενον κτεί-
4 νουσι, κατ' ἀρχὰς οὐ δυνάμενοι. ἐνεσκεύαστο γὰρ
οὕτω· ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν· κατύ-
περθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον [h] ἐνδεδύκεε.
τύπτοντες δὲ ἐς τὸν [i] θώρηκα, ἐποίευν οὐδέν· πρίν
γε δὴ [k] μαθών τις τὸ ποιεύμενον, παίει μιν ἐς τὸν
5 ὀφθαλμόν. οὕτω δὴ ἔπεσέ τε καὶ ἀπέθανε. Ταῦτα
δέ κως γινόμενα ἐλελήθεε τοὺς ἄλλους ἱππέας· οὔτε
γὰρ πεσόντα μιν εἶδον ἀπὸ τοῦ ἵππου, οὔτε ἀποθνή-
σκοντα· ἀναχωρήσιός τε γινομένης καὶ ὑποστροφῆς,
6 οὐκ ἔμαθον τὸ γενόμενον, ἐπεί τε δὲ ἔστησαν, αὐτίκα
7 ἐπόθεσαν, ὥς σφεας οὐδεὶς ἦν ὁ τάσσων. μαθόντες
δὲ τὸ γεγονὸς, διακελευσάμενοι, ἤλαυνον τοὺς ἵπ-
πους πάντες, ὡς ἂν [l] τόν γε νεκρὸν ἀνελοίατο.
23 Ἰδόντες δὲ οἱ Ἀθηναῖοι οὐκέτι κατὰ τέλεα προσε-

Cadit Masistius, magister equitatus Persici.

Acerrimum super ejus

22. [a] τε om. S.V. [b] προελόμενοι P. [c] ἐγίνετο F. [d] ἐπὶ τῆς μ. M.P.K.F. Wessel. [e] προσβαλλούσης F.S. προσβαλούσης alii. [f] Sic P.F. Schæfer. τε om. S. al. [g] Sic V. cf. III. 36. infra 26. Wessel. τὴν δὲ δὴ S. τὸν δὴ ἵππον F. τόν τε ἵππον a. τὸν δὲ ἵππον edd. vett. [h] Sic S.V. Schæfer. ἐνεδεδύκεε edd. vett. Supra χιτῶνα S. [i] θώρηκα αὐτοῦ edd. vett. Sed αὐτοῦ om. plerique mss. [k] μαθόντες unus ms. apud Wesseling. Mox γινόμενον S. Bekker. [l] Sic S.V. Schæfer. alii om. γε.

cadavere prœlium. Barbari tandem cum magna strage fusi.

λαύνοντας τοὺς ἱππέας, [a] ἀλλ' ἅμα πάντας, τὴν
2 ἄλλην στρατιὴν ἐπεβώσαντο. ἐν ᾧ δὲ ὁ πεζὸς ἅπας
[b] ἐβώθεε, ἐν τούτῳ μάχη ὀξεῖα περὶ τοῦ νεκροῦ [c] γί- 702
3 νεται. ἕως μέν νυν μοῦνοι ἦσαν οἱ τριηκόσιοι,
ἑσσοῦντό τε πολλὸν, καὶ τὸν νεκρὸν [d] ἀπέλειπον· ὡς
δέ σφι τὸ πλῆθος [e] ἐπεβοήθησαν, οὕτω δὴ οὐκέτι οἱ
ἱππόται [f] ὑπέμενον, οὐδέ σφι ἐξεγένετο τὸν νεκρὸν
ἀνελέσθαι, ἀλλὰ πρὸς ἐκείνῳ ἄλλους [g] προσαπόλε-
4 σαν τῶν ἱππέων. ἀποστήσαντες ὦν ὅσον τε δύο
στάδια, ἐβουλεύοντο ὅ τι [h] χρεὸν εἴη ποιέειν· ἐδόκεε
δέ σφι, ἀναρχίης ἐούσης, ἀπελαύνειν παρὰ Μαρδό-
νιον.

24

Publicus Persarum ob Masistium occisum luctus.

Ἀπικομένης δὲ τῆς ἵππου ἐς τὸ στρατόπεδον,
πένθος ἐποιήσαντο Μασιστίου πᾶσά τε ἡ στρατιὴ
καὶ Μαρδόνιος μέγιστον, σφέας τε αὐτοὺς [a] κείροντες,
καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια, οἰμωγῇ τε χρεώ-
μενοι ἀπλέτῳ· ἅπασαν γὰρ τὴν Βοιωτίην κατεῖχε
ἠχώ· ὡς ἀνδρὸς ἀπολομένου μετά [b] γε Μαρδόνιον
2 λογιμωτάτου παρά τε Πέρσῃσι καὶ βασιλέϊ. οἱ μέν
νυν βάρβαροι τρόπῳ τῷ σφετέρῳ [c] ἀποθανόντα ἐτί-
μων Μασίστιον.

25

Sic confirmatis Græcorum animis, in agrum Platæensem, quod Erythræus ad

Οἱ δὲ Ἕλληνες, ὡς τὴν ἵππον
ἐδέξαντο [a] προσβάλλουσαν, καὶ δεξάμενοι ὤσαντο,
[b] ἐθάρσησάν τε πολλῷ μᾶλλον, καὶ πρῶτα μὲν ἐς
ἅμαξαν [c] ἐσθέντες τὸν νεκρὸν, παρὰ τὰς [d] τάξις [e] ἐκό-
μιζον· [f] ὁ δὲ νεκρὸς ἦν θέης ἄξιος, μεγάθεος εἵνεκα

23. [a] Sic S.V. Wessel. ἅμα om. al. [b] Sic S.V. Wessel. cf. VIII. 1. ἐπεβοήθεε F.a.b. al. [c] ἐγίνετο S.V. [d] Sic F.a.c. ἀπέλιπον S. Bekker. al. [e] Sic S. Schæfer. ἐπεβοήθησε Bekker. et vulgo. [f] Sic S.M.P.V.F. Paris. ἐπέμενον al. Supra οὐκέτι om. Ald. [g] Sic S.V. Schæfer. προσαπώλεσαν al. [h] Sic S. Alii χρεών.

24. [a] Attigit Eustath. Il. ψ'. p. 1402, 24. [b] γε om. S.V. [c] ἐτίμων ἀποθανόντα S.

25. [a] προσβαλοῦσαν S.V. Bekker. [b] ἐθάρσησαν P. pro ἐθάρρησαν. cf. Koen. Gregor. Dial. Att. 82. Tum τε om. S.V. Schæfer. Bekker. [c] ἐνθέντες a. [d] τάξεις F. [e] ἐκομίζοντο d.S. [f] Citat Eustath. Hom. p. 626, 52=481, 5. qui ἦν cum S.K.V.F.a. ἔην al.

2 καὶ κάλλεος. [g] τῶν δὲ εἵνεκα καὶ ταῦτα ἐποίευν·
[h] ἐκλείποντες τὰς τάξις, [i] ἐφοίτεον θεησόμενοι Μα-
3 σίστιον. Μετὰ δὲ, ἔδοξέ σφι ἐπικαταβῆναι ἐς Πλα-
ταιάς· ὁ γὰρ χῶρος ἐφαίνετο πολλῷ ἐὼν ἐπιτηδεώ-
τερός σφι ἐνστρατοπεδεύεσθαι ὁ Πλαταϊκὸς τοῦ
4 Ἐρυθραίου, τά τε ἄλλα, καὶ εὐϋδρότερος. ἐς τοῦτον
δὴ τὸν χῶρον, καὶ ἐπὶ τὴν κρήνην τὴν [k] Γαργαφίην,
τὴν ἐν τῷ χώρῳ τούτῳ ἐοῦσαν, ἔδοξέ σφι [l] χρεὸν
εἶναι ἀπικέσθαι, καὶ διαταχθέντας [m] στρατοπεδεύε-
5 σθαι. Ἀναλαβόντες δὲ τὰ ὅπλα, ἤϊσαν διὰ τῆς
[n] ὑπωρείης τοῦ Κιθαιρῶνος [o] παρὰ Ὑσιὰς ἐς τὴν
Πλαταιΐδα γῆν· ἀπικόμενοι δὲ, ἐτάσσοντο κατὰ
ἔθνεα πλησίον τῆς τε κρήνης τῆς Γαργαφίης καὶ τοῦ
τεμένεος τοῦ Ἀνδροκράτεος τοῦ ἥρωος, διὰ ὄχθων τε
οὐκ ὑψηλῶν καὶ ἀπέδου [p] χωρίου.

rem gerendam parum commodus videretur, transire placet. Fons Gargaphius. Androcrates heros.

26 Ἐνθαῦτα ἐν τῇ [a] διατάξι ἐγένετο λόγων [b] πολλὸς
2 ὠθισμὸς Τεγεητέων τε καὶ Ἀθηναίων. ἐδικαίευν γὰρ
[c] αὐτοὶ ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας, καὶ καινὰ καὶ
3 παλαιὰ [d] παραφέροντες ἔργα. τοῦτο μὲν, οἱ Τεγεῆται
ἔλεγον τάδε· "Ἡμεῖς αἰεί κοτε ἀξιεύμεθα ταύτης [e] τῆς
"τάξιος ἐκ τῶν συμμάχων ἁπάντων, ὅσαι ἤδη ἔξοδοι
"κοιναὶ ἐγένοντο Πελοποννησίοισι καὶ [f] τὸ παλαιὸν, καὶ
"τὸ νέον, ἐξ ἐκείνου τοῦ χρόνου [g] ἐπεί τε Ἡρακλεῖδαι

Contentio inter Tegeatas et Athenien- 703 ses de loco honorario in acie obtinendo. Quibus utrique argumentis ad eum sibi vindicandum usi.

[g] Ita F.a.S. Reizius pro τῶνδε. Mox καὶ om. S.V. ἐποίευν K.F. Schæfer. ἐποίεον S. vulg. [h] ἐκλιπόντες b.S. [i] Sic S.V. καὶ ἐφοίτων vulg. sed καὶ om. M.P.K.S.V.F. Paris. Mox ἐπιτηδεότερος S. [k] Γαρσαφίην S. et mox iterum. [l] Sic S. χρεὼν vulg. [m] στρατεύεσθαι d. [n] ὑπωρείου K. [o] Sic K.S.V,P.F.a,c.d. Alii περί. Tum Ὑασιὰς S. [p] χώρου S.V.P. χωρίον alibi apud Herodotum de loco spatioso admodum usurpatur; veluti II. 29. SCHWEIGH.

26. [a] διατάξει F.S. [b] Sic S.V. Wessel. coll. VII. 225. VIII. 78. πολλῶν F.c. al. [c] Sic S.V.P.K.F. Paris. sicut αὐτὸς ἕκαστος III. 82. αὐτὰ ἕκαστα V. 13. αὐτέων edd. vett. [d] φέροντες d. [e] Sic M. P.S.V.K.F. Paris. τῆς στάσιος Ald. Mox πάντων S. [f] τὸ πάλαι S.V. [g] Sic P.K.S.F. ἐπεὶ c. edd. vett. Mox Εὐρυσθένεος S.

“ ἐπειρῶντο μετὰ τὸν Εὐρυσθέος θάνατον κατιόντες
4 “ ἐς Πελοπόννησον. τότε εὑρόμεθα τοῦτο, διὰ
“ πρῆγμα τοιόνδε. Ἐπεὶ μετὰ Ἀχαιῶν καὶ Ἰώνων
“ τῶν τότε ἐόντων ἐν Πελοποννήσῳ, ἐκβοηθήσαντες
“ ἐς τὸν Ἰσθμὸν, ἱζόμεθα [h] ἀντίοι τοῖσι κατιοῦσι·
“ τότε ὦν λόγος Ὕλλον ἀγορεύσασθαι, ὡς [i] χρεὸν
“ εἴη τὸν μὲν στρατὸν τῷ στρατῷ μὴ [k] ἀνακινδυ-
“ νεύειν [l] συμβάλλοντα· ἐκ δὲ τοῦ Πελοποννησίου
“ στρατοπέδου, τὸν ἂν σφέων αὐτῶν κρίνωσι εἶναι
“ ἄριστον, τοῦτόν οἱ μουνομαχῆσαι [m] ἐπὶ διακειμέ-
5 “ νοισι. ἔδοξέ τε τοῖσι Πελοποννησίοισι ταῦτα εἶναι
“ ποιητέα, καὶ ἔταμον [n] ὅρκια ἐπὶ λόγῳ τοιῷδε· ἢν
“ μὲν Ὕλλος νικήσῃ [o] τὸν Πελοποννησίων ἡγεμόνα,
“ κατιέναι Ἡρακλείδας [p] ἐπὶ τὰ πατρώϊα· ἢν δὲ
“ νικηθῇ, τὰ ἔμπαλιν Ἡρακλείδας ἀπαλλάσσεσθαι,
“ καὶ ἀπάγειν τὴν στρατιὴν, ἑκατόν τε ἐτέων μὴ
6 “ ζητῆσαι κάτοδον ἐς Πελοπόννησον. προεκρίθη
“ τε [q] δὴ ἐκ πάντων συμμάχων ἐθελοντὴς Ἔχεμος,
“ ὁ [r] Ἠερόπου, τοῦ [s] Φηγέος, στρατηγός τε ἐὼν καὶ
“ βασιλεὺς ἡμέτερος, καὶ ἐμουνομάχησέ τε καὶ
7 “ ἀπέκτεινε Ὕλλον. Ἐκ τούτου τοῦ ἔργου εὑρό-
“ μεθα [t] ἐν τοῖσι Πελοποννησίοισι τοῖσι τότε καὶ
“ ἄλλα γέρεα μεγάλα, τὰ διατελέομεν ἔχοντες, καὶ
“ τοῦ κέρεος τοῦ ἑτέρου αἰεὶ ἡγεμονεύειν, κοινῆς ἐξό-
8 “ δου γινομένης. Ὑμῖν μέν νυν, ὦ Λακεδαιμόνιοι,
“ οὐκ ἀντιεύμεθα· ἀλλὰ, διδόντες αἵρεσιν ὁκοτέρου

[h] ἀντίον P. [i] Sic S. Vulgo χρεών. [k] ἀνακινδυνεύσειν c. [l] Sic S.V.d. Schæfer. συμβαλόντα al. [m] Citat Eustath. Il. p. 233, 33 = 177, 5. [n] Sic P.F. Schæfer. Alii ὅρκιον cum S. [o] τῶν Πελοπ. S. [p] ἐπὶ τὰ—Ἡρακλείδας om. S. ubi ἀπαλλάσσεσθαι (ἦ suprascr.). Illud ἦ suprasc. pr. m. [q] δὴ om. S. [r] Ἡροπέου b. Ἠρόπου F. [s] *Phrygis* Vall. Mox σε καὶ S. [t] ἐν Πελοπ. τοῖσι τότε S.V. Bekker. ἐν Πελ. τε τοῖσι τότε P.K.F.

" βούλεσθε κέρεος ἄρχειν, παρίεμεν· τοῦ δὲ ἑτέρου
" φαμὲν ἡμέας [v] ἱκνέεσθαι ἡγεμονεύειν, κατάπερ ἐν
9 " τῷ πρόσθε χρόνῳ. Χωρίς τε τούτου τοῦ ἀπηγη-
" μένου ἔργου, ἀξιονικότεροί εἰμεν Ἀθηναίων ταύτην
" τὴν τάξιν ἔχειν. πολλοὶ μὲν γάρ [w] τε καὶ εὖ ἔχον-
" τες πρὸς ὑμέας ἡμῖν, ἄνδρες Σπαρτιῆται, ἀγῶνες
10 " [x] ἀγωνίδαται, πολλοὶ δὲ καὶ πρὸς [y] ἄλλους. οὕτω
" ὦν [z] ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον κέρας, ἤπερ
" Ἀθηναίους. οὐ γάρ σφί ἐστι ἔργα οἷά περ ἡμῖν
27 " κατεργασμένα, οὔτ' ὦν καινὰ, οὔτε παλαιά." Οἱ
μὲν ταῦτα ἔλεγον. Ἀθηναῖοι δὲ πρὸς ταῦτα
ὑπεκρίναντο τάδε· " Ἐπιστάμεθα μὲν σύνοδον τήνδε 704
" μάχης εἵνεκα συλλεγῆναι πρὸς τὸν βάρβαρον, ἀλλ'
2 " οὐ λόγων. ἐπεὶ δὲ ὁ Τεγεήτης προέθηκε παλαιὰ
" καὶ [a] καινὰ λέγειν τὰ ἑκατέροισι ἐν τῷ παντὶ
" χρόνῳ κατέργασται χρηστὰ, ἀναγκαίως ἡμῖν ἔχει
" δηλῶσαι πρὸς ὑμέας, ὅθεν ἡμῖν πατρώϊόν ἐστι,
" ἐοῦσι χρηστοῖσι αἰεὶ, πρώτοισι εἶναι [b] ἢ Ἀρκάσι.
3 " Ἡρακλείδας, τῶν [c] οὗτοι φασὶ ἀποκτεῖναι τὸν ἡγε-
" μόνα ἐν Ἰσθμῷ, [d] τοῦτο μὲν τούτους πρότερον,
" ἐξελαυνομένους ὑπὸ πάντων τῶν Ἑλλήνων ἐς τοὺς
" ἀπικοίατο [e] φεύγοντες δουλοσύνην πρὸς Μυκη-
" ναίων, μοῦνοι ὑποδεξάμενοι, τὴν [f] Εὐρυσθέος ὕβριν
" κατείλομεν, σὺν [g] κείνοισι μάχῃ νικήσαντες τοὺς

[v] ἱκέσθαι F. verbum om. S. ἐς ἡμέας ἱκν. Borheckius cum Koenio Gregor. Dial. Ion. 56. Schweighæuserus conferri jubet II. 36. [w] τε om. S.V.P.F.a.b. Bekker. Tum εὔχοντες S. [x] ἀγωνίδαται hinc Eustath. Il. p. 234, 20=177, 23. ἀγῶνας ἀγ. Ald. [y] πολλοὺς S. [z] δίκαιον ἡμέας S.

27. [a] νέα S. [b] Sic S. (ubi ἢ suprascriptum, sed pr. m.) Schæfer. μᾶλλον ἢ Ἀρκ. al. e glossa. Sic tamen Bekker. [c] οὗτοί φασι S.P. K.F. οὗτοι om. b. φασι οὗτοι vulg. [d] τοῦτο μὲν om. S. Schæfer. Bekker. Mox τῶν om. S. post πάντων. [e] φεύγοντας d. [f] Εὐρυσθένεος S. Ald. [g] ἐκείνοισι S.V.P.F. Mox φαμεν τοὺς νεκροὺς S.

4 " τότε ἔχοντας Πελοπόννησον. τοῦτο δὲ, 'Αργείους
" τοὺς μετὰ Πολυνείκεος ἐπὶ Θήβας ἐλάσαντας,
" τελευτήσαντας τὸν αἰῶνα, καὶ ἀτάφους κειμένους,
" στρατευσάμενοι ἐπὶ τοὺς Καδμείους, ἀνελέσθαι τε
" τοὺς νεκρούς φαμεν, καὶ θάψαι τῆς ἡμετέρης ἐν
5 " 'Ελευσῖνι. ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς
" [h] 'Αμαζονίδας, τὰς ἀπὸ Θερμώδοντος ποταμοῦ
" ἐσβαλούσας κοτὲ ἐς γῆν τὴν 'Αττικήν. καὶ ἐν
" τοῖσι [i] Τρωϊκοῖσι πόνοισι [k] οὐδαμῶν ἐλειπόμεθα.
6 " 'Αλλ' οὐ γάρ τι [l] προέχει τούτων ἐπιμεμνῆσθαι·
" καὶ γὰρ [m] ἂν χρηστοὶ τότε ἐόντες, [n] ὡὐτοὶ νῦν ἂν
" εἶεν φλαυρότεροι· καὶ τότε ἐόντες φλαῦροι, νῦν
7 " ἂν εἶεν ἀμείνονες. Παλαιῶν μέν νυν ἔργων ἅλις
" ἔστω. ἡμῖν δὲ εἰ μηδὲν ἄλλο ἐστὶ [o] ἀποδεδεγμένον,
" ὥσπερ ἐστὶ πολλά τε καὶ εὖ ἔχοντα, εἰ τέοισι καὶ
" ἄλλοισι 'Ελλήνων, ἀλλὰ καὶ ἀπὸ τοῦ [p] ἐν Μαρα-
" θῶνι ἔργου ἄξιοί [q] εἰμεν τοῦτο τὸ γέρας ἔχειν, καὶ
" ἄλλα πρὸς τούτῳ· οἵτινες μοῦνοι 'Ελλήνων δὴ
" μουνομαχήσαντες τῷ Πέρσῃ, καὶ ἔργῳ τοσούτῳ
" ἐπιχειρήσαντες, περιεγενόμεθα, καὶ ἐνικήσαμεν ἔθνεα
8 " ἕξ τε καὶ τεσσεράκοντα. ἆρ' οὐ δίκαιοί εἰμεν ἔχειν
" ταύτην τὴν τάξιν ἀπὸ τούτου μούνου τοῦ ἔργου;
" 'Αλλ' οὐ γὰρ ἐν τῷ τοιῷδε τάξιος εἵνεκα στασιά-
" ζειν πρέπει, [r] ἄρτιοί εἰμεν πείθεσθαι ὑμῖν, ὦ Λακε-
" δαιμόνιοι, ἵνα [s] δοκέει ἐπιτηδεώτατον ἡμέας εἶναι
9 " ἑστάναι, καὶ κατ' οὕστινας. πάντῃ γὰρ τεταγμένοι,

[h] Sic S.V.P.K.F. Paris. 'Αμαζονίδας, τὰς ἀποθήκας τὰς ἀπὸ Θ. Ald. [i] 'Ηρωϊκοῖσι S.V. Vall. Vide Schæferum ad Bosii Ellips. v. Πόλεμος. [k] οὐδαμῶν om. a.c. [l] Sic P.S.V.K.F. Paris. προὔχει vulg. [m] Sic mss. ἂν om. edd. vett. Tum χρηστοί τε ἐόντες τοτε S. [n] ἑωυτοὶ S. ὡυτοὶ F. [o] ἀποδεδεγμένον P.K.V.S.F. Paris. ἀποδεδειγ. edd. vett.

[p] ἐν om. unus ms. apud Wesseling. [q] ἦμεν a. [r] ἄρτι ἴοιμεν S qui paulo supra μόνου. [s] Sic S.P.F. Paris. δοκέῃ al. Tum ἐπιτηδεότατον S.

“ πειρησόμεθα εἶναι χρηστοί. ἐξηγέεσθε δὲ ὡς πει-
28 “ σομένων.” Οἱ μὲν ταῦτα ἀμείβοντο. Λακεδαι-
μονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον [a] Ἀθη-
ναίους ἀξιονικοτέρους εἶναι ἔχειν τὸ κέρας ἤπερ
Ἀρκάδας. οὕτω δὴ ἔσχον οἱ Ἀθηναῖοι, καὶ [b] ὑπερε-
βάλοντο τοὺς Τεγεήτας.

Re ad Spartanorum arbitrium rejecta, Tegeatæ causa cadunt. Acies quo ordine instructa. Atheniensium dux Aristides [8, 79.].

2 Μετὰ δὲ ταῦτα, ἐτάσσοντο ὧδε οἱ ἐπιφοιτῶντές τε
καὶ οἱ [c] ἀρχὴν ἐλθόντες Ἑλλήνων. τὸ μὲν δεξιὸν
κέρας εἶχον Λακεδαιμονίων μύριοι· τούτων δὲ τοὺς
πεντακισχιλίους, ἐόντας Σπαρτιήτας, ἐφύλασσον ψι-
λοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, περὶ
3 ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. προσεχέας [d] δέ σφι
εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας, καὶ
τιμῆς εἵνεκα καὶ ἀρετῆς. τούτων δ' ἦσαν ὁπλῖται
4 χίλιοι καὶ πεντηκόσιοι. μετὰ δὲ τούτους ἵσταντο
Κορινθίων πεντακισχίλιοι· παρὰ δέ σφι [e] εὕροντο
παρὰ Παυσανίεω ἑστάναι Ποτιδαιητέων τῶν ἐκ
Παλλήνης τοὺς παρεόντας τριηκοσίους. τούτων δὲ
ἐχόμενοι ἵσταντο Ἀρκάδες Ὀρχομένιοι ἑξακόσιοι·
5 τούτων δὲ, Σικυώνιοι τρισχίλιοι. τούτων δὲ εἴχοντο
Ἐπιδαυρίων ὀκτακόσιοι. παρὰ δὲ τούτους, Τροι-
ζη νί ν ἐ τάσσοντο χίλιοι· Τροιζηνίων δὲ ἐχόμενοι,
[f] Λεπρεητέων διηκόσιοι· τούτων δὲ, Μυκηναίων καὶ
Τιρυνθίων τετρακόσιοι· τούτων δὲ ἐχόμενοι, Φλιάσιοι
6 χίλιοι. παρὰ δὲ τούτους [g] ἕστασαν Ἑρμιονέες τριη-
κόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων

28. [a] Ἀθηναίους om. K. [b] ὑπερεβάλλοντο S. Ald. [c] ἄρχειν ἐθέλοντες Ald. ἐθέλοντες P. [d] δέ σφιν S.V. δέ σφι Wessel. δέ σφισι F. al. δὲ σφίσι Bekker. Mox τοὺς Τεγεήτας οἱ Σπαρτιῆται S. [e] Unus ms. apud Wessel. εὗρον. Supra πεντακόσιοι S. Ald. [f] Sic M.P.K.S.F. Paris. Λεπραιετέων olim. Mox τούτων—τετρακόσιοι om. S. [g] ἔστησαν P.K.F.

4 “τότε ἔχοντας Πελοπόννησον. τοῦτο δὲ, Ἀργείους
“τοὺς μετὰ Πολυνείκεος ἐπὶ Θήβας ἐλάσαντας,
“τελευτήσαντας τὸν αἰῶνα, καὶ ἀτάφους κειμένους,
“στρατευσάμενοι ἐπὶ τοὺς Καδμείους, ἀνελέσθαι τε
“τοὺς νεκρούς φαμεν, καὶ θάψαι τῆς ἡμετέρης ἐν
5 “Ἐλευσῖνι. ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς
“[h] Ἀμαζονίδας, τὰς ἀπὸ Θερμώδοντος ποταμοῦ
“ἐσβαλούσας κοτὲ ἐς γῆν τὴν Ἀττικήν. καὶ ἐν
“τοῖσι [i] Τρωϊκοῖσι πόνοισι [k] οὐδαμῶν ἐλειπόμεθα.
6 “Ἀλλ' οὐ γάρ τι [l] προέχει τούτων ἐπιμεμνῆσθαι·
“καὶ γὰρ [m] ἂν χρηστοὶ τότε ἐόντες, [n] ὠὐτοὶ νῦν ἂν
“εἶεν φλαυρότεροι· καὶ τότε ἐόντες φλαῦροι, νῦν
7 “ἂν εἶεν ἀμείνονες. Παλαιῶν μέν νυν ἔργων ἅλις
“ἔστω. ἡμῖν δὲ εἰ μηδὲν ἄλλο ἐστὶ [o] ἀποδεδεγμένον, 705
“ὥσπερ ἐστὶ πολλά τε καὶ εὖ ἔχοντα, εἰ τέοισι καὶ
“ἄλλοισι Ἑλλήνων, ἀλλὰ καὶ ἀπὸ τοῦ [p] ἐν Μαρα-
“θῶνι ἔργου ἄξιοί [q] εἰμεν τοῦτο τὸ γέρας ἔχειν, καὶ
“ἄλλα πρὸς τούτῳ· οἵτινες μοῦνοι Ἑλλήνων δὴ
“μουνομαχήσαντες τῷ Πέρσῃ, καὶ ἔργῳ τοσούτῳ
“ἐπιχειρήσαντες, περιεγενόμεθα, καὶ ἐνικήσαμεν ἔθνεα
8 “ἓξ τε καὶ τεσσεράκοντα. ἆρ' οὐ δίκαιοί εἰμεν ἔχειν
“ταύτην τὴν τάξιν ἀπὸ τούτου μούνου τοῦ ἔργου;
“Ἀλλ' οὐ γὰρ ἐν τῷ τοιῷδε τάξιος εἵνεκα στασιά-
“ζειν πρέπει, [r] ἄρτιοί εἰμεν πείθεσθαι ὑμῖν, ὦ Λακε-
“δαιμόνιοι, ἵνα [s] δοκέει ἐπιτηδεώτατον ἡμέας εἶναι
9 “ἑστάναι, καὶ κατ' οὕστινας. πάντη γὰρ τεταγμένοι,

[h] Sic S.V.P.K.F. Paris. Ἀμαζονίδας, τὰς ἀποθήκας τὰς ἀπὸ Θ. Ald. [i] Ἡρωϊκοῖσι S.V. Vall. Vide Schæferum ad Bosii Ellips. v. Πόλεμος. [k] οὐδαμῶν om. a.c. [l] Sic P.S.V.K.F. Paris. προύχει vulg. [m] Sic mss. ἂν om. edd. vett. Tum χρηστοί τε ἐόντες τοτε S. [n] ἑωυτοὶ S. ὠυτοὶ F. [o] ἀποδεδεγμένον P.K.V.S.F. Paris. ἀποδεδειγ. edd. vett.

[p] ἐν om. unus ms. apud Wesseling. [q] ἦμεν a. [r] ἄρτι ἴοιμεν S. qui paulo supra μόνου. [s] Sic S.P.F. Paris. δοκέῃ al. Tum ἐπιτηδεότατον S.

“ *πειρησόμεθα εἶναι χρηστοί. ἐξηγέεσθε δὲ ὡς πει-*
28 “ *σομένων.*” Οἱ μὲν ταῦτα ἀμείβοντο. Λακεδαι-
μονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον [a] Ἀθη-
ναίους ἀξιονικοτέρους εἶναι ἔχειν τὸ κέρας ἤπερ
Ἀρκάδας. οὕτω δὴ ἔσχον οἱ Ἀθηναῖοι, καὶ [b] ὑπερε-
βάλοντο τοὺς Τεγεήτας.

Re ad Spartanorum arbitrium rejecta, Tegeatæ causa cadunt. Acies quo ordine instructa. Atheniensium dux Aristides [8, 79.].

2 Μετὰ δὲ ταῦτα, ἐτάσσοντο ὧδε οἱ ἐπιφοιτῶντές τε
καὶ οἱ [c] ἀρχὴν ἐλθόντες Ἑλλήνων. τὸ μὲν δεξιὸν
κέρας εἶχον Λακεδαιμονίων μύριοι· τούτων δὲ τοὺς
πεντακισχιλίους, ἐόντας Σπαρτιήτας, ἐφύλασσον ψι-
λοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, περὶ
3 ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. προσεχέας [d] δέ σφι
εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας, καὶ
τιμῆς εἵνεκα καὶ ἀρετῆς. τούτων δ᾽ ἦσαν ὁπλῖται
4 χίλιοι καὶ πεντηκόσιοι. μετὰ δὲ τούτους ἵσταντο
Κορινθίων πεντακισχίλιοι· παρὰ δέ σφι [e] εὕροντο
παρὰ Παυσανίεω ἑστάναι Ποτιδαιητέων τῶν ἐκ
Παλλήνης τοὺς παρεόντας τριηκοσίους. τούτων δὲ
ἐχόμενοι ἵσταντο Ἀρκάδες Ὀρχομένιοι ἑξακόσιοι·
5 τούτων δὲ, Σικυώνιοι τρισχίλιοι. τούτων δὲ εἴχοντο
Ἐπιδαυρίων ὀκτακόσιοι. παρὰ δὲ τούτους, Τροι-
ζηνίων ἐτάσσοντο χίλιοι· Τροιζηνίων δὲ ἐχόμενοι,
[f] Λεπρεητέων διηκόσιοι· τούτων δὲ, Μυκηναίων καὶ
Τιρυνθίων τετρακόσιοι· τούτων δὲ ἐχόμενοι, Φλιάσιοι
6 χίλιοι. παρὰ δὲ τούτους [g] ἔστασαν Ἑρμιονέες τριη-
κόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων

28. [a] Ἀθηναίους om. K. [b] ὑπερεβάλλοντο S. Ald. [c] ἄρχειν ἐθέλοντες Ald. ἐθέλοντες P. [d] δέ σφιν S.V. δέ σφι Wessel. δέ σφισι F. al. δὲ σφίσι Bekker. Mox τοὺς Τεγεήτας οἱ Σπαρτιῆται S. [e] Unus ms. apud Wessel. εὗρον. Supra πεντακόσιοι S. Ald. [f] Sic M.P.K.S.F. Paris. Λεπραιετέων olim. Mox τούτων—τετρακόσιοι om. S. [g] ἔστησαν P.K.F.

[h]τε καὶ Στυρέων ἑξακόσιοι· [i]τούτων δὲ Χαλκιδέες
τετρακόσιοι· τούτων δὲ, [k]Ἀμπρακιητέων πεντηκόσιοι. 706
7 μετὰ δὲ τούτους, Λευκαδίων καὶ Ἀνακτορίων ὀκτα-
κόσιοι ἕστασαν· τούτων δὲ ἐχόμενοι, Παλέες οἱ ἐκ
8 Κεφαλληνίης διηκόσιοι. μετὰ δὲ τούτους, Αἰγινη-
τέων [l]πεντηκόσιοι ἐτάχθησαν. παρὰ δὲ τούτους
9 ἐτάσσοντο Μεγαρέων τρισχίλιοι. εἴχοντο δὲ τούτων,
Πλαταιέες ἑξακόσιοι. τελευταῖοι δὲ καὶ πρῶτοι Ἀθη-
ναῖοι ἐτάσσοντο, κέρας ἔχοντες τὸ εὐώνυμον, ὀκτα-
κισχίλιοι· ἐστρατήγεε δ' αὐτῶν Ἀριστείδης ὁ Λυσι-
μάχου.

29 Numerus et armatura militum.

Οὗτοι, πλὴν τῶν ἑπτὰ περὶ ἕκαστον τετα-
γμένων Σπαρτιήτῃσι, ἦσαν ὁπλῖται· [a]συνάπαντες
ἐόντες ἀριθμὸν τρεῖς τε μυριάδες, καὶ ὀκτὼ χιλιάδες,
2 καὶ ἑκατοντάδες ἑπτά. ὁπλῖται μὲν οἱ πάντες συλλε-
γέντες ἐπὶ τὸν βάρβαρον, ἦσαν τοσοῦτοι. Ψιλῶν δὲ
πλῆθος ἦν τόδε. τῆς μὲν Σπαρτιητικῆς τάξιος, πεν-
τακισχίλιοι καὶ τρισμύριοι ἄνδρες, ὡς ἐόντων ἑπτὰ
περὶ ἕκαστον ἄνδρα· καὶ τούτων πᾶς τις παρήρτητο
3 ὡς ἐς πόλεμον. οἱ δὲ τῶν λοιπῶν Λακεδαιμονίων καὶ
Ἑλλήνων ψιλοὶ, ὡς εἷς περὶ ἕκαστον [b]ἐὼν ἄνδρα,
πεντακόσιοι καὶ τετρακισχίλιοι καὶ τρισμύριοι ἦσαν.
4 ψιλῶν μὲν δὴ τῶν ἁπάντων μαχίμων ἦν τὸ πλῆθος
ἕξ τε μυριάδες, [c]καὶ ἐννέα χιλιάδες, καὶ ἑκατοντάδες
[d]πέντε.

30 Τοῦ δὲ σύμπαντος [a]Ἑλληνικοῦ τοῦ συνελ-
θόντος ἐς Πλαταιὰς σύν τε [b]ὁπλίτῃσι καὶ ψιλοῖσι
τοῖσι μαχίμοισι ἕνδεκα μυριάδες ἦσαν, μιῆς χιλιάδος

[h] τε om. S.V. [i] Sic M.P.K.F. Paris. Wessel. τουτέων δὲ ἐχόμενοι X. τ. Ald. Schæfer. τ. δὲ X. τ. om. S. [k] Ἀμπρακιωτέων S.V. Mox ἕστησαν P.K. [l] πεντηκόσιοι P.F. πεντακόσιοι S. edd. vett. et supra.

29. [a] Sic S.V. Wessel. cf. I. 134. 178. VII. 187. σύμπαντες al. Mox τρεῖς τε S.V.K.P.F. Paris. τε al. om. [b] ἐὼν om. S. [c] καὶ ἐννέα χιλιάδες om. S.V. Vall. [d] ἑπτὰ d. et alius ms. apud Wessel.

30. [a] Sic S.V. Wessel. τοῦ Ἑλλ. F.a.d. edd. vett. [b] ὁπλίτοισι S.

2 πρὸς δὲ ὀκτακοσίων [c] ἀνδρῶν καταδέουσαι. σὺν δὲ
Θεσπιέων τοῖσι παρεοῦσι ἐξεπληροῦντο [d] αἱ ἕνδεκα
3 μυριάδες. παρῆσαν γὰρ καὶ Θεσπιέων ἐν τῷ στρατοπέδῳ οἱ περιεόντες, ἀριθμὸν [e] ἐς ὀκτακοσίους καὶ χιλίους· ὅπλα δὲ [f] οὐδ' οὗτοι εἶχον. Οὗτοι μέν νυν ταχθέντες ἐπὶ τῷ Ἀσωπῷ [g] ἐστρατοπεδεύοντο.

Barbari Græcos insecuti, quo ordine castra locaverint. Persæ Lacedæmoniis, Atheniensibus Græci apud 707 Mardonium militantes oppositi.

31 Οἱ δὲ [a] ἀμφὶ Μαρδόνιον βάρβαροι, ὡς ἀπεκήδευσαν Μασίστιον, παρῆσαν, πυθόμενοι τοὺς Ἕλληνας εἶναι ἐν Πλαταιῇσι, καὶ αὐτοὶ ἐπὶ τὸν Ἀσωπὸν
2 τὸν ταύτῃ ῥέοντα. ἀπικόμενοι δὲ, [b] ἀντετάσσοντο ὧδε ὑπὸ Μαρδονίου. Κατὰ μὲν Λακεδαιμονίους ἔστησε Πέρσας· καὶ δὴ πολλὸν γὰρ [c] περιέασαν πλήθεϊ [d] οἱ Πέρσαι, ἐπί τε [e] τάξις πλεῦνας [f] ἐκεκοσμέατο, καὶ
3 ἐπεῖχον τοὺς Τεγεήτας. ἔταξε δὲ οὕτω· ὅ τι μὲν ἦν αὐτοῦ δυνατώτατον πᾶν ἀπολέξας, ἔστησε ἀντίον Λακεδαιμονίων· τὸ δὲ ἀσθενέστερον παρέταξε κατὰ τοὺς Τεγεήτας. ταῦτα δ' ἐποίεε φραζόντων τε καὶ
4 διδασκόντων Θηβαίων. Περσέων δὲ ἐχομένους ἔταξε Μήδους· οὗτοι δὲ ἐπέσχον Κορινθίους τε καὶ Ποτι-
5 δαιήτας, καὶ Ὀρχομενίους τε καὶ Σικυωνίους. Μήδων δὲ ἐχομένους ἔταξε Βακτρίους· οὗτοι δὲ ἐπέσχον Ἐπιδαυρίους τε καὶ Τροιζηνίους, καὶ [g] Λεπρεήτας τε καὶ Τιρυνθίους, καὶ Μυκηναίους τε καὶ Φλιασίους.
6 μετὰ δὲ Βακτρίους ἔστησε Ἰνδούς· οὗτοι δὲ ἐπέσχον Ἑρμιονέας τε καὶ Ἐρετριέας, καὶ Στυρέας τε καὶ

[c] ἀνδρῶν om. S. [d] αἱ om. b. [e] ἐς om. S. [f] οὐκ οὗτοι F. [g] ἐστρατεύοντο S.

31. [a] ἀμφὶ περὶ F. [b] ἐτάσσοντο P. [c] Sic S. quod, notante Schweighæusero, est a sing. ἔα, ἔας i. q. ἦν, ἦς. cf. II. 19. I. 187. Vulgo et Bekker. περίεσαν. Matthiæ περιῆσαν. [d] Sic S.V.K.P.F. οἱ om. al. Mox ἔπει τε S. [e] τάξεις F. [f] ἐκεκοσμήατο S.V. Tum καὶ ἐπεῖχον καὶ S. [g] Λεπρεήτας S.V.M.F. Paris. Λεπριήτας P.K. Λεπραιήτας olim.

Χαλκιδέας. Ἰνδῶν δὲ ἐχομένους Σάκας ἔταξε· οἳ
ἐπέσχον [h] Ἀμπρακιήτας τε καὶ Ἀνακτορίους, καὶ
7 Λευκαδίους, καὶ [i] Παλέας, καὶ Αἰγινήτας. [k] Σακέων
δὲ ἐχομένους ἔταξε [l] ἀντία Ἀθηναίων τε καὶ Πλα-
ταιέων καὶ Μεγαρέων Βοιωτούς τε καὶ Λοκρούς, καὶ
[m] Μηλιέας τε καὶ Θεσσαλοὺς, καὶ Φωκέων τοὺς
8 χιλίους. οὐ γὰρ ὦν [n] ἅπαντες οἱ Φωκέες ἐμήδισαν·
ἀλλά τινες αὐτῶν καὶ τὰ Ἑλλήνων ηὖξον, περὶ τὸν
[o] Παρνησσὸν [p] κατειλημένοι· καὶ ἐνθεῦτεν ὁρμεώμε-
νοι, ἔφερόν τε καὶ ἦγον τήν τε Μαρδονίου στρατιὴν
καὶ τοὺς μετ' αὐτοῦ ἐόντας Ἑλλήνων. ἔταξε δὲ καὶ
[q] Μακεδόνας τε καὶ τοὺς περὶ Θεσσαλίην [r] οἰκημέ-
32 νους κατὰ τοὺς Ἀθηναίους. Ταῦτα μὲν τῶν ἐθνέων
τὰ μέγιστα [a] ὀνόμασται τῶν [b] ὑπὸ Μαρδονίου τα-
χθέντων, τάπερ ἐπιφανέστατά [c] τε ἦν καὶ λόγου
2 πλείστου. [d] ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀνα-
μεμιγμένοι, Φρυγῶν τε καὶ [e] Θρηΐκων, καὶ Μυσῶν
τε καὶ Παιόνων, καὶ τῶν ἄλλων· ἐν δὲ, καὶ Αἰθιόπων
τε, καὶ Αἰγυπτίων οἵ τε Ἑρμοτύβιες καὶ οἱ [f] Καλα-
σίριες καλεόμενοι, μαχαιροφόροι· οἵπερ εἰσὶ Αἰ-
3 γυπτίων μοῦνοι μάχιμοι. τούτους δὲ ἔτι [g] ἐν Φαλήρῳ
ἐὼν ἀπὸ τῶν νηῶν [h] ἀπεβιβάσατο, ἐόντας ἐπιβάτας·
οὐ γὰρ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ
4 ἀπικόμενον [i] ἐς Ἀθήνας Αἰγύπτιοι. Τῶν μὲν δὴ

Quibus ex populis conflatus Mardonii exercitus, quantusque ejus tunc numerus.

[h] Ἀμπρακιώτας V.d. Ἀμβρακιώτας S. qui mox Λευκαδίους τε καί. [i] Παλλέας b. Παλαίας (ε) F. [k] Σακέας P. [l] ἀντίον S.V. [m] Sic F. τε om. S. alii. [n] πάντες ἐμήδιζον S.V. Mox ἤυξων S. [o] Sic S.V.P.F. Paris. Alii Παρνησόν. [p] Sic V.F. Wessel. κατειλημμένοι S. edd. vett. Mox ὁρμώμενοι S. [q] Λακεδαίμονας F. [r] Sic M.P.S.V.K.F. Paris. οἰκεομένους vulg.

32. [a] ὠνόμασται F.S. [b] ὑπὸ Μαρδονίῳ ed. Jungerm. [c] τε om. S.F. [d] ἦσαν S.V. [e] Μυσῶν καὶ Θρήκων τε καὶ Παιόνων S. Vall. [f] Κολασ. S. cf. II. 164. [g] ἐν φαλήρῳ ἐὼν F.S. ἐὼν ἐν Φαλ. vulgo. [h] ἀπεβήσατο b. [i] Sic P.K.F. ἐς τὰς Ἀθ. S. Wessel. al.

βαρβάρων ἦσαν τριήκοντα μυριάδες, ὡς καὶ πρότερον [k] δεδήλωται· τῶν δὲ Ἑλλήνων τῶν Μαρδονίου συμμάχων οἶδε μὲν οὐδεὶς ἀριθμόν· (οὐ γὰρ ὦν ἠριθμήθησαν·) ὡς δὲ [l] ἐπεικάσαι, ἐς πέντε μυριάδας συλλεγῆναι εἰκάζω. Οὗτοι οἱ παραταχθέντες πεζοὶ ἦσαν· 708
ἡ δὲ ἵππος χωρὶς ἐτέτακτο.

33 Ὡς δὲ ἄρα [a] πάντες οἱ ἐτετάχατο [b] κατά τε ἔθνεα
καὶ κατὰ τέλεα, ἐνθαῦτα τῇ δευτέρῃ ἡμέρῃ [c] ἐθύοντο
2 καὶ ἀμφότεροι. Ἕλλησι μὲν Τισαμενὸς Ἀντιόχου
ἦν ὁ θυόμενος· οὗτος γὰρ δὴ εἵπετο τῷ στρατεύματι τούτῳ μάντις· τὸν, ἐόντα Ἠλεῖον καὶ γένεος τοῦ Ἰαμιδέων [d] Κλυτιάδην, Λακεδαιμόνιοι ἐποιήσαντο
3 λεωσφέτερον. Τισαμενῷ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι περὶ γόνου, ἀνεῖλε ἡ Πυθίη, ἀγῶνας τοὺς μεγίστους ἀναιρήσεσθαι πέντε. ὁ μὲν δὴ ἁμαρτὼν τοῦ χρηστηρίου, [e] προσεῖχε γυμνασίοισι, ὡς ἀναιρη-
4 σόμενος γυμνικοὺς ἀγῶνας. ἀσκέων δὲ [f] πεντάεθλον,
παρὰ ἓν πάλαισμα ἔδραμε νικᾶν Ὀλυμπιάδα, Ἱερω-
5 νύμῳ τῷ [g] Ἀνδρίῳ ἐλθὼν ἐς ἔριν. [h] Λακεδαιμόνιοι
δὲ, μαθόντες οὐκ ἐς γυμνικοὺς ἀλλ' ἐς ἀρηΐους ἀγῶνας φέρον τὸ Τισαμενοῦ μαντήϊον, μισθῷ ἐπειρῶντο [i] πείσαντες Τισαμενὸν ποιέεσθαι ἅμα Ἡρακλειδέων
6 τοῖσι βασιλεῦσι ἡγεμόνα τῶν [k] πολέμων. ὁ δὲ, ὁρέων
περὶ πολλοῦ ποιευμένους Σπαρτιήτας φίλον αὐτὸν προσθέσθαι, μαθὼν τοῦτο, ἀνετίμα, σημαίνων σφι,

Græci ad auspicia pugnæ capienda vate Tisameno usi. Is ortu Eleus, qua mercede civitatem a Spartanis obtinuerit :

[k] Sic S.V.P.K.F. Paris. μοι δεδήλ. al. [l] Sic M.P.K.F. Paris. Alii cum S. ἀπεικάσαι. Quod sequebatur ἐστι om. S. probante Wesselingio.

33. [a] πάντες om. V.S. [b] κατά τε ἔθνεα V.S. καὶ τὰ ἔθνεα P. κατὰ ἔθνεα F. edd. vett. [c] ἔθυόν τε K. [d] Κλυτιάδου S. [e] Sic S. V.P.F.a. πρ. τοῖσι γ. Wessel. al. [f] πένταθλον S.V. [g] ἀνδρείῳ F. [h] Sic S.P.K.F. Μαθόντες δὲ Λακ. Wessel. al. [i] σπείσαντες F. [k] Sic S.P.K. Vall. F. Schæfer. πολεμίων Wessel. al.

ὡς ἤν μιν πολιήτην σφέτερον ποιήσωνται τῶν πάν-
των μεταδιδόντες, [l]ποιήσει ταῦτα, ἐπ' ἄλλῳ μισθῷ
7 δ' οὔ. Σπαρτιῆται δὲ, πρῶτα μὲν, ἀκούσαντες δεινὰ
[m]ἐποιεῦντο καὶ μετίεσαν τῆς χρησμοσύνης τὸ παρά- 709
παν. τέλος δὲ, δείματος μεγάλου ἐπικρεμαμένου τοῦ
Περσικοῦ τούτου στρατεύματος, καταίνεον [n]μετιόν-
8 τες. ὁ δὲ, γνοὺς τετραμμένους σφέας, οὐδ' [o]οὕτω
ἔφη ἔτι ἀρκέεσθαι τούτοισι μούνοισι, ἀλλὰ δέειν ἔτι
[p]καὶ τὸν ἀδελφεὸν ἑωυτοῦ Ἡγίην [q]γίνεσθαι Σπαρ-
τιήτην ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι τοῖσι καὶ αὐτὸς
34 γίνεται. Ταῦτα δὲ λέγων οὗτος ἐμιμέετο Μελάμ-
ποδα, ὡς εἰκάσαι βασιληΐην τε καὶ πολιτηΐην, [a]αἰτεό-
2 μενος. καὶ γὰρ δὴ καὶ Μελάμπους, τῶν ἐν Ἄργεϊ
γυναικῶν μανεισέων, ὥς μιν οἱ Ἀργεῖοι ἐμισθοῦντο
ἐκ Πύλου παῦσαι τὰς σφετέρας γυναῖκας τῆς [aa]νού-
σου, μισθὸν [b]προετείνατο τῆς βασιληΐης τὸ ἥμισυ.
3 οὐκ ἀνασχομένων δὲ τῶν Ἀργείων, ἀλλ' ἀπιόντων,
ὡς ἐμαίνοντο [c]πολλῷ πλεῦνες τῶν γυναικῶν, οὕτω
δὴ ὑποστάντες τὰ ὁ Μελάμπους [d]προετείνετο, ἤισαν
4 δώσοντές οἱ ταῦτα. ὁ δὲ ἐνθαῦτα δὴ [e]ἐπορέγεται,
ὁρέων αὐτοὺς τετραμμένους, φὰς, ἢν μὴ καὶ τῷ ἀδελ-
φεῷ Βίαντι [f]μεταδῶσι τὸ τριτημόριον τῆς βασιληΐης,
οὐ ποιήσειν τὰ βούλονται. οἱ δὲ Ἀργεῖοι, ἀπειλη-
35 θέντες ἐς στεινὸν, καταινέουσι καὶ ταῦτα. Ὡς δὲ

imitatus hac in re Melampodem, regiam Argis dignitatem simili olim ratione adeptum,

[l] ποιήσειν S. Schæfer. [m] Sic S.V. Wessel. ἐποίευν τε καὶ F.b.c. edd. vett. et hoc malit Stegerus, conferens III. 14. V. 41. VII. 1. [n] Sic S.V.b. μετιέντες Ald. F.a.c.d. [o] οὕτως S.P.F.K. tum ἔτι ἔφη P.F.S. Bekker. [p] καὶ om. S.P.F. [q] Sic S.P.V.F. Paris. γενέσθαι c. al.

34. [a] αἰτεόμενον Bekker. secutus Schæferum. [aa] νόσου P.S. [b] Sic P.K.F. προέτεινε S. προετείνετο al. [c] πολλῷ om. P.K.F.a.b.c. Bekker. [d] Sic S.F. προετείνατο al. Bekker. [e] Sic S.P.K.F.a.c. ἐπορέγετο vulg. Mox ἢν καὶ μὴ S. [f] μεταδώσειν S.

[a] καὶ Σπαρτιῆται, ἐδέοντο γὰρ δεινῶς τοῦ Τισαμενοῦ, πάντως συνεχώρεόν οἱ. συγχωρησάντων δὲ καὶ ταῦτα τῶν Σπαρτιητέων, οὕτω δὴ πέντε σφι μαντευόμενος ἀγῶνας τοὺς μεγίστους Τισαμενὸς ὁ Ἠλεῖος, γενόμενος Σπαρτιήτης, συγκαταιρέει. μοῦνοι δὲ δὴ πάντων ἀνθρώπων ἐγένοντο [b] οὗτοι Σπαρτιήτῃσι
2 πολιῆται. οἱ δὲ πέντε ἀγῶνες, οἵδε ἐγένοντο· εἷς μὲν καὶ πρῶτος, οὗτος ὁ ἐν [c] Πλαταιῇσι· ἐπὶ δὲ, ὁ ἐν Τεγέῃ πρὸς [d] Τεγεήτας τε καὶ Ἀργείους γενόμενος· μετὰ δὲ, ὁ ἐν Διπαιεῦσι πρὸς Ἀρκάδας [e] πάντας, πλὴν Μαντινέων· ἐπὶ δὲ, [f] ὁ Μεσσηνίων ὁ [g] πρὸς Ἰσθμῷ· ὕστατος δὲ, ὁ ἐν Ταναγρῃ πρὸς 710
Ἀθηναίους τε καὶ Ἀργείους γενόμενος. οὗτος δὲ ὕστατος κατεργάσθη τῶν πέντε ἀγώνων.

idemque Spartæ quinque auctor victoriarum.

36 Οὗτος [a] δὴ τότε τοῖσι Ἕλλησι ὁ Τισαμενὸς, ἀγόντων [b] τῶν Σπαρτιητέων, ἐμαντεύετο ἐν τῇ Πλαταιΐδι.
2 τοῖσι μέν νυν Ἕλλησι καλὰ ἐγίνετο τὰ ἱρὰ, ἀμυνομένοισι· διαβᾶσι δὲ τὸν Ἀσωπὸν καὶ μάχης ἄρχουσι,
37 οὔ. Μαρδονίῳ δὲ, [a] προθυμεομένῳ μάχης ἄρχειν, οὐκ ἐπιτήδεα ἐγίνετο τὰ ἱρά· ἀμυνομένῳ δὲ καὶ τούτῳ καλά· καὶ γὰρ [b] οὗτος Ἑλληνικοῖσι ἱροῖσι [c] ἐχρέετο, μάντιν ἔχων Ἡγησίστρατον, ἄνδρα Ἠλεῖόν
2 τε καὶ τῶν [d] Τελλιαδέων ἐόντα λογιμώτατον. τὸν δὴ πρότερον τούτων Σπαρτιῆται λαβόντες ἔδησαν ἐπὶ θανάτῳ, ὡς πεπονθότες πολλά τε καὶ ἀνάρσια ὑπ'

Prœlium lacessere exta tum Græcos, tum barbaros prohibent: nam et Mardonius ad sacra Græco ritu facienda vatem, Hegesistratum Eleum, conduxerat. Hic jam antea Spartanorum hostis,

35. [a] καὶ om. S.V. Mox πάντα Bekker. [b] οὗτοι S. marg. sed pr. m. statim post ἀνθρώπων. [c] Πλαταιέσι c. [d] Sic P.K.F. Paris. τε om. S, al. [e] πάντων Steph. marg. ὁ ἐν Δ.—ἐπὶ δὲ ὁ om. F. [f] Sic S.V.P.K. ὁ om. al. [g] Sic P.K.F. πρὸς τῷ Ἰ. S. vulg. πρὸς Ἰθώμῃ Bekker. ex Palmerii emend.

36. [a] δὲ S. [b] τῶν om. S.

37. [a] προθυμένῳ S.V. προθυομένῳ F.a. probante Schæfero ad Bos. Ellips. v. Καλός. [b] οὕτω F. [c] Sic B. Ald. ἐχρέατο M.P.K.F. ἐχρᾶτο S.V. [d] Τελλαδέων P.

quam miro modo, cum in illorum manus aliquando incidisset, e custodia evaserit.

3 αὐτοῦ. ὁ δὲ ἐν τούτῳ τῷ κακῷ ἐχόμενος, ὥστε τρέχων
περὶ τῆς ψυχῆς πρό τε τοῦ θανάτου [e] πεισόμενος
πολλά τε καὶ λυγρὰ, ἔργον ἐργάσατο μέζον λόγου.
4 ὡς γὰρ δὴ ἐδέδετο ἐν ξύλῳ σιδηροδέτῳ, [f] ἐσενειχθέντος
κως σιδηρίου ἐκράτησε· [g] αὐτίκα δὲ ἐμηχανᾶτο ἀν-
δρειότατον ἔργον πάντων τῶν ἡμεῖς ἴδμεν. [h] σταθμη-
σάμενος γὰρ ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ πο-
5 δὸς, [i] ἀπέταμε τὸν ταρσὸν ἑωυτοῦ. ταῦτα δὲ ποιήσας,
[k] ὥστε φυλασσόμενος ὑπὸ φυλάκων, διορύξας τὸν
τοῖχον, ἀπέδρη ἐς Τεγέην, τὰς μὲν νύκτας πορευό-
μενος, τὰς δὲ ἡμέρας καταδύνων ἐς ὕλην καὶ αὐλιζό-
μενος· οὕτω [l] ὥστε, Λακεδαιμονίων πανδημεὶ διζημέ-
νων, τρίτῃ εὐφρόνῃ γενέσθαι ἐν Τεγέῃ· τοὺς δὲ ἐν
[m] θώματι μεγάλῳ ἐνέχεσθαι τῆς τε τόλμης, [n] ὁρέοντας
τὸ ἡμίτομον [o] τοῦ ποδὸς κείμενον, κἀκεῖνον οὐ δυνα-
6 μένους εὑρεῖν. Τότε μὲν οὕτω διαφυγὼν Λακεδαιμο-
νίους, καταφεύγει ἐς Τεγέην, ἐοῦσαν οὐκ ἀρθμίην
Λακεδαιμονίοισι τοῦτον τὸν χρόνον. ὑγιὴς δὲ γενό-
μενος, καὶ προσποιησάμενος [p] ξύλινον πόδα, κατε-
7 στήκεε [q] ἐκ τῆς ἰθείης Λακεδαιμονίοισι πολέμιος. οὐ
[r] μέντοι γε ἐς τέλος οἱ συνήνεικε τὸ ἔχθος τὸ ἐς
Λακεδαιμονίους [s] συγκεκυρημένον· ἥλω γὰρ μαντευό-
8 μενος ἐν Ζακύνθῳ ὑπ᾽ αὐτῶν, καὶ ἀπέθανε. Ὁ [t] μέν
νυν θάνατος ὁ Ἡγησιστράτου ὕστερον ἐγένετο τῶν
Πλαταϊκῶν· τότε δ᾽ ἐπὶ τῷ Ἀσωπῷ [v] Μαρδονίῳ

[e] Sic S.P.A.B.F. *πησόμενος* b. Ald. [f] *ἐσενεχθ.* S.V. *ἐπενειχθέντος* K. [g] *αὐτικαδὴ* S. qui mox *πάντων ἔργον*. [h] Suid in v. [i] *ἀπέτεμε* K. [k] Sic S.V.P.K. Schæfer. *ὡς φυλ.* Wessel. et al. [l] *ὡς Λακεδ.* F. [m] Sic S.K.F. *θωύματι* al. Mox *τῆς τότε τόλμης* S. [n] *ὁρέωντας* F. *ὁρῶντας* S. [o] Sic S.P.V.K.F. Paris. *τοῦ ποδὸς τοῦτο* al. [p] Cf. Plutarch. II. p. 479 B. [q] *ἐπὶ τῆς* F. [r] Sic S.V.K. *μέντοι ἔς γε* Bekker. al. [s] *συγκεχωρημένον* S. [t] Sic S. Schæfer. *μέντοι* Ald. al. [v] Sic F.a.S. Alii *τῷ* M.

μεμισθωμένος οὐκ [w] ὀλίγου, ἐθύετό τε καὶ προεθυμέ-
ετο [x] κατά τε τὸ ἔχθος τὸ Λακεδαιμονίων καὶ κατὰ
τὸ κέρδος.

38 Ὡς δὲ οὐκ ἐκαλλιέρεε ὥστε μάχεσθαι, οὔτε αὐ-
τοῖσι Πέρσῃσι, οὔτε τοῖσι μετ' ἐκείνων ἐοῦσι Ἑλλή-
νων· (εἶχον γὰρ καὶ οὗτοι ἐπ' ἑωυτῶν μάντιν Ἱππό-
μαχον, Λευκάδιον ἄνδρα·) ἐπιρρεόντων δὲ τῶν Ἑλ-
λήνων, καὶ γινομένων πλεύνων, [a] Τιμηγενίδης ὁ Ἕρ-
πυος, ἀνὴρ Θηβαῖος, συνεβούλευσε Μαρδονίῳ τὰς
ἐκβολὰς τοῦ Κιθαιρῶνος φυλάξαι· λέγων ὡς ἐπιρρέ-
ουσι οἱ Ἕλληνες αἰεὶ ἀνὰ πᾶσαν ἡμέρην, καὶ ὡς
[b] ἀπολάμψοιτο συχνούς.

Græcorum barbaris auxiliantium vates 711 Hippomachus Leucadius. Interim Timagenidas Thebanus Mardonio suadet, ut Cithæronis fauces occupet.

39 Ἡμέραι δέ σφι ἀντικατη-
μένοισι ἤδη ἐγεγόνεσαν ὀκτὼ, ὅτε ταῦτα ἐκεῖνος συν-
2 εβούλευε Μαρδονίῳ. ὁ δὲ μαθὼν τὴν παραίνεσιν εὖ
ἔχουσαν, ὡς εὐφρόνη ἐγένετο, πέμπει τὴν ἵππον ἐς
τὰς [a] ἐκβολὰς τὰς Κιθαιρωνίδας, αἳ ἐπὶ Πλαταιέων
φέρουσι· τὰς Βοιωτοὶ μὲν Τρεῖς Κεφαλὰς καλέουσι,
3 Ἀθηναῖοι δὲ Δρυὸς Κεφαλάς. πεμφθέντες δὲ οἱ ἱπ-
πόται, οὐ μάτην ἀπίκοντο. ἐσβάλλοντα γὰρ ἐς τὸ
πεδίον λαμβάνουσι ὑποζύγιά τε πεντακόσια, σιτία
ἄγοντα ἀπὸ Πελοποννήσου ἐς τὸ στρατόπεδον, καὶ
4 ἀνθρώπους, οἳ εἵποντο τοῖσι ζεύγεσι. ἑλόντες δὲ ταύ-
την τὴν ἄγρην οἱ Πέρσαι, ἀφειδέως ἐφόνευον, [b] οὐ
φειδόμενοι οὔτε ὑποζυγίου οὐδενὸς, οὔτε ἀνθρώπου.
5 ὡς δὲ [c] ἅδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυ-
νον περιβαλλόμενοι παρά [d] τε Μαρδόνιον καὶ ἐς τὸ
στρατόπεδον.

Quo facto, commeatus Græcorum intercipitur.

[w] ὀλίγῳ S. [x] Sic M.P.K.F. τε om. Ald. d.S. Mox προθυμέετο F.

38. [a] Sic S. cf. cap. 86. Pausan. VII. 10. Olim Τιμογενίδης cum F.b.c. [b] ἀπολάμψαιτο S.V.

39. [a] ἐμβολὰς S. qui infra ἐσβαλόντα. [b] Sic M.P.K.F. Paris. οὐ om. S. al. [c] ἅδε S. Citat Suid. in v. Ἅδην. [d] τε om. P.K.V. παρά τε om. F. qui παραβαλόμ.

40 Μετὰ δὲ τοῦτο τὸ ἔργον ἑτέρας δύο ἡμέρας διέτρι-
ψαν, οὐδέτεροι βουλόμενοι μάχης ἄρξαι. μέχρι μὲν
γὰρ τοῦ Ἀσωποῦ ἐπήϊσαν οἱ βάρβαροι, πειρώμενοι 1
2 τῶν Ἑλλήνων, διέβαινον δὲ οὐδέτεροι. ἡ μέντοι ἵπ-
πος ἡ Μαρδονίου αἰεὶ προσέκειτό τε καὶ ἐλύπεε τοὺς
Ἕλληνας. οἱ γὰρ Θηβαῖοι, ἅτε μηδίζοντες μεγάλως,
προθύμως [a] ἔφερον τὸν πόλεμον, καὶ αἰεὶ κατηγέοντο
μέχρι μάχης· τὸ δὲ ἀπὸ τούτου παραδεκόμενοι 2
Πέρσαι τε καὶ Μῆδοι, [b] μάλα ἔσκον οἳ ἀπεδείκνυντο
ἀρετάς.

41 Μέχρι μέν νυν τῶν δέκα ἡμερέων οὐδὲν ἐπὶ πλεῦν
ἐγίνετο τούτων. ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη [a] ἀντι-
κατημένοισι ἐν Πλαταιῇσι, οἵ τε δὴ Ἕλληνες πολλῷ
πλεῦνες ἐγεγόνεσαν, καὶ Μαρδόνιος περιημέκτεε τῇ 2
ἕδρῃ, ἐνθαῦτα ἐς λόγους ἦλθον Μαρδόνιός τε ὁ Γω-
βρύεω καὶ Ἀρτάβαζος ὁ Φαρνάκεος, ὃς ἐν ὀλίγοισι
2 Περσέων ἦν ἀνὴρ δόκιμος παρὰ Ξέρξῃ. [b] Βουλευο-
μένων δὲ αἵδε ἦσαν αἱ γνῶμαι. ἡ [c] μὲν Ἀρταβάζου,
ὡς [d] χρεὸν εἴη [e] ἀναζεύξαντας τὴν ταχίστην πάντα 3
τὸν στρατὸν, ἰέναι ἐς τὸ τεῖχος τὸ Θηβαίων, ἔνθα
σῖτόν τέ σφι [f] ἐσενηνεῖχθαι πολλὸν, και χόρτον τοῖσι
3 ὑποζυγίοισι· κατ' ἡσυχίην τε ἱζομένους [g] διαπρήσ-
σεσθαι, ποιεῦντας τάδε· ἔχειν γὰρ χρυσὸν πολλὸν
μὲν ἐπίσημον, πολλὸν δὲ καὶ ἄσημον, πολλὸν δὲ [h] καὶ 3
ἄργυρόν τε καὶ ἐκπώματα· [i] τούτων φειδομένους μη-
δενὸς, διαπέμπειν ἐς τοὺς Ἕλληνας, Ἑλλήνων δὲ μά-
λιστα ἐς τοὺς προεστεῶτας ἐν τῇσι πόλισι· καὶ τα-

Ita decem diebus exactis, cum interea Græcorum exercitus multum crevisset, Mardonius, longioris moræ impatiens, frustra renitente Artabazo [8, 126.], contemtisque extis [c. 37.], pugnæ consilium init.

40. [a] ἐφέροντο πόλεμον F. [b] καλὰ F. μάλιστα S.

41. [a] Sic S.M.P.K.F. Paris. ἀλλήλοισι addunt alii. [b] βουλομένων S. [c] μὲν γὰρ Ἀρτ. S. [d] Sic S. χρεὼν al. [e] ἀναζεύξαντες F. Mox τε post σῖτον om. S. [f] ἐσενηνέχθαι V. ἐνηνέχθαι S. [g] διαπρήσεσθαι F. [h] καὶ om. P.S. tum τε om. V. [i] τούτων δὲ φ. S.

χέως σφέας παραδώσειν τὴν ἐλευθερίην, μηδὲ ἀνακιν-
4 δυνεύειν [k] συμβάλλοντας. Τούτου [l] μέν νυν ἡ αὐτὴ
[m] ἐγίνετο καὶ Θηβαίων γνώμη, ὡς προειδότος πλεῦν
τι καὶ τούτου. Μαρδονίου δὲ, ἰσχυροτέρη, [n] τε καὶ
5 ἀγνωμονεστέρη, καὶ οὐδαμῶς συγγινωσκομένη. Δο-
κέειν τε γὰρ πολλῷ κρέσσονα εἶναι τὴν σφετέρην
[o] στρατιὴν τῆς Ἑλληνικῆς, συμβάλλειν τε τὴν τα-
χίστην, μηδὲ περιορᾷν συλλεγομένους ἔτι [p] πλεῦνας
τῶν [q] συλλελεγμένων· τά τε σφάγια τὰ Ἡγησι-
στράτου ἐᾷν χαίρειν, μηδὲ βιάζεσθαι, ἀλλὰ νόμῳ
42 τῷ Περσέων χρεωμένους συμβάλλειν. Τούτου δὲ
οὕτω δικαιεῦντος, ἀντέλεγε οὐδεὶς, ὥστε ἐκράτεε τῇ
γνώμῃ· τὸ γὰρ κράτος εἶχε τῆς στρατιῆς οὗτος [a] ἐκ
2 βασιλέος, ἀλλ' οὐκ Ἀρτάβαζος. [b] Μεταπεμψάμενος
ὦν τοὺς ταξιάρχους τῶν τελέων, καὶ τῶν μετ' ἑωυτοῦ
ἐόντων Ἑλλήνων τοὺς στρατηγοὺς, [c] εἰρώτα εἴ τι
[d] εἰδεῖεν λόγιον περὶ Περσέων, ὡς [e] διαφθερέονται ἐν
3 τῇ Ἑλλάδι. σιγώντων δὲ τῶν ἐπικλήτων, τῶν μὲν
οὐκ εἰδότων τοὺς χρησμοὺς, τῶν δὲ εἰδότων μὲν, ἐν
ἀδείῃ δὲ οὐ ποιευμένων τὸ λέγειν, [f] αὐτὸς Μαρδόνιος
ἔλεγε· "Ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴστε οὐδὲν, ἢ οὐ τολ-
"μᾶτε λέγειν, ἀλλ' ἐγὼ ἐρέω, ὡς εὖ ἐπιστάμενος.
4 " ἔστι [g] λόγιον ὡς [h] χρεόν ἐστι Πέρσας ἀπικομένους

[k] συμβαλόντας S. [l] Sic edd. vett. Schæfer. μὲν ἡ αὐτὴ M.P. K.S.F. Wessel. Bekker. [m] Sic S.P.V.K.F.a. ἐγένετο vulg. [n] τε καὶ ἀγνωμ. om. F. τε om. S. [o] στρατηΐην S. [p] Sic M.S.P.K.F. Paris. πλεῦνας γίνεσθαι τῶν edd. vett. [q] Sic P.V.S.F.b.d. συλλεγομένων a.c. Ald.

42. [a] ἐκ βασιλέος om. S.V. Vall. [b] Citat Thomas M. in Τέλη. [c] Sic S.V.P. ἠρώτα al. F. [d] Sic F.S.b.c. εἰδοῖεν al. [e] διαφθαρέονται P.F. Wessel. Bekker. διαφθορεῦνται V.S.d. διαφθερέοντας Ald. c. [f] αὐτός τε Μαρδόνιος ἔλεγεν· ἀλλ' ἐγὼ ἐρέω ὡς εὖ ἐπιστάμενος, ἐπεὶ δὴ ὑμεῖς ἢ ἴστε etc. S. [g] λόγος K. [h] Sic S.K. χρεὼν vulg. τι pro ἐστι S.

“ ἐς τὴν Ἑλλάδα, διαρπάσαι τὸ ἱρὸν τὸ ἐν Δελ-
“ φοῖσι, μετὰ δὲ τὴν [i] διαρπαγὴν ἀπολέσθαι πάντας.
5 “ ἡμεῖς τοίνυν, αὐτὸ τοῦτο ἐπιστάμενοι, [k] οὔτε ἴμεν
“ ἐπὶ τὸ ἱρὸν [l] τοῦτο, οὔτε ἐπιχειρήσομεν διαρπάζειν·
“ [m] ταύτης τε εἵνεκα τῆς αἰτίης οὐκ ἀπολεόμεθα.
6 “ ὥστε ὑμέων ὅσοι τυγχάνουσι εὔνοοι ἐόντες Πέρ-
“ σῃσι, [n] ἥδεσθε τοῦδε εἵνεκα, ὡς [o] περιεσομένους
“ ἡμέας Ἑλλήνων.” Ταῦτά σφι εἴπας, δεύτερα
[p] ἐσήμαινε παραρτέεσθαί τε πάντα καὶ [q] εὐκρινέα 713
ποιέεσθαι, ὡς ἅμα ἡμέρῃ τῇ ἐπιούσῃ συμβολῆς ἐσο-
μένης.

43 Bacidis oraculum de prœlio Platæensi.

Τοῦτον δ᾽ ἔγωγε τὸν χρησμὸν τὸν Μαρδόνιος
εἶπε ἐς Πέρσας ἔχειν, ἐς Ἰλλυριούς τε καὶ τὸν Ἐγχέ-
λεων στρατὸν οἶδα πεποιημένον, ἀλλ᾽ οὐκ ἐς Πέρ-
2 σας. Ἀλλὰ τὰ [a] μὲν [b] Βάκιδι ἐς ταύτην τὴν μάχην
πεποιημένα·

Τὴν δ᾽ ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
Ἑλλήνων σύνοδον, καὶ [c] βαρβαρόφωνον ἰϋγήν·
τῇ [d] πολλοὶ πεσέονται ὑπὲρ Λάχεσίν τε μόρον τε
τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.

3 ταῦτα μὲν καὶ παραπλήσια [e] τούτοισι ἄλλα Μου-
σαίῳ ἔχοντα οἶδα ἐς Πέρσας. ὁ δὲ Θερμώδων ποτα-
μὸς ῥέει μεταξὺ Ταναγρης τε καὶ Γλίσαντος.

44 Μετὰ δὲ τὴν [a] ἐπειρώτησιν τῶν χρησμῶν καὶ

[i] ἁρπαγὴν S. [k] Sic mss. οὗτοι τε ἴμεν Ald. [l] τοῦτο om. S. [m] ταύτῃ F. [n] ἥδεσθαι b. [o] περιεζομ. S. [p] ἐσήμηνε S.V. Schæfer. Bekker. [q] εὔκρινα S. εὐρικρινέα P.

43. [a] τάδε μὲν S. Wessel. Supra τῶν Ἐγχελ. S. [b] Sic F. Vulgo Βάκιδί ἐστι. Ἔστι adjectum erat ab his, qui ad consecutionem orationis haud satis adtenderunt, quæ est hujusmodi: τὰ μὲν Βάκιδι πεποιημένα . . . . . ταῦτα μὲν, καὶ ἄλλα Μουσαίῳ (nempe πεποιημένα) ἔχοντα οἶδα etc. Schweigh. ἐστι post μάχην S. ἐστι retinet Bekker. [c] Cf. Schol. Nicand. Ther. 400. [d] πολλῇ S. [e] τούτοισι om. S. Mox Μουσαίου Bekker.

44. [a] ἐπηρ. F.

παραίνεσιν τὴν ἐκ Μαρδονίου, νύξ τε [b] ἐγίνετο, καὶ
2 ἐς φυλακὰς ἐτάσσοντο. Ὡς δὲ πρόσω τῆς νυκτὸς
[c] προελήλατο, καὶ ἡσυχίη ἐδόκεε εἶναι ἀνὰ τὰ στρατόπεδα, καὶ μάλιστα οἱ ἄνθρωποι εἶναι ἐν ὕπνῳ, τηνικαῦτα προσελάσας ἵππῳ πρὸς τὰς φυλακὰς [d] τὰς Ἀθηναίων Ἀλέξανδρος ὁ Ἀμύντεω, στρατηγός τε ἐὼν καὶ βασιλεὺς Μακεδόνων, ἐδίζητο τοῖσι στρατη-
3 γοῖσι ἐς λόγους ἐλθεῖν. τῶν δὲ φυλάκων οἱ μὲν πλεῦνες παρέμενον, οἱ δ' ἔθεον ἐπὶ τοὺς στρατηγούς· ἐλθόντες δὲ ἔλεγον, ὡς ἄνθρωπος [e] ἥκοι ἐπ' ἵππου ἐκ τοῦ στρατοπέδου τοῦ Μήδων, ὃς ἄλλο μὲν οὐδὲν παραγυμνοῖ ἔπος, στρατηγοὺς δὲ ὀνομάζων, ἐθέλειν
45 [f] φησὶ ἐς λόγους ἐλθεῖν. Οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, αὐτίκα [a] εἵποντο ἐς τὰς φυλακάς. ἀπικομένοισι [b] δὲ ἔλεγε Ἀλέξανδρος τάδε· "Ἄνδρες Ἀθηναῖοι, παραθήκην ὑμῖν τὰ ἔπεα τάδε [c] τίθεμαι, ἀπόρρητα ποιεύμενος πρὸς μηδένα λέγειν ὑμέας ἄλλον ἢ Πανσα-
2 "νίην, μή με [d] καὶ διαφθείρητε. [e] οὐ γὰρ ἂν ἔλεγον, "εἰ μὴ μεγάλως ἐκηδόμην συναπάσης τῆς Ἑλλάδος. "αὐτός τε γὰρ Ἕλλην γένος εἰμὶ τὠρχαῖον, καὶ ἀντ' "ἐλευθέρης δεδουλωμένην οὐκ ἂν [f] ἐθέλοιμι ὁρᾶν τὴν
3 "Ἑλλάδα. Λέγω δὲ ὦν, ὅτι Μαρδονίῳ τε καὶ τῇ
"στρατιῇ τὰ σφάγια οὐ δύναται καταθύμια γε- 714
4 "νέσθαι· πάλαι γὰρ ἂν ἐμάχεσθε. νῦν δέ οἱ δέ"δοκται τὰ [g] μὲν σφάγια ἐᾶν χαίρειν, ἅμα ἡμέρῃ δὲ "διαφαυσκούσῃ συμβολὴν ποιέεσθαι. [h] καταρρώ-

Nocte insequenti Alexander Macedo [8, 136.], quæ barbari moliantur, Græcis prodit.

[b] ἐγένετο S. Ald. [c] προσελ. S. qui ἡσυχίη τε. [d] Sic P.S.K.F. τῶν Ἀθ. a. Ald. [e] Sic S.V.F.a.c. ἥκει b. edd. vett. Schæfer. [f] σφίσι b. σφι F.

45. [a] ἕποντο] εἵποντο S.V.P. [b] δὴ S. [c] τίθημι b. τάδε τὰ ἔπεα τίθεμαι S. [d] Sic S.M.P.K.b. καὶ om. edd. vett. F.a.c.d. [e] Sic P. K.S.V.F. Paris. οὐδὲ γὰρ olim. [f] ἕλοιμι S. [g] μὲν om. S. [h] καταρρωδήκεε S.

“ δηκε γὰρ μὴ πλεῦνες [i] συλλεχθῆτε, ὡς ἐγὼ εἰκάζω.
5 “ πρὸς ταῦτα ἑτοιμάζεσθε. ἢν δὲ ἄρα ὑπερβάληται
“ τὴν συμβολὴν Μαρδόνιος, καὶ μὴ ποιῆται, λιπα-
“ ρέετε μένοντες· [k] ὀλίγων γάρ σφι ἡμερέων λείπε-
6 “ ται σιτία. Ἢν δὲ ὑμῖν ὁ πόλεμος ὅδε κατὰ νόον
“ τελευτήσῃ, μνησθῆναί τινα χρὴ [l] καὶ ἐμεῦ ἐλευθε-
“ ρώσιος πέρι, ὃς Ἑλλήνων εἵνεκα [m] οὕτω ἔργον
“ παράβολον ἔργασμαι ὑπὸ προθυμίης, ἐθέλων ὑμῖν
“ δηλῶσαι τὴν διάνοιαν τὴν Μαρδονίου, ἵνα μὴ ἐπι-
“ πέσωσι [n] ὑμῖν οἱ βάρβαροι μὴ προσδεκομένοισί
7 “ κω. εἰμὶ δὲ Ἀλέξανδρος ὁ Μακεδών.” Ὁ μὲν,
ταῦτα εἴπας, [o] ἀπήλαυνε ὀπίσω ἐς τὸ στρατόπεδον
καὶ τὴν ἑωυτοῦ τάξιν.

46 Οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων, ἐλθόντες ἐπὶ τὸ
δεξιὸν κέρας, ἔλεγον Παυσανίῃ τάπερ ἤκουσαν Ἀλεξ-
άνδρου. ὁ δὲ, τούτῳ τῷ λόγῳ καταρρωδήσας τοὺς
2 Πέρσας, ἔλεγε τάδε· “ Ἐπεὶ τοίνυν ἐς ἠῶ ἡ συμ-
“ βολὴ γίνεται, ὑμέας μὲν [a] χρεόν ἐστι τοὺς Ἀθη-
“ ναίους στῆναι κατὰ τοὺς Πέρσας, ἡμέας δὲ κατὰ
“ τοὺς Βοιωτούς [b] τε καὶ τοὺς κατ᾽ ὑμέας τεταγμέ-
3 “ νους Ἑλλήνων, τῶνδε [c] εἵνεκα. ὑμεῖς ἐπίστασθε
“ τοὺς Μήδους καὶ τὴν μάχην αὐτῶν, [d] ἐν Μαραθῶνι
“ μαχεσάμενοι· [e] ἡμεῖς δὲ ἄπειροί τέ [f] εἶμεν καὶ
“ ἀδαέες τούτων τῶν ἀνδρῶν. Σπαρτιητέων γὰρ
“ οὐδεὶς πεπείρηται Μήδων· ἡμεῖς δὲ Βοιωτῶν καὶ

[i] Sic V.M.P.K.F. Paris. συναχθῆτε edd. vett. συλλεγῆτε S. [k] ὀλίγα S. [l] καὶ ἐμὲ F. [m] Sic M.P.K.F. Paris. Wessel. ἔργον οὕτω παρ. S. Schæfer. εἵνεκα τοῦτο τὸ ἔργον οὕτω παράβ. edd. vett. Mox τοῦ Μαρδ. pro τὴν Μαρδ. S. [n] Sic S.V. Vall. Schæfer. ὑμῖν ἐξαίφνης οἱ β. al. [o] ἀπέλαυνεν S.

46. [a] Sic S.K. χρεών vulg. De re cf. Plutarch. Aristid. p. 328 A. [b] τε om. F. [c] Sic F.S. εἵνεκεν al. Bekker. [d] Sic M.P.K.F.b.d. ἐπὶ Μαραθ. a.c. Ald. [e] ἡμεῖς τε F. [f] ἦμεν b. Mox τῶν ἀνδρῶν τουτέων S.

4 " Θεσσαλῶν ἔμπειροί εἰμεν. ἀλλ' ἀναλαβόντας τὰ
" ὅπλα [g] χρεόν ἐστι ἰέναι ὑμέας μὲν ἐς τόδε τὸ κέρας,
5 " ἡμέας δὲ ἐς τὸ εὐώνυμον." Πρὸς δὲ ταῦτα εἶπαν
οἱ Ἀθηναῖοι τάδε· " Καὶ αὐτοῖσι ἡμῖν πάλαι ἀπ'
" ἀρχῆς, ἐπεί τε εἴδομεν κατ' ὑμέας ταςσομένους
" τοὺς Πέρσας, ἐν νόῳ ἐγένετο [h] εἰπεῖν ταῦτα τάπερ
" ὑμεῖς [i] φθάντες προφέρετε· [k] ἀλλὰ γὰρ ἀρρωδέο-
6 " μεν μὴ ὑμῖν οὐκ ἡδέες γένωνται οἱ λόγοι. ἐπεὶ δ'
" ὦν αὐτοὶ ἐμνήσθητε, καὶ ἡδομένοισι [l] ἡμῖν οἱ λόγοι
47 " γεγόνασι, καὶ ἑτοῖμοί εἰμεν ποιέειν ταῦτα." Ὡς
δ' ἤρεσκε ἀμφοτέροισι ταῦτα, ἠώς τε διέφαινε, καὶ
διαλλάσσοντο τὰς [a] τάξις. γνόντες δὲ οἱ Βοιωτοὶ τὸ
2 ποιεύμενον, ἐξαγορεύουσι Μαρδονίῳ. ὁ δ' ἐπεί τε
ἤκουσε, αὐτίκα μετιστάναι καὶ αὐτὸς ἐπειρᾶτο, παρά-
3 γων τοὺς Πέρσας κατὰ τοὺς Λακεδαιμονίους. Ὡς
δὲ ἔμαθε τοῦτο [b] τοιοῦτο [c] γινόμενον ὁ Παυσανίης,
γνοὺς ὅτι οὐ λανθάνει, ὀπίσω ἦγε τοὺς Σπαρτιήτας 715
ἐπὶ τὸ δεξιὸν κέρας· [d] ὡς δ' αὔτως καὶ ὁ Μαρδόνιος
ἐπὶ [e] τοῦ εὐωνύμου.

Græcorum acies mutata sic, ut Persis Athenienses, Lacedæmonii auxiliis Mardonii Græcis opponantur [c. 31.]: sed mox prior ordo restitutus.

48 Ἐπεὶ δὲ κατέστησαν ἐς τὰς ἀρχαίας τάξις, πέμ-
ψας ὁ Μαρδόνιος [a] κήρυκα ἐς τοὺς Σπαρτιήτας, ἔλεγε
2 τάδε· " Ὦ Λακεδαιμόνιοι, ὑμεῖς δὴ λέγεσθε εἶναι
" ἄνδρες ἄριστοι ὑπὸ τῶν τῇδε ἀνθρώπων, ἐκπα-
" γλεομένων ὡς οὔτε φεύγετε ἐκ πολέμου, οὔτε τάξιν
" ἐκλείπετε, μένοντές τε ἢ ἀπόλλυτε τοὺς ἐναντίους,
3 " ἢ αὐτοὶ ἀπόλλυσθε. τῶν δ' ἄρ' ἦν οὐδὲν ἀληθές.

Mardonius Spartanis ignaviam exprobrat.

[g] Sic S. Alii χρεών. [h] εἶπαι] εἰπεῖν F.S. [i] φθάσαντες b. [k] Sic S. Schæfer. γὰρ om. al. Mox γίνονται S. [l] Sic P.S. Vall. F. Paris. Wessel. Olim ὑμῖν.

47. [a] τάξεις F. [b] τοιοῦτον S. [c] Sic F. γενόμενον S. vulg. [d] Ὡς δὲ καὶ αὐτὸς ὁ Μαρδ. S. [e] τὸ εὐώνυμον S.

48. [a] κήρυκας F. ὁ ante Μαρδόνιος om. S. Mox ἐκπλαγεομένων S. cf. VII. 181.

"πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας, ἐς χειρῶν τε νόμον
"ἀπικέσθαι, καὶ δὴ φεύγοντας καὶ [b] στάσιν ἐκλεί-
"ποντας ὑμέας εἴδομεν, ἐν Ἀθηναίοισί τε τὴν [c] πρό-
"πειραν ποιευμένους, αὐτούς τε [d] ἀντία δούλων τῶν
4 "ἡμετέρων τασσομένους. [e] ταῦτα οὐδαμῶς ἀνδρῶν
"ἀγαθῶν ἔργα· ἀλλὰ πλεῖστον δὴ ἐν ὑμῖν ἐψεύσθη-
"μεν. [f] προσδεκόμενοι γὰρ κατὰ κλέος, ὡς δὴ πέμ-
"ψετε ἐς ἡμέας κήρυκα προκαλεύμενοι, καὶ βουλό-
"μενοι [g] μούνοισι Πέρσῃσι μάχεσθαι· ἄρτιοι ἐόντες
"ποιέειν ταῦτα, οὐδὲν [h] τοιοῦτο λέγοντας ὑμέας εὕ-
5 "ρομεν, ἀλλὰ πτώσσοντας μᾶλλον. Νῦν ὦν ἐπειδὴ
"οὐκ ὑμεῖς ἤρξατε τούτου τοῦ λόγου, ἀλλ' ἡμεῖς
"[i] ἄρχομεν, τί δὴ οὐ πρὸ μὲν τῶν Ἑλλήνων ὑμεῖς,
"ἐπεί τε δεδόξωσθε εἶναι ἄριστοι, πρὸ δὲ τῶν βαρ-
"βάρων ἡμεῖς, ἴσοι πρὸς ἴσους ἀριθμὸν [k] μαχεσό-
"μεθα; καὶ ἢν μὲν [l] δοκέῃ καὶ τοὺς ἄλλους μάχε-
6 "σθαι, οἱ δ' ὦν μετέπειτα μαχέσθων ὕστεροι. εἰ δὲ
"καὶ μὴ [m] δοκέοι, ἀλλ' ἡμέας μούνους ἀποχρᾶν, ἡμεῖς
"δὲ διαμαχεσόμεθα· ὁκότεροι δ' ἂν ἡμέων νικήσωσι,
49 "τούτους τῷ ἅπαντι στρατοπέδῳ νικᾶν." Ὁ μέν,
ταῦτα εἴπας τε καὶ ἐπισχὼν χρόνον, ὥς [a] οἱ οὐδεὶς
οὐδὲν [b] ὑπεκρίνετο, ἀπαλλάσσετο ὀπίσω· ἀπελθὼν δὲ
2 ἐσήμαινε Μαρδονίῳ τὰ καταλαβόντα. Ὁ δέ, περι-

Proluditur pugnæ Platæensi. Immissus in Græcos equitatus

[b] τάξιν S.V. Wessel. Bekker. cf. cap. 21. Supra ὑμέας S. [c] πεῖραν S. [d] ἀντὶ S.V. [e] Sic S.M.K.P.F. Paris. ταῦτα δὲ οὐδ. al. [f] προσδοκόμενοι K. προσδοκώμενοι F. [g] Sic M.P.K.S.F. Paris. μοῦνοι al. [h] τοιοῦτον εὕρομεν λέγοντας S. qui mox πτώσοντας. [i] ἄρξομεν τὸ δὴ ὦν πρὸ S. [k] Sic S. Wessel. ἐμαχεσάμεθα F.a.c. al. probante Schweighæusero, et vertente *cur non pugnassemus?* Plenam autem distinctionem post ἄρχομεν ponit Schweighæuserus. ἐμαχεσάμεθα Bekker. [l] Sic S.V. Paris. Ald. δοκῇ P.K.F. δοκέοι M. Gronov. Mox ὕστερον S. [m] Sic M.P.K.S.V.F. Paris. Ald. δοκέῃ Steph. ἢν—δοκέῃ Schæfer.

49. [a] οἱ om. F. [b] ὑπεκρίνετο S.V. Schæfer. ὑπεκρίνατο Wessel. al. Mox ἐσήμηνε S.

χαρὴς γενόμενος καὶ ἐπαρθεὶς ψυχρῇ νίκῃ, ἐπῆκε τὴν
3 ἵππον ἐπὶ τοὺς Ἕλληνας. ὡς δὲ ἐπήλασαν οἱ ἱππό-
ται, [c] ἐσινέοντο πᾶσαν τὴν στρατιὴν τὴν Ἑλληνικὴν,
ἐσακοντίζοντές τε καὶ [d] τοξεύοντες, [e] ὥστε ἱπποτοξό-
ται τε ἐόντες, καὶ προσφέρεσθαι [f] ἄποροι· τήν τε
κρήνην τὴν [g] Γαργαφίην, ἀπ' ἧς ὑδρεύετο πᾶν τὸ 716
στράτευμα τὸ Ἑλληνικὸν, συνετάραξαν καὶ συνέ-
4 χωσαν. ἦσαν μὲν ὦν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι
[h] τεταγμένοι μοῦνοι· τοῖσι δὲ ἄλλοισι Ἕλλησι ἡ μὲν
κρήνη πρόσω [i] ἐγίνετο, ὡς ἕκαστοι ἔτυχον τεταγμένοι,
5 ὁ δὲ Ἀσωπὸς ἀγχοῦ. ἐρυκόμενοι δὲ ἀπὸ τοῦ Ἀσω-
ποῦ, οὕτω δὴ ἐπὶ τὴν κρήνην [k] ἐφοίτεον· ἀπὸ τοῦ
ποταμοῦ γάρ σφι οὐκ ἐξῆν [l] ὕδωρ φορέεσθαι, ὑπό τε
τῶν ἱππέων καὶ τοξευμάτων.

barbarorum, multum nocet exercitui, fontemque Gargaphiam [c. 25.] obstruit.

50 Τούτου δὲ τοιούτου γινομένου, οἱ τῶν Ἑλλήνων
στρατηγοὶ, ἅτε τοῦ τε ὕδατος στερηθείσης τῆς στρα-
τιῆς, καὶ ὑπὸ τῆς ἵππου ταρασσομένης, συνελέχθησαν
περὶ αὐτῶν τε τούτων καὶ ἄλλων, ἐλθόντες παρὰ
2 [a] Πανσανίην ἐπὶ τὸ δεξιὸν κέρας. [b] ἄλλα γὰρ, τούτων
τοιούτων ἐόντων, μᾶλλόν σφεας ἐπελύπεε. οὔτε γὰρ
σιτία εἶχον ἔτι, οἵ τέ σφεων [c] ὀπέωνες, ἀποπεμφθέν-
τες ἐς Πελοπόννησον ὡς ἐπισιτιεύμενοι, [d] ἀποκεκλέ-

Itaque Græcis et aqua et commeatu [c. 39.] exclusis,

[c] Sic S. ἐσίνοντο Bekker. vulg. [d] ἐστοξεύοντες S.V. Schæfer. Bekker. Supra τε om. S. [e] ὥστε καὶ ἱπποτόξοται ἐόντες S.V. ὥσγε pro ὥστε b. ὥστε ἱπποτ. ἐόντες F. [f] εὔποροι Ald. [g] Γαρσαφίην S. [h] Sic S.P.F. μοῦνοι τετ. al. [i] Sic F.a.b.c. ἐγένετο al. Mox ἀπὸ om. S.P. ante τοῦ Ἀσωποῦ. [k] ἐφοίτων S.K. ἐφοίτεων F. [l] ὕδωρ om. S.

50. [a] Πανσανίην ἐπὶ om. edd. ante Gronov. sed habent mss. In pr. γενομένου S. [b] Omnes ἀλλά. Potuerat ἀλλὰ γὰρ καὶ ἄλλα scribere Herodotus: immo videndum ne teneri potuerit hoc ipsum per se ἀλλὰ γὰρ scribendo mox ἐπελύπεε cum F.a.c. pro vulg. ἐλύπεε. Schweigh. ἄλλα—ἐλύπεεν S. ἄλλα conjecerant Abresch. Valckenær. alii. ἐλύπεε retinet Bekker. [c] ὀπαῶνες S. ὀπάονες Schæfer. qui et mox ὀπάονας. [d] Sic S.V. Ald. ἀπεκεκλέατο M.P.K.F.a. Mox ἀπὸ τῆς F.

ατο ὑπὸ τῆς ἵππου, οὐ δυνάμενοι ἀπικέσθαι ἐς τὸ
51 1 στρατόπεδον. Βουλευομένοισι δὲ τοῖσι στρατηγοῖσι
ἔδοξε, ἢν ὑπερβάλωνται [a] κείνην τὴν ἡμέρην οἱ Πέρ-
2 σαι συμβολὴν [b] μὴ ποιεύμενοι, ἐς τὴν νῆσον ἰέναι. ἡ
δέ ἐστι ἀπὸ τοῦ Ἀσωποῦ καὶ τῆς κρήνης τῆς Γαργα-
φίης, [c] ἐπ' ᾗ ἐστρατοπεδεύοντο τότε, δέκα σταδίους
[d] ἀπέχουσα, πρὸ τῆς Πλαταιέων πόλιος. νῆσος δὲ
οὕτω ἂν εἴη ἐν ἠπείρῳ· σχιζόμενος ὁ ποταμὸς ἄνωθεν
ἐκ τοῦ Κιθαιρῶνος ῥέει κάτω ἐς τὸ πεδίον, [e] διέχων
ἀπ' ἀλλήλων τὰ ῥέεθρα ὅσονπερ τρία στάδια· καὶ
ἔπειτα συμμίσγει [f] ἐς τὠυτό· οὔνομα δέ οἱ Ὠερόη.
3 θυγατέρα δὲ ταύτην λέγουσι εἶναι Ἀσωποῦ οἱ ἐπι-
χώριοι. Ἐς τοῦτον δὴ τὸν χῶρον ἐβουλεύσαντο
[g] μεταναστῆναι, ἵνα καὶ ὕδατι ἔχωσι χρᾶσθαι ἀφθόνῳ,
καὶ οἱ ἱππέες σφέας μὴ σινοίατο, ὥσπερ κατ' ἰθὺ
4 ἐόντων. μετακινέεσθαί τε ἐδόκεε τότε ἐπεὰν τῆς νυ-
κτὸς ᾖ δευτέρη φυλακὴ, ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι
ἐξορμεωμένους, καί σφεας ἑπόμενοι ταράσσοιεν οἱ
5 ἱππόται. ἀπικομένων δὲ ἐς τὸν χῶρον τοῦτον τὸν δὴ
ἡ Ἀσωπὶς Ὠερόη [h] περισχίζεται ῥέουσα ἐκ τοῦ Κι-
θαιρῶνος, ὑπὸ τὴν νύκτα ταύτην ἐδόκεε τοὺς ἡμίσεας
ἀποστέλλειν τοῦ στρατοπέδου πρὸς τὸν Κιθαιρῶνα,
ὡς ἀναλάβοιεν [i] τοὺς ὀπέωνας τοὺς ἐπὶ τὰ σιτία
οἰχομένους· ἦσαν γὰρ ἐν τῷ Κιθαιρῶνι ἀπολελαμ-
μένοι.

Pausaniæ castra sub noctem proximam mutare placet. Oëroë.

52 Ταῦτα βουλευσάμενοι, κείνην μὲν τὴν ἡμέρην πᾶ-

51. [a] ἐκείνην F.S. [b] Sic S.V. Vall. Schæfer. μὴ om. Wessel. al. [c] Sic S.V. Schæfer. ἐπ' ἣν K.F. ἐς τὴν Wessel. al. Γαρσαφίης S. [d] ἔχουσα S. qui mox νῆσος δὲ οὕτω δ' ἄν. [e] Thomas M. in Διέχει. [f] ἐς τοῦτο S. [g] μεταστῆναι S.V. Mox ἐξορμωμένους S. ἐξορμεομένους Ald. [h] σχίζεται S. [i] Sic F.a. τοὺς sec. om. vulgo. τοὺς ὀπαῶνας S.

σαν, [a]προσκειμένης τῆς ἵππου, [b]εἶχον πόνον ἄτρυτον.
2 ὡς δὲ ἥ τε ἡμέρη ἔληγε, καὶ οἱ ἱππέες ἐπέπαυντο,
νυκτὸς δὴ [c] γενομένης, καὶ [d] ἐούσης τῆς ὥρης [e] ἐς τὴν
συνέκειτό σφι ἀπαλλάσσεσθαι, ἐνθαῦτα ἀερθέντες οἱ
πολλοὶ [f] ἀπαλλάσσοντο· ἐς μὲν τὸν χῶρον [g] ἐς τὸν
συνέκειτο, οὐκ ἐν νόῳ ἔχοντες· οἱ δὲ, [h] ὡς ἐκινήθησαν, 717
ἔφευγον ἄσμενοι τὴν ἵππον πρὸς τὴν Πλαταιέων πό-
3 λιν· φεύγοντες δὲ, ἀπικνέονται ἐπὶ τὸ [i] Ἡραῖον. τὸ
δὲ πρὸ τῆς πόλιός ἐστι τῆς Πλαταιέων, εἴκοσι στα-
δίους ἀπὸ τῆς κρήνης τῆς Γαργαφίης ἀπέχον. ἀπι-
53 κόμενοι δὲ, ἔθεντο πρὸ τοῦ ἱροῦ τὰ ὅπλα. Καὶ οἱ μὲν
περὶ τὸ [a] Ἡραῖον ἐστρατοπεδεύοντο· Παυσανίης δὲ,
ὁρέων σφέας ἀπαλλασσομένους ἐκ τοῦ στρατοπέδου,
[b]παρήγγελλε καὶ τοῖσι Λακεδαιμονίοισι, ἀναλαβόντας
τὰ ὅπλα ἰέναι κατὰ τοὺς ἄλλους τοὺς προϊόντας· νο-
μίσας αὐτοὺς ἐς τὸν χῶρον ἰέναι, ἐς τὸν συνεθήκαντο.
2 Ἐνθαῦτα οἱ μὲν ἄλλοι ἄρτιοι ἦσαν τῶν [c] ταξιαρχέων
πείθεσθαι Παυσανίῃ· [d] Ἀμομφάρετος δὲ ὁ Πολιάδεω,
[e] λοχηγέων τοῦ [f] Πιτανητέων λόχου, “ οὐκ, ἔφη, τοὺς
“ ξείνους φεύξεσθαι, οὐδὲ ἑκὼν εἶναι αἰσχυνέειν τὴν
“ Σπάρτην·” [g] ἐθώμαζέ τε ὁρέων τὸ ποιεύμενον, ἅτε
3 οὐ παραγενόμενος τῷ προτέρῳ λόγῳ. ὁ δὲ Παυ-
σανίης τε καὶ ὁ Εὐρυάναξ δεινὸν μὲν ἐποιεῦντο τὸ
μὴ πείθεσθαι ἐκεῖνον σφίσι, δεινότερον δὲ ἔτι, κείνου

Ibi dum media acies, inscio invitoque Pausania, ipsas Platæas petit, dextra (Lacedæmonii cum Tegeatis) et sinistra (Athenienses) per Amomphareti Pitanatarum præfecti pervicaciam, qui barbaros fugere ignominiosum sibi duceret,

52. [a] προκειμ. F.S. Supra ἐκείνην S. [b] ἔχον] εἶχον S.V.P.K.F. [c] Sic b. γινομένης S. Bekker. vulg. [d] θεούσης P.K.F. [e] ἐς τὴν δὴ S.V. Wessel. Schæfer. [f] ἀπαλλάσσοντο om. b. [g] ἐς ὃν K.P.F. [h] ἐς ἐκιν. F. [i] Sic S. Steph. Ἥραιον al. Mox τὸ δὴ πρὸ S. et post Γαρσαφίης.

53. [a] ἱρὸν S. Vall. [b] Sic F.S. παρήγγελε vulg. [c] Sic S.P.V. Schæfer. ταξιάρχων F.a. al. ταξιηρχέων edd. vett. [d] Ἀμομφάρετος δὲ om. F. [e] Sic M.S.V.P.K.F. λοχηγετέων Ald. [f] Πιτανήτεω Koen. Gregor. Dial. Ion. 6. et sic ed. Bekker. [g] Sic F.S. ἐθωύμαζε al.

[h] ταῦτα νενωμένου, ἀπολείπειν τὸν λόχον τὸν Πιτα-
νήτην, μή, ἢν ἀπολίπωσι ποιεῦντες τὰ συνεθήκαντο
τοῖσι ἄλλοισι Ἕλλησι, ἀπόληται ὑπολειφθεὶς αὐτός
4 τε Ἀμομφάρετος καὶ οἱ μετ' αὐτοῦ. ταῦτα λογιζό-
μενοι, ἀτρέμας εἶχον τὸ στρατόπεδον τὸ Λακωνικόν,
καὶ [i] ἐπειρῶντο πείθοντές μιν ὡς οὐ [k] χρεὸν εἴη ταῦτα 711
ποιέειν.

54 Καὶ οἱ μὲν [a] παρηγόρεον Ἀμομφάρετον, μοῦνον
Λακεδαιμονίων τε καὶ Τεγεητέων λελειμμένον. Ἀθη-
ναῖοι δὲ ἐποίευν τοιάδε. εἶχον ἀτρέμας σφέας αὐτοὺς
ἵνα ἐτάχθησαν, ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρο-
νήματα, ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων.
2 ὡς δὲ ἐκινήθη τὸ στρατόπεδον, ἔπεμπον σφέων ἱπ-
πέα, ὀψόμενόν τε εἰ πορεύεσθαι ἐπιχειρέοιεν οἱ Σπαρ-
τιῆται, εἴτε καὶ τὸ παράπαν μὴ διανοεῦνται ἀπαλ-
λάσσεσθαι· ἐπείρεσθαί τε Παυσανίην τὸ χρεὸν εἴη
ποιέειν.

55 Ὡς δὲ ἀπίκετο ὁ κῆρυξ ἐς τοὺς Λακεδαι-
μονίους, ὥρα τέ σφεας κατὰ χώρην τεταγμένους, καὶ
2 ἐς νείκεα ἀπιγμένους αὐτῶν τοὺς πρώτους. ὡς γὰρ
δὴ [a] παρηγορέοντο τὸν Ἀμομφάρετον ὅ τε Εὐρυ-
άναξ [b] καὶ ὁ Παυσανίης μὴ κινδυνεύειν μένοντας
[c] μούνους Λακεδαιμονίων, [d] οὔ κως ἔπειθον· ἐς ὃ ἐς
νείκεά [e] τε συμπεσόντες [f] ἀπικέατο, καὶ ὁ κῆρυξ τῶν
3 Ἀθηναίων παρίστατό σφι ἀπιγμένος. νεικέων δὲ ὁ
Ἀμομφάρετος, λαμβάνει πέτρον ἀμφοτέρῃσι τῇσι
χερσὶ, καὶ τιθεὶς πρὸ ποδῶν [g] τῶν Παυσανίεω, ταύτῃ

[h] Sic S. (qui et ἐκείνου) Wessel. ταῦτ' ἀναινομένου F.a.b.c. al.
[i] ἐπειρώτων S. [k] Sic S. Vulgo χρεών.

54. [a] παρηγορέοντο Bekker.

55. [a] Sic P.K.f.F. cf. V. 104. VII. 13. παρηγόρεον S. Wessel. al.
[b] καὶ om. F. [c] Sic f. Schæfer. et probavit Wesseling. "Amomphare-
tum ipsiusque cohortem videlicet, ut c. "52." μ. Λακεδαιμονίους S. al.
[d] οὔκουν f. [e] τε om. f. [f] ἀπίκατο S.V.F.f. [g] τοῦ Π. f.

τῇ ψήφῳ ψηφίζεσθαι, ἔφη, μὴ φεύγειν τοὺς ξείνους.
4 [h] ξείνους λέγων τοὺς βαρβάρους. ὁ δὲ, μαινόμενον
καὶ [i] οὐ φρενήρεα καλέων ἐκεῖνον, πρός τε [k] τὸν Ἀθη-
ναίων κήρυκα ἐπειρωτῶντα τὰ ἐντεταλμένα, λέγειν
ὁ Παυσανίης ἐκέλευε τὰ παρεόντα σφι πρήγματα,
ἐχρήϊζέ τε τῶν Ἀθηναίων προσχωρῆσαί [l] τε πρὸς
ἑωυτοὺς, καὶ ποιέειν περὶ τῆς ἀπόδου τάπερ ἂν καὶ
56 σφεῖς. Καὶ ὁ μὲν ἀπαλλάσσετο ἐς τοὺς Ἀθηναίους.
τοὺς δὲ ἐπεὶ ἀνακρινομένους πρὸς ἑωυτοὺς ἠὼς κατε-
λάμβανε, ἐν τούτῳ τῷ χρόνῳ κατήμενος ὁ Παυσα-
νίης, οὐ δοκέων τὸν Ἀμομφάρετον λείψεσθαι τῶν
ἄλλων Λακεδαιμονίων [a] ἀποστειχόντων, (τὰ δὴ καὶ
ἐγένετο,) σημήνας ἀπῆγε διὰ τῶν [b] κολωνῶν τοὺς
2 λοιποὺς πάντας· εἵποντο δὲ καὶ Τεγεῆται. Ἀθη-
ναῖοι δὲ ταχθέντες [c] ἤϊσαν τὰ ἔμπαλιν ἢ Λακεδαι-
μόνιοι. οἱ μὲν γὰρ τῶν τε ὄχθων ἀντείχοντο καὶ τῆς
ὑπωρείης τοῦ Κιθαιρῶνος, φοβεόμενοι τὴν ἵππον·
57 Ἀθηναῖοι δὲ, κάτω [d] τραφθέντες ἐς τὸ πεδίον.
Ἀμομφάρετος δὲ, ἀρχήν τε οὐδαμὰ δοκέων Παυσα-
νίην τολμήσειν σφέας ἀπολιπεῖν, περιείχετο αὐτοῦ
[a] μένοντας μὴ ἐκλιπεῖν τὴν τάξιν· προτερεόντων δὲ
τῶν σὺν Παυσανίῃ, [b] καταδόξας αὐτοὺς [c] ἰθείῃ τέχνῃ 719
ἀπολιπεῖν αὐτὸν, ἀναλαβόντα [d] τὸν λόχον τὰ ὅπλα
2 [e] ἦγε βάδην πρὸς τὸ [f] ἄλλο στῖφος. τὸ δὲ, ἀπελθὸν
ὅσον τε [g] δέκα στάδια, ἀνέμενε τὸν Ἀμομφαρέτου

ad diluculum usque retinentur. Tum et hi versus Platæas movent: Lacedæmonii quidem cum Tegeatis per calles Cithæronis ad fluvium Moloënta, Athenienses in campum Cithæroni subjectum.

[h] Sic S. Wessel. ξείνους om. al. [i] ὡς φρεν. P. [k] τῶν Ἀθ. κ. S. [l] τε om. S.V. Supra ἔχρηζε S. Ald.

56. [a] ἀποστιχόντων S. voc. om. K. Mox καὶ om. S. [b] κωλῶν S. [c] ἦσαν F. [d] τραφέντες S. στραφθέντας F. cf. 59. De asperioribus aoristorum formis vid. Eustath. Il. p. 519, 41=393, 29.

57. [a] μένοντος b. [b] καταδόξαντας S. κάρτα δόξας b. [c] θείῃ S. [d] Sic M.V.S.P.K.F. Vall. τὸν λόχον om. Ald. al. [e] ἄγειν b. [f] ἄλλο om. S.V. στίφος S. [g] ἄλλα στ. K.

λόχον, περὶ ποταμὸν [h] Μολόεντα ἱδρυμένον [i] Ἀργιό-
πιόν τε χῶρον καλεόμενον, τῇ καὶ Δήμητρος Ἐλευ-
3 σινίης ἱρὸν ἧσται. ἀνέμενε δὲ τοῦδε εἵνεκα, ἵνα, ἢν
μὴ ἀπολίπῃ τὸν χῶρον [k] ἐν τῷ ἐτετάχατο ὁ Ἀμομ-
φάρετός τε καὶ ὁ λόχος, ἀλλ' αὐτοῦ μένωσι, βοηθέοι
4 ὀπίσω παρ' ἐκείνους. Καὶ οἵ τε ἀμφὶ τὸν Ἀμομ-
φάρετον [l] παρεγίνοντό σφι, καὶ ἡ ἵππος ἡ τῶν βαρ-
5 βάρων προσέκειτο πᾶσα. οἱ γὰρ ἱππόται ἐποίευν
οἷον καὶ ἐώθεσαν ποιέειν αἰεί· ἰδόντες δὲ τὸν χῶρον [m] κεινὸν [n] ἐν τῷ ἐτετάχατο οἱ Ἕλληνες τῇσι προτέρῃσι ἡμέρῃσι, ἤλαυνον τοὺς ἵππους αἰεὶ τὸ πρόσω· καὶ ἅμα καταλαβόντες, προσεκέατό σφι.

58 Jam Mardonius, hostem mire contemnens, tota acie dimicandum censet.

Μαρδόνιος δέ, ὡς ἐπύθετο τοὺς Ἕλληνας ἀποιχομένους ὑπὸ νύκτα, εἶδέ [a] τε τὸν χῶρον ἐρῆμον, καλέσας τὸν [b] Ληρισσαῖον Θώρηκα, καὶ τοὺς ἀδελφεοὺς
2 αὐτοῦ Εὐρύπυλον καὶ [c] Θρασυδήϊον, ἔλεγε· "Ὦ
"παῖδες Ἀλεύεω, ἔτι [d] τί λέξετε, τάδε [e] ὁρέοντες "ἐρῆμα; ὑμεῖς γὰρ οἱ πλησιόχωροι [f] ἐλέγετε Λακε-"δαιμονίους [g] οὐ φεύγειν ἐκ μάχης, ἀλλὰ ἄνδρας "εἶναι τὰ πολέμια πρώτους· τοὺς πρότερόν τε με-"τισταμένους ἐκ τῆς τάξιος εἴδετε, νῦν τε ὑπὸ τὴν "παροιχομένην νύκτα καὶ οἱ πάντες ὁρέομεν δια-
3 "δράντας. διέδεξάν τε, ἐπεί σφεας ἔδεε [h] πρὸς τοὺς
"ἀψευδέως ἀρίστους ἀνθρώπων μάχῃ διακριθῆναι, "ὅτι οὐδένες ἄρα ἐόντες, ἐν οὐδαμοῖσι ἐοῦσι Ἕλλησι

[h] Μυόεντα S. Μολέοντα K. [i] Ἀργίοπτόν τε b. Mox Ἐλευσίνης S. qui infra ἴσται. [k] ἐν ᾧ P.K.F.a. Supra εἵνεκεν S. [l] Sic S.V.P.F.a. παρεγένοντο vulg. Mox εἰώθεσαν S. [m] ἐκεῖνον K. Ald. [n] Sic S.V. P.K. ἐν ᾧ F. et edd. vett.

58. [a] τε om. S. [b] Sic S.V. Vall. Ληρισαῖον F. edd. vett. [c] Sic M.P. Wessel. Θρασύδηον K. Θρασύδηιον F.a. Θρασυδιαῖον S. Vall. Θρασύδιον Ald. Vall. Θρασύδηλον d. [d] τι om. F. [e] ὁρέωντες F. qui mox ὁρέωμεν. Deinde διαδράντες F. λέξετε ὁρῶντες S. qui mox ὁρῶμεν. [f] Sic M.P.V.S.K. λέγετε Ald. A.B.F. [g] ἐκφεύγειν S. [h] πρὸς τὸ S.

4 " ἐναπεδεικνύατο. Καὶ ὑμῖν μὲν, ἐοῦσι Περσέων
" ἀπείροισι, πολλὴ [i] ἔκ γε ἐμεῦ ἐγίνετο συγγνώμη,
" ἐπαινεόντων τούτους, τοῖσί τι καὶ [k] συνηδέατε·
" Ἀρταβάζου δὲ [l] θῶμα καὶ μᾶλλον ἐποιεύμην, τὸ
" [m] καὶ καταρρωδῆσαι Λακεδαιμονίους, καταρρωδή-
" σαντά τε ἀποδέξασθαι γνώμην δειλοτάτην, ὡς
" [n] χρεὸν εἴη ἀναζεύξαντας τὸ στρατόπεδον ἰέναι ἐς
" τὸ Θηβαίων ἄστυ πολιορκησομένους· τὴν ἔτι
5 " πρὸς ἐμεῦ βασιλεὺς πεύσεται. Καὶ τούτων μὲν
" ἑτέρωθι ἔσται λόγος· νῦν δὲ ἐκείνοισι ταῦτα ποι-
" εῦσι οὐκ ἐπιτρεπτέα ἐστὶ, ἀλλὰ διωκτέοι εἰσὶ, ἐς ὃ 720
" καταλαμφθέντες δώσουσι ἡμῖν τῶν δὴ [o] ἐποίησαν
59 " Πέρσας πάντων δίκας." Ταῦτα εἴπας, ἦγε τοὺς
Πέρσας δρόμῳ, διαβάντας [a] τὸν Ἀσωπὸν, κατὰ
στίβον τῶν Ἑλλήνων, ὡς δὴ ἀποδιδρησκόντων·
ἐπεῖχέ τε ἐπὶ Λακεδαιμονίους τε καὶ Τεγεήτας μού-
νους· Ἀθηναίους γὰρ τραπομένους ἐς τὸ πεδίον
2 ὑπὸ τῶν ὄχθων οὐ κατώρα. Πέρσας δὲ ὁρέοντες
ὡρμημένους διώκειν τοὺς Ἕλληνας οἱ λοιποὶ τῶν
βαρβαρικῶν τελέων ἄρχοντες, [b] αὐτίκα πάντες ἦραν
τὰ σημήϊα, καὶ ἐδίωκον ὡς ποδῶν [c] ἕκαστος εἶ-
3 χον, οὔτε κόσμῳ οὐδενὶ κοσμηθέντες, οὔτε τάξι. καὶ
οὗτοι μὲν βοῇ τε καὶ ὁμίλῳ ἐπήϊσαν, ὡς [d] ἀναρπασό-
μενοι τοὺς Ἕλληνας.

Incipit pugna ad Plataeas [mense Septembri a. 479.]. Barbarorum omnis exercitus ad Graecos adoriendos Asopum transit.

60 Παυσανίης δὲ, ὡς προσέκειτο ἡ ἵππος, πέμψας
πρὸς τοὺς Ἀθηναίους [a] ἱππέα, λέγει τάδε· " Ἄνδρες

Lacedaemonii, ab hoste pressi,

[i] ἔκ τε S. [k] συνηδέαται S. vulg. συνηιδέαται F. συνῃδέαται B. [l] Sic F. Vulgo θώῦμα cum S. [m] καὶ om. S. [n] Sic S. χρεὼν vulg. [o] Sic M.P.K.S.F. Paris. ἐποιήσαντο Ald.

59. [a] Sic P.K.V.S.F. Paris. τὸν vulg. om. [b] αὐτίκα πάντες om. S. Supra ὁρῶντες S. [c] ἕκαστοι A.B.F. cf. I. 169. II. 53. Mox ἧκον S. pro εἶχον. Tum τάξει S. [d] ἁρπασόμενοι V.S. cf. VIII. 28.

60. [a] ἄνδρα b.

Athenienses advocant.

" 'Αθηναῖοι, ἀγῶνος μεγίστου προκειμένου, ἐλευθέρην
" εἶναι ἢ δεδουλωμένην τὴν Ἑλλάδα, προδεδόμεθα
" ὑπὸ τῶν συμμάχων, ἡμεῖς τε οἱ Λακεδαιμόνιοι καὶ
" ὑμεῖς οἱ 'Αθηναῖοι, ὑπὸ τὴν παροιχομένην νύκτα
2 " διαδράντων. νῦν ὦν δέδοκται τὸ ἐνθεῦτεν [b] τὸ ποι-
" ητέον [c] ἡμῖν· ἀμυνομένους γὰρ τῇ δυνάμεθα ἄριστα
3 " περιστέλλειν ἀλλήλους. εἰ μέν νυν ἐς ὑμέας ὥρμησε
" ἀρχὴν ἡ ἵππος, χρῆν δὴ ἡμέας τε, καὶ τοὺς [d] μετ'
" ἡμέων τὴν Ἑλλάδα οὐ προδιδόντας Τεγεήτας, βοη-
" θέειν ὑμῖν· νῦν δὲ, ἐς ἡμέας γὰρ [e] ἅπασα κεχώρηκε,
" δίκαιοί ἐστε ὑμεῖς πρὸς τὴν πιεζομένην μάλιστα
4 " τῶν μοιρέων ἀμυνέοντες ἰέναι. Εἰ δ' ἄρα αὐτοὺς
" ὑμέας καταλελάβηκε ἀδύνατόν τι βοηθέειν, ὑμεῖς δ'
" ἡμῖν τοὺς τοξότας [f] ἀποπέμψαντες χάριν θέσθε.
" συνοίδαμεν δὲ ὑμῖν ὑπὸ τὸν παρεόντα τόνδε πόλε-
" μον ἐοῦσι πολλὸν προθυμοτάτοισι, ὥστε καὶ ταῦτα
" ἐσακούειν." Ταῦτα οἱ 'Αθηναῖοι ὡς ἐπύθοντο,

61

Qui dum in eo sunt, ut illis opem ferant, cum auxiliis barbarorum Græcis confligere coguntur. Lacedæmoniorum, quod nondum litassent, pugna abstinentium multi cæsi.

ὡρμέατο [a] βοηθέειν, καὶ τὰ μάλιστα ἐπαμύνειν. καί
σφι ἤδη [b] στείχουσι ἐπιτίθενται οἱ ἀντιταχθέντες
Ἑλλήνων τῶν μετὰ βασιλέος γενομένων, [c] ὥστε
μηκέτι δύνασθαι βοηθῆσαι· τὸ γὰρ [d] προσκείμενόν
2 σφεας ἐλύπεε. Οὕτω δὴ μουνωθέντες Λακεδαιμόνιοι
καὶ Τεγεῆται, (ἐόντες σὺν ψιλοῖσι ἀριθμὸν οἱ μὲν
πεντακισμύριοι, Τεγεῆται δὲ, τρισχίλιοι· οὗτοι γὰρ
οὐδαμὰ [e] ἀπεσχίζοντο ἀπὸ Λακεδαιμονίων·) ἐσφα-
γιάζοντο, ὡς συμβαλέοντες Μαρδονίῳ καὶ τῇ στρατιῇ
3 τῇ παρεούσῃ. καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια

[b] τὸ om. S. [c] ὑμῖν F. Mox χρῆν δὲ S. [d] Sic S.P.K.V.F. Paris. μετ' ἡμέας Ald. al. [e] πᾶσα S. qui supra ὑμέας. [f] ἀποπέμψαντες, ὑμῶν χάριν θέσθε b. θέσθαι (ε) F.

61. [a] βοηθεῖν F. [b] στίχουσι F. [c] ὥστε καὶ S. [d] Sic S.V.F. Paris. cf. cap. 40. 57. προκείμ. Ald. al. [e] σχίζοντο Steph. marg.

χρηστὰ, [f] ἔπιπτόν τε αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολ-
4 λοὶ, καὶ πολλῷ πλεῦνες ἐτρωματίζοντο. φράξαντες
γὰρ τὰ γέρρα οἱ Πέρσαι, ἀπίεσαν [g] τῶν τοξευμάτων 721
πολλὰ ἀφειδέως οὕτω, ὥστε πιεζομένων τῶν Σπαρ-
τιητέων, καὶ τῶν σφαγίων [h] οὐ γινομένων, ἀποβλέ-
ψαντα τὸν Παυσανίην πρὸς τὸ Ἡραῖον τὸ Πλαται-
έων, ἐπικαλέσασθαι τὴν θεὸν, χρηΐζοντα μηδαμῶς
σφέας ψευσθῆναι τῆς ἐλπίδος.

Tandem perlitato, in hostem vadunt. Fit pugna atrox.

62 Ταῦτα δ' ἔτι τούτου [a] ἐπικαλευμένου, προεξανα-
στάντες [b] πρότεροι οἱ Τεγεῆται ἐχώρεον ἐς τοὺς βαρ-
βάρους. καὶ τοῖσι Λακεδαιμονίοισι αὐτίκα μετὰ τὴν
εὐχὴν τὴν Παυσανίεω ἐγίνετο θυομένοισι τὰ σφάγια
2 χρηστά. ὡς δὲ χρόνῳ κοτὲ [c] ἐγένετο, ἐχώρεον καὶ
οὗτοι ἐπὶ τοὺς Πέρσας, καὶ οἱ Πέρσαι ἀντίοι, τὰ τόξα
3 μετέντες. Ἐγίνετο δὲ πρῶτον περὶ τὰ [d] γέρρα [e] μάχη.
ὡς δὲ ταῦτα ἐπεπτώκεε, ἤδη ἐγίνετο μάχη ἰσχυρὴ
παρ' αὐτὸ τὸ Δημήτριον, καὶ χρόνον ἐπὶ πολλὸν, ἐς
ὃ ἀπίκοντο ἐς [f] ὠθισμόν· τὰ γὰρ δόρατα ἐπιλαμβα-
4 νόμενοι κατέκλων οἱ βάρβαροι. [g] λήματι μέν νυν καὶ
ῥώμῃ οὐκ ἕσσονες ἦσαν οἱ Πέρσαι· ἄνοπλοι δὲ ἐόν-
τες, καὶ πρὸς ἀνεπιστήμονες ἦσαν, καὶ οὐκ ὅμοιοι
5 τοῖσι [h] ἐναντίοισι σοφίην. προεξαΐσσοντες δὲ κατ' ἕνα,

[f] ἔπιπτον δι' F. ἔπιπτον δὲ S. Mox γέρα S. [g] Sic P.S.F. Paris. τῶν om. al. [h] Cum vulg. consentit S. et merito mireris unde χρηστῶν arripuerit Galeus. Vide Taylorum ad Lysiæ p. 33=62. Wesselingio et Valckenærio citatum, qui conferri jubent VII. 134. et paulo post 62.

62. [a] ἐπικαλεομένου S.V.K.F. [b] πρότερον S.V. Vall. cf. Davis. Max. Tyr. p. 507. [c] Sic P. Schæfer. ἐγίνετο S. al. [d] γέρα S. [e] Sic S. Schæfer. ἡ μάχη vulg. et restitutum malit Schweighæuser. [f] ὠθησμὸν a.c.F. pr. [g] Sic Plutarch. II. p. 874 A. Vulgo cum S. λήμματι. [h] ἀντίοισι S.V. Schæfer. improbante Schweighæusero, qui monet, absolute positum *οἱ ἀντίοι* pro *οἱ ἐναντίοι*, *hostes, adversarii*, numquam vel Herodotum vel alium dixisse.

καὶ δέκα, [i]καὶ πλεῦνές τε καὶ [k]ἐλάσσονες συστρεφό-
μενοι, ἐσέπιπτον ἐς τοὺς Σπαρτιήτας, καὶ διεφθεί-
63 ροντο. Τῇ δὲ ἐτύγχανε αὐτὸς ἐὼν Μαρδόνιος, ἀπ'
ἵππου τε μαχόμενος λευκοῦ, ἔχων τε περὶ ἑωυτὸν
λογάδας Περσέων τοὺς ἀρίστους χιλίους, [a]ταύτῃ δὲ
2 καὶ μάλιστα τοὺς ἐναντίους ἐπίεσαν. ὅσον μέν νυν
χρόνον Μαρδόνιος περιῆν, [b]οἱ δὲ ἀντεῖχον, καὶ ἀμυ-
νόμενοι [c]κατέβαλλον πολλοὺς τῶν Λακεδαιμονίων·
ὡς δὲ Μαρδόνιος ἀπέθανε, καὶ τὸ περὶ ἐκεῖνον τετα-
γμένον, [d]ἐὸν ἰσχυρότατον, ἔπεσε, οὕτω δὴ καὶ [e]οἱ
ἄλλοι ἐτράποντο, καὶ εἶξαν τοῖσι Λακεδαιμονίοισι.
3 [f]πλεῖστον γάρ σφεας ἐδηλέετο ἡ ἐσθὴς, ἐρῆμος ἐοῦσα
ὅπλων· πρὸς γὰρ ὁπλίτας ἐόντες [g]γυμνῆτες [h]ἀγῶνα
64 ἐποιεῦντο. Ἐνθαῦτα ἥ τε δίκη τοῦ φόνου τοῦ Λεω-
νίδεω, κατὰ τὸ χρηστήριον, τοῖσι Σπαρτιήτῃσι ἐκ
Μαρδονίου [a]ἐπιτελέετο· [b]καὶ νίκην ἀναιρέεται καλ-
λίστην ἁπασέων τῶν ἡμεῖς ἴδμεν Παυσανίης ὁ Κλε-
2 ομβρότου τοῦ Ἀναξανδρίδεω. (τῶν δὲ κατύπερθέ οἱ
προγόνων τὰ οὐνόματα εἴρηται ἐς [c]Λεωνίδην· [d]ὡυτοὶ
3 γάρ σφι τυγχάνουσι ἐόντες.) Ἀποθνήσκει δὲ Μαρ-
δόνιος ὑπὸ [e]Ἀειμνήστου, [f]ἀνδρὸς ἐν Σπάρτῃ λογί- 722
μου· ὃς χρόνῳ ὕστερον μετὰ τὰ Μηδικὰ ἔχων ἄνδρας
τριηκοσίους [g]συνέβαλε ἐν Στενυκλήρῳ, πολέμου ἐόν-

Mardonius ab Aeimnesto Spartiata [c. 64.] occisus. Barbari fusi fugatique.

[i] καὶ om. S.V. [k] ἐλάττονες F.

63. [a] ταύτῃ δὴ] ταύτῃ δὲ F.a.S. probante Schweighæusero. [b] Sic Ald. Schæfer. οἳ δὲ F. οἵδε edd. al. [c] Sic S.V.P.K.F.a.b. κατεβάλλοντο edd. vett. [d] ἐὸν om. b. [e] οἱ ἄλλοι om. F. οἱ suprasc. in S. sed pr. m. [f] πλεῖστον cf. Plutarch. II. p. 874. [g] γυμνῆται K. ἐόντας γυμνῆτας P. [h] ἀγῶνας S.

64. [a] Sic S.V. Schæfer. ἐπετελέετο F. Wessel. al. Supra τὸ χρηστήριον τὸ τοῖσι S. [b] Plutarch. I. p. 353 D. [c] Λεωνίδεω S. cf. VII. 204. [d] οὗτοι F.b. [e] Sic edd. vett. M.F.a.b.c. Ἀΐμνήστου P.K. Ἀριμνήστου S. Vall. d. Plutarch. I. p. 330 C. cf. 72. [f] ἀνδρὸς ἐόντος b. [g] συνέβαλλε F.

τος, [h] Μεσσηνίοισι πᾶσι· καὶ αὐτός τε ἀπέθανε καὶ
65 οἱ τριηκόσιοι. Ἐν δὲ Πλαταιῇσι οἱ Πέρσαι ὡς
[a] ἐτράποντο ὑπὸ τῶν Λακεδαιμονίων, ἔφευγον οὐδένα
κόσμον ἐς τὸ στρατόπεδον τὸ ἑωυτῶν, καὶ ἐς τὸ τεῖ-
χος τὸ ξύλινον, τὸ ἐποιήσαντο ἐν μοίρῃ τῇ Θηβαΐδι.
2 [b] Θῶμα δέ μοι, ὅκως [c] παρὰ τῆς Δήμητρος τὸ ἄλσος
μαχομένων, οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελ-
θὼν ἐς τὸ τέμενος, οὔτε ἐναποθανὼν, [d] περί τε τὸ ἱρὸν
3 οἱ πλεῖστοι ἐν τῷ βεβήλῳ ἔπεσον. δοκέω δὲ, εἴ τι
περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ, ἡ θεὸς αὐτή
σφεας οὐκ [e] ἐδέξατο, ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν
Ἐλευσῖνι [f] ἀνακτόριον. Αὕτη μέν νυν ἡ μάχη ἐπὶ
[g] τοσοῦτο ἐγένετο.

Artabazus cum XL millibus militum aufugit in Phocidem.

66 Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος αὐτίκα τε οὐκ [a] ἀρέ-
σκετο κατ' ἀρχὰς [b] λειπομένου Μαρδονίου ἀπὸ βασι-
λέος, καὶ τότε πολλὰ ἀπαγορεύων οὐδὲν ἤνυε, συμ-
2 βάλλειν οὐκ ἐῶν. ἐποίησέ τε αὐτὸς τοιάδε, ὡς οὐκ
ἀρεσκόμενος τοῖσι πρήγμασι τοῖσι ἐκ Μαρδονίου
ποιευμένοισι. τῶν ἐστρατήγεε ὁ Ἀρτάβαζος, (εἶχε δὲ
δύναμιν οὐκ ὀλίγην, ἀλλὰ καὶ ἐς τέσσερας μυριάδας
ἀνθρώπων, περὶ [c] ἑωυτόν·) τούτους, ὅκως ἡ συμβολὴ
ἐγίνετο, εὖ ἐξεπιστάμενος τὰ ἔμελλε [d] ἀποβήσεσθαι
ἀπὸ τῆς μάχης, [e] ἤιε [f] κατηρτισμένος, παραγγείλας

[h] Μεσηνίοισι S.F. Μεσσηνίοισί τε edd. vett. sed τε om. mss.

65. [a] Sic M.P.K.V.S.F.a.b.c. ἐτράπησαν d. edd. vett. [b] Sic S.K.F. θώϋμα edd. [c] Sic M.P.K.S.V.F. al. περὶ d. edd. vett. [d] Sic F. περί τε item b. περὶ τὸ ἱρὸν, οἱ δὲ πλεῖστοι S. vulg. [e] Sic Ald. a.b.c.F. ἐδέκετο M.P.K.S.V.d. Wessel. Bekker. [f] Sic S.V.a.c.d. Ald. quam formam agnoscunt Suid. et Hesych. ἀνάκτορον M.P.K.F.b. [g] τοσοῦτον S. Ald.

66. [a] ἠρέσκετο S.V.P.K.F. [b] Sic S.V.F. Schæfer. λιπομένου Wessel. al. Mox ὁ om. F. ante Ἀρτάβαζος. [c] αὐτὸν S.V. Mox ἐγένετο S. [d] συμβήσεσθαι S. [e] Sic M.P.K.F.b. ἦγε S.V. Ald. Vall. a.c.d. [f] κατηρτημένος F.a.d. hoc aut κατηρτημένως P.K. A κατηρτισμένος pendere τούτους monet Schweighæuser.

[g] κατὰ τὠυτὸ ἰέναι πάντας τῇ ἂν αὐτὸς [h] ἐξηγέηται,
3 ὅκως [i] ἂν αὐτὸν ὁρέωσι σπουδῆς ἔχοντα. ταῦτα πα-
ραγγείλας, ὡς ἐς μάχην ἦγε δῆθεν τὸν στρατόν·
[k] προτερέων δὲ τῆς ὁδοῦ, [l] ὥρα [m] καὶ δὴ φεύγοντας
τοὺς Πέρσας· οὕτω δὴ οὐκέτι τὸν αὐτὸν κόσμον
κατηγέετο, ἀλλὰ τὴν ταχίστην ἐτρόχαζε φεύγων, οὔτε
ἐς τὸ [n] ξύλινον οὔτε ἐς τὸ Θηβαίων τεῖχος, ἀλλ' ἐς 723
Φωκέας, ἐθέλων ὡς τάχιστα ἐπὶ τὸν Ἑλλήσποντον
67 ἀπικέσθαι· καὶ δὴ οὗτοι μὲν ταύτῃ ἐτράποντο. Τῶν

Quomodo Græci cum Mardonio stantes pugnaverint.

δὲ ἄλλων Ἑλλήνων τῶν μετὰ βασιλέος ἐθελοκακεόν-
των, Βοιωτοὶ Ἀθηναίοισι ἐμαχέσαντο χρόνον ἐπὶ
2 συχνόν. οἱ γὰρ μηδίζοντες τῶν Θηβαίων, οὗτοι
[a] εἶχον προθυμίην οὐκ ὀλίγην, [b] μαχεόμενοί τε καὶ οὐκ
ἐθελοκακέοντες, οὕτω ὥστε τριηκόσιοι αὐτῶν οἱ πρῶ-
3 τοι καὶ ἄριστοι ἐνθαῦτα ἔπεσον ὑπὸ Ἀθηναίων. ὡς
δὲ ἐτράποντο καὶ οὗτοι, ἔφευγον ἐς τὰς Θήβας, [c] οὐκ
ᾗπερ οἱ Πέρσαι, καὶ τῶν ἄλλων συμμάχων ὁ πᾶς
ὅμιλος οὔτε διαμαχεσάμενος οὐδενὶ [d] οὔτε τι ἀποδεξά-
68 μενος, ἔφευγον. Δηλοῖ [a] τε ἐμοὶ ὅτι πάντα τὰ πρή-

In solis Persis pugnæ eventum situm fuisse.

γματα τῶν βαρβάρων [b] ἤρτηντο ἐκ Περσέων, εἰ καὶ
τότε οὗτοι, [c] πρὶν ἢ καὶ συμμῖξαι τοῖσι πολεμίοισι,
2 ἔφευγον, ὅτι καὶ τοὺς Πέρσας [d] ὥρων. οὕτω τε πάν-
τες ἔφευγον, πλὴν τῆς ἵππου τῆς τε ἄλλης καὶ τῆς

[g] Sic V.K.P.F. Wessel. κατὰ τοῦτο S. κατ' αὐτὸ Ald. a. al. [h] ἐξηγῆται F. [i] ἂν om. S. qui mox ὁρῶσι. [k] Sic S.V.P. cf. cap. 57. προτερέως F. προτερεύων olim. [l] ὁρᾷ F.b. [m] Sic S.P.K.F. Paris. δὴ καὶ al. Ald. [n] ξύλινον τεῖχος S. Vall. Bekker. τεῖχος post Θηβαῖον retinet S. et Bekker.

67. [a] ἔχον] εἶχον S.V.P.K.F. [b] μαχόμενοι S.V. Bekker. [c] οὐ τῇπερ Bekker. [d] Sic S.P.K.F. οὔτε ἀποδ. τι vulg.

68. [a] Sic S.V. τέ μοι vulg. [b] Sic S.V. Schæfer. ἤρτητο Wessel. al. Wesselingius confert I. 125. [c] τοῖσι πολεμίοισιν ἔφευγον πρινὴ καὶ συμμίξαι ὅτι S. καὶ ante συμμίξαι om. d. [d] Sic S.V. Schæfer. ἑώρων vulg.

3 Βοιωτίης. αὕτη δὲ τοσαῦτα προσωφέλεε τοὺς φεύ-
γοντας, αἰεί τε πρὸς τῶν πολεμίων ἄγχιστα ἐοῦσα,
ἀπείργουσά τε τοὺς φιλίους φεύγοντας ἀπὸ τῶν Ἑλ-
69 λήνων. Οἱ μὲν δὴ νικῶντες εἵποντο, τοὺς Ξέρξεω
διώκοντές [a] τε καὶ φονεύοντες. ἐν δὲ τούτῳ τῷ γινο-
μένῳ φόβῳ [b] ἀγγέλλεται τοῖσι [c] ἄλλοισι Ἕλλησι
τοῖσι τεταγμένοισι περὶ τὸ Ἡραῖον, καὶ ἀπογενομέ-
νοισι τῆς μάχης, ὅτι μάχη τε γέγονε, καὶ νικῷεν οἱ
2 μετὰ Παυσανίεω. οἱ δὲ, ἀκούσαντες ταῦτα, οὐδένα
κόσμον ταχθέντες, οἱ μὲν ἀμφὶ Κορινθίους, ἐτράποντο
διὰ τῆς [d] ὑπωρέης καὶ [e] τῶν κολωνῶν τὴν φέρουσαν
[f] ἄνω, ἰθὺ τοῦ ἱροῦ τῆς Δήμητρος· οἱ δὲ ἀμφὶ Μεγα-
ρέας τε καὶ Φλιασίους, διὰ τοῦ πεδίου τὴν λειοτάτην
3 τῶν ὁδῶν. ἐπεί τε δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο
οἱ Μεγαρέες καὶ Φλιάσιοι, [g] ἀπιδόντες σφέας οἱ [h] τῶν
Θηβαίων ἱππόται ἐπειγομένους οὐδένα κόσμον, ἤλαυνον
ἐπ᾽ αὐτοὺς τοὺς ἵππους, τῶν ἱππάρχεε Ἀσωπόδωρος ὁ
4 Τιμάνδρου. ἐσπεσόντες δὲ κατεστόρεσαν αὐτῶν ἑξα-
κοσίους, τοὺς δὲ λοιποὺς [i] κατήραξαν διώκοντες ἐς τὸν
Κιθαιρῶνα. οὗτοι μὲν δὴ ἐν οὐδενὶ λόγῳ ἀπώλοντο.

Media Græcorum acies, quæ ante pugnam Platæas tetenderat [c. 52.], audito hostes in fugam conjectos esse, et ipsa revertitur: quod dum temere fit effusoque agmine, Megarenses et Phliasii ab equitatu Thebano opprimuntur.

70 Οἱ δὲ Πέρσαι καὶ ὁ ἄλλος ὅμιλος, ὡς κατέφυγον
[a] ἐς τὸ ξύλινον τεῖχος, ἔφθησαν ἐπὶ τοὺς πύργους
ἀναβάντες, πρὶν ἢ τοὺς Λακεδαιμονίους ἀπικέσθαι·
ἀναβάντες δὲ, [b] ἐφράξαντο ὡς ἠδυνέατο ἄριστα τὸ
2 τεῖχος. προσελθόντων δὲ τῶν Λακεδαιμονίων, κατε-
3 στήκεέ σφι τειχομαχίη ἐρρωμενεστέρη. ἕως μὲν γὰρ
[c] ἀπῆσαν οἱ Ἀθηναῖοι, οἱ δ᾽ ἠμύνοντο, καὶ πολλῷ

Barbarorum castra expugnata: exercitus reliquus prope ad internecionem deletus. Spartiatarum, Tegeata-

69. [a] Sic K.F.S. Schæfer. τε om. al. [b] ἀπαγγ. unus ms. apud Wesseling. [c] ἄλλοισι om. S.V. Vall. Tum περὶ τὸ Ἡ. τεταγ. S. [d] ὑπωρείης S.V. [e] τὸν κολωνὸν b. qui mox om. ἰθύ. τῶν κωλωνῶν S. [f] ἄνω om. S.V. [g] ἀποδιδόντες Ald. [h] τῶν om. S. [i] Sic S.V.F. Wessel. κατήρραξαν al.

70. [a] ἐπὶ τὸ b. [b] ἐφράζοντο S. [c] ἐπήεσαν S.

rum, et Atheniensium quot occubuerint.

πλέον [d] εἶχον τῶν Λακεδαιμονίων, ὥστε οὐκ ἐπιστα- 724
μένων τειχομαχέειν· ὡς δέ σφι [e] οἱ Ἀθηναῖοι προσ-
ῆλθον, οὕτω δὴ ἰσχυρὴ ἐγίνετο τειχομαχίη, καὶ χρό-
4 νον ἐπὶ πολλόν. Τέλος δὲ, ἀρετῇ τε καὶ λιπαρίῃ
ἐπέβησαν Ἀθηναῖοι τοῦ τείχεος, καὶ [f] ἤριπον· τῇ δὴ
5 ἐσεχέοντο οἱ Ἕλληνες. πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται
ἐς τὸ τεῖχος· καὶ τὴν σκηνὴν [g] τὴν Μαρδονίου οὗτοι
ἦσαν οἱ διαρπάσαντες, τά τε ἄλλα ἐξ αὐτῆς καὶ τὴν
φάτνην τῶν ἵππων, ἐοῦσαν χαλκέην πᾶσαν καὶ θέης
6 ἀξίην. τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου
ἀνέθεσαν ἐς τὸν νηὸν τῆς [h] Ἀλέης Ἀθηναίης Τεγεῆ-
ται· τὰ δὲ ἄλλα ἐς τὠυτὸ, ὅσαπερ ἔλαβον, [i] ἐσή-
7 νεικαν τοῖσι Ἕλλησι. Οἱ δὲ βάρβαροι οὐδὲν ἔτι
στῖφος ἐποιήσαντο πεσόντος τοῦ τείχεος, οὔτε τις
αὐτῶν ἀλκῆς [k] ἐμέμνητο· [l] ἀλύκταζόν τε οἷα ἐν ὀλίγῳ
[m] χώρῳ πεφοβημένοι τε καὶ πολλαὶ μυριάδες [n] κατει-
8 λημέναι ἀνθρώπων. παρῆν τε τοῖσι Ἕλλησι φονεύειν
οὕτω, ὥστε τριήκοντα [o] μυριάδων στρατοῦ, καταδεου-
σέων τεσσέρων, τὰς ἔχων Ἀρτάβαζος ἔφευγε, τῶν
9 λοιπῶν μηδὲ τρεῖς χιλιάδας περιγενέσθαι. [p] Λακεδαι-
μονίων δὲ τῶν ἐκ Σπάρτης ἀπέθανον οἱ πάντες ἐν τῇ
[q] συμβολῇ εἷς [r] καὶ ἐννενήκοντα· Τεγεητέων δὲ, ἑκ-
καίδεκα· Ἀθηναίων δὲ, δύο καὶ πεντήκοντα.

71 Ἠρίστευσε δὲ τῶν βαρβάρων, πεζὸς μὲν ὁ Περ-

[d] ἔχον] εἶχον S.V.P.K.F. [e] οἱ om. S.V.K.a. Lectionem ms. F. dispicere non potuit Schweighæuser. [f] Sic S.P.F. Schæfer. ἤρειπον Wessel. Bekker. al. [g] Sic F. Vulgo τοῦ Μαρδ. cum S. [h] *Ageleæ Minervæ* Valla Vid. I. 66. [i] ἐσηνείκαντο S.V. Verbo medio commodus hic locus, quoniam et ipsis Tegeatis pars prædæ erat eventura. SCHWEIGH. [k] ἐμέμνηντο P. [l] ἀλυκτάζειν, δυσφορέειν, ἀγανακτεῖν P. marg. [m] Sic B.C. Steph. marg. χρόνῳ al. cum S.F. pr. [n] Libri omnes ante Schweigh. κατειλημμέναι. [o] μυριαδέων F. [p] Tangit Plutarch. Aristid. p. 330 E. [q] συμβουλῇ F. [r] καὶ om. S.

Inter barbaros Græcosque qui fortissime pugnaverint.

σέων, ἵππος δὲ [a] ἡ Σακέων· ἀνὴρ δὲ λέγεται Μαρδό-
2 νιος. Ἑλλήνων δὲ, ἀγαθῶν γενομένων καὶ Τεγεη-
τέων καὶ Ἀθηναίων, [b] ὑπερεβάλοντο ἀρετῇ Λακεδαι-
3 μόνιοι. ἄλλῳ μὲν οὐδενὶ ἔχω ἀποσημήνασθαι, ([c] ἅπαν-
τες γὰρ οὗτοι τοὺς κατ' ἑωυτοὺς ἐνίκων,) ὅτι δὲ κατὰ
τὸ [d] ἰσχυρότερον [e] προσενείχθησαν, καὶ τούτων ἐκρά-
4 τησαν. καὶ ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος
κατὰ γνώμας [f] τὰς ἡμετέρας· ὃς ἐκ Θερμοπυλέων
μοῦνος τῶν τριηκοσίων σωθεὶς, [g] εἶχε ὄνειδος καὶ ἀτι-
μίην. μετὰ δὲ [h] τοῦτον ἠρίστευσαν Ποσειδώνιός τε
καὶ Φιλοκύων καὶ Ἀμομφάρετος [i] ὁ Σπαρτιήτης.
5 [k] καίτοι, γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριστος,
ἔγνωσαν οἱ παραγενόμενοι Σπαρτιητέων, Ἀριστόδη-
μον μὲν βουλόμενον φανερῶς ἀποθανεῖν ἐκ τῆς παρε-
ούσης οἱ αἰτίης, λυσσῶντά τε καὶ [l] ἐκλιπόντα τὴν
τάξιν ἔργα ἀποδέξασθαι μεγάλα· Ποσειδώνιον δὲ, οὐ
βουλόμενον ἀποθνήσκειν, ἄνδρα γενέσθαι ἀγαθόν· 725
6 τοσούτῳ τοῦτον εἶναι ἀμείνω. ἀλλὰ ταῦτα μὲν καὶ
φθόνῳ ἂν [m] εἴποιεν. οὗτοι δὲ τοὺς κατέλεξα [n] πάντες,
πλὴν Ἀριστοδήμου, τῶν ἀποθανόντων ἐν ταύτῃ τῇ
μάχῃ τίμιοι ἐγένοντο· Ἀριστόδημος δὲ, βουλόμενος
ἀποθανεῖν διὰ τὴν προειρημένην αἰτίην, οὐκ ἐτιμήθη.

Obiter de Callicrate Spartiata, formosissimo Græcorum,

72 Οὗτοι μὲν [a] τῶν ἐν Πλαταιῇσι ὀνομαστότατοι ἐγένοντο. Καλλικράτης γὰρ ἔξω τῆς μάχης ἀπέθανε, ἐλθὼν ἀνὴρ κάλλιστος ἐς τὸ στρατόπεδον τῶν τότε

71. [a] ὁ Σακ. S. [b] ὑπερέβαλον b. ὑπερεβάλλοντο S. [c] πάντες S.V. [d] Sic P.K.F. ἰσχυρότατον S. vulg. Bekker. [e] προσενέχθ. P. προσηνείχθησαν F.S. Ald. [f] τὰς ἐμὰς Suid. in Μακρῷ. [g] ἔχε] εἶχε F. εἶχεν S. [h] τούτων M. [i] Sic P.K.F. ὁ om. S. al. Bekker. [k] Citat Suidas in Λέσχῃ. [l] Sic S.V. Schæfer. ἐκλείποντα Wessel. al. Mox μεγάλα ἀποδέξασθαι S. [m] Sic S.V.a. Ald. Vall. εἴποιμεν M.P.K.F.b. [n] πάντες S. Bekker. πάντας vulg.

72. [a] τὸ ἐν F.

Ἑλλήνων, οὐ [b] μόνον αὐτῶν Λακεδαιμονίων, ἀλλὰ
καὶ τῶν ἄλλων Ἑλλήνων· ὅς, [c] ἐπειδὴ ἐσφαγιάζετο
Παυσανίης, κατήμενος ἐν τῇ [d] τάξι, ἐτρωματίσθη
2 τοξεύματι τὰ πλευρά. καὶ δὴ οἱ μὲν ἐμάχοντο, ὁ δ'
ἐξενηνεγμένος [e] ἐδυσθανάτεέ τε καὶ ἔλεγε πρὸς [f] Ἀρί-
μνηστον, ἄνδρα Πλαταιέα, οὐ [g] μέλειν οἱ ὅτι πρὸ τῆς
Ἑλλάδος [h] ἀποθνήσκει, ἀλλ' ὅτι οὐκ ἐχρήσατο τῇ
[i] χερὶ, καὶ ὅτι οὐδέν ἐστί οἱ ἀποδεδεγμένον ἔργον ἑωυ-
τοῦ ἄξιον, προθυμευμένου ἀποδέξασθαι.

73 Sophane Atheniensi, Tyndaridarum in Atticam ob Helenam a Theseo raptam expeditione, honoribus in Decelenses Spartæ collatis.

Ἀθηναίων δὲ λέγεται εὐδοκιμῆσαι Σωφάνης ὁ
Εὐτυχίδεω, [a] ἐκ δήμου [b] Δεκελεῆθεν· Δεκελέων δὲ
τῶν ποτὲ ἐργασαμένων ἔργον χρήσιμον ἐς τὸν πάντα
2 χρόνον, ὡς αὐτοὶ Ἀθηναῖοι λέγουσι. ὡς γὰρ δὴ τὸ
πάλαι κατὰ Ἑλένης κομιδὴν Τυνδαρίδαι ἐσέβαλον ἐς
γῆν τὴν Ἀττικὴν σὺν στρατοῦ πλήθεϊ, καὶ ἀνίστασαν
τοὺς δήμους, οὐκ εἰδότες ἵνα ὑπεξέκειτο [c] ἡ Ἑλένη,
τότε [d] λέγουσι τοὺς Δεκελέας, οἱ δὲ αὐτὸν [e] Δέκελον,
ἀχθόμενόν τε τῇ Θησέος [f] ὕβρι, καὶ δειμαίνοντα περὶ
πάσῃ τῇ Ἀθηναίων χώρῃ, ἐξηγησάμενόν σφι τὸ πᾶν
πρῆγμα, κατηγήσασθαι ἐπὶ τὰς Ἀφίδνας· τὰς δὴ
[g] Τιτακὸς, ἐὼν αὐτόχθων, καταπροδιδοῖ Τυνδαρίδῃσι.
3 τοῖσι δὲ Δεκελεῦσι [h] ἐν Σπάρτῃ ἀπὸ τούτου τοῦ ἔργου
ἀτελείη τε καὶ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι

[b] μοῦνον F. μόνων S. [c] Suidas in Σφαγιάζειν. [d] τάξει F. [e] ἐδυσθανάτεε hinc Pollux III. 106. τε om. S. [f] Sic M.P.K.F. Ἀείμνηστον Ald. S.V. Vall. cf. 64. [g] μέλλειν S.K. [h] ἀποθνήσκειν F. [i] χειρὶ S.P.K.F.

73. [a] ἐκ om. S. Schæfer. cf. III. 55. V. 92. IX. 74. ἐὼν δήμου Koenius Gregor. Dial. Ion. 7. [b] Ita Koenius. Δεκελῆθεν plerique, δὲ κεκλῆθεν F. [c] ἡ om. F. [d] Sic S.V.F.c.b. Schæfer. λέγουσι καὶ τοὺς Wessel. τὰς S. pro τούς. [e] Sic vulg. et Steph. Byz. in Δεκέλεια. Δεκελεὸν S.V. Vall. [f] ὕβρει F. Θησέως S. qui mox Ἀφνίδας. [g] Vid. Harpocratio, Suidas, Etymolog. Steph. Byz. in Τιτακίδαι. δή τοι κακὸς d. [h] Sic S.V.P.K.F. ἀπὸ τ. τ. ἔ. ἐν Σπάρτῃ vulgo.

ἐοῦσα, οὕτω ὥστε καὶ ἐς τὸν πόλεμον τὸν ὕστερον
πολλοῖσι ἔτεσι τούτων γενόμενον Ἀθηναίοισί τε καὶ
Πελοποννησίοισι, [i] σινεομένων τὴν ἄλλην Ἀττικὴν 726
74 Λακεδαιμονίων, Δεκελέης [k] ἀποσχέσθαι. Τούτου τοῦ
δήμου ἐὼν ὁ Σωφάνης, καὶ ἀριστεύσας τότε Ἀθη-
2 ναίων, διξοὺς λόγους λεγομένους ἔχει. τὸν μὲν, ὡς ἐκ
τοῦ ζωστῆρος τοῦ θώρηκος ἐφόρεε χαλκέῃ [a] ἁλύσι
δεδεμένην ἄγκυραν σιδηρέην· τὴν, ὅκως πελάσειε
ἀπικνεόμενος τοῖσι πολεμίοισι, [b] βαλλέσκετο, ἵνα δή
μιν οἱ πολέμιοι ἐκπίπτοντες ἐκ τῆς τάξιος μετακινῆ-
σαι μὴ δυναίατο· γινομένης δὲ φυγῆς τῶν ἐναντίων,
[c] δέδοκτο, τὴν ἄγκυραν ἀναλαβόντα, οὕτω διώκειν.
3 οὗτος μὲν οὕτω λέγεται. ὁ δ' ἕτερος τῶν λόγων, τῷ
πρότερον λεχθέντι [d] ἀμφισβατέων, λέγεται, ὡς ἐπ'
ἀσπίδος αἰεὶ περιθεούσης καὶ οὐδαμὰ ἀτρεμιζούσης
ἐφόρεε [e] ἐπίσημον ἄγκυραν, καὶ οὐκ ἐκ τοῦ θώρηκος
75 δεδεμένην σιδηρέην. Ἔστι δὲ καὶ ἕτερον Σωφάνεϊ
λαμπρὸν ἔργον ἐξεργασμένον, ὅτι περικατημένων
Ἀθηναίων Αἴγιναν, [a] Εὐρυβάτην τὸν [b] Ἀργεῖον, ἄν-
2 δρα πεντάεθλον, ἐκ [c] προκλήσιος ἐφόνευσε. αὐτὸν
δὲ Σωφάνεα χρόνῳ ὕστερον τούτων κατέλαβε, ἄνδρα
γενόμενον ἀγαθὸν, Ἀθηναίων στρατηγέοντα ἅμα
[d] Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανεῖν ὑπὸ Ἠδωνῶν
[e] ἐν Δάτῳ περὶ τῶν μετάλλων τῶν χρυσέων [f] μαχεό-
μενον.

[i] Sic S. σινομένων vulgo. [k] Sic V. Schæfer. ἀπέχεσθαι S. Bekker. vulg.

74. [a] ἁλύσει F.S. [b] βαλέσκετο S.V.F. [c] ἐδέδοκτο S.V. [d] ἀμφισβατέων M.P.K.F. ἀμφισβητέων S.V.d. Ald. IV. 14. cf. Suid. in v. [e] Sic S.V. Vall. Schæfer. ἐπίσημον om. al.

75. [a] Εὐρυβιάδην S.V. Vall. Supra ὅτε S. [b] Ἀρεῖον F. [c] προβλήσιος S. [d] Μελεάγρῳ S. *Leargo* Vall. [e] Vid. Steph. Byz. Harpocr. Suid. [f] μαχεόμενον om. S.

76 [a]Ὡς δὲ τοῖσι Ἕλλησι ἐν Πλαταιῇσι [a]κατέστρωντο
οἱ βάρβαροι, ἐνθαῦτά σφι ἐπῆλθε γυνὴ αὐτόμολος· ἣ
ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας καὶ νικῶντας
τοὺς Ἕλληνας, ἐοῦσα παλλακὴ [b]Φαρανδάτεος τοῦ
Τεάσπιος, ἀνδρὸς Πέρσεω, κοσμησαμένη χρυσῷ
πολλῷ καὶ αὐτὴ καὶ [c]αἱ ἀμφίπολοι, καὶ ἐσθῆτι τῇ
καλλίστῃ [d]τῶν παρεουσέων, καταβᾶσα ἐκ τῆς ἁρμα-
μάξης, ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους ἔτι ἐν τῇσι
2 [e]φονῇσι [f]ἐόντας. ὁρῶσα δὲ πάντα ἐκεῖνα διέποντα
Παυσανίην, πρότερόν τε τὸ οὔνομα ἐξεπισταμένη καὶ
τὴν πάτρην, ὥστε πολλάκις ἀκούσασα, ἔγνω τε τὸν
Παυσανίην, καὶ λαβομένη τῶν γουνάτων, ἔλεγε τάδε·
3 "Ὦ [g]βασιλεῦ Σπάρτης, [h]ῥῦσαί με τὴν ἱκέτιν αἰ- 727
"χμαλώτου [i]δουλοσύνης. σὺ γὰρ καὶ ἐς τόδε ὤνη-
"σας, τούσδε ἀπολέσας, τοὺς οὔτε δαιμόνων οὔτε
4 "θεῶν ὄπιν ἔχοντας. εἰμὶ δὲ γένος μὲν Κῴη, θυγά-
"τηρ δὲ Ἡγητορίδεω τοῦ Ἀνταγόρεω. βίῃ δέ με
5 "λαβὼν [k]ἐν Κῷ εἶχε ὁ Πέρσης." Ὁ δὲ [l]ἀμείβεται
τοῖσδε· "Γύναι, θάρσει, καὶ ὡς ἱκέτις, καὶ εἰ δὴ
"[m]πρὸς τούτῳ τυγχάνεις ἀληθέα λέγουσα, καὶ [n]εἶς
"θυγάτηρ Ἡγητορίδεω τοῦ Κῴου, ὃς ἐμοὶ ξεῖνος
"μάλιστα τυγχάνει ἐὼν τῶν περὶ [o]κείνους τοὺς
6 "χώρους [p]οἰκημένων." [q]Ταῦτα εἴπας, τότε [r]μὲν

Coa mulier, Hegetoridæ filia, in barbarorum castris reperta, inque libertatem a Pausania vindicata.

76. [a] Vid. Pollux IX. 153. Mox γυνὴ ἐπῆλθε S. [b] Φαρναδάτεος S.V. Vall. cf. VII. 79. Pausan. III. 4. [c] Ita cum Reiskio Schæfer. αἱ vulg. om. [d] τῶν παρεουσέων M.P.K.S.V.F. Paris. ἐκ τῶν π. Alii. [e] φοινῇσι S. [f] ἐόντας om. M.P.K.F.b. [g] βασιλεὺς F. [h] Sic S.V. Schæfer. Wesseling. in annot. citat V. 49. IX. 89. Epigr. ap. Aristid. III. p. 648. λῦσαί με ed. Wessel. et al. [i] δουλωσύνην F. [k] ἐκ Κῷ εἶχεν F.b. εἶχεν ἐν Κῶ S. [l] Sic M.P.K.F.B. ἀμείβετο ὧδε S.V. ἀμείβετο Ald. A. [m] πρὸς τοῦτο S. [n] εἶ] εἷς S.V. Schæfer. Steger. [o] Sic S.V. Wessel. ἐκείνους al. [p] Sic S.V.P.K.F. Paris. οἰκεομένων vulg. [q] Sic S.V. Schæfer. ταῦτα δὲ εἴπας Wessel. al. [r] μέν μιν conj. Bekkerus.

ἐπέτρεψε τῶν ἐφόρων τοῖσι παρεοῦσι, ὕστερον δὲ ἀπέπεμψε ἐς Αἴγιναν, ἐς τὴν αὐτὴ ἤθελε [s] ἀπικέσθαι.

77 Μετὰ δὲ τὴν ἄπιξιν τῆς γυναικὸς, αὐτίκα μετὰ
ταῦτα ἀπίκοντο Μαντινέες ἐπ' ἐξεργασμένοισι· μα-
θόντες δὲ ὅτι [a] ὕστεροι ἥκουσι τῆς [b] συμβολῆς, συμ-
φορὴν ἐποιεῦντο μεγάλην, ἄξιοί τε ἔφασαν εἶναι
2 σφέας ζημιῶσαι. πυνθανόμενοι δὲ τοὺς Μήδους τοὺς
μετὰ Ἀρταβάζου φεύγοντας, τούτους ἐδίωκον μέχρι
Θεσσαλίης· Λακεδαιμόνιοι δὲ οὐκ ἔων φεύγοντας
3 διώκειν. οἱ δὲ ἀναχωρήσαντες ἐς τὴν ἑωυτῶν, τοὺς
4 ἡγεμόνας τῆς στρατιῆς ἐδίωξαν ἐκ τῆς γῆς. Μετὰ
δὲ Μαντινέας ἧκον Ἠλεῖοι. καὶ ὡσαύτως οἱ Ἠλεῖοι
τοῖσι [c] Μαντινεῦσι συμφορὴν ποιησάμενοι ἀπαλ-
λάσσοντο· ἀπελθόντες δὲ καὶ οὗτοι τοὺς ἡγεμόνας
ἐδίωξαν. [d] τὰ κατὰ Μαντινέας μὲν καὶ Ἠλείους
τοσαῦτα.

Pugna pugnata, Mantinenses et Elei veniunt. Duces eorum, quod suos sero adduxissent, in exsilium pulsi.

78 Ἐν δὲ Πλαταιῇσι ἐν τῷ στρατοπέδῳ τῶν Αἰγινη-
τέων ἦν Λάμπων [a] ὁ Πύθεω, Αἰγινητέων [b] τὰ πρῶτα·
ὃς ἀνοσιώτατον [c] ἔχων λόγον [d] ἵετο πρὸς Παυσανίην.
2 ἀπικόμενος δὲ, σπουδῇ ἔλεγε τάδε· "Ὦ παῖ Κλεομ-
"βρότου, ἔργον ἔργασταί τοι ὑπερφυὲς, μέγαθός τε
"καὶ κάλλος· καί τοι θεὸς παρέδωκε, ῥυσάμενον τὴν
"Ἑλλάδα, κλέος καταθέσθαι μέγιστον Ἑλλήνων
3 "τῶν ἡμεῖς ἴδμεν. σὺ δὲ καὶ τὰ λοιπὰ τὰ ἐπὶ τού-
"τοισι ποίησον, ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων, καί
"τις ὕστερον φυλάσσηται τῶν βαρβάρων μὴ ὑπάρ-

Lamponis Æginetæ consilium de Mardonii cadavere, quod Xerxes in mortuum Leonidam sæviisset [7, 238.], contumeliose tractando,

728

[s] ἀπικέσθαι om. S.

77. [a] ὕστερον S.V.P.F.a. ὕπτερον c. [b] συμβουλῆς F. Mox εἶναι ἔφασαν S. [c] Μαντιεῦσι F. Μαντιηνεῦσι b. [d] τὰ om. S.

78. [a] ὁ om. F.a. [b] Sic M.P.K.S.V.F. Paris. τὰ πρῶτα φέρων edd. vett. [c] Sic F.S. λόγον ἔχων vulg. [d] ἵκετο S.V. probante Wesselingio.

“ χειν ἔργα ἀτάσθαλα [e] ποιέων ἐς τοὺς Ἕλληνας.
4 “ Λεωνίδεω γὰρ ἀποθανόντος ἐν Θερμοπύλῃσι, Μαρ-
“ δόνιός τε καὶ Ξέρξης ἀποταμόντες τὴν κεφαλὴν
“ [f] ἀνεσταύρωσαν. τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς,
“ ἔπαινον ἕξεις πρῶτα μὲν [g] ὑπὸ πάντων Σπαρτιη-
“ τέων, αὖτις δὲ καὶ πρὸς τῶν ἄλλων Ἑλλήνων.
5 “ Μαρδόνιον γὰρ ἀνασκολοπίσας, τετιμώρησαι ἐς
“ πάτρων τὸν [h] σὸν Λεωνίδην.” Ὁ μὲν δοκέων χα-
79 ρίζεσθαι ἔλεγε τάδε. Ὁ δ᾽ ἀνταμείβετο [a] τοῖσδε·
a Pausania repudiatum.
“ Ὦ ξεῖνε Αἰγινῆτα, τὸ μὲν εὐνοεῖν τε καὶ προορᾶν,
“ ἄγαμαι σεῦ· γνώμης μέντοι ἡμάρτηκας χρηστῆς.
2 “ ἐξάρας γάρ με ὑψοῦ καὶ τὴν πάτρην καὶ τὸ ἔργον,
“ ἐς τὸ μηδὲν κατέβαλες, παραινέων νεκρῷ λυμαίνε-
“ σθαι, καὶ, ἢν ταῦτα ποιέω, φὰς ἄμεινόν με ἀκού-
3 “ σεσθαι. τὰ πρέπει μᾶλλον βαρβάροισι ποιέειν,
“ ἤπερ Ἕλλησι· καὶ ἐκείνοισι δὲ ἐπιφθονέομεν. Ἐγὼ
“ δ᾽ ὦν τούτου εἵνεκα μήτε Αἰγινήτῃσι ἅδοιμι, μήτε
“ τοῖσι ταῦτα ἀρέσκεται· [b] ἀποχρᾷ δ᾽ ἐμοὶ, Σπαρτιή-
“ τῃσι ἀρεσκόμενον, ὅσια μὲν ποιέειν, ὅσια δὲ καὶ
4 “ λέγειν. Λεωνίδῃ δὲ, τῷ με κελεύεις τιμωρῆσαι,
“ φημὶ μεγάλως τετιμωρῆσθαι· ψυχῇσί τε [c] τῇσι
“ τῶνδε ἀναριθμήτοισι τετίμηται αὐτός τε καὶ [d] οἱ
5 “ ἄλλοι οἱ ἐν Θερμοπύλῃσι τελευτήσαντες. σὺ
“ μέντοι ἔτι ἔχων λόγον τοιόνδε μήτε προσέλθῃς
“ [e] ἔμοιγε, μήτε [f] συμβουλεύσῃς· [g] χάριν ἴσθι τε ἐὼν
“ ἀπαθής.” Ὁ μὲν ταῦτα ἀκούσας ἀπαλλάσσετο.

[e] ποιέειν S. et alius ms. apud Wessel. [f] ἐσταύρωσαν S.V. [g] Sic P.K.S.V.F. Paris. ὑπὸ τῶν Σπ. πάντων edd. vett. [h] σὸν om. b. Supra τετιμωρήσεαι Bekkerus, ex Suvernii em.

79. [a] τοίσιδε F. [b] ἀποχρᾶ τε μοι S. [c] Sic P.K.V.S.F. Schæfer. τῇσι om. Wessel. al. [d] οἱ ἐν Θερμοπύλῃσιν ἄλλοι τελευτ. S. qui mox om. ἔτι. [e] ἐμὲ S. [f] Sic S.V.P.K. Schæfer. συμβουλεύῃς Wessel. al. συμβουλεύεις (η) S. [g] Sic S.P.K.F.a.b. χάριν τε ἴσθι vulg.

Præda ingens coacta. Quomodo Æginetæ ditati.

80 Παυσανίης δὲ κήρυγμα ποιησάμενος μήδενα ἅπτεσθαι τῆς ληΐης, συγκομίζειν [a] ἐκέλευε τοὺς εἵλωτας τὰ χρήματα. 2 οἱ δὲ ἀνὰ τὸ στρατόπεδον σκιδνάμενοι εὕρισκον σκηνὰς κατεσκευασμένας χρυσῷ καὶ ἀργύρῳ, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους, κρητῆράς τε χρυσέους, [b] καὶ φιάλας τε καὶ [c] ἄλλα ἐκπώματα· [d] σάκκους τε ἐπ' ἁμαξέων εὕρισκον, ἐν τοῖσι λέβητες ἐφαίνοντο [e] ἐνεόντες χρύσεοί τε καὶ ἀργύρεοι· ἀπό τε τῶν κειμένων νεκρῶν ἐσκύλευον [f] ψέλιά τε καὶ στρεπτοὺς, καὶ τοὺς [g] ἀκινάκεας, ἐόντας χρυσέους· ἐπεὶ ἐσθῆτός γε ποικίλης λόγος [h] ἐγίνετο [i] οὐδὲ εἷς. 3 Ἐνθαῦτα πολλὰ μὲν κλέπτοντες ἐπώλεον πρὸς τοὺς Αἰγινήτας οἱ εἵλωτες, πολλὰ δὲ καὶ ἀπεδείκνυσαν, ὅσα αὐτεων οὐκ οἷά τε ἦν κρύψαι· ὥστε Αἰγινήτῃσι οἱ μεγάλοι πλοῦτοι ἀρχὴν ἐνθεῦτεν ἐγένοντο, οἳ τὸν χρυσὸν, ἅτε ἐόντα χαλκὸν δῆθεν, παρὰ τῶν εἱλωτέων ὠνέοντο.

Dona diis missa. Præda divisa. 729

81 Συμφορήσαντες δὲ τὰ χρήματα, καὶ δεκάτην ἐξελόντες τῷ ἐν Δελφοῖσι θεῷ, ἀπ' ἧς ὁ τρίπους ὁ χρύσεος ἀνετέθη, ὁ ἐπὶ τοῦ τρικαρήνου [a] ὄφιος τοῦ χαλκέου ἐπεστεὼς ἄγχιστα τοῦ βωμοῦ· καὶ τῷ ἐν Ὀλυμπίῃ θεῷ ἐξελόντες, ἀπ' ἧς δεκάπηχυν χάλκεον Δία ἀνέθηκαν· καὶ τῷ ἐν Ἰσθμῷ θεῷ, ἀπ' ἧς ἑπτάπηχυς χάλκεος Ποσειδέων [b] ἐξεγένετο· ταῦτα ἐξελόντες, τὰ λοιπὰ διαιρέοντο, καὶ ἔλαβον ἕκαστοι τῶν ἄξιοι ἦσαν, καὶ τὰς [c] παλλακὰς τῶν Περσέων, καὶ

80. [a] ἐκέλευσε S.V. Schæfer. [b] καὶ om. P.K.F.a. [c] ἄλλα καὶ F. [d] θάκους F. [e] ἐόντες P.K.S. [f] Sic S.P.F. ψέλλια a.b. vulg. cf. III. 20. IV. 168. [g] Sic S. Wessel. ἀκινάκας al. cf. III. 128. [h] ἐγένετο S.V. [i] Sic S.V. Schæfer. οὐδεὶς vulg. Mox αὐτέων, ut videtur, omnes.

81. [a] Sic S.V.K.F. Paris. ὄφεως (vel ὄφεος) edd. vett. [b] ἐγένετο S.V. [c] παλακὰς F. qui mox καὶ ἄργυρον absque τόν. Mox consentiunt omnes in αὐτέων.

τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ ἄλλα χρήματά τε
2 καὶ ὑποζύγια. Ὅσα μέν νυν ἐξαίρετα τοῖσι ἀριστεύ-
σασι αὐτέων ἐν Πλαταιῇσι ἐδόθη, οὐ λέγεται πρὸς
3 οὐδαμῶν, δοκέω δ' ἔγωγε καὶ τούτοισι δοθῆναι. Παυ-
σανίῃ δὲ πάντα δέκα ἐξαιρέθη [d] τε καὶ ἐδόθη, γυναῖ-
κες, ἵπποι, τάλαντα, κάμηλοι, ὧς δὲ αὔτως καὶ [e] τὰ
82 ἄλλα χρήματα. Λέγεται δὲ καὶ τάδε γενέσθαι· ὡς
Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν
[a] κατασκευὴν [b] καταλίποι τὴν ἑωυτοῦ· Παυσανίην ὦν,
ὁρέοντα τὴν Μαρδονίου κατασκευὴν χρυσῷ τε καὶ
ἀργύρῳ καὶ [c] παραπετάσμασι [d] ποικίλοισι [e] κατασκευ-
ασμένην, κελεῦσαι τούς τε [f] ἀρτοκόπους καὶ τοὺς ὀψο-
ποιοὺς κατὰ ταὐτὰ [g] καθὼς Μαρδονίῳ δεῖπνον παρα-
2 σκευάζειν. ὡς δὲ κελευόμενοι οὗτοι ἐποίευν ταῦτα,
ἐνθαῦτα τὸν Παυσανίην, ἰδόντα κλίνας τε χρυσέας
καὶ ἀργυρέας [h] εὖ ἐστρωμένας, καὶ τραπέζας τε χρυ-
σέας καὶ ἀργυρέας, καὶ παρασκευὴν μεγαλοπρεπέα
τοῦ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα ἀγαθὰ, κε-
λεῦσαι ἐπὶ [i] γέλωτι [k] τοὺς ἑωυτοῦ διηκόνους παρα-
3 σκευάσαι Λακωνικὸν δεῖπνον. ὡς δὲ τῆς θοίνης ποιη-
θείσης ἦν πολλὸν τὸ μέσον, τὸν Παυσανίην γελά-
σαντα μεταπέμψασθαι τῶν Ἑλλήνων τοὺς στρατη-
γούς· συνελθόντων δὲ τουτέων, [l] εἰπεῖν τὸν Παυσα-

Comparatio frugalitatis Spartanæ cum luxu barbarorum.

[d] τε καὶ ἐδόθη om. S. [e] Sic S.V. Wessel. τἆλλα al. τᾶλλα F.

82. [a] παρασκευὴν Athenæus IV. p. 138 C. Pro posteriore κατασκευὴν Schweighæuserus conjicit σκηνήν. [b] καταλίπει F. Tum ὁρεῶντά pro ὁρέοντα, ubi ὁρῶντα f.S. [c] πετάσμασι K. [d] ποικίλῃσι F. ποικίλοις f. [e] Sic S.V. Schæfer. παρασκευασμένην F. κατεσκευασμ. Wessel. al. [f] ἀρτοποιοὺς Athen. [g] καὶ Schæferus e conjectura. Mox κατασκευάζειν S. [h] εὖ ἐστ.—καὶ ἀργ. om. S. Ald. εὖ om. Athen. εὖ ἐστρωμ. om. f. τε post τραπέζας addidit Schweigh. ex F.a. [i] γέλωτα S. [k] τοῖς ἑωυτοῦ διακόνοις Athen. [l] εἶπαι] εἰπεῖν F.f.S. Omnes h. l. τουτέων.

νίην, δεικνύντα [m] ἐς [n] ἑκατέρην τοῦ δείπνου τὴν παρα-
4 σκευήν· "Ἄνδρες Ἕλληνες, τῶνδε εἵνεκα ἐγὼ ὑμέας
"συνήγαγον, βουλόμενος [o] ὑμῖν τοῦδε τοῦ Μήδων
"ἡγεμόνος τὴν ἀφροσύνην δεῖξαι· ὃς τοιήνδε δίαιταν
"ἔχων, ἦλθε ἐς ἡμέας οὕτω [p] ὀϊζυρὴν ἔχοντας ἀπαι-
"ρησόμενος." Ταῦτα μὲν [q] Παυσανίην λέγεται εἰ-
83 πεῖν πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων. Ὑστέρῳ
μέντοι χρόνῳ [a] μετὰ ταῦτα καὶ τῶν Πλαταιέων εὗρον
συχνοὶ θήκας χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων
2 χρημάτων. Ἐφάνη δὲ καὶ τόδε ὕστερον [b] ἔτι τούτων,
τῶν νεκρῶν περιψιλωθέντων τὰς σάρκας· συνεφόρεον
γὰρ τὰ [c] ὀστέα οἱ Πλαταιέες ἐς ἕνα χῶρον· εὑρέθη
κεφαλὴ οὐκ ἔχουσα [d] ῥαφὴν οὐδεμίαν, ἀλλὰ ἐξ ἑνὸς
ἐοῦσα ὀστέου· ἐφάνη δὲ καὶ γνάθος, καὶ τὸ [e] ἄνω τῆς
γνάθου, ἔχουσα ὀδόντας μουνοφυέας ἐξ ἑνὸς ὀστέου
πάντας, τούς τε ὀδόντας καὶ [f] τοὺς γομφίους. καὶ
πενταπήχεος ἀνδρὸς ὀστέα ἐφάνη.

Posterioribus quoque temporibus aliquantum auri, argenti etc. a Platæensibus ibidem repertum. Memorabilia oblata, cum Platæenses occisorum ossa unum in locum congererent.

730

84 [a] Ἐπεί τε δὲ Μαρδονίου [b] δευτέρῃ ἡμέρῃ ὁ νεκρὸς
[c] ἠφάνιστο· [d] ὑπ᾽ ὅτευ μὲν [e] ἀνθρώπων, τὸ ἀτρεκὲς

Mardonius a quo sepultus sit, ignorari.

[m] ἐς om. S.V. ἐπιδείξας absque ἐς Athen. [n] ἑκατέρου τῶν δείπνων τὴν παρασκ. Athen. τὴν ante παρασκ. om. F.a.f. [o] ἡμῖν τοῦ Μήδου ἡγεμόνος S. In ἡγεμόνος consentiunt alii fere omnes cum Athenæo. βασιλῆος Ald. τοῦ Μήδου τὴν ἀφ. absque τοῦδε et ἡγεμόνος, Schæferus et Bekkerus. [p] ταλαίπωρον Athen. qui supra ὡς ἡμᾶς. [q] Παυσανίης λέγεται εἰπεῖν S.

83. [a] μετὰ ταῦτα om. K. cf. c. 84. et VII. 33. [b] Ita Valckenærius. Libri ἐπὶ τουτέων. Hic τούτων F.S. [c] ὀστᾶ F. [d] Cf. Pollux II. 37. VII. 81. [e] Sic M.P.K.F.b.c.d. ἐπάνω S.a. edd. vett. [f] τοὺς om. P.S.F.a.

84. [a] Ἔπειτεν δὲ Schæfer. cf. I. 146. ἐπεὶ δὲ V. ἐπὶ δὲ S. ἐπεί τε δὲ Wessel. al. Ib. ἐπεί τε δὲ recte habet. Deest apodosis, ab iis quæ de hac re disputat Herodotus, absorpta. Justo faciliores in illo ἔπειτεν admittendo fuerunt editores Herodoti, quod unus Ælius Dionysius apud Herodotum legit. Vid. Eustath. Il. p. 1158, 38=1215, 33. MATTH. [b] δευτέρῃ om. K. [c] ἠφάνιστο M.P.K.S.V.F.a.b.d. ἠφάνισται c. edd. vett. [d] Sic P.K.F. ὑπό τευ S.V. Wessel. qui provocat ad VI. 5. ὑπὸ ὅτεω Ald. [e] ἀνθρώπου τὸ ἀτρεκέως S.

2 οὐκ ἔχω [f] εἰπεῖν. πολλοὺς δέ τινας ἤδη καὶ παντο-
δαποὺς ἤκουσα θάψαι Μαρδόνιον, καὶ δῶρα μεγάλα
οἶδα λαβόντας πολλοὺς παρὰ Ἀρτόντεω τοῦ Μαρ-
3 δονίου παιδὸς διὰ τοῦτο τὸ ἔργον. ὅστις μέντοι ἦν
αὐτῶν ὁ [g] ὑπελόμενός τε καὶ θάψας τὸν νεκρὸν τὸν
Μαρδονίου, οὐ δύναμαι ἀτρεκέως πυθέσθαι. ἔχει δέ
τινα [h] φάτιν καὶ [i] Διονυσοφάνης, ἀνὴρ Ἐφέσιος,
θάψαι Μαρδόνιον. ἀλλ' ὁ μὲν τρόπῳ τοιούτῳ ἐτάφη.

85 Οἱ δὲ Ἕλληνες ὡς ἐν Πλαταιῇσι τὴν ληίην [a] διεί-
λοντο, [b] ἔθαπτον τοὺς ἑωυτῶν, χωρὶς ἕκαστοι. Λα-
κεδαιμόνιοι μὲν τριξὰς ἐποιήσαντο θήκας. ἔνθα μὲν
τοὺς [c] ἰρένας ἔθαψαν, τῶν [d] καὶ Ποσειδώνιος καὶ
Ἀμομφάρετος ἦσαν καὶ Φιλοκύων τε καὶ Καλλι-
2 κράτης. ἐν μὲν δὴ ἑνὶ τῶν τάφων ἦσαν οἱ ἰρένες· ἐν
δὲ τῷ ἑτέρῳ, οἱ ἄλλοι Σπαρτιῆται· ἐν δὲ τῷ τρίτῳ,
3 οἱ εἵλωτες. [e] οὗτοι μὲν οὕτω ἔθαπτον. Τεγεῆται δὲ
χωρὶς [f] πάντας ἁλέας· καὶ Ἀθηναῖοι [g] τοὺς ἑωυτῶν
ὁμοῦ, καὶ Μεγαρέες τε καὶ Φλιάσιοι τοὺς ὑπὸ τῆς
ἵππου διαφθαρέντας. τούτων μὲν δὴ πάντων πλή-
4 ρεες ἐγένοντο οἱ τάφοι. [h] Τῶν δὲ ἄλλων ὅσοι καὶ
φαίνονται ἐν Πλαταιῇσι ἐόντες τάφοι, τούτους [i] δέ,
ὡς ἐγὼ πυνθάνομαι, [k] ἐπαισχυνομένους τῇ [l] ἀπεστοῖ 731

Græci quomodo sepulti. Cenotaphia Platæis in hujus memoriam pugnæ exstructa, testes vanitatis Græcorum.

[f] εἶπαι] εἰπεῖν S.P.K.F. Mox ἤδη om. S. [g] ὑπονοούμενος S. qui supra αὐτῶν ubi F. et alii αὐτέων. [h] φάτις S. [i] Sic S. Vall. Pausan. IX. 2. Wessel. Διονυσιοφάνης F.a.c.d. al.

85. [a] διείλαντο S.V. [b] ἔθαψαν K. [c] Ita Schæfer. ex em. Valckenærii. ἰρέας et ἰρέες libri. [d] καὶ om. S.V. ἦσαν post Ποσειδώνιος S. [e] οὕτω μὲν οὗτοι ἔθαφθεν S. Vall. [f] πάντας ἔθαψαν ἁλέες vulg. πάντας ἔθαψαν ἁλέας S. Ald. ἔθαψαν om. M.P.K. et credo F. Paris. Leviculus typothetæ error in editione Wesselingiana, literas indicatorias [n] [o] perperam collocantis, Schweighæuserum magnopere turbavit. Deleta [n] ante ἔθαψαν, et scriptis infra [n] πάντας [o] τοὺς, omnia plana fient. [g] τοὺς ἑωυτῶν ὁμοῦ om. S. [h] τῶν δὲ—τάφοι om. S. Citat Plutarch. II. p. 872 F. [i] Sic F.a.S. Vulgo δή. [k] Sic S.V. A.B. Ald. ἀπαισχυν. M.P.K.F. αἰσχυν. Plutarch. [l] ἀποστοὶ τῆς μάχης ἐγένοντο ἑκαστ. S. ἀπεστύϊ conj. Valckenærius. cf. ad I. 85.

τῆς μάχης, ἑκάστους [m] χώματα χῶσαι [n] κεινὰ, τῶν
5 [o] ἐπιγινομένων [p] εἵνεκεν ἀνθρώπων. ἐπεὶ καὶ Αἰγι-
νητέων ἐστὶ αὐτόθι καλεόμενος τάφος, τὸν ἐγὼ
ἀκούω καὶ δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα, δεηθέντων
[q] τῶν Αἰγινητέων, χῶσαι [r] Κλεάδην τὸν Αὐτοδίκου,
ἄνδρα Πλαταιέα, πρόξεινον [s] ἐόντα [t] αὐτῶν.

86 Ὡς δ' ἄρα ἔθαψαν τοὺς νεκροὺς ἐν Πλαταιῇσι οἱ
Ἕλληνες, αὐτίκα [a] βουλευομένοισί σφι ἐδόκεε [b] στρα-
τεύεσθαι ἐπὶ τὰς Θήβας, καὶ ἐξαιτέειν αὐτῶν τοὺς
μηδίσαντας· ἐν πρώτοισι δὲ αὐτῶν Τιμηγενίδην καὶ
[c] Ἀτταγῖνον, οἳ ἀρχηγέται ἀνὰ πρώτους ἦσαν· ἢν
δὲ μὴ ἐκδιδῶσι, μὴ ἀπανίστασθαι [d] ἀπὸ τῆς πόλιος
2 πρότερον ἢ ἐξέλωσι. ὡς δέ σφι ταῦτα ἔδοξε, οὕτω
δὴ ἑνδεκάτῃ ἡμέρῃ ἀπὸ τῆς συμβολῆς ἀπικόμενοι
ἐπολιόρκεον Θηβαίους, κελεύοντες ἐκδιδόναι τοὺς
3 ἄνδρας. οὐ βουλομένων δὲ τῶν Θηβαίων ἐκδιδόναι,
τήν τε γῆν αὐτῶν ἔταμνον, καὶ [e] προσέβαλλον πρὸς
87 τὸ τεῖχος. Καὶ οὐ γὰρ ἐπαύοντο [a] σινεόμενοι, εἰ-
κοστῇ ἡμέρῃ ἔλεξε τοῖσι Θηβαίοισι [b] Τιμηγενίδης
τάδε· "Ἄνδρες Θηβαῖοι, ἐπειδὴ οὕτω δέδοκται τοῖσι
"Ἕλλησι, μὴ πρότερον ἀπαναστῆναι πολιορκέοντας
"[c] ἢ ἐξέλωσι Θήβας, ἢ ἡμέας [d] αὐτοῖσι παραδῶτε,
"νῦν ὦν ἡμέων εἵνεκα γῆ ἡ Βοιωτίη [e] πλέω μὴ

Paucis post pugnam diebus Græci Thebas versus movent, Thebanosque, ut defectionis auctores

ad pœnam tradant, compellunt.

[m] χώματα Suid. in v. [n] Sic Plutarch. V.S.K.F.a.b.d. i. e. *vacua, inania*, mera *cenotaphia*. κοινὰ c. edd. vett. [o] ἐπιγεινομένων F. [p] Sic V.S.P.K.F. Schæfer. εἵνεκα Ald. Wessel. [q] Sic P.K.F. τῶν om. S. al. [r] Ἀλεάδην M.K.P.F.b. [s] ὄντα F. πρόξενόν S. [t] Sic S.V.P.F. Paris. ἑωϋτῶν al. cf. VII. 5.

86. [a] βουλόμενοισί σφιν F. [b] Sic S.V.K. Ald. Wessel. στρατεύειν M.P.F. Gronov. VI. 7. [c] Ἀττατῖνον a.c. et sic infra 88. [d] ἀπὸ τῆς—ἐξέλωσι om. S. [e] προσέβαλον S.

87. [a] Sic S. σινόμενοι al. Bekker. [b] Τιμογενίδης b. Mox οὔτε δέδοκται S. [c] Sic M.P.K.V.S.F. Paris. πρὶν ἢ ἐξ. al. [d] αὐτοῖσι om. S. qui παραδότε. [e] πλέω om. S.

2 “ [f] ἀναπλήσῃ. ἀλλ᾽, [g] εἰ μὲν χρημάτων χρηΐζοντες
“ πρόσχημα ἡμέας ἐξαιτέονται, χρήματά σφι δῶμεν
“ ἐκ τοῦ κοινοῦ· (σὺν γὰρ τῷ κοινῷ καὶ ἐμηδίσα-
3 “ μεν, [h] οὐδὲ μοῦνοι ἡμέες.) εἰ δὲ ἡμέων ἀληθέως
“ δεόμενοι πολιορκέουσι, ἡμεῖς ἡμέας αὐτοὺς ἐς ἀντιλο-
4 “ γίην παρέξομεν.” Κάρτα τε ἔδοξε εὖ λέγειν, καὶ ἐς
καιρόν· αὐτίκα τε ἐπεκηρυκεύοντο πρὸς Πausανίην

88

Attaginus [c. 15.] quidem aufugit: Timagenidas [c. 38.] cum cæteris capite plectuntur.

οἱ Θηβαῖοι, θέλοντες ἐκδιδόναι τοὺς ἄνδρας. Ὡς δὲ
ὡμολόγησαν ἐπὶ τούτοισι, Ἀτταγῖνος μὲν ἐκδιδρήσκει
[a] ἐκ τοῦ ἄστεος· παῖδας δὲ [b] αὐτοῦ ἀπαχθέντας Παυ-
σανίης ἀπέλυσε τῆς αἰτίης, φὰς τοῦ μηδισμοῦ παῖδας
2 οὐδὲν εἶναι μεταιτίους. τοὺς δὲ ἄλλους ἄνδρας [c] τοὺς
ἐξέδοσαν οἱ Θηβαῖοι, οἱ μὲν ἐδόκεον ἀντιλογίης τε
κυρήσειν, καὶ δὴ χρήμασι [d] ἐπεποίθεσαν διωθέεσθαι·
[e] ὁ δὲ ὡς παρέλαβε, αὐτὰ ταῦτα ὑπονοέων, τὴν στρα- 73[2]
τιὴν τὴν τῶν συμμάχων ἅπασαν ἀπῆκε, καὶ ἐκείνους
ἀγαγὼν ἐς Κόρινθον, διέφθειρε. Ταῦτα μὲν τὰ ἐν
Πλαταιῇσι καὶ Θήβῃσι [f] γενόμενα.

89

Artabazus qua via quoque modo cum reliquiis copiarum Mardonii [c. 66.] in Asiam redierit.

Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος, φεύγων ἐκ Πλα-
ταιέων, καὶ δὴ [a] καὶ πρόσω [b] ἐγίνετο. Ἀπικόμενον
δέ μιν οἱ Θεσσαλοὶ παρὰ σφέας ἐπί τε ξείνια ἐκά-
λεον, καὶ [c] ἀνειρώτευν περὶ τῆς στρατιῆς τῆς ἄλλης,
2 οὐδὲν ἐπιστάμενοι τῶν ἐν Πλαταιῇσι γενομένων. ὁ
δὲ Ἀρτάβαζος, γνοὺς ὅτι εἰ [d] ἐθέλοι σφι πᾶσαν τὴν

[f] Sic M.P.K.S.F. Paris. ἀνατλήσῃ al. [g] ἢν μὲν—ἐξαιτέωνται S.V. [h] Sic S.K.F.b.d. οὐ δὴ μ. Wessel. al. Mox ἑωυτοὺς Ald.

88. [a] ἐπὶ τοῦ F. [b] αὐτοῦ om. S. [c] οὓς ἐξέδ. F. [d] Sic S.V.a.d. ed. Genev. ἐπεπείθεσαν Ald. c. ἐπεπύθεον M.P.K. ἐπεπόθεον F.b. Mox διώσασθαι S. [e] ὡς δὲ F.a. [f] Sic S.P.V.F. Paris. γινόμενα Ald.

89. [a] Sic b. Vulgo καὶ sec. om. [b] ἐγένετο S.V.K. Schæfer. [c] ἀνειρώτευν K.V. Wessel. ἀνειρώτων S.P. ἀνηρώτευν F. al. [d] ἐθέλει S.V.F.d. Schæfer.

[e]ἀληθηΐην τῶν ἀγώνων [f]εἰπεῖν, [g]αὐτός τε κινδυνεύσει
ἀπολέσθαι καὶ ὁ μετ' αὐτοῦ στρατός· (ἐπιθήσεσθαι
γάρ οἱ πάντα τινὰ [h]οἴετο πυνθανόμενον τὰ γεγο-
νότα·) ταῦτα ἐκλογιζόμενος, οὔτε πρὸς τοὺς Φωκέας
[i]ἐξαγόρευε οὐδὲν, πρός τε τοὺς Θεσσαλοὺς ἔλεγε
3 τάδε· "Ἐγὼ μὲν, ὦ ἄνδρες Θεσσαλοὶ, ὡς ὁρᾶτε,
"ἐπείγομαί τε κατὰ [k]τὴν ταχίστην [l]ἐλῶν ἐς Θρηΐ-
"κην, καὶ σπουδὴν ἔχω, πεμφθεὶς κατά τι πρῆγμα
4 "ἐκ τοῦ στρατοπέδου μετὰ τῶνδε. αὐτὸς δὲ ὑμῖν
"Μαρδόνιος, καὶ ὁ στρατὸς [m]αὐτοῦ, οὗτος κατὰ
"πόδας [n]ἐμεῦ ἐλαύνων προσδόκιμός ἐστι. [o]τοῦτον
"καὶ ξεινίζετε, καὶ εὖ ποιεῦντες φαίνεσθε· οὐ γὰρ
5 "ὑμῖν ἐς χρόνον ταῦτα ποιεῦσι μεταμελήσει." Ταῦ-
τα δὲ εἴπας, [p]ἀπέλαυνε σπουδῇ τὴν στρατιὴν διὰ
Θεσσαλίης τε καὶ Μακεδονίης ἰθὺ τῆς Θρηΐκης, ὡς
ἀληθέως ἐπειγόμενος, καὶ τὴν μεσόγαιαν τάμνων
6 τῆς ὁδοῦ. καὶ ἀπικνέεται ἐς Βυζάντιον, καταλιπὼν
τοῦ στρατοῦ τοῦ ἑαυτοῦ συχνοὺς ὑπὸ Θρηΐκων [q]τε
κατακοπέντας κατ' ὁδὸν, καὶ λιμῷ συστάντας καὶ
καμάτῳ· ἐκ Βυζαντίου δὲ διέβη πλοίοισι. [r]Οὗτος
μὲν οὕτω ἀπενόστησε ἐς τὴν Ἀσίην.

90 Τῆς δὲ αὐτῆς ἡμέρης τῆσπερ ἐν Πλαταιῇσι τὸ
τρῶμα ἐγένετο, συνεκύρησε γενέσθαι καὶ ἐν [a]Μυκάλῃ
2 τῆς Ἰωνίης. [b]Ἐπεὶ γὰρ δὴ ἐν τῇ Δήλῳ [c]κατέατο οἱ

Transit Herodotus ad pugnam Mycalensem eodem

[e] ἀληθείην F.S. [f] εἶπαι] εἰπεῖν S.V.P.K.F. [g] ωὐτός K. [h] ὤιετο P.K. ὠΐετο F. Mox τοὺς ante Φωκέας om. S. [i] Sic F. ἐξηγόρευε vulg. Mox οὐδεὶς F. [k] τὴν om. P.K.F.d. κατατάχιστα S. [l] Sic M.P.V.S.F. Paris. ἐλθὼν K. ἐλθεῖν Ald. [m] αὐτοῦ om. b. [n] Sic M.P.K.F. Paris. Wessel. μοῦ al. Deest S. [o] Sic M.P.S.V.K.F.a.b. d. καὶ al. om. τοῦ τὸν ἐξεν. c. καὶ om. F. ante εὖ. [p] ἀπήλαυνε F. Mox τέμνων S. [q] τε om. K.P.F.a. [r] Sic S.V. Schæfer. αὐτὸς Wessel. al.

90. [a] Μυκάλλῃ S. [b] Sic P.F. ἐπειδὴ γὰρ S. al. [c] Sic P.K.F. a.b.c. Schæfer. ἐκατέατο Wessel. al. cf. III. 144. καθέατο S.

quo Græci ad Platæas vicerunt die pugnatam. Græcorum copiæ navales dum Deli sedent [8. 132.], legati Samiorum adeunt duces, eosque, ut Ioniam ad defectionem paratam liberent, obtestantur.

Ἕλληνες, οἱ ἐν τῇσι νηυσὶ ἅμα Λευτυχίδῃ τῷ Λακε-
δαιμονίῳ ἀπικόμενοι, ἦλθόν σφι ἄγγελοι ἀπὸ Σάμου,
Λάμπων τε [d] Θρασυκλέος καὶ Ἀθηναγόρης Ἀρχε-
στρατίδεω καὶ Ἡγησίστρατος Ἀρισταγόρεω, πεμ-
φθέντες ὑπὸ Σαμίων λάθρῃ τῶν τε Περσέων καὶ τοῦ
τυράννου [e] Θεομήστορος τοῦ Ἀνδροδάμαντος, τὸν
3 κατέστησαν [f] Σάμου τύραννον οἱ Πέρσαι. ἐπελθόντων 773
δέ σφεων ἐπὶ τοὺς στρατηγοὺς, ἔλεγε Ἡγησίστρατος
πολλὰ καὶ παντοῖα· ὡς ἢν μοῦνον ἴδωνται αὐτοὺς οἱ
Ἴωνες, [g] ἀποστήσονται ἀπὸ Περσέων, καὶ ὡς οἱ βάρ-
βαροι οὐκ ὑπομενέουσι· ἢν δὲ καὶ ἄρα [h] ὑπομείνωσι,
4 οὐκ ἑτέρην ἄγρην τοιαύτην εὑρεῖν [i] ἂν αὐτούς. θεούς
τε κοινοὺς ἀνακαλέων, προέτρεπε αὐτοὺς ῥύσασθαι
ἄνδρας Ἕλληνας ἐκ δουλοσύνης, καὶ ἀπαμῦναι τὸν
βάρβαρον· εὐπετές τε αὐτοῖσι, ἔφη, ταῦτα γίνεσθαι·
τάς τε γὰρ [k] νέας αὐτῶν κακῶς πλέειν, καὶ οὐκ ἀξιο-
μάχους κείνοισι εἶναι· αὐτοί τε, εἴ τι ὑποπτεύουσι μὴ
δόλῳ αὐτοὺς [l] προάγοιεν, [m] ἑτοῖμοι εἶναι ἐν τῇσι νηυσὶ
τῇσι ἐκείνων ἀγόμενοι ὅμηροι εἶναι.

91

Samiorum preces auditæ,

Ὡς δὲ πολλὸς
ἦν λισσόμενος ὁ ξεῖνος [a] ὁ Σάμιος, [b] εἴρετο [c] Λευτυ-
χίδης, εἴτε κληδόνος εἵνεκεν θέλων πυθέσθαι, εἴτε
[d] καὶ κατὰ συντυχίην, θεοῦ ποιεῦντος· "Ὦ ξεῖνε
"Σάμιε, τί τοι [e] τὸ οὔνομα;" ὁ δὲ εἶπε, "Ἡγησί-
2 "στρατος." ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον,

[d] Θρασυκλῆος] ὁ Θρασυκλέος S.V.K. Θρασικλέους F. Mox Ἀρχιστρατίδεω S. [e] Θεομνήτορος S. Θεομήτορος M.K. cf. VIII. 85. [f] τύραννον Σάμου S. Tum οἱ Πέρσαι om. K. [g] Sic Ald. mss. ἀποστήσωνται ed. Steph. 2. et seqq. [h] Sic Ald. mss. ὑπομένωσι Steph. al. ἢν δὲ καὶ ἄρα οὐκ ὑπομενέουσι F. [i] ἂν om. S. [k] νῆας] νέας S.V.F. [l] προαγάγοιεν S.V. [m] Sic S.V.P.F. ἐν τῇσι ν. ἑτ. εἶ. Wessel. al.

91. [a] ὁ om. F.a.b.f. [b] ἤρετο F.f. qui mox εἵνεκεν pro εἵνεκε. εἵνεκα S. [c] *Eutychides* Valla hic et alibi. ὁ Λευτ. S. [d] καὶ om. S. [e] τὸ om. S.V.

εἴ τινα [f] ὅρμητο λέγειν ὁ Ἡγησίστρατος, εἶπε· "Δέ-
"κομαι [g] τὸν οἰωνὸν, τὸν Ἡγησίστρατον, ὦ ξεῖνε
3 "Σάμιε· σὺ δὲ ἡμῖν ποίεε ὅκως αὐτός τε δοὺς πίστιν
"ἀποπλεύσεαι, καὶ οἱ σὺν σοὶ ἐόντες οἵδε, [h] ἦ μὲν
"Σαμίους ἡμῖν [i] προθύμους ἔσεσθαι συμμάχους."

92 Ταῦτά τε ἅμα ἠγόρευε, καὶ τὸ ἔργον [a] προσῆγε. αὐ-
τίκα γὰρ οἱ Σάμιοι πίστιν τε καὶ ὅρκια ἐποιεῦντο
2 συμμαχίης πέρι πρὸς τοὺς Ἕλληνας. ταῦτα δὲ ποιή-
σαντες, [aa] οἱ μὲν ἀπέπλεον· μετὰ σφέων γὰρ ἐκέλευε
[b] πλέειν [c] τὸν Ἡγησίστρατον, οἰωνὸν τὸ οὔνομα ποι-
3 εύμενος. οἱ δὲ Ἕλληνες, ἐπισχόντες ταύτην τὴν ἡμέ-
ρην, τῇ ὑστεραίῃ ἐκαλλιερέοντο, μαντευομένου σφι
[d] Δηϊφόνου τοῦ Εὐηνίου, ἀνδρὸς Ἀπολλωνιήτεω,
Ἀπολλωνίης δὲ τῆς ἐν τῷ [e] Ἰονίῳ κόλπῳ.

fœdusque ad libertatem Ionibus parandam inter Leotychidem ac legatos factum.

93 [a] Τοῦ τὸν πατέρα κατέλαβε Εὐήνιον πρῆγμα τοι-
όνδε. [b] Ἔστι ἐν τῇ Ἀπολλωνίῃ ταύτῃ ἱρὰ ἡλίου
πρόβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ ποταμὸν,
ὃς ἐκ [c] Λάκμωνος οὔρεος ῥέει διὰ τῆς Ἀπολλωνίης
χώρης ἐς θάλασσαν, παρ' [d] Ὤρικον λιμένα· τὰς δὲ
νύκτας [e] ἀραιρημένοι ἄνδρες οἱ πλούτῳ τε καὶ γένεϊ
δοκιμώτατοι τῶν ἀστῶν, οὗτοι φυλάσσουσι ἐνιαυτὸν

Digressio de Euenio Apolloniata. Sacra Soli pecora Apolloniæ. Ea quomodo et a quibus custodiantur.

734

Euenius ob neglectam

[f] Sic S.V. ὥρμητο al. [g] Sic S. Valla. τ. οἰ. τ. Ἡγησιστράτου Wessel. Ald. F. Paris. al. τὸν Ἡγ. uncis seclusit Schæfer. secutus Valckenærium. [h] Sic F.a. Schæfer. ἦ μὴν Wessel. S. al. [i] Sic P.K.S.V.F. Paris. Vall. προθύμως edd. vett.

92. [a] προῆγεν S. Quod ipsum conjectura assecutus Schweighæuserus postea repudiavit, vulgatum interpretatus, *et sermoni rem ipsam adjecit*, i. e. *et rem ipsam præstitit*. Mox τοὺς om. F. ante Ἕλληνας. [aa] Bekkerus conj. οἱ μὲν δύο. [b] Sic M.P.K.S.V. Vall. F. Paris. ποιέειν edd. vett. [c] τὸν Ἡγησ. om. S.V. Vall. [d] Δηϊοφόνου F. qui vulg. habet infra. [e] τῷ Ἰονικῷ S. (ex em. Fuisse videtur Ἰωνικῷ) Vall. τῷ vulgo omissum præbent F.a.

93. [a] Sic S.V. Schæfer. τούτου Wessel. al. [b] Attigit Eustath. Od. p. 1717, 44=482, 9. Mox ἃ τὰς S. [c] Λάκμονος S.F.c. ὄρεος S. [d] Cf. Eustath. Dionys. 398. [e] ἀναιρ. F.

eorum custodiam a suis civibus excæcatus: ideoque dii Apolloniatis irati.

2 [f] ἕκαστος. περὶ πολλοῦ [g] γὰρ δὴ ποιεῦνται Ἀπολ-
3 λωνιῆται τὰ πρόβατα ταῦτα, ἐκ θεοπροπίου τινός. ἐν
δὲ ἄντρῳ αὐλίζονται, [h] ἀπὸ τῆς πόλιος ἑκάς. ἔνθα δὴ
τότε ὁ Εὐήνιος οὗτος ἀραιρημένος ἐφύλασσε. καί
κοτε αὐτοῦ [i] κατακοιμήσαντος τὴν φυλακὴν, παρελ-
θόντες λύκοι ἐς τὸ ἄντρον, διέφθειραν τῶν προβάτων
4 ὡς ἑξήκοντα. ὁ δὲ, ὡς [k] ἐπήϊσε, εἶχε σιγῇ καὶ [l] ἔφραζε
οὐδενὶ, ἐν νόῳ ἔχων ἀντικαταστήσειν ἄλλα πριάμενος.
5 καὶ οὐ γὰρ ἔλαθε τοὺς Ἀπολλωνιήτας ταῦτα γενό-
μενα, [m] ἀλλ' ὡς ἐπύθοντο, ὑπαγαγόντες μιν [n] ὑπὸ
δικαστήριον, κατέκριναν, ὡς τὴν φυλακὴν [o] κατακοι-
6 μήσαντα, τῆς ὄψιος στερηθῆναι. Ἐπεί τε δὲ τὸν
Εὐήνιον ἐξετύφλωσαν, αὐτίκα μετὰ ταῦτα οὔτε πρό-
βατά σφι ἔτικτε, οὔτε γῆ ἔφερε ὁμοίως [p] καρπόν.
7 [q] πρόφαντα δέ σφι ἔν τε Δωδώνῃ καὶ ἐν Δελφοῖσι
[r] ἐγίνετο, ἐπεί τε [s] ἐπειρώτευν τοὺς προφήτας τὸ αἴ-
τιον τοῦ παρεόντος κακοῦ· οἱ δὲ αὐτοῖσι ἔφραζον, ὅτι
ἀδίκως τὸν φύλακον τῶν [t] ἱρῶν προβάτων Εὐήνιον
8 τῆς ὄψιος ἐστέρησαν. αὐτοὶ γὰρ ἐπορμῆσαι [v] τοὺς
λύκους· οὐ πρότερόν τε παύσεσθαι τιμωρέοντες
ἐκείνῳ, πρὶν ἢ δίκας [w] δῶσι τῶν ἐποίησαν ταύτας τὰς
ἂν αὐτὸς [x] ἕληται καὶ δικαιοῖ· τούτων δὲ τελεομένων,

[f] ἕκαστοι F. [g] γὰρ om. P.K. δὴ om. F. τε δὴ S. [h] ἀπὸ om. unus ms. [i] κατακοιμίσαντος primo scriptum sed statim correctum in S. Tum τὴν om. P.K.F. [k] ἐπῇσε K.F. ἐποίησεν S. [l] ἔφραξε S. qui mox ἐνίῳ pro ἐν νόῳ. [m] ὡς δὲ S. pro ἀλλ' ὡς. Qui mox ὑπάγοντες. [n] Sic M.P.K.S.V.F.a.d. ἐς τὸ δικ. al. εἰς τὸ δ. c. κατέκριναν om. S. [o] κατακοιμήσαντες d. Mox οὔτε τὰ πρόβατα S. [p] καρπὸν om. S. sed cf. III. 65. [q] πρόβατα S.V. Vall. [r] Sic Ald. et al. ἐγένετο S.V. Wessel. Mox ἐπεί τε pro ἔπειτα ex Reiskii em. recepit Schweigh. [s] ἐπηρώτευν F. ἐπειρώτων S.K. [t] ἱρῶν om. F. [v] ἐς τοὺς λ. F. Mox παύσασθαι S. Tum ἐκείνῳ post τιμωρέοντες om. S. [w] δώσειν S.P.F. [x] ἕλοιτο b. qui mox δίκην pro δόσιν.

αὐτοὶ δώσειν Εὐηνίῳ δόσιν τοιαύτην τὴν πολλούς
94 μιν μακαριεῖν ἀνθρώπων ἔχοντα. Τὰ μὲν χρηστήρια
ταῦτά σφι ἐχρήσθη. οἱ δὲ Ἀπολλωνιῆται, ἀπόρρητα
ποιησάμενοι, προέθεσαν τῶν [a] ἀστῶν ἀνδράσι δια-
2 πρῆξαι. οἱ δέ σφι διέπρηξαν ὧδε. κατημένου Εὐηνίου
ἐν θώκῳ, ἐλθόντες οἱ παρίζοντο, καὶ λόγους ἄλλους
ἐποιεῦντο, ἐς ὃ κατέβαινον συλλυπεύμενοι τῷ πάθεϊ.
3 ταύτῃ δὲ ὑπάγοντες, [b] εἰρώτεον τίνα δίκην ἂν ἕλοιτο,
εἰ ἐθέλοιεν Ἀπολλωνιῆται δίκας ὑποστῆναι δώσειν
4 τῶν ἐποίησαν. Ὁ δὲ, οὐκ ἀκηκοὼς τὸ θεοπρόπιον,
εἵλετο εἴπας· εἴ τίς οἱ δοίη ἀγροὺς τῶν ἀστῶν, ὀνο-
μάσας τοῖσι ἠπίστατο εἶναι καλλίστους δύο κλή-
ρους τῶν ἐν τῇ Ἀπολλωνίῃ· καὶ οἴκησιν πρὸς τού-
τοισι, τὴν ᾔδεε καλλίστην ἐοῦσαν τῶν ἐν [c] τῇ πόλι·
τούτων δὲ, ἔφη, [d] ἐπήβολος γενόμενος, τοῦ λοιποῦ 735
ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρᾶν γενο-
5 μένην. Καὶ ὁ μὲν ταῦτα ἔλεγε, οἱ δὲ πάρεδροι
εἶπαν ὑπολαβόντες· "Εὐήνιε, ταύτην δίκην Ἀπολ-
"λωνιῆται τῆς ἐκτυφλώσιος [e] ἐκτίνουσί τοι κατὰ θεο-
6 "πρόπια τὰ γενόμενα." Ὁ μὲν δὴ πρὸς ταῦτα δεινὰ
ἐποιέετο, ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς
ἐξαπατηθείς· οἱ δὲ, πριάμενοι παρὰ τῶν [f] ἐκτημένων,
7 διδοῦσί οἱ τὰ εἵλετο. καὶ μετὰ ταῦτα αὐτίκα ἔμφυτον
μαντικὴν εἶχε, ὥστε καὶ [g] οὐνομαστὸς γενέσθαι.

Quam pœnam Apolloniatæ oraculi jussu Euenio dederint. Idem clarus arte vaticinandi.

95 Τούτου [a] δὴ ὁ Δηΐφονος ἐὼν παῖς τοῦ Εὐηνίου,
[b] ἀγόντων Κορινθίων, ἐμαντεύετο τῇ στρατιῇ. Ἤδη

Hujus Euenii filius Deïphonus,

94. [a] ἀστέων] ἀστῶν K.F.S. [b] Sic P.K.V. ἠρώτεον al. ἠρώτων F. εἰρώτων S. qui supra συλλυπούμενοι. [c] τῇ om. P.F. [d] ἐπίβ. S. [e] ἐκτ. τε S.F. Mox τὰ ante θεοπρόπια om. S. cum F.a. [f] κεκτημ. F. Mox ἔμφυτον αὐτίκα S. [g] οὐνομαστὸν S. ὀνομαστὸς F. Supra καὶ om. b.

95. [a] δὴ ὁ om. S. qui mox om. ὁ ante Δηΐφονος. [b] ἀγαγόντων S.V.

Græcæ classis tum vates,

δὲ καὶ τόδε ἤκουσα, ὡς ὁ Δηΐφονος ἐπιβατεύων τοῦ
Εὐηνίου οὐνόματος, ἐξελάμβανε [c] ἐπιὼν τὴν Ἑλλάδα
96 [d] ἔργα, οὐκ ἐὼν Εὐηνίου παῖς. Τοῖσι δὲ Ἕλλησι ὡς

postquam sacris factis perlitasset, Græci Samum versus provehuntur. Audito hostem appropinquare, Xerxis classiarii, Samo relicta [8,130.] ad Mycalen, ubi copiæ regis pedestres castra habebant, se conferunt.

ἐκαλλιέρησε, ἀνῆγον τὰς [a] νέας ἐκ τῆς Δήλου πρὸς 1
τὴν Σάμον. ἐπεὶ δὲ ἐγένοντο τῆς Σαμίης πρὸς [b] Καλάμοισι, οἱ μὲν αὐτοῦ [c] ὁρμισάμενοι κατὰ τὸ Ἡραῖον
2 τὸ ταύτῃ, παρεσκευάζοντο [d] ἐς ναυμαχίην. οἱ δὲ
Πέρσαι, πυθόμενοί σφεας προσπλέειν, ἀνῆγον καὶ
αὐτοὶ πρὸς τὴν ἤπειρον τὰς νέας τὰς ἄλλας, τὰς δὲ
Φοινίκων ἀπῆκαν ἀποπλέειν. βουλευομένοισι γάρ σφι
ἐδόκεε ναυμαχίην μὴ ποιέεσθαι· οὐ γὰρ ὦν ἐδόκεον
3 ὁμοῖοι εἶναι. ἐς δὲ τὴν ἤπειρον [e] ἀπέπλεον, ὅκως ἔωσι
ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον, ἐόντα ἐν τῇ
[f] Μυκάλῃ· ὃς, κελεύσαντος Ξέρξεω, καταλελειμμένος
4 τοῦ ἄλλου στρατοῦ, Ἰωνίην ἐφύλασσε. τοῦ [g] πλῆθος
μὲν ἦν ἓξ μυριάδες· ἐστρατήγεε δὲ αὐτοῦ Τιγράνης,
5 κάλλεΐ τε καὶ μεγάθεϊ ὑπερφέρων Περσέων. [h] Ὑπὸ
τοῦτον μὲν δὴ τὸν στρατὸν ἐβουλεύσαντο καταφυγόντες [i] οἱ τοῦ ναυτικοῦ στρατηγοὶ ἀνειρύσαι τὰς
νέας, καὶ περιβαλέσθαι ἕρκος, [k] ἔρυμα τῶν νεῶν, καὶ
97 σφέων αὐτῶν κρησφύγετον. Ταῦτα βουλευσάμενοι,

Ibi naves subductæ valloque munitæ.

ἀνήγοντο. ἀπικόμενοι δὲ παρὰ τὸ τῶν Ποτνιέων ἱρὸν
τῆς Μυκάλης ἐς Γαίσωνά τε καὶ Σκολοπόεντα, τῇ
Δήμητρος Ἐλευσινίης [a] ἐστὶν ἱρὸν, τὸ Φίλιστος ὁ

[c] ἐπιὼν Reiskii conjecturam recepit Schweighæuserus. ἐπὶ libri omnes. [d] ἔργῳ K.

96. [a] νῆας] νέας S.K.F. et deinde. [b] Sic Athenæus XIII. p. 572 F. Καλαμίσοισι edd. et mss. præter S. qui habet Λαμίοισιν. [c] ὁρμησ. P.F.S. [d] Sic M.P.K.F.S.V. Paris. ὡς ἐς ν. vulg. [e] ἀπέπλεον om. M.P.K.F.b. [f] Μυκάλλῃ S. [g] πλήθεος S. qui τε om. post κάλλεϊ. Mox ἦν om. Bekker. [h] Sic M.P.K.S.V.F. Paris. ἐπὶ vulg. [i] οἱ τοῦ ν. σ. om. S. [k] ἔρημα S.

97. [a] Sic S.V. Schæfer. ἐστὶν om. al. Supra Μυκάλλης S. et c. 98.

[b] Πασικλέος ἱδρύσατο, Νείλεῳ τῷ Κόδρου [c] ἐπισπό-
μενος ἐπὶ Μιλήτου [d] κτιστύν· ἐνθαῦτα τάς τε [e] νέας 736
ἀνείρυσαν, καὶ περιεβάλοντο ἕρκος καὶ λίθων καὶ
ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας
2 [f] περὶ τὸ ἕρκος κατέπηξαν. καὶ παρεσκευάδατο ὡς
πολιορκησόμενοι, καὶ ὡς νικήσοντες, ἐπ' ἀμφότερα·
ἐπιλεγόμενοι γὰρ [g] παρεσκευάζοντο.

98 Οἱ δὲ Ἕλληνες, ὡς ἐπύθοντο οἰχωκότας τοὺς βαρ-
βάρους ἐς τὴν ἤπειρον, ἤχθοντο ὡς ἐκπεφευγότων·
[a] ἐν ἀπορίῃ τε εἴχοντο ὅ τι ποιέωσι, εἴτε ἀπαλλάσ-
σωνται ὀπίσω, εἴτε καταπλέωσι ἐπ' Ἑλλησπόντου.
2 τέλος δ' ἔδοξε τούτων μὲν μηδέτερα ποιέειν, ἐπιπλέειν
δὲ ἐπὶ τὴν ἤπειρον. παρασκευασάμενοι ὦν ἐς ναυμα-
χίην καὶ ἀποβάθρας καὶ [b] τὰ ἄλλα ὅσων ἔδεε, ἔπλεον
3 ἐπὶ τῆς Μυκάλης. Ἐπεὶ δὲ ἀγχοῦ τε ἐγίνοντο τοῦ
στρατοπέδου, καὶ οὐδεὶς ἐφαίνετό σφι ἐπαναγόμενος,
ἀλλὰ ὥρων νέας ἀνελκυσμένας ἔσω τοῦ τείχεος, πολ-
λὸν δὲ πεζὸν [c] παρακεκριμένον [d] παρὰ τὸν αἰγιαλόν·
ἐνθαῦτα πρῶτον μὲν ἐν τῇ νηῒ παραπλέων, [e] ἐγχρίμ-
ψας τῷ αἰγιαλῷ τὰ μάλιστα Λευτυχίδης, ὑπὸ κήρυ-
4 κος προηγόρευε τοῖσι Ἴωσι λέγων· "Ἄνδρες Ἴωνες,
" [f] ὅσοι ὑμέων τυγχάνουσι ἐπακούοντες, μάθετε τὰ
" λέγω· πάντως γὰρ οὐδὲν συνήσουσι Πέρσαι τῶν
" ἐγὼ ὑμῖν ἐντέλλομαι. ἐπεὰν συμμίσγωμεν, μεμνῆ-

Secutis Græcis, Leotychides primum Iones in barbarorum exercitu militantes ad deficiendum sollicitat,

[b] Πασικλῆος] Πασικλέος b.F.S. [c] ἐπισπομένου M.P.K. Vulg. habet Eustath. Dionys. 823. cum S. [d] Sic S.V.M.P.K.F. Paris. Portus, Eustath. Il. p. 1180, 7=1245, 40. κτιστὴν al. [e] νέας F.S. Mox περιεβάλλοντο S. et om. καὶ ante λίθων. [f] παρὰ d. [g] παρεσκευάδατο] παρεσκευάζοντο S.V.P.K.F. alteram lect. Bekkerus.

98. [a] Sic S.V. Schæfer. ἐν al. om. cf. I. 190. IV. 131. VIII. 135. III. 129. Mox τι pro ὅ τι S. [b] Sic S.V. Schæfer. τὰ om. al. Mox σφιν ἐφαίνετο S. [c] παρακεκρυμμένον S. qui supra νέας. [d] περὶ d. [e] ἐγχρίψας Ald. K.V.F.a. ἐγχρίμψας M.S.P.a. cf. II. 60. [f] Sic S.V. Schæfer. οἱ vulg.

“ σθαί τινα χρὴ ἐλευθερίης μὲν [g] πάντων πρῶτο
5 “ μετὰ δὲ, τοῦ συνθήματος Ἥβης. καὶ τάδε ἴστω κ
“ ὁ μὴ [h] ἐσακούσας ὑμέων πρὸς τοῦ [i] ἐπακούσαντος.
[k] ὡὐτὸς δὴ οὗτος ἐὼν τυγχάνει νόος τοῦ πρήγματο
6 καὶ ὁ Θεμιστοκλέος ὁ ἐπ' Ἀρτεμισίῳ. ἢ γὰρ δὴ λα
θόντα τὰ ῥήματα τοὺς βαρβάρους ἔμελλε τοὺς Ἴωνα
πείσειν, ἢ [l] ἔπειτα ἀνενειχθέντα ἐς τοὺς βαρβάρου
ποιήσειν ἀπίστους τοῖσι Ἕλλησι.

99 Λευτυχίδεω δὲ ταῦτα ὑποθεμένου, δευτέρα [a] δ
τάδε ἐποίευν οἱ Ἕλληνες. προσχόντες τὰς νέας
ἀπέβησαν ἐς τὸν αἰγιαλόν· καὶ οὗτοι μὲν ἐτάσσοντ
2 Οἱ δὲ Πέρσαι, ὡς εἶδον τοὺς Ἕλληνας παρασκευαζο
μένους ἐς μάχην, καὶ τοῖσι Ἴωσι παραινέσαντα
τοῦτο μὲν, ὑπονοήσαντες τοὺς Σαμίους τὰ Ἑλλήνω
3 φρονέειν, ἀπαιρέονται τὰ ὅπλα. οἱ γὰρ ὦν Σάμιοι
ἀπικομένων Ἀθηναίων αἰχμαλώτων ἐν τῇσι νηυσ
τῶν βαρβάρων, τοὺς ἔλαβον ἀνὰ τὴν Ἀττικὴν λε
λειμμένους [b] οἱ Ξέρξεω, τούτους λυσάμενοι πάντας
ἀποπέμπουσι ἐποδιάσαντες ἐς [c] τὰς Ἀθήνας· τῶ
εἵνεκεν οὐκ ἥκιστα ὑποψίην εἶχον, πεντακοσίας κεφα
4 λὰς τῶν Ξέρξεω πολεμίων λυσάμενοι. τοῦτο δὲ, τὰ
διόδους τὰς ἐς [d] τὰς κορυφὰς τῆς Μυκάλης φερούσα
προστάσσουσι τοῖσι Μιλησίοισι φυλάσσειν, ὡς ἐπι
σταμένοισι δῆθεν μάλιστα τὴν χώρην. ἐποίευν δ
τούτου εἵνεκεν, ἵνα ἐκτὸς τοῦ στρατοπέδου ἔωσ

post milite in littus educto, aciem instruit. Quæ dum fiunt, Persæ Ionibus diffidentes, et Samiis arma auferunt, et Milesios e castris removent.

[g] πάντων om. K. Supra συμμισγῶμεν S.V. [h] Sic P.F. Schæfe
ἐπακούσας Bekker. ἀκούσας S. Wessel. al. [i] Sic S.V. Schæfe
ἀκούσαντος Wessel. al. [k] ὠυτὸς F. et mox Θεμιστοκλέος. H
habet S. δὲ Ald. Bekker. [l] ἐπεί τε S. ἔπειτεν Schæfer.

99. [a] Sic M.P.K.S.V.F. δεύτερα δὲ c. Particula vulgo dees
Mox νέας S. [b] ὑπὸ Ξ. S. Vall. [c] τὰς om. P.K.F. Mox εἶχ
S. ἔχον al. [d] Sic S.V.P.K.F.a. Schæfer. τὰς om. Wessel.
Rursus Μυκάλλης S. et c. 100. 101.

5 τούτους μὲν Ἰώνων, τοῖσι καὶ κατεδόκεον [e] νεοχμὸν
ἄν τι ποιέειν δυνάμιος ἐπιλαβομένοισι, τρόποισι τοι-
ούτοισι προεφυλάσσοντο οἱ Πέρσαι. αὐτοὶ δὲ συνε-
φόρησαν τὰ [f] γέρρα ἕρκος εἶναί σφι.

100 Ὡς δὲ ἄρα [a] παρεσκευάδατο τοῖσι Ἕλλησι,
[aa] προσήϊσαν πρὸς τοὺς βαρβάρους. ἰοῦσι δέ σφι
φήμη τε ἐσέπτατο ἐς τὸ στρατόπεδον πᾶν, καὶ [b] κη-
2 ρυκήϊον ἐφάνη ἐπὶ τῆς [c] κυματωγῆς κείμενον. ἡ δὲ
φήμη διῆλθέ σφι ὧδε, ὡς οἱ Ἕλληνες τὴν Μαρδο-
3 νίου στρατιὴν νικῷεν ἐν Βοιωτοῖσι μαχόμενοι. Δῆλα
[d] δὴ πολλοῖσι τεκμηρίοισί ἐστι τὰ θεῖα τῶν πρηγμά-
των· εἰ καὶ τότε τῆς αὐτῆς ἡμέρης συμπιπτούσης τοῦ
τε ἐν Πλαταιῇσι καὶ τοῦ ἐν Μυκάλῃ μέλλοντος
ἔσεσθαι τρώματος, [e] φήμη τοῖσι Ἕλλησι [f] τοῖσι
ταύτῃ ἐσαπίκετο, ὥστε θαρσῆσαί τε τὴν στρατιὴν
πολλῷ μᾶλλον, καὶ ἐθέλειν προθυμότερον κινδυνεύειν.

Interim omen Græcis divinitus accidit, Mardonium in Bœotia vinci: quo militum animi mirum in modum firmantur.

101 Καὶ τόδε ἕτερον συνέπεσε γενόμενον, Δήμητρος τε-
μένεα Ἐλευσινίης παρὰ ἀμφοτέρας τὰς συμβολὰς
εἶναι. καὶ γὰρ δὴ ἐν τῇ Πλαταιΐδι παρ' αὐτὸ τὸ
Δημήτριον [a] ἐγένετο (ὡς καὶ πρότερόν μοι [b] εἴρηται)
ἡ μάχη, καὶ ἐν Μυκάλῃ ἔμελλε ὡσαύτως ἔσεσθαι.
2 γεγονέναι δὲ νίκην τῶν μετὰ Παυσανίεω Ἑλλήνων
ὀρθῶς σφι ἡ φήμη συνέβαινε ἐλθοῦσα· τὸ μὲν γὰρ
ἐν [c] Πλαταιῇσι πρωῒ ἔτι τῆς ἡμέρης [d] ἐγίνετο· τὸ δὲ
3 ἐν Μυκάλῃ, περὶ δείλην. ὅτι δὲ τῆς αὐτῆς ἡμέρης

[e] νεωχμὸν F. [f] γέρα S.

100. [a] παρεσκεύαστο conj. Bekker. [aa] προσήϊσαν M.K.F.a.b.d. προσίησαν Ald. V.c. προσίεσαν S. [b] κηρύκιον F. [c] Vid. Eustath. Od. p. 1540, 25=230, 48. [d] δὲ S. [e] φήμη δὲ S. [f] τοῖσι om. b.

101. [a] Sic V.P.K. Paris. ἐγίνετο F.S. οὐ ἐγένετο Ald. al. [b] εἴρητο a. Mox ἔσεσθαι ὡσαύτως S. [c] Πλαταίῃ S. [d] Sic libri plerique. ἐγένετο K. Wessel. Schæfer. sic infra Bekker.

συνέβαινε γίνεσθαι, μηνός τε τοῦ αὐτοῦ, χρόνῳ
πολλῷ σφι ὕστερον δῆλα ἀναμανθάνουσι ἐγίνε
4 Ἦν δὲ ἀρρωδίη σφι [e] πρὶν τὴν φήμην ἐσαπικέσθ
οὔτι [f] περὶ σφέων αὐτῶν οὕτω, ὡς τῶν Ἑλλήνων,
5 περὶ Μαρδονίῳ πταίσῃ ἡ Ἑλλάς. ὡς μέντοι ἡ κλ
δὼν αὕτη σφι ἐσέπτατο, μᾶλλόν τι καὶ ταχύτερ
τὴν πρόσοδον ἐποιεῦντο. Οἱ μὲν δὴ Ἕλληνες
οἱ βάρβαροι ἔσπευδον ἐς τὴν μάχην, ὥς σφι καὶ
νῆσοι καὶ ὁ Ἑλλήσποντος ἄεθλα προέκειτο.

102 Prœlium fit acerrimum. Barbari maxima cum strage fugati: e ducibus cæsi Mardontes et Tigranes.

Τοῖσι μέν νυν Ἀθηναίοισι καὶ τοῖσι προσεχέσι τ
τοισι τεταγμένοισι, [a] μέχρι κου τῶν ἡμισέων, ἡ ὁδ
ἐγίνετο κατ᾽ αἰγιαλόν τε καὶ ἄπεδον χῶρον· το
[b] δὲ Λακεδαιμονίοισι καὶ τοῖσι ἐπεξῆς τούτοισι τ
2 ταγμένοισι, κατά τε χαράδρην καὶ οὔρεα. ἐν ᾧ
οἱ Λακεδαιμόνιοι περιήϊσαν, οὗτοι οἱ ἐπὶ τῷ ἑτέ
[c] κέρεϊ [d] ἔτι καὶ δὴ ἐμάχοντο. Ἕως μέν νυν το
Πέρσῃσι [e] ὄρθια ἦν τὰ γέρρα, ἠμύνοντό τε καὶ οὐ
3 ἔλασσον εἶχον τῇ μάχῃ. ἐπεὶ δὲ τῶν Ἀθηνα
καὶ [f] τῶν προσεχέων ὁ στρατὸς, ὅκως ἑωυτῶν [g]
νηται τὸ ἔργον καὶ μὴ Λακεδαιμονίων, παρακελευσ
μενοι, ἔργου εἴχοντο προθυμότερον, ἐνθεῦτεν ἤδη ἐ
4 ροιοῦτο τὸ πρῆγμα. διωσάμενοι [h] γὰρ τὰ γέρρα
τοι, φερόμενοι ἐσέπεσον ἀλέες ἐς τοὺς Πέρσας·
δὲ δεξάμενοι, [i] καὶ χρόνον συχνὸν ἀμυνόμενοι, τέ
5 ἔφευγον ἐς τὸ τεῖχος. Ἀθηναῖοι δὲ καὶ Κορίνθ

[e] πρὶν ἢ S.V. [f] παρὰ b. Mox κλυδὼν d.
102. [a] Sic M.P.K.S.V.F.a.b.d. μεχρὶ κατὰ c. Ald. Tum ἡ
ὁδὸς om. S. [b] δὲ om. F. qui mox χαράνδραν. χαράδραν καὶ ὄρε
[c] κέρεϊ M.P.K.F. Paris. κέραϊ Ald. V.S. [d] ἔτι καὶ δὴ] ἤδη exspec
ses, nisi αὐτίκα δὴ forsan legendum, aut ἤδη καὶ δή. Schweigh.
uncis inclusit Bekker. [e] ὄρθρια S. et γέρα, et infra ἐπεί τε δέ. [f]
om. S. [g] Sic S.V.K.P.F.a.b.c. Schæfer. ·γένοιτο vulg. [h] δ
γέρα S.V. [i] καὶ om. F.

καὶ Σικυώνιοι καὶ Τροιζήνιοι, ([k] οὕτω γὰρ ἦσαν ἐπε-
ξῆς τεταγμένοι,) συνεπισπόμενοι, [l] συνεσέπιπτον ἐς
6 τὸ τεῖχος. ὡς δὲ [m] καὶ τὸ τεῖχος ἀραίρητο, [n] οὔτ᾽ ἔτι
πρὸς ἀλκὴν ἐτράποντο οἱ βάρβαροι, πρὸς φυγήν τε
7 ὁρμέατο οἱ ἄλλοι, πλὴν Περσέων. οὗτοι δὲ, [o] κατ᾽
ὀλίγους γινόμενοι, ἐμάχοντο τοῖσι αἰεὶ ἐς τὸ τεῖχος
ἐσπίπτουσι Ἑλλήνων. καὶ τῶν στρατηγῶν τῶν
Περσικῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτῶσι.
8 Ἀρταΰντης μὲν καὶ [p] Ἰθαμίτρης, τοῦ ναυτικοῦ στρα-
τηγέοντες, ἀποφεύγουσι· Μαρδόντης δὲ καὶ ὁ τοῦ
πεζοῦ στρατηγὸς Τιγράνης μαχόμενοι τελευτῶσι.
103 Ἔτι δὲ μαχομένων τῶν Περσέων, ἀπίκοντο Λακεδαι- Quid Iones ad cladem eorum augendam contulerint.
μόνιοι καὶ οἱ μετ᾽ αὐτῶν, καὶ τὰ λοιπὰ συνδιεχεί-
2 ριζον. Ἔπεσον δὲ καὶ αὐτῶν [a] τῶν Ἑλλήνων συ-
χνοὶ ἐνθαῦτα· ἄλλοι τε, καὶ Σικυώνιοι, καὶ στρατηγὸς
3 [b] Περίλεως. [c] Τῶν δὲ Σαμίων οἱ στρατευόμενοι,
[d] ἐόντες τε ἐν τῷ στρατοπέδῳ τῷ Μηδικῷ καὶ ἀπα-
ραιρημένοι τὰ ὅπλα, ὡς εἶδον αὐτίκα κατ᾽ ἀρχὰς
γινομένην [e] ἑτεραλκέα τὴν μάχην, ἔρδον ὅσον [f] ἠδυ-
4 νέατο, προσωφελέειν ἐθέλοντες τοῖσι Ἕλλησι. Σα- 739
μίους δὲ ἰδόντες οἱ ἄλλοι Ἴωνες ἄρξαντας, οὕτω δὴ
καὶ αὐτοὶ ἀποστάντες ἀπὸ Περσέων [g] ἐπέθεντο τοῖσι
104 βαρβάροισι. [a] Μιλησίοισι δὲ προσετέτακτο μὲν τῶν Ionia a Persis iterum desciscit.

[k] Sic P.K.F.b. οὗτοι S. al. Mox οἱ ἐπεξῆς Wessel. et Schæfer. ex S.V. [l] συνεσέπιπτον P.F. Wessel. συνεισέπιπτον M.B. συνέπιπτον S.V.K. Ald. cf. III. 55. [m] Sic S.V.M.K.P.F. καὶ om. c. et al. [n] Sic Schæfer. οὔτε τι vulg. Mox καὶ πρὸς φυγήν τε S. [o] κατ᾽ ὀλίγον S. κατὰ λόγους P. [p] Sic M.P.K.S.F. Paris. Ἰθραμίτρης al. cf. VIII. 130.

103. [a] τῶν om. S.V. [b] Περίλεως F.a.c. Περίλεος S. Wessel. al. [c] Sic S.V. τῶν τε F.a.c. Ald. al. [d] Sic S.V.P.F. Paris. ἐνεόντες τε K. τε om. vulg. [e] ὑπεραλκέα S.V. [f] ἐδυνέατο] ἠδυνέατο S.V. et IV. 110, 2. IX. 70. [g] ἐπέθεντο—Περσέων om. c.

104. [a] Μιλήσιοι S. qui mox om. μέν.

Περσέων τὰς διόδους τηρεῖν, σωτηρίης [b] εἵνεκά σ
ὡς, ἢν ἄρα σφέας καταλαμβάνῃ οἷά περ κατέλα
ἔχοντες [c] ἡγεμόνας, [d] σώζωνται ἐς τὰς κορυφὰς
2 Μυκάλης. ἐτάχθησαν μέν νυν ἐπὶ τοῦτο τὸ πρῆ
οἱ Μιλήσιοι, τούτου τε εἵνεκεν, καὶ ἵνα μὴ παρεόν
3 [e] ἐν τῷ στρατοπέδῳ τι νεοχμὸν ποιέοιεν. οἱ δὲ
τὸ ἐναντίον τοῦ προστεταγμένου ἐποίεον· ἄλλας
κατηγεόμενοί σφι ὁδοὺς φεύγουσι, αἳ [f] δὴ ἔφερον
τοὺς πολεμίους, καὶ τέλος αὐτοί σφι ἐγίνοντο κτ
νοντες πολεμιώτατοι. Οὕτω δὴ [g] τὸ δεύτερον Ἰα
ἀπὸ Περσέων ἀπέστη.

105 Qui inter Græcos fortitudine excelluerint.

Ἐν δὲ ταύτῃ τῇ μάχῃ Ἑλλήνων ἠρίστευ
Ἀθηναῖοι· καὶ Ἀθηναίων, Ἑρμόλυκος ὁ [a] Εὐθύ
2 ἀνὴρ παγκράτιον ἐπασκήσας. τοῦτον δὲ τὸν Ἑρ
λυκον κατέλαβε ὕστερον τούτων, πολέμου ἐόν
Ἀθηναίοισί τε καὶ Καρυστίοισι, ἐν Κύρνῳ
Καρυστίης χώρης ἀποθανόντα ἐν μάχῃ, κεῖσθαι
Γεραιστῷ. Μετὰ δὲ Ἀθηναίους, Κορίνθιοι καὶ Τ
ζήνιοι καὶ Σικυώνιοι ἠρίστευσαν.

106 Classe barbarorum castrisque conflagratis ac præda coacta, Græci in Samum revertuntur. Deliberatur de libertate Ionum fir-

Ἐπεί τε δὲ κατεργάσαντο οἱ Ἕλληνες τοὺς π
λοὺς, τοὺς μὲν μαχομένους, τοὺς δὲ καὶ φεύγον
τῶν βαρβάρων, τὰς [a] νέας ἐνέπρησαν καὶ τὸ τε
ἅπαν, τὴν ληΐην προεξαγαγόντες ἐς τὸν αἰγιαλ
2 καὶ θησαυρούς τινας χρημάτων εὗρον. ἐμπρήσα
δὲ τὸ τεῖχος καὶ τὰς [a] νέας, ἀπέπλεον. Ἀπικόμ
δὲ ἐς Σάμον οἱ Ἕλληνες, ἐβουλεύοντο περὶ ἀνασ

[b] εἵνεκε K. Paullo infra εἵνεκεν F. [c] ἡγεμόνα Steph.
[d] σώιζονται F. σώζονται S. Ald. Mox τε om. S. post τούτου.
S.V. ἐν om. Wessel. al. [f] διέφερον P.S.F.c. [g] Ἰωνίη τοδ
ρον S.

105. [a] Sic S. Vall. Εὐθόνου M.P. Ἐσθύνου K. Εὐθοίνου F.a.b.c.

106. [a] νῆας] νέας S.V.K.F. Mox ἀναστάσεος Ald.

σιος τῆς Ἰωνίης, καὶ [b] ὅπη [c] χρεὸν εἴη τῆς Ἑλλάδος
[d] κατοικίσαι, τῆς αὐτοὶ ἐγκρατέες ἦσαν· τὴν δὲ
3 Ἰωνίην [e] ἀπεῖναι τοῖσι βαρβάροισι. ἀδύνατον γὰρ
ἐφαίνετό σφι εἶναι ἑωυτούς τε Ἰώνων προκατῆσθαι
φρουρέοντας τὸν πάντα χρόνον· καὶ ἑωυτῶν μὴ προ-
κατημένων, Ἴωνας οὐδεμίαν ἐλπίδα [f] εἶχον χαίροντας
4 πρὸς τῶν Περσέων ἀπαλλάξειν. Πρὸς ταῦτα Πε-
λοποννησίων μὲν τοῖσι [g] ἐν τέλεϊ ἐοῦσι ἐδόκεε τῶν
μηδισάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ [h] ἐμπόρια
[i] ἐξαναστήσαντας, δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι·
Ἀθηναίοισι δὲ οὐκ ἐδόκεε ἀρχὴν, Ἰωνίην γενέσθαι
ἀνάστατον, οὐδὲ Πελοποννησίοισι περὶ τῶν σφετέ-
5 ρων ἀποικιέων βουλεύειν. ἀντιτεινόντων δὲ τούτων,
προθύμως εἶξαν οἱ Πελοποννήσιοι. καὶ οὕτω δὴ
Σαμίους τε καὶ Χίους καὶ Λεσβίους καὶ τοὺς ἄλλους
νησιώτας, οἳ ἔτυχον [k] συστρατευόμενοι τοῖσι Ἕλλησι,
ἐς τὸ συμμαχικὸν ἐποιήσαντο, [l] πίστι τε καταλαβόν-
τες καὶ ὁρκίοισι, [m] ἐμμένειν τε καὶ μὴ [n] ἀποστήσεσθαι.
6 τούτους δὲ καταλαβόντες ὁρκίοισι, ἔπλεον τὰς γεφύ-
ρας λύσοντες· ἔτι γὰρ ἐδόκεον ἐντεταμένας [o] εὑρήσειν.
οὗτοι μὲν δὴ ἐπ' [p] Ἑλλησπόντου ἔπλεον.

manda. Insulani in fœdus recepti.

107 Τῶν δὲ ἀποφυγόντων βαρβάρων ἐς τὰ [a] ἄκρα τε
τῆς Μυκάλης κατειληθέντων, ἐόντων οὐ πολλῶν,
2 ἐγίνετο [b] κομιδὴ ἐς Σάρδις. πορευομένων δὲ, κατ'

Exercitus Persici reliquiæ Sardes se recipiunt Rixa hoc in

[b] ὅπη M.P.K.V.S.F. al. ὅποι c. Ald. [c] Sic S. χρεὼν vulg. [d] Sic M.P.F. κατοικῆσαι S. Ald. [e] Sic S.V. ἀφεῖναι F. Ald. [f] ἔχον] εἶχον P.S.K.F. [g] Sic M.K.P.S.V.F. ἐν τέλεσι al. [h] ἐμπόλια P.K.F.b. [i] ἐπαναστ. S. Infra οὐδὲ Πελοποννησίους e conjectura edidit Schweighæuser. [k] στρατευόμενοι S. Supra ἀποικιῶν S. [l] πίστι τε S.V. Ald. τε om. M.P.K.F. [m] ἐμμενεῖν ex Wesselingii sententia Schæfer. quem vide ad Theocrit. XXVII. 60. [n] ἀπονοστήσεσθαι S. Ald. [o] εἶναι c. Steph. marg. [p] Ἑλλήσποντον S.

107. [a] Sic S.V. Schæfer. τε om. al. Mox Μυκάλλης S. [b] Suidas in v.

itinere inter Masistam, Xerxis fratrem, et Artayntam, ducem Persarum, illius propemodum cæde transacta.

ὁδὸν Μασίστης ὁ Δαρείου παρατυχὼν τῷ πάθεϊ
γεγονότι τὸν στρατηγὸν Ἀρταΰντην ἔλεγε πο
[c] τε καὶ κακὰ, ἄλλα τε καὶ [d] γυναικὸς κακίω φὰς
τὸν εἶναι τοιαῦτα στρατηγήσαντα, καὶ ἄξιον ε
3 παντὸς κακοῦ, τὸν βασιλέος οἶκον κακώσαντα. π
δὲ τοῖσι Πέρσῃσι γυναικὸς κακίω ἀκοῦσαι [e] δε
μέγιστός ἐστι. ὁ δὲ, ἐπεὶ πολλὰ ἤκουσε, δεινὰ [f] π
εύμενος, σπᾶται ἐπὶ τὸν Μασίστην τὸν [g] ἀκινά
4 ἀποκτεῖναι [h] θέλων. καί μιν ἐπιθέοντα [i] φρασ
Ξειναγόρης ὁ [k] Πρηξίλεω, ἀνὴρ [l] Ἁλικαρνησσ
ὄπισθε ἑστεὼς αὐτοῦ Ἀρταΰντεω, ἁρπάζει μέσον,
ἐξάρας, παίει ἐς τὴν γῆν· καὶ ἐν τούτῳ οἱ δορυφ
5 [m] Μασίστεω προέστησαν. ὁ δὲ Ξειναγόρης τ
ἐργάσατο, χάριτα αὐτῷ τε Μασίστῃ [n] τιθέμενος
Ξέρξῃ, ἐκσώζων τὸν ἀδελφεὸν τὸν ἐκείνου· καὶ
τοῦτο τὸ ἔργον Ξειναγόρης [o] Κιλικίης πάσης ἦ
6 δόντος βασιλέος. τῶν δὲ κατ' ὁδὸν [p] πορευομέ
οὐδὲν [q] ἔτι πλέον ἐγένετο [r] τούτων, ἀλλ' ἀπικνέο
ἐς Σάρδις. [s] Ἐν δὲ τῇσι Σάρδισι ἐτύγχανε ἐὼν
σιλεὺς ἐξ ἐκείνου τοῦ χρόνου, ἐπεί τε ἐξ [t] Ἀθην
προσπταίσας τῇ ναυμαχίῃ, φυγὼν ἀπίκετο.

108 Τότε δὲ ἐν τῇσι Σάρδισι ἐὼν ἄρα, [a] ἤρα τῆς

[c] τε καὶ om. b. [d] Eustath. Il. p. 668, 44=537, 51. [e] δε
[f] Sic M.P.K.S.V.F. Paris. ποιησάμενος olim. [g] ἀκινάκη
[h] θέλων om. S. [i] Sic mss. φθὰς Ald. [k] Πρηστίλεω K. [l]
καρνησεὺς S.V.F. [m] οἱ Μασίστεω P.K.F. Wessel. Schæfer. N
lectio videtur improbanda. Receptæ constructio est, οἱ δορ
προέστησαν Μασίστεω. Alterius, οἱ δορυφόροι οἱ Μασίστεω πρ
σαν (αὐτοῦ). [n] θέμενος b. [o] Sic P.S.K.F. πάσης ἦ. K.
[p] Sic M.K.P.F. Paris. πορευομένων βαρβάρων S. Ald. al.
πλ. conj. Schweighæuser. cf. VI. 42. [r] τουτέων om. M.
P.K.V.F. τούτων ἐγένετο S. [s] ἐπὶ δὲ S.V. [t] Ἀθηναίω
Ald.

108. [a] ἔρα S.V. Schæfer. ἤρα vulg. et in S. in fine capitis. τότε δὲ ex S. Vulgo τότε δή.

2 σίστεω γυναικὸς, ἐούσης καὶ ταύτης ἐνθαῦτα. ὡς δέ
οἱ προσπέμποντι οὐκ ἐδύνατο κατεργασθῆναι, οὐδὲ
βίην [b]προσέφερε, [c]προμηθεόμενος τὸν ἀδελφεὸν Μα-
σίστην· ([d]τὠυτὸ δὲ τοῦτο [e]εἶχε καὶ τὴν γυναῖκα·
[f]εὖ γὰρ ἐπίστατο βίης οὐ τευξομένη·) ἐνθαῦτα δὴ
Ξέρξης ἐργόμενος τῶν ἄλλων, πρήσσει τὸν γάμον
τοῦτον τῷ παιδὶ τῷ ἑωυτοῦ Δαρείῳ, θυγατέρα τῆς
γυναικὸς ταύτης καὶ Μασίστεω· δοκέων αὐτὴν μᾶλ-
3 λον [g]λάμψεσθαι, ἢν ταῦτα ποιήσῃ. ἁρμόσας δὲ, καὶ
τὰ νομιζόμενα ποιήσας, ἀπήλαυνε ἐς Σοῦσα. Ἐπεὶ
δὲ [h]ἐκεῖ τε ἀπίκετο καὶ ἠγάγετο ἐς ἑωυτοῦ Δαρείῳ
τὴν γυναῖκα, οὕτω δὴ τῆς Μασίστεω μὲν γυναικὸς
ἐπέπαυτο, ὁ δὲ διαμειψάμενος ἤρα τε καὶ ἐτύγχανε
τῆς Δαρείου μὲν γυναικὸς, Μασίστεω δὲ θυγατρός·
109 οὔνομα δὲ τῇ γυναικὶ ταύτῃ ἦν [i]Ἀρταΰντη. Χρόνου
δὲ προϊόντος, ἀνάπυστα γίνεται τρόπῳ τοιῷδε. ἐξυ-
φήνασα Ἄμηστρις, ἡ Ξέρξεω γυνὴ, φᾶρος μέγα τε
καὶ ποικίλον καὶ θέης ἄξιον, διδοῖ Ξέρξῃ. ὁ δὲ,
ἡσθεὶς, περιβάλλεταί τε καὶ ἔρχεται [a]παρὰ τὴν Ἀρ-
2 ταΰντην. ἡσθεὶς δὲ καὶ [b]ταύτῃ, ἐκέλευσε αὐτὴν αἰτῆ-
σαι ὅ τι βούλεταί [c]οἱ γενέσθαι ἀντὶ τῶν αὐτῷ ὑπουρ-
γημένων· πάντα γὰρ τεύξεσθαι αἰτήσασαν. τῇ δὲ
κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι, πρὸς ταῦτα [d]εἶπε
3 Ξέρξῃ· "Δώσεις μοι τὸ [e]ἄν σε αἰτήσω;" ὁ δὲ, πᾶν

Digressio de Xerxis post expeditionem Græcam amoribus, regiæ familiæ funestissimis. 741 Xerxes amore irretitus primum uxoris Masistæ, post filiæ ejus, Dario, ipsius regis filio, in matrimonium datæ.

[b] Sic S.V. Schæfer. προσεφέρετο vulg. [c] προμυθεόμενος b. Citat hæc Priscian. XVIII. p. 1204. [d] ταυτὸ F. [e] ἔχε] εἶχε S.V.K.P.F. [f] Sic P.K.F.b. Schæfer. εὖ τε γὰρ S. Wessel. al. [g] λάμψασθαι F. [h] Sic K.P.F. ἐκεῖσε S. Wessel. al. [i] Ἀνταύντῃ P.

109. [a] πρὸς K. [b] αὐτῇ V.S. [c] οἱ—ὑπουργημένων om. S. οἱ om. F.b. [d] Sic M.S.P.K.F. Paris. εἶπαι Ald. [e] ἐάν S.V. qui mox πάντα μᾶλλον.

μᾶλλον δοκέων [f] κείνην [g] αἰτῆσαι, ὑπισχνέετο καὶ
ὤμοσε. ἡ δὲ, ὡς ὤμοσε, ἀδεῶς αἰτέει τὸ φᾶρος.
4 Ξέρξης δὲ παντοῖος [h] ἐγίνετο, οὐ βουλόμενος δοῦναι·
κατ᾽ ἄλλο μὲν οὐδὲν, φοβεόμενος [i] δὲ Ἄμηστριν, μὴ
[k] καὶ πρὶν [l] κατεικάζουσα τὰ γινόμενα, οὕτω [m] ἐπευ-
ρεθῇ πρήσσων· ἀλλὰ [n] πόλις τε ἐδίδου, καὶ χρυσὸν
ἄπλετον, [o] καὶ στρατὸν τοῦ ἔμελλε οὐδεὶς ἄρξειν ἀλλ᾽
5 ἡ ἐκείνη· Περσικὸν δὲ κάρτα ὁ στρατὸς δῶρον. ἀλλ᾽
οὐ γὰρ ἔπειθε, διδοῖ τὸ φᾶρος. ἡ δὲ, περιχαρὴς ἐοῦσα
τῷ δώρῳ, ἐφόρεέ τε καὶ [p] ἀγάλλετο· καὶ ἡ Ἄμηστρις
πυνθάνεταί μιν [q] ἔχουσαν.

110 Amestridis reginæ atrox zelotypia,

Μαθοῦσα δὲ τὸ ποιεύ-
μενον, τῇ μὲν γυναικὶ [a] ταύτῃ οὐκ [b] εἶχε ἔγκοτον· ἡ
δὲ ἐλπίζουσα τὴν μητέρα αὐτῆς εἶναι αἰτίην καὶ ταῦτα
ἐκείνην πρήσσειν, τῇ Μασίστεω γυναικὶ ἐβούλευε
2 ὄλεθρον. [c] φυλάξασα δὲ τὸν ἄνδρα τὸν ἑωυτῆς
Ξέρξην βασιλήϊον δεῖπνον προτιθέμενον· (τοῦτο δὲ
τὸ δεῖπνον παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, [d] ἐν
ἡμέρῃ τῇ ἐγένετο βασιλεύς· οὔνομα δὲ τῷ δείπνῳ
τούτῳ [e] Περσιστὶ μὲν, [f] τυκτὰ, κατὰ δὲ [g] τὴν Ἑλλήνων
γλῶσσαν, τέλειον· τότε καὶ τὴν κεφαλὴν σμᾶται 742

[f] κείνην P.K.V.F. ἐκείνην S. edd. vett. [g] αἰτήσεσθαι ὑπισχνέεται S. [h] Sic S.P.K.V. ἐγένετο F. Wessel. al. [i] Ἄμιστριν F. absque δέ. φοβούμενος S. [k] καὶ om. S.V. [l] κατεικαζούσῃ] κατεικάζουσα S.P.K.F.a.c. κατεικαζούσης conjicit Schweigh. Reposui scripturam meliorum codicum. Legitima verborum constructio postulabat, ut sententia hunc in modum decurreret; μὴ καὶ πρὶν κατεικάζουσα τὰ γινόμενα, οὕτω Ξέρξην πρήσσοντα καταλάβοι. Eam nunc immutat scriptor, ita ut sequens verbum a remotiore nominativo pendeat. [m] ἐπορεύθη S.F. [n] πόλεις F. [o] καὶ στρατὸν om. K. Mox ὁ στρατὸς κάρτα S. [p] ἀγάλλετο P.S.V.F. Paris. ἠγάλλετο al. [q] ἔχουσα F.

110. [a] αὐτῇ S.V. [b] ἔχε] εἶχε F.S. [c] Suid in v. [d] Sic S.V. Athenæus IV. p. 146. Schæfer. ἐν vulg. om. [e] Περσηστὶ S.a.b.c. [f] τικτὰ S. [g] τὴν om. V.S. Ἑλληνιστὶ δὲ Athen.

μοῦνον [h] βασιλεὺς, καὶ [i] Πέρσας δωρέεται·) ταύτην
δὴ τὴν ἡμέρην φυλάξασα ἡ Ἄμηστρις, [k] χρῄζει τοῦ
3 Ξέρξεω δοθῆναί οἱ τὴν Μασίστεω γυναῖκα. ὁ δὲ
δεινόν τε καὶ ἀνάρσιον ἐποιέετο, τοῦτο μὲν, ἀδελφεοῦ
γυναῖκα παραδοῦναι, τοῦτο δὲ, ἀναιτίην ἐοῦσαν τοῦ
πρήγματος τούτου· συνῆκε γὰρ τοῦ εἵνεκεν ἐδέετο.
111 Τέλος [a] μέντοι, [b] κείνης τε λιπαρεούσης, καὶ ὑπὸ τοῦ
νόμου ἐξεργόμενος, ὅτι ἀτυχῆσαι τὸν χρῄζοντα οὔ
σφι δυνατόν ἐστι βασιληΐου δείπνου προκειμένου,
κάρτα δὴ ἀέκων κατανεύει· καὶ παραδοὺς, ποιέει ὧδε.
2 τὴν μὲν κελεύει ποιέειν τὰ βούλεται· ὁ δὲ μεταπεμ-
ψάμενος τὸν ἀδελφεὸν λέγει τάδε· "Μασίστα, σὺ
"εἶς Δαρείου τε παῖς, καὶ ἐμὸς ἀδελφεός· πρὸς δ'
3 "ἔτι τούτοισι, καὶ εἶς ἀνὴρ ἀγαθός. γυναικὶ [c] δὴ
"ταύτῃ τῇ νῦν συνοικέεις, μὴ συνοίκεε· ἀλλά τοι
"ἀντ' αὐτῆς ἐγὼ δίδωμι θυγατέρα τὴν ἐμήν. ταύτῃ
"συνοίκεε· τὴν δὲ νῦν ἔχεις, οὐ γὰρ δοκέει [d] ἐμοὶ, μὴ
4 "ἔχε γυναῖκα." Ὁ δὲ Μασίστης [e] ἀποθωμάσας τὰ
λεγόμενα, λέγει τάδε· "Ὦ δέσποτα, τίνα μοι λόγον
"λέγεις ἄχρηστον, [f] κελεύων με γυναῖκα, ἐκ τῆς μοι
"παῖδες νεηνίαι τέ [g] εἰσι καὶ θυγατέρες, τῶν [h] καὶ σὺ
"μίαν τῷ παιδὶ [i] τῷ σεωυτοῦ [k] ἠγάγεο γυναῖκα·
"[l] αὐτή τέ [m] μοι κατὰ νόον τυγχάνει κάρτα ἐοῦσα·

[h] ὁ βασιλεὺς S.V. Wessel. [i] Sic M.K.P.F. Paris. Πέρσαις vulgo et Athenæus. τοὺς Πέρσας S. [k] δέεται S. cum vulg. in marg. χρηΐζει Schæfer. et sic infra.

111. [a] μέντοι γε S. [b] κείνης absque τε F. ἐκείνης S. vulg. [c] Sic F. Vulg. cum S. δέ. Mox θυγατέρα δίδωμι S. [d] μοι S.V. [e] Sic S.K.F. ἀποθωϋμάσας edd. [f] Sic S.V. Wessel. κελεύων μοι F.a. Ald. al. [g] εἰσι τρεῖς] τρεῖς om. S.V.P.K.a.b. Vall. παῖδές τε νεηνίαι εἰσὶ F. [h] καὶ om. S.V. [i] τῷ om. F. [k] ἤγαγες b. [l] Sic Schæfer. αὔτη Ald. Wessel. [m] μοι τυγχάνει κατὰ νόον κάρτα ἐοῦσα F.

“ ταύτην [n] με κελεύεις [o] μετέντα, θυγατέρα [p] τὴν σὴν
5 “ γῆμαι; ἐγὼ δὲ, βασιλεῦ, [q] μέγα μὲν ποιεῦμαι ἀξι-
“ εύμενος θυγατρὸς τῆς σῆς, ποιήσω μέντοι τούτων
“ [r] οὐδέτερα· σὺ δὲ μηδαμῶς βιῶ, πρήγματος τοιοῦδε
6 “ δεόμενος· ἀλλὰ τῇ τε σῇ θυγατρὶ ἀνὴρ ἄλλος φα-
“ νήσεται ἐμεῦ οὐδὲν [s] ἥσσων, ἐμέ τε ἔα γυναικὶ τῇ
“ ἐμῇ συνοικέειν.” Ὁ μὲν δὴ [t] τοιούτοισι ἀμείβεται·
7 Ξέρξης δὲ θυμωθεὶς, λέγει τάδε· “ Οὕτω [v] τοι, Μα-
“ σίστα, πέπρηκται· οὔτε γὰρ [w] ἄν τοι δῴην θυγα-
“ τέρα τὴν ἐμὴν [x] γῆμαι, οὔτε ἐκείνῃ [y] πλεῦνα χρόνον
8 “ συνοικήσεις· ὡς μάθῃς τὰ διδόμενα δέκεσθαι.” Ὁ
δὲ ὡς [z] ταῦτα ἤκουσε, εἴπας τοσόνδε, ἐχώρεε ἔξω·

112 crudelitasque in uxorem Masistæ horribilis.

“ Δέσποτα, οὐ δή [a] κώ με ἀπώλεσας.” Ἐν δὲ τούτῳ
τῷ διὰ μέσου χρόνῳ ἐν [a] τῷ Ξέρξης τῷ ἀδελφεῷ διε-
λέγετο, ἡ [b] Ἄμηστρις μεταπεμψαμένη τοὺς δορυφό-
ρους τοῦ Ξέρξεω, διαλυμαίνεται τὴν γυναῖκα [c] τὴν
Μασίστεω· τούς τε [d] μαζοὺς ἀποταμοῦσα κυσὶ προέ- 743
βαλε, καὶ ῥῖνα, καὶ ὦτα, καὶ χείλεα· καὶ γλῶσσαν 96
ἐκταμοῦσα, ἐς οἶκόν μιν ἀποπέμπει διαλελυμασμένην.

113 Hinc turbæ exortæ, Xerxis regno graves

Ὁ δὲ Μασίστης οὐδέν κω ἀκηκοὼς τούτων, ἐλπόμε-
νος δέ τί οἱ κακὸν εἶναι, ἐσπίπτει δρόμῳ ἐς τὰ οἰκία.
2 ἰδὼν δὲ διεφθαρμένην τὴν γυναῖκα, αὐτίκα μετὰ ταῦτα

[n] με om. F.a. [o] μετέντα S.V. Wessel. μεθέντα al. [p] τὴν σεωυτοῦ] τὴν σὴν V.P.K.F.a.b.d. σὴν S. [q] Sic S.V. Wessel. quem vid. ad III. 42. μεγάλα μὲν F.a. al. [r] οὐδέτερον S.V. Mox τοιοῦδε S. pro τοιούτου. [s] Sic S.V.P.F. Paris. ἥσσω Ald. ἕσσων Schæfer. [t] τούτοισιν ἀμείβετο S.V. [v] δή τοι] δὴ om. S.V.P.K.F.b. [w] Sic K.F.a.b.d. δοίην S. edd. pleræque. ἀντιδῴην P. Vid. Thomas M. in Διδῴη. [x] γυναῖκα S.V. [y] Sic M.P.K.F. Paris. ἔτι πλεῦνα S. edd. vett. [z] ἤκουσε ταῦτα S. [a] κου S. Ald.

112. [a] ᾧ S.V. [b] Ἄμητρις K. et alibi. [c] τοῦ Μασ. P.F. [d] μαστοὺς S.V. Schæfer.

συμβουλευσάμενος τοῖσι παισὶ, ἐπορεύετο ἐς [a]Βάκτρα
σύν τε τοῖσι ἑωυτοῦ υἱοῖσι καὶ δή κού τισι καὶ ἄλ-
λοισι, ὡς ἀποστήσων νομὸν τὸν Βάκτριον, καὶ ποιή-
σων τὰ μέγιστα [b]κακῶν [c]βασιλέα· τάπερ ἂν καὶ
ἐγένετο, ὡς ἐμοὶ [d]δοκέειν, εἴπερ ἔφθη ἀναβὰς ἐς τοὺς
Βακτρίους καὶ τοὺς Σάκας· καὶ γὰρ ἔστεργόν [e]τε μιν,
3 καὶ ἦν ὕπαρχος τῶν Βακτρίων. ἀλλὰ γὰρ Ξέρξης
πυθόμενος ταῦτα ἐκεῖνον πρήσσοντα, πέμψας ἐπ' αὐ-
τὸν στρατιὴν, ἐν τῇ ὁδῷ [f]κατέκτεινε αὐτόν τε ἐκεῖνον
καὶ τοὺς παῖδας [g]αὐτοῦ καὶ τὴν στρατιὴν τὴν ἐκείνου.
4 Κατὰ μὲν τὸν ἔρωτα τὸν Ξέρξεω καὶ τὸν Μασίστεω
θάνατον τοσαῦτα ἐγένετο.

futuræ, nisi Masistæ ejusque filiorum nece compositæ fuissent.

114 Οἱ δὲ ἐκ Μυκάλης ὁρμηθέντες Ἕλληνες ἐπ' Ἑλ-
λησπόντου πρῶτον μὲν [a]περὶ Λεκτὸν [b]ὅρμεον, ὑπὸ
ἀνέμων ἀπολαμφθέντες· ἐνθεῦτεν δὲ ἀπίκοντο ἐς Ἄ-
βυδον, καὶ τὰς γεφύρας εὗρον διαλελυμένας, τὰς ἐδό-
κεον εὑρήσειν ἔτι ἐντεταμένας· καὶ τούτων οὐκ ἥκιστα
2 [c]εἵνεκεν ἐς τὸν Ἑλλήσποντον ἀπίκοντο. τοῖσι μέν
νυν ἀμφὶ [d]Λευτυχίδεα Πελοποννησίοισι ἔδοξε ἀπο-
πλέειν ἐς τὴν Ἑλλάδα· Ἀθηναίοισι δὲ καὶ Ξανθίππῳ
τῷ στρατηγῷ, αὐτοῦ ὑπομείναντας πειρᾶσθαι τῆς
[e]Χερσονήσου. Οἱ μὲν δὴ ἀπέπλεον· Ἀθηναῖοι δὲ,
ἐκ τῆς Ἀβύδου [f]διαβάντες ἐς τὴν Χερσόνησον,
115 Σηστὸν ἐπολιόρκεον. Ἐς δὲ τὴν Σηστὸν ταύτην, ὡς
ἐόντος [a]ἰσχυροτάτου τείχεος τῶν ταύτῃ, συνῆλθον,

Græcorum classe in Hellespontum ad pontes rescindendos profecta, cum eos jam solutos deprehendissent [8, 117.], Peloponnesii in Græciam revertuntur: Athenienses ad Sestum oppugnandam se convertunt, quo ingens Persarum numerus,

113. [a] Βάκτραν F.b. [b] κακὸν b. [c] βασιλῆα] βασιλέα S.V.K.F. [d] Sic S.V.P.K.F. Paris. cf. IV. 168. δοκέει edd. vett. [e] τε om. F. [f] κτείνει S. [g] ωὐτοῦ Ald.

114. [a] ἐπὶ b. [b] ὅρμεον S.V. Schæfer. ὥρμεον Wessel. al. [c] Sic V.P.S.F. Schæfer. εἵνεκα Wessel. al. [d] Λευτυχίδην F. [e] Χερρονησ. F. et sic mox, et 116. [f] Sic plerique. διαβαλόντες S.

115. [a] ἰσχυροτέρου d. Steph. marg.

quod cætera Chersonesi oppida parum munita essent, confluxerat.

ὡς ἤκουσαν παρεῖναι τοὺς Ἕλληνας ἐς τὸν Ἑλλήσ-
ποντον, ἔκ τε τῶν ἄλλων [b] τῶν περιοικίδων, καὶ δὴ
καὶ ἐκ Καρδίης πόλιος [c] Οἰόβαζος, ἀνὴρ Πέρσης, ὃς
[d] τὰ ἐκ τῶν γεφυρέων ὅπλα ἐνθαῦτα ἦν κεκομικώς.
2 [e] εἶχον δὲ ταύτην [f] ἐπιχώριοι Αἰολέες, συνῆσαν δὲ
Πέρσαι τε καὶ τῶν ἄλλων συμμάχων συχνὸς ὅμιλος.

116

Præfectus Sesto a rege Artayctes, homo impius inque Protesilaum heroëm contumeliosus.

Ἐτυράννευε δὲ τούτου τοῦ νομοῦ Ξέρξεω ὕπαρχος
Ἀρταΰκτης, ἀνὴρ μὲν Πέρσης, [a] δεινὸς δὲ καὶ ἀτά-
2 σθαλος. ὃς καὶ βασιλέα ἐλαύνοντα ἐπ' Ἀθήνας ἐξη-
πάτησε, τὰ Πρωτεσίλεω τοῦ Ἰφίκλου χρήματα ἐξ
3 [b] Ἐλαιοῦντος [c] ὑφελόμενος. ἐν γὰρ Ἐλαιοῦντι τῆς 744
Χερσονήσου ἐστὶ Πρωτεσίλεω τάφος τε καὶ τέμενος
περὶ αὐτὸν, ἔνθα [d] ἦν χρήματα πολλὰ, καὶ φιάλαι
χρύσεαι καὶ ἀργύρεαι, καὶ χαλκὸς, καὶ ἐσθὴς, καὶ
ἄλλα ἀναθήματα, τὰ Ἀρταΰκτης ἐσύλησε, βασιλέος
4 δόντος. λέγων δὲ τοιάδε, [e] Ξέρξεα [f] διεβάλετο· "Δέ-
"σποτα, ἔστι οἶκος ἀνδρὸς Ἕλληνος ἐνθαῦτα, ὃς ἐπὶ
"γῆν [g] τὴν σὴν [h] στρατευσάμενος, δίκης κυρήσας,
"ἀπέθανε. τούτου μοι δὸς τὸν οἶκον, ἵνα καί τις
5 "μάθῃ ἐπὶ γῆν τὴν σὴν μὴ στρατεύεσθαι." ταῦτα
λέγων, εὐπετέως ἔμελλε ἀναπείσειν Ξέρξεα δοῦναι
ἀνδρὸς οἶκον, οὐδὲν ὑποτοπηθέντα τῶν ἐκεῖνος [i] ἐφρό-
6 νεε. Ἐπὶ γῆν δὲ τὴν βασιλέος στρατεύεσθαι Πρω-

[b] τῶν om. S.K. Mox καὶ δὴ ἐκ S. [c] Οἰάβαζος S. Vall. [d] τὰ om. S. qui mox ἦν ὁ κεκομικώς. [e] ἔχον] εἶχον S.V.P.F. [f] ἔην] οἱ ἐπιχ. S.

116. [a] δεινός τε F.S. et mox βασιλέα. Supra τοῦ νομοῦ τούτου S. [b] Ἐλαιοῦντος M.P.K.F. Paris. Ἐλεοῦντος etc. S. al. cf. VI. 140. VII. 21. [c] αἰτήσας S.V. Vall. Schæfer. et probat Valckenær. Corrigendum autem ὑπελόμενος monent Wesseling. et Koen. Gregor. 18. Vulg. defendit Schweighæuserus ex II. 114. et al. citans Hermann. annot. ad Viger. 224. p. 755. [d] ἔην] ἦν S.V.K.F. [e] Ξέρξην S.V.K.F. [f] διεβάλλετο S.b. Mox οἶκός ἐστιν S. [g] Sic S.V. τὴν om. F.a. al. [h] Sic S.M.P.F.b.d. στρατευόμενος Ald. K.V.a.c. Mox ἵνα τις καὶ S. et infra Ξέρξην. [i] ἐφθόνεε c.

τεσίλεων ἔλεγε, [k] νοέων τοιάδε· τὴν Ἀσίην πᾶσαν
νομίζουσι ἑωυτῶν [l] εἶναι Πέρσαι, καὶ τοῦ αἰεὶ βασι-
7 λεύοντος. ἐπεὶ δὲ ἐδόθη τὰ χρήματα, ἐξ Ἐλαιοῦντος
ἐς Σηστὸν ἐξεφόρησε, καὶ τὸ τέμενος ἔσπειρε, καὶ
ἐνέμετο· αὐτός τε ὅκως ἀπίκοιτο ἐς Ἐλαιοῦντα, ἐν
8 τῷ ἀδύτῳ γυναιξὶ ἐμίσγετο. Τότε δὲ ἐπολιορκέετο
ὑπὸ Ἀθηναίων, οὔτε παρεσκευασμένος ἐς πολιορ-
κίην, οὔτε [m] προσδεκόμενος τοὺς Ἕλληνας· [n] ἀφυ-
117 λάκτῳ δέ κως αὐτῷ ἐπέπεσον. Ἐπεὶ δὲ [a] πολιορ- Obsidione
κεομένοισί σφι φθινόπωρον [b] ἐπιγίνετο, [c] καὶ [d] ἤ- diu protracta,
σχαλλον οἱ Ἀθηναῖοι ἀπό τε τῆς ἑωυτῶν ἀποδημέ-
οντες καὶ οὐ δυνάμενοι ἐξελεῖν τὸ τεῖχος, [e] ἐδέοντό
τε τῶν στρατηγῶν ὅκως [f] ἀπάγοιέν σφεας ὀπίσω·
οἱ δὲ οὐκ ἔφασαν, πρὶν ἢ ἐξέλωσι, ἢ τὸ Ἀθη-
ναίων κοινόν σφεας μεταπέμψηται. οὕτω δὴ ἔστερ-
118 γον τὰ παρεόντα. Οἱ δ' ἐν τῷ [a] τείχεϊ ἐς [b] πᾶν fame compulsi Persæ
ἤδη κακοῦ ἀπιγμένοι ἦσαν, οὕτω ὥστε τοὺς τόνους noctu aufugiunt:
[c] ἕψοντες τῶν κλινέων ἐσιτέοντο. ἐπεί τε δὲ οὐδὲ itaque Athenienses
ταῦτα ἔτι [d] εἶχον, οὕτω [e] δὴ ὑπὸ νύκτα οἴχονται ἀπο- Sesto potiuntur.
δράντες οἵ τε Πέρσαι καὶ ὁ Ἀρταΰκτης καὶ ὁ [f] Οἰό-
βαζος, ὄπισθε τοῦ τείχεος καταβάντες, τῇ ἦν ἐρημό-
2 τατον [g] τῶν πολεμίων. ὡς δὲ ἡμέρη ἐγένετο, οἱ
Χερσονησῖται ἀπὸ τῶν πύργων ἐσήμηναν τοῖσι
Ἀθηναίοισι τὸ γεγονὸς, καὶ τὰς πύλας ἄνοιξαν. τῶν

[k] ποιέων S. [l] Sic S.P.K.F. Πέρσαι εἶναι Wessel. al. [m] Sic S.K.F. Paris. προσδεχ. vulg. [n] Sic S.V. Schæfer. ἀφύκτως vulg. Tum τε pro δὲ S.

117. [a] πολιορκέουσι conj. Schweigh. [b] Sic P.K.F. ἐπεγένετο S. vulg. [c] καὶ om. S.V. [d] ἤσχαλλον P. Schæfer. ἤσχαλον S.F. Wessel. al. Mox τε om. S. [e] ἐδέοντο τότε b. ἐδόκεον τότε d. [f] Sic M.P.K.F. Paris. ἀπαγάγοιεν S. vulg.

118. [a] Sic M.P.K.F. Paris. τείχεϊ ἀμφὶ τὸν Ἀρταΰκτεα Ald. S.V. [b] πᾶν δὴ S. [c] ἑψῶντες b. [d] ἔχον] εἶχον F.S. [e] δὴ om. S.V. qui mox οἴχοντο. [f] Ἀρτάβαζος c. [g] τῶν πολεμίων P.K.F.S. τῶν om. al.

δὲ οἱ μὲν πλεῦνες ἐδίωκον, οἱ δὲ τὴν πόλιν [h] εἶχον.
119 Οἰόβαζον μέν νυν [a] ἐκφυγόντα ἐς τὴν Θρηΐκην
Θρήϊκες Ἀψίνθιοι λαβόντες ἔθυσαν Πλειστώρῳ ἐπι-
χωρίῳ θεῷ, τρόπῳ τῷ σφετέρῳ· τοὺς δὲ μετ' ἐκείνου,
2 ἄλλῳ τρόπῳ ἐφόνευσαν. Οἱ δὲ ἀμφὶ τὸν [b] Ἀρ-
ταΰκτην [c] ὕστεροι ὁρμηθέντες φεύγειν, [d] καὶ ὡς κατε-
λαμβάνοντο [e] ὀλίγον ἐόντες ὑπὲρ [f] Αἰγὸς Ποταμῶν
ἀλεξόμενοι χρόνον ἐπὶ συχνὸν, οἱ μὲν ἀπέθανον, οἱ
3 δὲ ζώντες ἐλάμφθησαν. καὶ συνδήσαντές σφεας οἱ
Ἕλληνες [g] ἦγον ἐς Σηστόν· μετ' αὐτῶν δὲ καὶ
Ἀρταΰκτην δεδεμένον, αὐτόν τε καὶ τὸν παῖδα αὐτοῦ.

Fugientium pars a Thracibus capti trucidantur: cæteri cum ipso Artayeta in manus Atheniensium incidunt.

120 Καί τεῳ τῶν φυλασσόντων λέγεται ὑπὸ [a] Χερσονη-
σιτέων, ταρίχους ὀπτῶντι, τέρας γενέσθαι τοιόνδε.
[b] οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ
2 ἤσπαιρον, ὅκως περ ἰχθύες [c] νεοάλωτοι. καὶ οἱ μὲν
περιχυθέντες [d] ἐθώμαζον· ὁ δὲ Ἀρταΰκτης ὡς εἶδε
τὸ τέρας, καλέσας τὸν ὀπτῶντα τοὺς ταρίχους, ἔφη·
3 "Ξεῖνε Ἀθηναῖε, μηδὲν φοβέο [e] τὸ τέρας τοῦτο· οὐ
"γὰρ σοὶ πέφηνε· ἀλλ' ἐμοὶ σημαίνει ὁ ἐν Ἐλαι-
"οῦντι Πρωτεσίλεως, ὅτι καὶ τεθνεὼς καὶ τάριχος
"[f] ἐὼν δύναμιν πρὸς θεῶν ἔχει τὸν ἀδικέοντα [g] τί-
4 "νεσθαι. νῦν ὦν ἄποινά οἱ τάδε ἐθέλω [h] ἐπιθεῖναι·

Artayctes ob impietatem in crucem actus [7, 33.].

[h] Sic S. ἔχον al.

119. [a] Sic S.V. Schæfer. ἐκφεύγοντα Wessel. al. [b] Ἀρταΰντην F. [c] ὕστερον S.V.F. [d] Sic S.V.P.K.F.a.b. καὶ om. edd. vett. [e] Sic P.K.V.F. Paris. edd. vett. ὀλίγοι S. Vall. Gronov. [f] αἰγὸς ποταμῶν M.P.K.F. Paris. Vall. αἰγὸς ποταμοῦ S. edd. vett. Tum ἀλεξάμενοι S. et ἐλάμφησαν. [g] ἤγαγον S.V. Schæfer. Bekker.

120. [a] Sic S.V. Paris. Χερσονησιωτέων edd. vett. Χερρονησιτέων F. Mox τέρας τὲ γενέσθαι S. [b] Citant Athenæus III. p. 119 D.E. Eustath. Od. p. 1728, 35=437. 30. qui ἤσπαιρον pro vulg. ἔσπαιρον. [c] νεοάλωτοι M.P.K.a.c.d.F. νεάλωτοι S.b. Eustath. Ald. al. οἱ ἰχθύες item S. [d] ἐθώμαζον F. ἐθώϋμαζον S. edd. [e] τὸ om. S. [f] ἐὼν om. S. [g] Sic plerique. σινέεσθαι S. σίνεσθαι V.d. Bekker. al. παρὰ θεῶν—τίννυσθαι Valckenærius ad Nov. Foed. p. 328. Mox ἄποινά μοι Pauwius, probante Schweighæuser. [h] ἐπιχθῆναι P.F.M.

" ἀντὶ μὲν χρημάτων τῶν ἔλαβον ἐκ τοῦ ἱροῦ, ἑκατὸν
" τάλαντα καταθεῖναι τῷ θεῷ· ἀντὶ δ' ἐμεωυτοῦ καὶ
" τοῦ παιδὸς ἀποδώσω τάλαντα διηκόσια [i] Ἀθη-
5 " ναίοισι, περιγενόμενος." Ταῦτα [k] ὑπισχόμενος,
τὸν στρατηγὸν Ξάνθιππον οὐκ ἔπειθε. οἱ γὰρ
[l] Ἐλαιούσιοι τῷ [m] Πρωτεσίλεῳ τιμωρέοντες ἐδέοντό
μιν καταχρησθῆναι, καὶ αὐτοῦ τοῦ στρατηγοῦ ταύτῃ
6 [n] ὁ νόος ἔφερε. ἀπαγαγόντες δὲ αὐτὸν ἐς τὴν ἀκτὴν
ἐς τὴν Ξέρξης ἔζευξε τὸν πόρον, οἱ δὲ λέγουσι ἐπὶ
τὸν κολωνὸν τον ὑπὲρ Μαδύτου [o] πόλιος, [p] σανίδα
προσπασσαλεύσαντες, ἀνεκρέμασαν· τὸν δὲ παῖδα
121 ἐν ὀφθαλμοῖσι τοῦ Ἀρταΰκτεω κατέλευσαν. Ταῦτα
δὲ ποιήσαντες ἀπέπλεον ἐς τὴν Ἑλλάδα, τά τε
ἄλλα χρήματα ἄγοντες, καὶ δὴ καὶ τὰ ὅπλα τῶν
γεφυρέων, ὡς ἀναθήσοντες ἐς τὰ ἱρά. καὶ κατὰ τὸ
ἔτος τοῦτο οὐδὲν [a] ἔτι πλέον τούτων ἐγένετο.

His ita gestis, et Athenienses Græciam repetunt.

122 Τούτου δὲ τοῦ Ἀρταΰκτεω τοῦ ἀνακρεμασθέντος
προπάτωρ [a] Ἀρτεμβάρης ἐστὶ ὁ Πέρσῃσι ἐξηγησά-
μενος λόγον, τὸν ἐκεῖνοι ὑπολαβόντες Κύρῳ προσή-
2 νεικαν, λέγοντα τάδε· " Ἐπεὶ Ζεὺς Πέρσῃσι ἡγεμο-
" νίην διδοῖ, ἀνδρῶν δὲ [b] σοὶ, Κῦρε, κατελὼν
" [c] Ἀστυάγεα· φέρε, γῆν· γὰρ ἐκτήμεθα ὀλίγην καὶ
" ταύτην τρηχέην, μεταναστάντες ἐκ ταύτης ἄλλην
3 " [d] ἔχωμεν ἀμείνω. εἰσὶ δὲ πολλαὶ μὲν ἀστυγεί-

746

Artembares, Artayctæ illius avus, quid olim Persis, improbante Cyro, suaserit. Cœlum mite ac solum fertile viris fortibus gignendis ineptum.

[i] Ἀθηναίοισι om. S. Vall. [k] Sic P.K.F.a.b. ὑπισχνόμενος S. ὑποσχόμενος Wessel. et al. [l] Sic M.P.K.F. Ἐλεούντιοι al. Ἐλεούσιοι S. [m] Sic M.S.V.P.K.F. Paris. Wessel. Πρωτεσιλάῳ Ald. [n] ὁ om. P. S.K.F.c. [o] πόλιος S.V.K.P.F. Paris. πόλεως vulg. [p] σανίδας P. F.c. cf. Eustath. Od. p. 1923, 46=780 med. Mox πρὸς ante σανίδα de conjectura posuit Schweighæuserus.

121. [a] ἐπὶ πλέον conj. Werfer. probante Schweigh. cf. 107. πλέον om. F.

122. [a] ἐστιν Ἀρτεβάρης S. [b] σὺ S. [c] Ἀστυάγην S.V.P.K.F. Mox γὰρ post γῆν om. S. [d] σχῶμεν S.V. Supra τρηχεῖαν S.

“ τονες, πολλαὶ δὲ [e]καὶ [f]ἑκαστέρω· τῶν μίαν [g]σχόν-
4 “ τες [h]πλέοσι ἐσόμεθα [i]θωμαστότεροι. [k]οἰκὸς δὲ
“ [l]ἄρχοντας ἄνδρας τοιαῦτα ποιέειν· [m]κότε γὰρ δὴ
“ καὶ παρέξει κάλλιον, ἢ ὅτε γε ἀνθρώπων τε πολ-
5 “ λῶν ἄρχομεν πάσης τε τῆς Ἀσίης;” Κῦρος δὲ
ταῦτα ἀκούσας, καὶ οὐ [n]θωμάσας τὸν λόγον, ἐκέλευε
ποιέειν ταῦτα· οὕτω δὲ αὐτοῖσι [o]παραίνεε κελεύων
παρασκευάζεσθαι, ὡς οὐκέτι ἄρξοντας, ἀλλ᾽ [p]ἀρξο-
6 μένους. φιλέειν γὰρ ἐκ τῶν μαλακῶν χώρων [q]μα-
λακοὺς ἄνδρας γίνεσθαι· οὐ [r]γάρ τοι τῆς αὐτῆς γῆς
εἶναι καρπόν τε [s]θωμαστὸν φύειν καὶ ἄνδρας ἀγα-
7 θοὺς τὰ πολέμια. ὥστε συγγνόντες [t]Πέρσαι οἴχοντο
ἀποστάντες, ἑσσωθέντες τῇ γνώμῃ πρὸς Κύρου·
ἄρχειν τε εἵλοντο λυπρὴν οἰκέοντες μᾶλλον, ἢ
πεδιάδα σπείροντες ἄλλοισι δουλεύειν.

[e] καὶ om. S. [f] ἑκατέρω S.F.d. cf. VI. 108. VII. 49. [g] ἔχοντες S. V. σχῶντες F. [h] πλείοισι P.K.F. [i] θωμαστότεροι F. θωϋμαστότεροι S. Wessel. al. [k] οἰκὸς S. Wessel. εἰκὸς F. et vulg. [l] ἄνδρας ἔχοντας c. ἄρχοντας ἄνδρας F. [m] κότερα S. cf. I. 91. [n] Sic S.F. cf. Plutarch. II. p. 172 E. θωυμάσας Ald. [o] Sic S. Schæfer. παρῄνεε vulg. [p] ἀρξαμένους F. [q] Sic V.S. Vall. Wessel. ἄνδρας om. F.a. al. [r] γάρ τι F.a.c. [s] θωμαστὸν F. θωϋμαστὸν S. vulg. [t] οἱ Πέρσαι S.

In P.M. subjiciuntur hæc: ʽΗΡΟΔΟΤΟΥ ʽΙΣΤΟΡΙΩΝ Θ. XXHHHII. Hoc hexametro terminatur S.

ʽΗροδότοιο βίβλος κλεινοῖο πέρας λάβεν ὧδί.



ʽΗΡΟΔΟΤΟΥ ʽΙΣΤΟΡΙΩΝ ʼΕΝΑΤΗ.

INDEX.

INDEX

RERUM ET PERSONARUM

AB HERODOTO MEMORATARUM.

INDEX.

INDEX.

INDEX.

INDEX.

B.

D.

H.

K.

L.

INDEX.

P.





